ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

27

Ο Μ Ι Λ Ι Ε Σ

ΑΓΙΟΓΡΑΦΙΚΕΣ – ΕΡΜΗΝΕΥΤΙΚΕΣ

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ
Ἀπὸ τὸν
ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ
Θεολόγο – Φιλόλογο


90 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 90

Ἐπόπτης

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΜΕΡΕΤΑΚΗΣ Γ. ΕΛΕΥΘΕΡΙΟΣ, Θεολόγος



Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ

«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»

ΘΕΣΣΑΛΟΝΙΚΗ 1987

ΙΩΑΝΝΗΣ ΧΡΥΣΟΣΤΟΜΟΣ



ΕΙΣΑΓΩΓΗ

Στὸν τόμο αὐτὸ δημοσιεύονται 16 ἁγιογραφικὲς ὁμιλίες τοῦ Ἰωάννου Χρυσοστόμου μὲ ἑρμηνευτικὸ κυρίως ἀλλὰ καὶ κοινωνικό, ἠθικὸ καὶ δογματικὸ περιεχόμενο. Μία ὁμιλία ἔχει θέμα εὐαγγελικὸ χωρίο, τὸ *Ἰω. 5,19*, καὶ οἱ ὑπόλοιπες ἔχουν κάποιο ρητὸ ἀπὸ τὶς ἐπιστολὲς τοῦ ἀποστόλου Παύλου ἢ στηρίζονται σὲ χωρία καὶ περικοπὲς ἐπιστολῶν τοῦ ἰδίου ἀποστόλου. Οἱ ὁμιλίες αὐτὲς ἀποδεικνύουν γιὰ μιὰ ἀκόμη φορὰ τὴν ἰδιαίτερη συμπάθεια τοῦ ἱεροῦ πατρὸς πρὸς τὸν ἀπόστολο Παῦλο, πράγμα ἄλλωστε ποὺ ὁμολογεῖ καὶ ὁ ἴδιος.

Οἱ δύο πρῶτες ὁμιλίες μὲ τίτλο, *Εἰς τὸ «Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν*, ἔχουν καὶ ἔντονο ἐγκωμιαστικὸ χαρακτῆρα, ἀφοῦ εἶναι ἀφιερωμένες στὰ δύο αὐτὰ πρόσωπα ποὺ φιλοξένησαν τὸν Παῦλο στὴν Κόρινθο[1]. Ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα ὑπῆρξαν στενοὶ συνεργάτες καὶ βοηθοὶ τοῦ Παύλου καὶ ἀνέπτυξαν ἔντονη δραστηριότητα σὲ διάφορες πόλεις. Ὁ Παῦλος τοὺς ἀναφέρει μὲ εὐγνωμοσύνη στὶς ἐπιστολές του καὶ ἡ Ἐκκλησία μας τιμᾶ τὴ μνήμη τους στὶς 13 Φεβρουαρίου.

Τὸ κείμενο τῶν ὁμιλιῶν αὐτῶν ἔχει ληφθεῖ ἀπὸ τὴν Πατρολογία Migne.

Ὁ Χρυσόστομος ἀρχίζει τὴν πρώτη ὁμιλία στὸ *«Ἀσπάσασθε τὸν Ἀκύλαν καὶ τὴν Πρίσκιλλαν»* μὲ τὴν παρατήρηση πὼς δὲν ὑπάρχει τίποτε τὸ ἀσήμαντο καὶ περιττὸ στὶς Γραφὲς καὶ γι' αὐτὸ πρέπει νὰ ἐξετάζουμε μὲ προσοχὴ ἀκόμη καὶ τὶς ἐπιγραφὲς καὶ τοὺς χαιρετισμοὺς ποὺ περιέχουν. Στὴ συνέχεια το-

1. Πράξ. 18,2–3.

νίζει καὶ θαυμάζει τὴν ἀγάπη καὶ τὸ ἐνδιαφέρον τοῦ Παύλου γιὰ τὸν Ἀκύλα καὶ τὴν Πρίσκιλλα καὶ παρατηρεῖ πὼς τὴν εὐγένεια δὲν τὴν κάνει ἡ λάμψη τοῦ πλούτου ἀλλὰ ἡ εὐγένεια τῶν τρόπων καὶ τοῦ χαρακτήρα τοῦ ἀνθρώπου. Ἔπειτα ἀναφέρει ὅτι ὁ γάμος δὲν εἶναι ἐμπόδιο καὶ πρόσκομμα στὸ δρόμο τῆς ἀρετῆς καὶ πλέκει τὰ ἐγκώμια εὐσεβῶν γυναικῶν. Μιλώντας γιὰ τὴ φιλοξενία λέγει ὅτι γιὰ τὴν ἄσκηση αὐτῆς τῆς ἀρετῆς χρειάζεται μόνο ἡ διάθεση τοῦ ἀνθρώπου καὶ ὅτι ἡ φτώχεια δὲν ἀποτελεῖ ἐμπόδιό της. Τὸ τελευταῖο μέρος τῆς ὁμιλίας εἶναι ἀφιερωμένο στὴν ἐργασία καὶ στὰ ὀφέλη ποὺ προκύπτουν ἀπὸ αὐτήν. Ἡ ἐργασία, λέγει, δὲν εἶναι ντροπή. Ντροπὴ εἶναι ἡ ἀργία ποὺ ὁδηγεῖ στὴν ἁμαρτία καὶ σὲ κάθε κακία. Τελειώνει τὴν ὁμιλία του μὲ προτροπὲς στοὺς πιστοὺς νὰ ἀποφεύγουν τὴν ἀργία καὶ νὰ ἐπιδιώκουν τὴν ἐργασία, ἔχοντας παράδειγμα πρὸς μίμηση τὸν ἴδιο τὸν Παῦλο.

Ἡ δεύτερη ὁμιλία ἔχει ὡς ὑπότιτλο *Καὶ εἰς τὸ μὴ κακῶς λέγειν τοὺς ἱερεῖς τοῦ Θεοῦ*. Στὴν ἀρχὴ καὶ μετὰ ἀπὸ σύντομη ἀναφορὰ στὴν προηγούμενη ὁμιλία, λέγει πὼς ὁ Χριστὸς ἄφησε τοὺς μαθητές του νὰ δοκιμασθοῦν μὲ τὶς θλίψεις, τὴ φτώχεια καὶ τοὺς διωγμοὺς γιὰ νὰ μὴ μείνουν ἀδρανεῖς καὶ νωθροί· ἐξηγεῖ γιατί οἱ μαθητὲς παρὰ τὴν ἐντολὴ τοῦ Κυρίου παρουσιάζονται νὰ ἔχουν ἱμάτιο καὶ ὑποδήματα καὶ παρατηρεῖ πὼς ὁ Κύριος πολλὲς φορὲς μιλάει αἰνιγματικά. Στὴ συνέχεια ἐπανέρχεται στὴν ἑρμηνεία τοῦ *Ρωμ. 16,3–4*. Σημειώνει πὼς ὁ φτωχός, ἀπαλλαγμένος ἀπὸ τὶς φροντίδες ποὺ ἔχει ὁ πλούσιος, μπορεῖ εὐκολότερα νὰ ὠφελήσει τὴν Ἐκκλησία καὶ ἐξαίρει τὴν παρρησία τοῦ Βαπτιστῆ Ἰωάννη καὶ τοῦ προφήτη Ἠλία. Στὰ δύο τελευταῖα μέρη τῆς ὁμιλίας προτρέπει τοὺς πιστοὺς νὰ μὴ κακολογοῦν τοὺς ἱερεῖς, σημειώνοντας πόσο μεγάλο κακὸ εἶναι νὰ κακολογεῖ κανεὶς τοὺς προϊσταμένους τῆς Ἐκκλησίας καὶ νὰ κρίνει τὴ ζωὴ τῶν ἄλλων. Τελειώνει λέγοντας πὼς οἱ λαϊκοὶ δὲν πρέπει νὰ ἐπεμβαίνουν καὶ νὰ διορθώνουν τὰ τῶν ἱερέων.

Κοινὸ εἶναι τὸ θέμα τῶν τριῶν ὁμιλιῶν ποὺ ἀκολουθοῦν. Μὲ βάση τὸ ἕβδομο κεφάλαιο τῆς *Α΄ Πρὸς Κορινθίους* ἐπιστο-

λῆς τοῦ Παύλου ὁ Χρυσόστομος ἐξετάζει τὰ σχετικὰ μὲ τὸ γάμο ζητήματα. Ἀναφέρεται στὸ σκοπὸ καὶ τὸ συμβολισμὸ τοῦ γάμου, στὴ θέση τῶν συζύγων μέσα στὴν οἰκογένεια καὶ στὴν ἀμοιβαία ἀγάπη τους, στὴν ἐκλογὴ τῆς κατάλληλης συζύγου, στὶς ὑποχρεώσεις τῆς ἔγγαμης γυναίκας, στὰ θέματα τῆς προίκας, τῆς πορνείας καὶ τῆς μοιχείας, καὶ περιγράφει ἤθη καὶ ἔθιμα τῆς ἐποχῆς του. Τὸ περιεχόμενο τῶν ὁμιλιῶν παρουσιάζει καὶ σήμερα μεγάλο ἐνδιαφέρον. Ὄχι μόνο γιατὶ καὶ σήμερα ὁ θεσμὸς τῆς οἰκογένειας ἀπειλεῖται ἀπὸ πολλοὺς κινδύνους, ἀλλὰ καὶ γιατὶ ὁ λόγος τοῦ Χρυσοστόμου γιὰ ἰσότητα τοῦ ἄνδρα καὶ τῆς γυναίκας καὶ γιὰ τὰ μέσα ποὺ θὰ ἐξασφαλίσουν τὴ διατήρηση τοῦ γάμου εἶναι ὅλως ἰδιαίτερα χρήσιμος καὶ ἐπίκαιρος.

Οἱ ὁμιλίες ἐκφωνήθηκαν σὲ σύντομο χρονικὸ διάστημα καὶ πιθανότατα στὴν Κωνσταντινούπολη. Τὸ κείμενό τους λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Στὴν πρώτη ὁμιλία ποὺ ἔχει τίτλο τὸ ἀποστολικὸ ρητό, *«Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω»*, ἑρμηνεύει τὸ χωρίο αὐτὸ τῆς *Α΄ Πρὸς Κορινθίους 7,1–4* ἐπιστολῆς τοῦ Παύλου. Ἀρχίζει μὲ τὴν ἐπισήμανση ὅτι ὁ λόγος τοῦ Παύλου εἶναι γλυκὺς σὰν τὸ μέλι καὶ ὅτι ὠφέλιμος λόγος εἶναι ἐκεῖνος ποὺ οἰκοδομεῖ καὶ βλαβερὸς ἐκεῖνος ποὺ γκρεμίζει. Στὴ συνέχεια τονίζει πὼς ὁ γάμος δὲν εἶναι κακὸ πράγμα ἀλλὰ ἀποτελεῖ τὸ φάρμακο ποὺ ἐξαφανίζει τὴν πορνεία· καταδικάζει τὰ εἰδωλολατρικὰ ἔθιμα τοῦ γάμου ποὺ προσβάλλουν τὴ νύφη καὶ τὰ ἀποδίδει στὸ διάβολο. Ἔπειτα ἀναφέρει σὰν σκοπὸ τοῦ γάμου τὴ σωφροσύνη καὶ τὴν ἀπόκτηση παιδιῶν, ἀναλύει τὸ πραγματικὸ νόημα τῆς μοιχείας καὶ σημειώνει πὼς μέσα στὸ γάμο ὑπάρχει πλήρης ἰσοτιμία ἄνδρα καὶ γυναίκας. Στὸ τελευταῖο μέρος τῆς ὁμιλίας ἀναφέρεται στὶς ὀλέθριες συνέπειες ποὺ ἔχει ὄχι μόνο ἡ μοιχεία ἀλλὰ καὶ ἡ δημιουργία ὑποψίας, καὶ καταλήγει στὴν προτροπὴ πρὸς ἀποφυγὴ τῆς πορνείας καὶ τῆς μοιχείας καὶ τὴ σύσταση πρὸς διαρκὴ μελέτη τῶν λόγων τοῦ Παύλου.

Ἡ δεύτερη ὁμιλία ἔχει τίτλο τὸ ἀποστολικὸ ρητὸ *Α΄ Κορ. 7,39–40 «Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ»*, καὶ ὅλη ἡ ὁμιλία στρέφεται γύρω ἀπὸ τὸ χωρίο αὐτό. Ὁ γάμος εἶναι λιμάνι, μπορεῖ ὅμως ν' ἀποβεῖ καὶ ναυάγιο. Ἐπικαλούμενος καὶ τὴ μαρτυρία τῆς Παλαιᾶς Διαθήκης λέγει πὼς ὁ γάμος εἶναι ἰσόβιος καὶ ἱερός. Ὁ δεύτερος γάμος ἐπιτρέπεται μόνο ὅταν γίνεται σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεου. Ἡ χηρεία εἶναι ἀνώτερο πράγμα ἀπὸ τὸ δεύτερο γάμο τόσο στὴν παρούσα ζωὴ ὅσο καὶ στὴ μέλλουσα. Γι' αὐτὸ συμβουλεύει ν' ἀρκούμαστε στὸν πρῶτο γάμο. Τελειώνοντας προτρέπει ν' ἀποφεύγουμε τὴν πορνεία καὶ τὴ μοιχεία καὶ συνιστᾶ τὰ φάρμακα γιὰ τὴ θεραπεία τους, ποὺ εἶναι ἡ σωφροσύνη, ἡ σεμνότητα καὶ ἡ ἄσκηση γενικὰ κάθε ἀρετῆς.

Ἡ τρίτη ὁμιλία ποὺ εἶναι μεγαλύτερη ἀπὸ τὴν προηγούμενη καὶ ἔχει τίτλο *Ἐγκώμιον εἰς Μάξιμον καὶ περὶ τοῦ ποίας δεῖ ἄγεσθαι γυναῖκας»*, ἀπευθύνεται κυρίως στοὺς ἄνδρες. Στὴν ἀρχὴ πλέκει ἕνα σύντομο ἐγκώμιο στὸν ἐπίσκοπο Μάξιμο καὶ θέτει τὸ θέμα τῆς ὁμιλίας του. Στὴ συνέχεια ἀναφέρει τὰ προσόντα ποὺ πρέπει νὰ ἔχει ἡ γυναίκα (ἀρετὴ ψυχῆς καὶ ὄχι ὀμορφιὰ σώματος) καὶ προτρέπει τοὺς ἄνδρες ν' ἀγαποῦν τὶς γυναῖκες τους «καθὼς ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία». Ὁ γάμος εἶναι μεγάλο μυστήριο καὶ δὲν πρέπει νὰ θεωρεῖται ἐμπορικὴ συμφωνία, ἀλλὰ συμμετοχὴ ζωῆς. Ἀναφέρεται στὶς ὑποχρεώσεις καὶ τὰ καθήκοντα τῶν συζύγων καὶ λέγει πὼς ὁ ἄνδρας δὲν πρέπει ν' ἀποβλέπει στὴν προίκα καὶ τὴν εὐγενικὴ καταγωγὴ τῆς γυναίκας, ἀλλὰ στὴν ἀρετὴ τῆς ψυχῆς καὶ τὴν εὐγένεια τῶν τρόπων της. Ἔπειτα ἀναφέρεται στὴν αἰτία τοῦ γάμου, κάμνοντας διεξοδικὰ λόγο γιὰ τὸ γάμο τοῦ Ἰσαὰκ μὲ τὴ Ρεβέκκα. Τελειώνοντας καλεῖ τοὺς πιστοὺς νὰ μιμηθοῦν τὸ παράδειγμα τοῦ Ἰσαὰκ γιὰ νὰ ἔχουν εἰρηνικὸ καὶ εὐτυχισμένο γάμο, ἐπισφραγισμένο μὲ τὴν καλὴ ἀνατροφὴ τῶν παιδιῶν.

Στὴ ὁμιλία του στὸ ἀποστολικὸ ρητό, *«Οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν*

καὶ πάντες διὰ θαλάσσης διῆλθον», ἑρμηνεύει τὴν περικοπὴ *Α΄ Κορ. 11,1-10*. Στὸ πρῶτο μέρος παρομοιάζει τὶς ἑορτὲς τῶν ἁγίων μὲ λιμάνια καὶ θέτει τὸ θέμα τῆς ὁμιλίας του. Στὸ δεύτερο παρουσιάζει τὴν αἰτία γιὰ τὴν ὁποία ὁ Παῦλος ἀναφέρεται στὴν ἱστορία αὐτὴ τῆς Παλαιᾶς Διαθήκης· πρῶτα γιὰ νὰ ἐπικρίνει περισσότερο τοὺς Κορινθίους καὶ ὕστερα γιὰ νὰ δείξει τὴ συγγένεια τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης. Στὸ τρίτο μέρος στρέφεται ἐναντίον τοῦ Μαρκίωνα καὶ τοῦ Μάνεντα, ποὺ δίδασκαν ὅτι ὁ Θεὸς τῆς Παλαιᾶς Διαθήκης εἶναι κατώτερος ἀπὸ τὸν τῆς Καινῆς Διαθήκης καὶ ἑρμηνεύει ἀναλυτικὰ τὴν περικοπή. Ἔπειτα παρουσιάζει τὴ συγγένεια τοῦ τύπου τῆς Παλαιᾶς Διαθήκης πρὸς τὴν ἀλήθεια τῆς Καινῆς Διαθήκης καὶ τὴν ὑπεροχὴ τῆς ἀλήθειας πρὸς τὸν τύπο. Στὸ πέμπτο μέρος στρέφεται ἐναντίον τοῦ Παύλου τοῦ Σαμοσατέα ποὺ δίδασκε ὅτι ἡ Μαρία δὲ γέννησε τὸν Υἱὸ καὶ Λόγο τοῦ Θεοῦ, ἀλλὰ τὸν ἄνθρωπο Χριστό. Στὸ ἕκτο καὶ τελευταῖο μέρος σημειώνει τὴ σημασία τῆς ἀπαλλαγμένης ἀπὸ κάθε ἁμαρτία ζωῆς καὶ τελειώνει μὲ προτροπὴ πρὸς τοὺς πιστοὺς γιὰ σταθερὴ πίστη καὶ ἄριστη πολιτεία.

Τὸ κείμενο τῆς ὁμιλίας λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Στὴν ὁμιλία στὸ ἀποστολικὸ ρητό, *«Δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται»*, ἑρμηνεύει τὴν περικοπὴ *Α΄ Κορ. 11,17-34*. Στὴν ἀρχὴ κάμνει μιὰ σύντομη ἀναφορὰ σὲ προηγούμενη συγκινητικὴ ὁμιλία του μὲ θέμα τοὺς θρήνους τῆς Ἱερουσαλήμ, θέτει τὸ θέμα τῆς ὁμιλίας του καὶ ἑρμηνεύει τὸ ρητὸ τοῦ τίτλου. Στὴ συνέχεια τονίζει πὼς τίποτε δὲν μπορει νὰ βλάψει τοὺς νηφάλιους καὶ προσεκτικοὺς καὶ σημειώνει πόσο μεγάλο κακὸ εἶναι ἡ ἀδιαφορία καὶ ἡ ἀχαριστία. Ἔπειτα ἀναφέρεται στὴν κατάσταση ποὺ ἐπικρατοῦσε στὴν πρώτη Ἐκκλησία καὶ στὰ κοινὰ δεῖπνα. Εἰδικότερα κάνει λόγο γιὰ τὴν ἐκκλησία τῆς Κορίνθου καὶ γιὰ τὶς διαφωνίες ποὺ συνέβαιναν στὰ

δεῖπνα. Τελειώνει μὲ προτροπὲς γιὰ ὀρθὴ πίστη, ἄριστο τρόπο ζωῆς καὶ γιὰ ἐλεημοσύνη.

Τὸ κείμενο τῆς ὁμιλίας λαμβάνεται ἀπὸ τὴν ἔκδοση B. de Montfaucon.

Ἀκολουθοῦν τρεῖς ὁμιλίες μὲ τίτλο τὴν ἀποστολικὴ ρήση, *«Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον», Β' Κορ. 4,13.* Στὶς ὁμιλίες αὐτὲς ἀποδεικνύει ὁ Χρυσόστομος τὴν πλήρη συμφωνία Παλαιᾶς καὶ Καινῆς Διαθήκης καὶ μιλάει καὶ γιὰ ἐλεημοσύνη.

Στὴν ἀρχὴ τῆς πρώτης ὁμιλίας τονίζει πὼς τὰ πνευματικὰ ἀγαθὰ ὅσο σὲ πιὸ πολλοὺς μοιράζονται τόσο καὶ περισσότερο αὐξάνονται καὶ ὅτι ὁ Χριστὸς ἐνδιαφέρεται γιὰ τὴ σωτηρία ὅλων τῶν ἀνθρώπων. Στὴ συνέχεια μιλώντας γιὰ τὴν πίστη λέγει ὅτι αὐτὴ ὁδηγεῖ μὲ ἀσφάλεια τὴν ψυχή, διαλύει τὸ σκοτάδι της καὶ θεραπεύει τὴν ἀσθένεια τῶν λογισμῶν. Ἡ βοήθεια τοῦ ἁγίου Πνεύματος κρατάει τὴν πίστη σταθερὴ καὶ ἀκλόνητη. Ἔπειτα τονίζει τὴν ἀξία καὶ τὴ σημασία τῆς φιλανθρωπίας καὶ τὴ δύναμη τῆς ἐλεημοσύνης, ποὺ προσφέρει τὴ συγχώρηση τῶν ἁμαρτημάτων, τὴν παρρησία ἐνώπιον τοῦ Θεοῦ καὶ τὴ βασιλεία τῶν οὐρανῶν. Στὸ τέλος παρατηρεῖ πὼς οἱ κακὲς πράξεις καταστρέφουν τὴ σταθερότητα τῆς πίστης καὶ καταλήγει σὲ προτροπὴ γιὰ ἄριστη πολιτεία.

Στὴ δεύτερη ὁμιλία καὶ στὸ πρῶτο μέρος αὐτῆς τονίζει τὴ μεγάλη συγγένεια τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, στρέφεται ἐναντίον τῶν Μανιχαίων καὶ μὲ ἀναφορὲς στὶς δύο Διαθῆκες ἀποδεικνύει τὴ συμφωνία αὐτῶν καὶ ὅτι ὁ ἕνας καὶ αὐτὸς εἶναι ὁ Θεὸς καὶ τῶν δύο Διαθηκῶν. Τὸ δεύτερο μέρος ἀφιερώνεται στὴν ἐλεημοσύνη. Ἡ ἐλεημοσύνη πρέπει νὰ γίνεται σὲ ὅλους τοὺς ἀνθρώπους χωρὶς διάκριση, ἀκόμη καὶ σὲ κακούς. Γιὰ τὴν ἄσκηση τῆς φιλανθρωπίας καὶ τῆς ἐλεημοσύνης δὲν ὑπάρχει καμία δικαιολογία. Τελειώνει τὴν ὁμιλία τονίζοντας τὰ ὀφέλη ἀπὸ τὴν ἐλεημοσύνη καὶ προτρέποντας γιὰ καθημερινὴ ἄσκηση τῆς ἀρετῆς αὐτῆς.

Στὴ τρίτη ὁμιλία καὶ στὴν ἀρχὴ αὐτῆς ὁ ἱερὸς Χρυσόστομος τονίζει τὴ μεγάλη σημασία καὶ ἀξία ποὺ ἔχουν οἱ ἐπιστολὲς τοῦ Παύλου καθὼς καὶ τὴ μεγάλη συγγένεια τῶν προφητῶν καὶ ἀποστόλων, πράγμα ποὺ πιστοποιεῖ τὴ συμφωνία τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης. Στὴ συνέχεια ἐπισημαίνει τὸ φοβερὸ πόλεμο ποὺ ἐπικρατοῦσε στὴν ἀρχὴ τοῦ κηρύγματος ἐναντίον τῶν πιστῶν, τῶν ἀποστόλων καὶ τῶν μαθητῶν αὐτῶν, καὶ καλεῖ τοὺς πιστοὺς νὰ εἶναι νηφάλιοι καὶ ἐπάγρυπνοι γιὰ νὰ μποροῦν νὰ ἀντιμετωπίζουν τὸν πόλεμο ποὺ ἔχουν κηρύξει ἐναντίον μας οἱ ἐπιθυμίες τῆς φύσης καὶ τὰ ἄπειρα πάθη τῆς ψυχῆς μας. Ἔπειτα μιλάει γιὰ τὴ σημασία καὶ τὴν ἀναγκαιότητα τῶν θλίψεων ποὺ ὑφίσταται ὁ πιστὸς γιὰ χάρη τοῦ Χριστοῦ. Ὁ ἄνθρωπος, λέγει, δοκιμάζεται στὸ καμίνι τῶν θλίψεων καὶ ὁ πειρασμὸς τῆς παρούσας ζωῆς ἐργάζεται τὴ σωτηρία μας. Συνεχίζοντας ἐπαναφέρει τὸ λόγο του στὸ *Β' Κορ. 4,13* καὶ ἐξηγεῖ γιατί οἱ πιστοὶ θ' ἀπολαύσουν ἀπὸ κοινοῦ καὶ ὅλοι μαζὶ τὰ οὐράνια καὶ ἀπόρρητα ἀγαθά. Τὸ τελευταῖο μέρος τῆς ὁμιλίας εἶναι καὶ πάλι ἀφιερωμένο στὸ ἀγαπημένο του θέμα, τὴν ἐλεημοσύνη. Μὲ τὴν ἐλεημοσύνη, λέγει, οἱ ἄνθρωποι δίνουν λιγότερα καὶ παίρνουν περισσότερα· δίνουν χρήματα καὶ παίρνουν τὴ βασιλεία τῶν οὐρανῶν. Ἡ ἐλεημοσύνη εἶναι τὸ λάδι ποὺ συντηρεῖ τὴ φωτιὰ τῆς προσευχῆς. Τελειώνει μὲ προτροπὴ γιὰ καθημερινὴ ἐλεημοσύνη.

Τὸ κείμενο τῶν τριῶν αὐτῶν ὁμιλιῶν, τῶν ὁποίων ἀμφισβητεῖται ἡ γνησιότητα, λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Στὴν ὁμιλία του στὸ ἀποστολικὸ ρητό, *Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ», Β' Κορ. 11,1–2*, καὶ στὸ προοίμιο αὐτῆς μιλάει γιὰ τὴν ἰδιαίτερη συμπάθεια ποὺ τρέφει γιὰ τὸν ἀπόστολο Παῦλο. Ἀντιαδιαστέλλοντας τὸν πνευματικὸ ἔρωτα ἀπὸ τὸν σωματικὸ τονίζει πὼς ὁ πνευματικὸς ἔρωτας εἶναι ἡ εὐφροσύνη, ἡ ἀγαλλίαση καὶ τὸ στολίδι τῆς ψυχῆς καὶ ἡ αἰτία ἀπείρων ἀγαθῶν. Ἔπειτα κάνει μιὰ σύντομη ἀναφορὰ στὰ κατορ-

θώματα τοῦ Παύλου, θέτει τὸ θέμα τῆς ὁμιλίας του καὶ ἔρχεται στὴν ἑρμηνεία τοῦ *Β' Κορ. 11,1-2*. Στὴ συνέχεια λέγει πὼς δὲν πρέπει κανεὶς νὰ καυχιέται γιὰ τὰ κατορθώματά του ἀλλὰ νὰ θυμᾶται τὰ ἁμαρτήματά του. Ἡ καύχηση πρέπει νὰ γίνεται μόνο ὅταν ὑπάρχει ἀνάγκη, ὅπως στὴν περίπτωση τοῦ Δαβίδ, τοῦ Σαμουὴλ καὶ στὴν περίπτωση ἐδῶ τοῦ Παύλου, ποὺ δείχνει τὴ σύνεση καὶ τὴ σοφία τοῦ ἀποστόλου. Τελειώνοντας προτρέπει τοὺς πιστοὺς νὰ μιμηθοῦν τὸν Παῦλο.

Τὸ κείμενο τῆς ὁμιλίας, καθὼς καὶ τῆς ἑπομένης, λαμβάνεται ἀπὸ τὴν Πατρολογία τοῦ Migne.

Στὴν ὁμιλία του στὴν ἀποστολικὴ ρήση, *«Εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλλεται», Φιλιπ. 1,18*, καὶ ποὺ ἀπευθύνεται πρὸς ἐκείνους ποὺ δὲν ἑρμήνευαν σωστὰ τὸ χωρίο αὐτό, στὰ πρῶτα δύο μέρη αὐτῆς ὁ Χρυσόστομος κάμνει λόγο γιὰ τὴν ἀλαζονεία καὶ τὴν ταπεινοφροσύνη. Στὴ συνέχεια θέτει τὸ θέμα τῆς ὁμιλίας του, ἐκθέτει τὴν κατάσταση στὴν ὁποία βρισκόταν ὁ Παῦλος ὅταν ἔγραφε στοὺς Φιλιππησίους τὰ λόγια αὐτὰ καὶ ἀναφέρει τὸ ἐνδιαφέρον τοῦ Παύλου γιὰ ὅλους τοὺς ἀνθρώπους. Ἔπειτα ἀναφέρεται στὴν ἀγάπη τοῦ Παύλου πρὸς τοὺς μαθητές του καθὼς καὶ στὴν ἀγάπη τῶν μαθητῶν πρὸς τὸν ἀπόστολο. Τὸ ὑπόλοιπο μέρος τῆς ὁμιλίας ἀφιερώνεται στὴν προσευχή. Ἡ δύναμη τῆς προσευχῆς εἶναι μεγάλη, γιατὶ φέρνει τὸν πιστὸ σὲ ἄμεση ἐπαφὴ μὲ τὸ Θεό. Γι' αὐτό, τονίζει, ὅλοι πρέπει νὰ προσεύχονται τόσο στὶς καλὲς ὅσο καὶ στὶ κακὲς στιγμές. Ἔπειτα ἀναφέρεται στὸ παράδειγμα τῆς Χαναναίας[2], θέλοντας νὰ δείξει τὴν ἀποτελεσματικότητα τῆς ἐπιμονῆς, καὶ κλείνει τὴν ὁμιλία μὲ προτροπὲς γιὰ συνεχὴ καὶ ἀδιάλειπτη προσευχή, «γιατὶ τίποτε δὲν εἶναι ἰσχυρότερο ἀπὸ τὴ θερμὴ καὶ γνήσια προσευχή».

Στὴν ὁμιλία του στὸ ἀποστολικὸ ρητό, *«Χήρα καταλεγέσθω μὴ ἔλαττων ἐτῶν ἑξήκοντα γεγονυῖα», Α' Τιμ. 5,9*, τρία εἶναι τὰ θέματα μὲ τὰ ὁποῖα ἀσχολεῖται ὁ Χρυσόστομος· οἱ ὑποχρεώ-

2. Ματθ. 15,21-27.

σεις τῆς χήρας γυναίκας, ἡ ἀνατροφὴ τῶν παιδιῶν, καὶ ἡ ἐλεημοσύνη. Στὴν ἀρχὴ τῆς ὁμιλίας τονίζει πὼς ἡ χηρεία εἶναι ἀξίωμα καὶ τιμὴ καὶ πολὺ μεγάλη δόξα, καὶ ἀναπτύσσει μὲ πολλὰ τὴ δύναμη καὶ τὴν ἀξία τῆς χηρείας. Ἡ χήρα γυναίκα, ἐλεύθερη ἀπὸ τὰ βιοτικὰ πράγματα, βαδίζει πρὸς τὸν οὐρανό. Συνεχίζοντας τονίζει τὴν ἀνωτερότητα τοῦ πρώτου γάμου, χωρὶς καὶ ν' ἀποκλείει τὸ δεύτερο, καὶ προτρέπει τὶς γυναῖκες νὰ ἀρκοῦνται στὸν πρῶτο γάμο. Ἔπειτα ἀναπτύσσει τὸ πραγματικὸ νόημα τῆς χηρείας καὶ παραγγέλλει νὰ περισσεύει ἡ χήρα σὲ ἔργα ἀγαθά, σὲ ἐλεημοσύνη καὶ φιλανθρωπία, καὶ στὴν περιποίηση τῶν ξένων. Στὴ συνέχεια μιλάει γιὰ τὴν ἀνατροφὴ τῶν παιδιῶν, καλεῖ τοὺς πιστοὺς νὰ σωφρονίζουν καθημερινὰ τὰ παιδιά τους, φέρνοντας τὸ παράδειγμα τοῦ Ἰώβ, τοῦ Ἀβραὰμ καὶ τοῦ Δαβίδ, καὶ νὰ ἀφήσουν σ' αὐτὰ σὰν κληρονομία τὸ φόβο τοῦ Θεοῦ ποὺ εἶναι μεγάλος πλοῦτος καὶ θησαυρὸς ποὺ δὲν ἀφανίζεται. Μιλώντας ἔπειτα γιὰ τὴν ἐλεημοσύνη καὶ τὴ φιλοξενία παρατηρεῖ πὼς γιὰ τὴν ἄσκηση τῶν ἀρετῶν αὐτῶν δὲν ἀπαιτεῖται πλοῦτος χρημάτων, ἀλλὰ πλοῦτος διάθεσης, καὶ τελειώνει ἀναφέροντας τὰ καλὰ τῆς ἐλεημοσύνης.

Τὸ κείμενο τῆς ὁμιλίας αὐτῆς, καθὼς καὶ τῶν τριῶν ὁμιλιῶν ποὺ ἀκολουθοῦν, εἶναι ἀπὸ τὴν ἔκδοση τοῦ B. de Montfaucon.

Στὴν ὁμιλία του στὴν ἀποστολικὴ ρήση, *«Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν κατὰ πρόσωπον αὐτῷ ἀντέστην», Γαλ. 2,11-14*, καὶ στὸν πρόλογο αὐτῆς ὁ ἱερὸς πατέρας δικαιολογεῖ τὴν ἀπουσία του ἀπὸ τὴν προηγούμενη σύναξη, καλεῖ τοὺς πιστοὺς νὰ τὸν παρακολουθήσουν μὲ προσοχὴ καὶ θέτει τὸ θέμα τῆς ὁμιλίας. Ἑρμηνεύοντας τὴν ἀποστολικὴ αὐτὴ ρήση, ποὺ ἀναφέρεται στὸ ἐπεισόδιο ἀνάμεσα στὸν Παῦλο καὶ τὸν Πέτρο, σημειώνει πὼς τὸ περιστατικὸ φανερώνει τὴ μεγάλη σύνεση τῶν δύο ἀποστόλων καὶ τὴ μεταξύ τους ἀγάπη. Ἔπειτα μιλάει γιὰ τὴν παρρησία καὶ τὴν ἀνδρεία ποὺ ἔδειξε ὁ Πέτρος πρὶν καὶ μετὰ τὴ σταύρωση καὶ τὴν ἀνάσταση τοῦ Χριστοῦ.

Ἐπίσης μιλάει γιὰ τὴ φιλικὴ διάθεση τοῦ Παύλου ἔναντι ὅλων τῶν ἀποστόλων καὶ ἰδιαίτερα ἔναντι τοῦ Πέτρου. Στὴ συνέχεια λέγει πὼς ὁ Χριστὸς ἀνέθεσε τοὺς ἐξ Ἰουδαίων Χριστιανοὺς στὸν Πέτρο καὶ τοὺς ἐξ ἐθνικῶν στὸν Παῦλο, ἐξηγεῖ γιὰ ποιό λόγο καὶ ἀναφέρει τὴ συμπεριφορά τους ἀπέναντι σὲ Ἰουδαίους καὶ ἐθνικούς. Ἔπειτα ἀναφέρεται στὸ ἱστορικὸ τῆς φαινομενικῆς φιλονεικίας, ἀπορρίπτει τὴν ἄποψη ὅτι δὲν πρόκειται γιὰ τὸν ἀπόστολο Πέτρο καὶ καταλήγει μὲ τὴ διατύπωση τῆς δικῆς του γνώμης, ὅτι πρόκειται γιὰ προσποιητὴ ἐπιτίμηση.

Στὴν ὁμιλία του στὴν εὐαγγελικὴ ρήση, *«Οὐδέποτε ἀφ' ἑαυτοῦ ποιεῖ ὁ Υἱὸς οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα», Ἰω. 5,19*, καὶ στὸ προοίμιο αὐτῆς ὁ ἱερὸς Χρυσόστομος καλεῖ τοὺς ἀκροατές του νὰ τὸν παρακολουθήσουν μὲ προσοχὴ καὶ σημειώνει πὼς δὲν ἀρκεῖ ἡ ἀνάγνωση τῆς Γραφῆς, ἀλλὰ χρειάζεται καὶ ἡ γνώση καὶ ἑρμηνεία της. Ἑρμηνεύοντας στὴ συνέχεια τὸ χωρίο αὐτὸ χρησιμοποιεῖ παραδείγματα ἀπὸ τοὺς ἀνθρώπους, συλλογισμοὺς καὶ μαρτυρίες ἄλλες τῆς Γραφῆς. Ἔπειτα μιλάει γιὰ τὰ ἀγαθὰ ποὺ πλημμύρισαν τὴν οἰκουμένη μετὰ τὴ σταύρωση τοῦ Μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ἀναφερόμενος στὸν Υἱὸ καὶ Λόγο τοῦ Θεοῦ λέγει πὼς ἐνεργεῖ τὰ πάντα, νομοθεσία, θαύματα, συγχώρηση ἁμαρτιῶν, καὶ πὼς θὰ κρίνει τοὺς ἀνθρώπους ἔχοντας δική του δύναμη καὶ ἐξουσία. Τελειώνοντας παρατηρεῖ ὅτι τὸ χωρίο δὲν εἶναι ἀπόδειξη ἀδυναμίας τοῦ Υἱοῦ ἀλλὰ δύναμης, μαρτυρία συμφωνίας καὶ στενῆς συγγένειας καὶ σημεῖο ὁμοιότητας τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα.

Ἡ τελευταία ὁμιλία αὐτὴ τοῦ τόμου καὶ ποὺ ἀναφέρεται στὸ ἀποστολικὸ ρητό, *«Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἔσονται καιροὶ χαλεποί», Β' Τιμ. 3,1*, ἀναφέρεται στὶς συμφορὲς ποὺ θὰ συσσωρευθοῦν κατὰ τὸ τέλος τῆς παρούσας ζωῆς. Στὰ δύο πρῶτα μέρη τῆς ὁμιλίας ὁ Χρυσόστομος τονίζει τὴ μεγάλη δύναμη τῆς πίστης ποὺ βλέπει ὅσα δὲ φαίνονται, παρουσιάζει τὸν Ἀβραὰμ ὡς παράδειγμα πίστης καὶ ὑπογραμμίζει ὅτι ἡ πίστη «εἶναι ἰσχυρὸ στήριγμα καὶ λιμάνι ἀσφαλές, γιατὶ

ἀπαλλάσσει ἀπὸ τὴν πλάνη τῶν λογισμῶν καὶ ὁδηγεῖ τὴν ψυχὴ σὲ ἡσυχία». Στὴ συνέχεια θέτει τὸ θέμα τῆς ὁμιλίας του, ποὺ εἶναι τὸ παραπάνω χωρίο, καὶ ἐπισημαίνει ὅτι οἱ ἅγιοι ἐνδιαφέρονται ὄχι μόνο γιὰ τοὺς ἀνθρώπους τῆς ἐποχῆς τους, ἀλλὰ καὶ γιὰ τὶς μεταγενέστερες γενεές. Ἔπειτα παρουσιάζει πρῶτα τὸν Πέτρο καὶ ὕστερα τὸν Παῦλο ὡς παράδειγμα στοργικῶν ποιμένων ποὺ ἐνδιαφέρονται καὶ γιὰ τὰ μελλοντικὰ καὶ τονίζει ὅτι οἱ πιστοὶ ἀποτελοῦν ἕνα σῶμα ποὺ οὔτε ὁ χρόνος οὔτε ὁ τόπος μπορεῖ νὰ τὸ χωρίσει, γιατὶ εἶναι δεμένοι μεταξύ τους μὲ τοὺς δεσμοὺς τῆς ἀγάπης. Ἀπαντώντας στὸ ἐρώτημα, γιὰ ποιό λόγο οἱ συμφορὲς θὰ συσσωρευθοῦν στὸ τέλος τῆς παρούσας ζωῆς, λέγει ὅτι εἶναι οἱ τιμωρίες τῶν ἁμαρτιῶν καὶ τὰ φάρμακα τῶν ἀσθενειῶν τοῦ ἀνθρώπου. Τὸ τέλος εἶναι ἄγνωστο γιὰ νὰ μᾶς κρατάει ξάγρυπνους καὶ νὰ ἔχουμε συνεχῶς ἀναμμένο τὸ φῶς τῆς πίστης καὶ τῆς ὀρθῆς μας ζωῆς. Τελειώνει τὴν ὁμιλία λέγοντας πὼς ἐπιθυμία του εἶναι ν' ἀπολαμβάνει τὴν ἀγάπη τοῦ ποιμνίου του.

ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΕΙΣ ΤΟ

«ΑΣΠΑΣΑΣΘΕ ΠΡΙΣΚΙΛΛΑΝ ΚΑΙ ΑΚΥΛΛΑΝ»



ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΕΙΣ ΤΟ

«ΑΣΠΑΣΑΣΘΕ ΠΡΙΣΚΙΛΛΑΝ ΚΑΙ ΑΚΥΛΛΑΝ»

1. Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν ἐπὶ τὴν περικοπὴν τῆς ἀποστολικῆς ἀναγνώσεως ταύτης, μᾶλλον δὲ πάρεργον ἡγεῖσθαι καὶ περιττὸν τοῦτο τῆς ἐπιστολῆς τὸ μέρος, διὰ τὸ προσρήσεις ἔχειν μόνον συνεχεῖς καὶ ἐπαλλήλους. Διὸ δὴ καὶ αὐτὸς ἑτέρωσε τήμερον ὡρμημένος, ἀποστὰς ἐκείνης τῆς ὑποθέσεως, εἰς ταύτην καθεῖναι παρασκευάζομαι, ἵνα μάθητε, ὅτι τῶν θείων Γραφῶν οὐδὲν περιττόν, οὐδὲν πάρεργόν ἐστι, κἂν ἰῶτα ἕν, κἂν μία κεραία ᾖ, ἀλλὰ καὶ ψιλὴ πρόσρησις πολὺ πέλαγος ἡμῖν ἀνοίγει νοημάτων. Καὶ τί λέγω ψιλὴ πρόσρησις; Πολλάκις καὶ ἑνὸς στοιχείου προσθήκη ὁλόκληρον νοημάτων εἰσήγαγε δύναμιν. Καὶ τοῦτο ἐπὶ τῆς τοῦ Ἀβραὰμ προσηγορίας ἔστιν ἰδεῖν. Πῶς γὰρ οὐκ ἄτοπον παρὰ φίλου μὲν ἐπιστολὴν δεχόμενον μὴ τὸ σῶμα τῆς ἐπιστολῆς ἀναγινώσκειν μόνον, ἀλλὰ καὶ τὴν κάτω κειμένην πρόσρησιν, κἀκεῖθεν μάλιστα στοχάζεσθαι τὴν τοῦ γεγραφότος διάθεσιν, Παύλου δὲ γράφοντος, μᾶλλον δὲ οὐ τοῦ Παύλου, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος τὴν ἐπιστολὴν ὑπαγορευούσης ὁλοκλήρῳ πόλει καὶ δήμῳ τοσούτῳ καὶ δι' ἐκείνων τῇ οἰκουμένῃ πάσῃ, νομίζειν περιττόν τι εἶναι τῶν ἐγκειμένων καὶ παρατρέχειν ἁπλῶς καὶ μὴ ἐννοεῖν, ὅτι ταῦτα πάντα τὰ ἄνω κάτω πεποίηκε;

Τοῦτο γάρ ἐστι, τοῦτο, ὃ πολλῆς ῥᾳθυμίας ἡμᾶς ἐνέπλησε,

---

1. Βλ. Γεν. 17,5.



ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΣΤΟ

«ΧΑΙΡΕΤΗΣΤΕ ΤΗΝ ΠΡΙΣΚΙΛΛΑ ΚΑΙ ΤΟΝ ΑΚΥΛΑ»

1. Σκέπτομαι πὼς πολλοὶ ἀπὸ σᾶς ἀπορεῖτε γιὰ τὴν περικοπὴ αὐτοῦ τοῦ ἀποστολικοῦ ἀναγνώσματος, ἢ καλύτερα θεωρεῖτε ἀσήμαντο καὶ περιττὸ αὐτὸ τὸ μέρος τῆς ἐπιστολῆς, γιατὶ ἔχει μόνο χαιρετισμοὺς συνέχεια καὶ μάλιστα τὸν ἕνα ὕστερα ἀπὸ τὸν ἄλλο. Γι' αὐτὸ λοιπὸν καὶ ἐγώ, ξεκινώντας ἀπὸ ἀλλοῦ σήμερα, ἄφησα ἐκεῖνο τὸ θέμα καὶ ἑτοιμάζομαι ν' ἀσχοληθῶ μ' αὐτό, γιὰ νὰ μάθετε ὅτι ἀπὸ τὶς θεῖες Γραφὲς τίποτε δὲν εἶναι περιττὸ οὔτε ἀσήμαντο, ἔστω καὶ ἂν εἶναι ἕνα γιῶτα ἢ μιὰ ὀξεία, ἀλλὰ καὶ ἕνας ἁπλὸς χαιρετισμὸς μᾶς ἀνοίγει μεγάλο πέλαγος νοημάτων. Καὶ γιατί λέγω ἕνας ἁπλὸς χαιρετισμός; Πολλὲς φορὲς καὶ ἡ προσθήκη ἑνὸς γράμματος πρόσφερε ὁλόκληρη δύναμη νοημάτων. Καὶ αὐτὸ μπορεῖ νὰ τὸ δεῖ κανεὶς στὸ ὄνομα τοῦ Ἀβραάμ[1]. Γιατὶ πῶς δὲν εἶναι παράλογο, ὅταν παίρνει κανεὶς ἐπιστολὴ ἀπὸ φίλο νὰ μὴ διαβάζει μόνο τὸ κύριο μέρος τῆς ἐπιστολῆς ἀλλὰ καὶ τὸ χαιρετισμὸ ποὺ βρίσκεται στὸ τέλος, καὶ ἀπὸ ἐκεῖ μάλιστα νὰ συμπεραίνει τὴ διάθεση ἐκείνου ποὺ τὴν ἔγραψε, ὅταν ὅμως γράφει ὁ Παῦλος, ἢ καλύτερα ὄχι ὁ Παῦλος, ἀλλ' ὅταν ἡ χάρη τοῦ Πνεύματος ὑπαγορεύει τὴν ἐπιστολὴ σ' ὁλόκληρη πόλη καὶ τόσο λαὸ καὶ μέσω ἐκείνων σὲ ὅλη τὴν οἰκουμένη, νὰ θεωρεῖ πὼς εἶναι περιττὸ κάτι ἀπὸ τὰ περιεχόμενα καὶ νὰ τὸ προσπερνάει ἐπιπόλαια καὶ νὰ μὴν καταλαβαίνει ὅτι ὅλα αὐτὰ ἔκαναν τὰ πάντα ἄνω κάτω;

Γιατὶ αὐτό, πραγματικὰ αὐτὸ εἶναι ποὺ μᾶς γέμισε πολλὴ

τὸ μὴ πάσας ἐπιέναι τὰς Γραφάς, ἀλλ' ἃ νομίζομεν εἶναι σαφέστερα, ταῦτα ἐκλεγομένους, τῶν ἄλλων μηδένα ποιεῖσθαι λόγον. Τοῦτο καὶ τὰς αἱρέσεις εἰσήγαγε, τὸ μὴ βούλεσθαι ἅπαν ἐπιέναι τὸ σῶμα, τὸ νομίζειν εἶναί τι περιττὸν καὶ πάρεργον. Διὰ τοῦτο τὰ μὲν ἄλλα ἅπαντα ἡμῖν διεσπούδασται, οὐχὶ τὰ περιττὰ μόνον, ἀλλὰ καὶ τὰ ἀνόητα καὶ βλαβερά, τῶν Γραφῶν δὲ ἡ ἐμπειρία ἠμέληται καὶ παρῶπται· καὶ οἱ μὲν πρὸς τὴν θεωρίαν τῆς τῶν ἵππων ἁμίλλης ἐπτοημένοι καὶ ὀνόματα καὶ ἀγέλην καὶ γένος καὶ πατρίδα καὶ ἀνατροφὴν τῶν ἵππων ἔχουσιν εἰπεῖν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἔτη ζωῆς καὶ ἐνεργείας δρόμων, καὶ τίς τίνι συνταττόμενος τὴν νίκην ἁρπάσεται, καὶ ποῖος ἵππος ἐκ ποίας ἀφεθεὶς βαλβῖδος καὶ τίνα ἔχων ἡνίοχον περιέσται τοῦ δρόμου καὶ τὸν ἀντίτεχνον παραδραμεῖται. Καὶ οἱ περὶ τὴν ὀρχήστραν δὲ ἐσχολακότες οὐκ ἐλάττω τούτων, ἀλλὰ καὶ πλείω μανίαν περὶ τοὺς ἐν τοῖς θεάτροις ἀσχημονοῦντας ἐπιδείκνυνται, μίμους λέγω καὶ ὀρχηστρίας καὶ γένος αὐτῶν καὶ πατρίδα καὶ ἀνατροφὴν καὶ τὰ ἄλλα πάντα καταλέγοντες· ἡμεῖς δὲ ἐρωτώμενοι, ὁπόσαι καὶ τίνες εἰσὶν αἱ Παύλου ἐπιστολαί, οὐδὲ τὸν ἀριθμὸν ἴσμεν εἰπεῖν. Εἰ δέ τινες καὶ εἶεν τὸν ἀριθμὸν ἐπιστάμενοι, ἀλλὰ τὰς πόλεις, αἳ τὰς ἐπιστολὰς ἐδέξαντο, ταύτας ἐρωτώμενοι διαποροῦσι πρὸς τὴν ἐρώτησιν. Καὶ ἄνθρωπος μὲν εὐνοῦχος καὶ βάρβαρος, μυρίαις φροντίσιν ὑπὸ μυρίων ἑλκόμενος πραγμάτων, οὕτω προσέκειτο βιβλίοις, ὡς μηδὲ κατὰ τὸν καιρὸν τῆς ὁδοιπορίας ἡσυχάζειν, ἀλλ' ἐπ' ὀχήματος καθήμενος ἐγκεῖσθαι μετὰ πολλῆς τῆς ἀκριβείας τῇ τῶν θείων Γραφῶν ἀναγνώσει· ἡμεῖς δὲ οὐδὲ τὸ πολλοστὸν μέρος τῆς ἀσχολίας ἔχοντες τῆς ἐκείνου, καὶ πρὸς τὰ ὀνόματα τῶν ἐπιστολῶν ξενιζόμεθα, καὶ ταῦτα καθ' ἑκάστην κυριακὴν ἐνταῦθα συλλεγόμενοι καὶ θείας ἀπολαύοντες ἀκροάσεως.

Ἀλλὰ γὰρ ἵνα μὴ μόνον εἰς ἐπιτίμησιν τὸν λόγον ἀναλώ-

---

2. Βλ. Πράξ. 8,27–40.

ἀδιαφορία, τὸ ὅτι δηλαδὴ δὲν ἐξετάζουμε μὲ ἀκρίβεια τὶς Γραφές, ἀλλ' ἀφοῦ διαλέγουμε αὐτὰ ποὺ θεωροῦμε πὼς εἶναι σαφέστερα, γιὰ τὰ ἄλλα δὲν κάνουμε κανένα λόγο. Αὐτὸ εἰσήγαγε καὶ τὶς αἱρέσεις, τὸ νὰ μὴ θέλουμε νὰ ἐξετάσουμε ὅλο τὸ σῶμα, τὸ νὰ θεωροῦμε πὼς ὑπάρχει κάτι περιττὸ καὶ ἀσήμαντο. Γι' αὐτὸ ὅλα τὰ ἄλλα τὰ φροντίζουμε πάρα πολύ, ὄχι τὰ περιττὰ μόνο, ἀλλὰ καὶ τὰ ἀνώφελα καὶ βλαβερά, ἐνῶ ἔχουμε παραμελήσει καὶ παραβλέψει τὴ γνώση τῶν Γραφῶν. Καὶ ὅσοι συγκινοῦνται ἀπὸ τὸ θέαμα τῶν ἱπποδρομιῶν μποροῦν νὰ ποῦν μὲ κάθε ἀκρίβεια καὶ γιὰ τὰ ὀνόματα, τὴν ἀγέλη, τὸ γένος, τὴν πατρίδα καὶ τὴν ἐκπαίδευση τῶν ἀλόγων, γιὰ τὴν ἡλικία τους καὶ γιὰ τοὺς ἀγῶνες τους, καὶ σὲ ποιό στηριζόμενος κανεὶς μπορεῖ γιὰ νὰ κερδίσει τὴ νίκη, καὶ ποιό ἄλογο ἀπὸ ποιὰ ἀφετηρία ξεκινώντας καὶ ποιόν ἔχοντας ἀναβάτη θὰ νικήσει στὸ δρόμο καὶ θὰ ξεπεράσει τὸν ἀντίπαλο.

Καὶ ὅσοι ἀσχολοῦνται μὲ τὴ σκηνή, ὄχι λιγότερη ἀπ' αὐτοὺς ἀλλὰ περισσότερη μανία δείχνουν γι' αὐτοὺς ποὺ ἀσχημονοῦν στὰ θέατρα, ἐννοῶ τοὺς ἠθοποιοὺς καὶ τὶς χορεύτριες, ἀναφέροντας καὶ τὴν καταγωγή τους καὶ τὴν πατρίδα τους καὶ τὴν ἐκπαίδευσή τους καὶ ὅλα τὰ ἄλλα. Ἐμεῖς ὅμως, ὅταν μᾶς ἐρωτοῦν πόσες καὶ ποιές εἶναι οἱ ἐπιστολὲς τοῦ Παύλου, οὔτε τὸν ἀριθμό τους ξέρουμε νὰ ποῦμε. Καὶ ἂν μερικοὶ γνωρίζουν τὸν ἀριθμό, ὅταν τοὺς ἐρωτοῦν γιὰ τὶς πόλεις ποὺ ἔλαβαν τὶς ἐπιστολές, δὲν ξέρουν ν' ἀπαντήσουν στὴν ἐρώτηση. Ἀντίθετα κάποιος εὐνοῦχος καὶ βάρβαρος, ἂν καὶ εἶχε ἄπειρες φροντίδες γιὰ ἄπειρα πράγματα, τόσο ἀσχολοῦνταν μὲ τὰ βιβλία, ὥστε οὔτε καὶ κατὰ τὴ ὥρα τοῦ ταξιδιοῦ του δὲν ἡσύχαζε, ἀλλὰ καθισμένος ἐπάνω στὴν ἄμαξα εἶχε συγκεντρωμένη ὅλη τὴν ἀφοσίωση καὶ τὴν προσοχή του στην ἀνάγνωση τῶ θείων Γραφῶν[2]. Ἐμεῖς ὅμως, ἂν καὶ δὲν ἔχουμε οὔτε τὸ ἐλάχιστο μέρος ἀπὸ τὴν ἀσχολία ἐκείνου, παραξενευόμαστε καὶ ἀπὸ τὰ ὀνόματα τῶν ἐπιστολῶν, καὶ αὐτὸ παρ' ὅλο ποὺ συγκεντρωνόμαστε ἐδῶ κάθε Κυριακὴ καὶ ἀπολαμβάνουμε θεία ἀκρόαση.

Ἀλλ' ὅμως γιὰ νὰ μὴν ξοδέψουμε τὸ λόγο μόνο γιὰ ἐπιτί-

σωμεν, φέρε τὴν πρόσρησιν αὐτὴν τὴν δοκοῦσαν εἶναι περιττὴν καὶ παρενοχλεῖν εἰς μέσον ἀγάγωμεν. Ἀναπτυσσομένης γὰρ αὐτῆς καὶ δεικνυμένου τοῦ κέρδους ὅσον παρέχει τοῖς προσέχουσιν αὐτῇ μετὰ ἀκριβείας, τότε μείζων ἔσται κατηγορία τοῖς ἀμελοῦσι τοσούτων θησαυρῶν καὶ τὸν πνευματικὸν ἀπὸ τῶν χειρῶν ῥίπτουσι πλοῦτον. Τίς οὖν ἐστιν ἡ πρόσρησις; «Ἀσπάζεσθε» φησί, «Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ». Ἆρα οὐ δοκεῖ ψιλή τις εἶναι πρόσρησις καὶ μηδὲν μέγα μηδὲ γενναῖον ἡμῖν ἐνδείκνυσθαι; Φέρε οὖν εἰς αὐτὴν μόνην ἅπασαν τὴν διάλεξιν ἀναλώσωμεν, μᾶλλον δὲ οὐδὲ ἀρκέσομεν σήμερον τὰ ἐγκείμενα ἅπαντα τοῖς ὀλίγοις τούτοις ῥήμασιν ἀνιμήσασθαι σπουδάσαντες ὑμῖν νοήματα, ἀλλὰ ἀνάγκη καὶ εἰς ἑτέραν ὑμῖν ἡμέραν ταμιευθῆναι τὴν τῶν θεωρημάτων περιουσίαν, τῶν τικτομένων ἀπὸ τῆς ὀλίγης ταύτης προσρήσεως. Οὐδὲ γὰρ ἅπασαν αὐτὴν ἐπελθεῖν παρασκευάζομαι, ἀλλὰ μέρος αὐτῆς καὶ ἀρχὴν καὶ προοίμιον μόνον· «ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν».

2. Πρῶτόν ἐστιν ἐκπλαγῆναι τοῦ Παύλου τὴν ἀρετήν, ὅτι τὴν οἰκουμένην ἅπασαν ἐγκεχειρισμένος καὶ γῆν καὶ θάλατταν καὶ τὰς ὑφ' ἡλίῳ πόλεις ἁπάσας καὶ βαρβάρους καὶ Ἕλληνας καὶ δήμους τοσούτους ἐν ἑαυτῷ περιφέρων, ἑνὸς ἀνδρὸς καὶ μιᾶς γυναικὸς τοσαύτην ἐποιεῖτο φροντίδα· καὶ δεύτερον τοῦτο θαυμάσαι, πῶς ἄγρυπνόν τε καὶ μεμεριμνημένην εἶχε ψυχήν, οὐχὶ κοινῇ πάντων μόνον, ἀλλὰ καὶ ἰδίᾳ μεμνημένος ἑκάστου τῶν δοκίμων καὶ γενναίων. Νῦν μὲν γὰρ οὐδὲν θαυμαστὸν τοὺς τῶν ἐκκλησιῶν προεστῶτας τοῦτο ποιεῖν, τῷ καὶ τοὺς θορύβους κατεστάλθαι ἐκείνους καὶ μιᾶς πόλεως ἀναδεδέχθαι πρόνοιαν μόνον· τότε δὲ οὐ τὸ τῶν κινδύνων μέγεθος μόνον, ἀλλὰ καὶ τὸ τῆς ὁδοῦ διάστημα καὶ τὸ τῶν φροντίδων πλῆθος καὶ τὰ ἐπάλληλα κύματα καὶ τὸ μὴ συνεχῶς ἅπασιν ἐπιχωριάζειν ἀεὶ καὶ

3. Ρωμ. 16,3.

μηση, ἐμπρὸς ἂς φέρουμε στὴ μέση πρὸς ἐξέταση τὸ χαιρετισμὸ αὐτὸν ποὺ φαίνεται πὼς εἶναι περιττὸς καὶ παρενοχλεῖ. Γιατὶ ἀφοῦ ἀναπτυχθεῖ αὐτὸς καὶ δειχθεῖ πόσο κέρδος παρέχει σ' αὐτοὺς ποὺ τὸ προσέχουν μὲ ἀκρίβεια, τότε θὰ γίνει μεγαλύτερη ἡ κατηγορία γιὰ ἐκείνους ποὺ ἀμελοῦν τόσο μεγάλους θησαυροὺς καὶ πετοῦν ἀπὸ τὰ χέρια τους τὸν πνευματικὸ πλοῦτο. Ποιός λοιπὸν εἶναι ὁ χαιρετισμός; «Χαιρετῆστε», λέει, «τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα, τοὺς συνεργάτες μου στὸ ἔργο τοῦ Κυρίου»[3]. Ἄραγε δὲ φαίνεται πὼς εἶναι ἕνας ἁπλὸς χαιρετισμός, χωρὶς νὰ μᾶς φανερώνει τίποτε τὸ μεγάλο καὶ σπουδαῖο; Ἐμπρὸς λοιπὸν ἂς ἀφιερώσω σ' αὐτὸν μόνο ὅλη τὴν ὁμιλία μου, ἢ καλύτερα δὲ θὰ κατορθώσω σήμερα, ὅσο καὶ ἂν προσπαθήσω, νὰ ἀνασύρω γιὰ σᾶς ὅλα τὰ νοήματα ποὺ βρίσκονται μέσα στὰ λίγα αὐτὰ λόγια, ἀλλ' εἶναι ἀνάκη καὶ γιὰ ἄλλη ἡμέρα νὰ σᾶς φυλάξω τὸν πλοῦτο τῶν ἐννοιῶν ποὺ γεννιοῦνται ἀπὸ τὸν σύντομο αὐτὸν χαιρετισμό. Οὔτε βέβαια ἑτοιμάζομαι νὰ τὸν ἐξετάσω ὁλόκληρο, ἀλλὰ ἕνα μέρος του καὶ μάλιστα τὴν ἀρχὴ καὶ τὸ προοίμιό του μόνο· «χαιρετῆστε τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα».

2. Πρῶτα πρέπει νὰ θαυμάσουμε τὴν ἀρετὴ τοῦ Παύλου, γιατὶ ἂν καὶ εἶχε ἀναλάβει ὁλόκληρη τὴν οἰκουμένη καὶ περιέφερε μαζί του καὶ γῆ καὶ θάλασσα καὶ ὅλες τὶς πόλεις τῆς ὑφηλίου καὶ βαρβάρους καὶ Ἕλληνες καὶ τόσο πολλοὺς λαούς, ἔδειχνε τόσο μεγάλη φροντίδα γιὰ ἕναν ἄνδρα καὶ μιὰ γυναίκα. Καὶ ὕστερα ἂς θαυμάσουμε καὶ αὐτό, πῶς δηλαδὴ εἶχε ἄγρυπνη καὶ γεμάτη μέριμνα ψυχή, ἐνθυμούμενος ὄχι μόνο ὅλους μαζὶ ἀλλὰ καὶ ἰδιαίτερα τὸν καθένα ἀπὸ τοὺς δοκιμασμένους καὶ γενναίους. Τώρα βέβαια δὲν εἶναι καθόλου θαυμαστὸ νὰ τὸ κάνουν αὐτὸ οἱ προιστάμενοι τῶν Ἐκκλησιῶν, ἀφοῦ ἔχουν ἠρεμήσει οἱ ταραχὲς ἐκεῖνες καὶ ἔχουν ἀναλάβει τὴ φροντίδα μόνο μιᾶς πόλης, τότε ὅμως ὄχι μόνο τὸ μέγεθος τῶν κινδύνων, ἀλλὰ καὶ ἡ ἀπόσταση τοῦ δρόμου καὶ τὸ πλῆθος τῶν φροντίδων καὶ τὰ ἀδιάκοπα κύματα καὶ τὸ ὅτι δὲν μποροῦσαν νὰ βρίσκονται συνεχῶς μὲ ὅλους πάντοτε καὶ πολλὰ ἄλλα περισσότερα ἀπ'

πολλὰ ἕτερα πλείονα τούτων, ἱκανὰ τῆς μνήμης ἐκβαλεῖν καὶ τοὺς σφόδρα ἐπιτηδείους. Ἀλλ' οὐκ ἐξέβαλε τούτους. Πῶς οὖν οὐκ ἐξεβλήθησαν; Διὰ τὴν τοῦ Παύλου μεγαλοψυχίαν καὶ τὴν θερμὴν αὐτοῦ καὶ γνησίαν ἀγάπην. Οὕτω γὰρ αὐτοὺς εἶχεν ἐν διανοίᾳ, ὡς καὶ ἐν ἐπιστολαῖς αὐτῶν μεμνῆσθαι πολλάκις.

Ἀλλ' ἴδωμεν τίνες καὶ ὁποῖοι ἦσαν οὗτοι, οἱ τὸν Παῦλον οὕτω χειρωσάμενοι καὶ πρὸς τὸν οἰκεῖον ἐπισπασάμενοι πόθον. Ἆρα ὕπατοί τινες καὶ στρατηγοὶ ἦσαν καὶ ὕπαρχοι ἢ ἄλλην τινὰ περιφάνειαν κεκτημένοι ἢ πλοῦτον πολὺν περιβεβλημένοι καὶ τῶν τὴν πόλιν ἀγόντων; Οὐδὲν τούτων ἔστιν εἰπεῖν, ἀλλὰ τοὐναντίον ἅπαν, πτωχοὶ καὶ πένητες καὶ ἐκ τῆς τῶν χειρῶν ἐργασίας ζῶντες. «Ἦσαν» γάρ, φησί, «σκηνοποιοὶ τῇ τέχνῃ»· καὶ οὐκ ᾐσχύνετο ὁ Παῦλος οὐδὲ ὄνειδος εἶναι ἐνόμιζε βασιλικωτάτῃ πόλει καὶ δήμῳ μέγα φρονοῦντι, κελεύων τοὺς χειροτέχνας ἐκείνους ἀσπάζεσθαι, οὐδὲ καθυβρίζειν αὐτοὺς ἡγεῖτο τῇ πρὸς ἐκείνους φιλίᾳ· οὕτως ἦν ἅπαντας πεπαιδευκὼς τότε φιλοσοφεῖν. Καίτοι γε ἡμεῖς πολλάκις συγγενεῖς ἔχοντες πενεστέρους ὀλίγῳ, τῆς πρὸς αὐτοὺς οἰκειότητος ἀλλοτριούμεθα καὶ ὄνειδος εἶναι νομίζομεν, εἰ φωραθείημέν ποτε ἐκείνοις προσήκοντες· ὁ δὲ Παῦλος οὐχ οὕτως ἀλλὰ καὶ ἐγκαλλωπίζεται τῷ πράγματι, καὶ οὐ τοῖς τότε μόνον ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι δῆλον ἐποίησεν, ὅτι εἰς τοὺς πρώτους αὐτῷ τὴν φιλίαν ἐτέλουν ἐκεῖνοι οἱ σκηνοποιοί.

Καὶ μή μοι λεγέτω τις, 'καὶ τί γὰρ μέγα καὶ θαυμαστὸν καὶ αὐτόν, ἀπὸ τῆς αὐτῆς ὄντα τέχνης, μὴ ἐπαισχύνεσθαι τοῖς ὁμοτέχνοις; Τί λέγεις; Τοῦτο γὰρ αὐτὸ μέγιστόν ἐστι καὶ θαυμαστόν. Οὐ γὰρ οὕτως οἱ προγόνων ἔχοντες εἰπεῖν περιφάνειαν ἐπαισχύνονται τοῖς καταδεεστέροις, ὡς οἱ γενόμενοί ποτε ἐπὶ τῆς αὐτῆς εὐτελείας, εἶτα ἀθρόον εἰς λαμπρότητά τινα καὶ περι-

4. Ὅπως εἶναι γνωστὸ ὁ Παῦλος ἀσκοῦσε τὴν τέχνη τοῦ σκηνοποιοῦ.

αὐτά, ἦταν ἱκανὰ νὰ τοὺς κάνουν νὰ ξεχάσουν ἀκόμη καὶ τοὺς πολὺ φίλους. Ἀλλ' ὅμως δὲν τοὺς ξέχασε αὐτούς. Πῶς λοιπὸν δὲν ξεχάσθηκαν; Ἐξ αἰτίας τῆς μεγαλοψυχίας τοῦ Παύλου καὶ τῆς θερμῆς καὶ τῆς γνήσιας ἀγάπης του. Γιατὶ τόσο τοὺς εἶχε στὴ σκέψη του, ὥστε καὶ στὶς ἐπιστολές του νὰ τοὺς θυμᾶται πολλὲς φορές.

Ἀλλὰ ἂς δοῦμε ποιοί καὶ τί εἴδους ἦταν αὐτοί, ποὺ τόσο αἰχμαλώτισαν τὸν Παῦλο καὶ ἀπέσπασαν τὸ δικό του πόθο. Μήπως ἦταν κάποιοι ὕπατοι καὶ στρατηγοὶ καὶ ὕπαρχοι ἢ εἶχαν κάποια ἄλλη σημαντικὴ θέση ἢ ἦταν κάτοχοι μεγάλου πλούτου καὶ ἀπὸ τοὺς ἄρχοντες τῆς πόλης; Τίποτε ἀπ' αὐτὰ δὲν μποροῦμε νὰ ποῦμε, ἀλλὰ ἐντελῶς τὸ ἀντίθετο, ἦταν φτωχοὶ καὶ ἄποροι καὶ κέρδιζαν τὴ ζωή τους ἀπὸ τὴν ἐργασία τῶν χεριῶν τους. Γιατὶ λέγει, «ἦταν σκηνοποιοὶ στὸ ἐπάγελμα». Καὶ δὲν ντρεπόταν ὁ Παῦλος οὔτε θεωροῦσε κακὸ πράγμα, προτρέποντας μιὰ πόλη τόσο τιμημένη ἀπὸ τὸν ἴδιο τὸ βασιλιὰ καὶ ἕνα λαὸ ποὺ εἶχε μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό του, νὰ χαιρετήσουν ἐκείνους τοὺς χειροτέχνες, οὔτε νόμιζε πὼς τοὺς προσβάλλει μὲ τὴ φιλία του πρὸς ἐκείνους· ἔτσι τοὺς εἶχε μάθει τότε ὅλους νὰ φιλοσοφοῦν. Ἂν καὶ βέβαια ἐμεῖς πολλὲς φορὲς ἔχοντας συγγενεῖς λίγο φτωχότερους ἀποξενωνόμαστε ἀπὸ τὴ συγγένειά τους καὶ θεωροῦμε πὼς εἶναι προσβολὴ ἂν ἀποδειχθεῖ κάποτε ὅτι εἴμαστε συγγενεῖς τους. Ὁ Παῦλος ὅμως δὲν ἔκαμνε αὐτό, ἀλλὰ καὶ καυχιέται γιὰ τὸ πράγμα καὶ ὄχι στοὺς τότε μόνο ἀλλὰ καὶ σὲ ὅλους τοὺς μεταγενέστερους ἔκαμε φανερὸ πὼς οἱ σκηνοποιοὶ ἐκεῖνοι ἦταν ἀπὸ τοὺς πρώτους φίλους του.

Καὶ ἂς μὴ μοῦ λέγει κάποιος, 'καὶ γιατί εἶναι σπουδαῖο καὶ θαυμαστὸ καὶ αὐτὸς ποὺ εἶχε τὴν ἴδια τέχνη νὰ μὴν ντρέπεται τοὺς ὁμοτέχνους του[4]; Τί λέγεις; Μὰ αὐτὸ ἀκριβῶς εἶναι τὸ πάρα πολὺ σπουδαῖο καὶ ἀξιοθαύμαστο. Γιατὶ δὲ ντρέπονται τοὺς κατωτέρους τους τόσο ἐκεῖνοι ποὺ μποροῦν νὰ ἀναφέρουν ἔνδοξους προγόνους, ὅσο ἐκεῖνοι ποὺ ὑπῆρξαν κάποτε τὸ ἴδιο ἀσήμαντοι καὶ ἔπειτα ξαφνικὰ ἀνέβηκαν σὲ κάποια λαμπρὴ καὶ

φάνειαν ἀναβάντες. Ὅτι δὲ Παύλου λαμπρότερον οὐδὲν ἦν οὐδὲ περιφανέστερον, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλέων ἐπισημότερος ἦν, παντί που δῆλόν ἐστιν. Ὁ γὰρ δαίμοσιν ἐπιτάττων καὶ νεκροὺς ἐγείρων καὶ ἐξ ἐπιτάγματος καὶ πηρῶσαι καὶ θεραπεῦσαι τοὺς πεπηρωμένους δυνάμενος, οὗ τὰ ἱμάτια καὶ αἱ σκιαὶ ἅπαν νοσημάτων εἶδος ἔλυον, εὔδηλον ὅτι οὐδὲ ἄνθρωπος λοιπὸν εἶναι ἐνομίζετο, ἀλλ' ἄγγελός τις ἐξ οὐρανοῦ καταβάς. Ἀλλ' ὅμως τοσαύτης ἀπολαύων δόξης καὶ πανταχου θαυμαζόμενος καὶ ὅπουπερ ἂν φανείη πάντας ἐπιστρέφων, οὐκ ἐπησχύνετο τὸν σκηνοποιὸν οὐδὲ ἐλαττοῦσθαι ἐνόμιζε τοὺς ἐν τοσούτοις ἀξιώμασιν ὄντας. Καὶ γὰρ εἰκὸς ἐν τῇ ἐκκλησίᾳ τῇ Ρωμαίων πολλοὺς εἶναι περιφανεῖς, οὓς ἠνάγκαζε τοὺς πτωχοὺς ἐκείνους ἀσπάσασθαι.

Ἤιδει γάρ, ᾔδει σαφῶς, ὅτι εὐγένειαν οὐ πλούτου περιφάνεια οὐδὲ χρημάτων περιουσία, ἀλλὰ τρόπων ἐπιείκεια ποιεῖν εἴωθεν· ὡς οἵ γε ταύτης μὲν ἀπεστερημένοι, ἀπὸ δὲ τῆς τῶν γεγεννηκότων αὐτοὺς δόξης μεγαλοφρονοῦντες, ὀνόματι μόνον εὐγενείας ψιλῷ ἀλλ' οὐχὶ πράγματι καλλωπίζονται· μᾶλλον δὲ αὐτὸ τὸ ὄνομα φωρᾶται πολλάκις, εἴ τις ἐπὶ τοὺς ἀνωτέρω προγόνους τῶν εὐγενῶν ἀναβαίη τούτων. Τὸν γὰρ περιφανῆ καὶ λαμπρὸν καὶ πατέρα ἔχοντα ἐπίσημον εἰπεῖν καὶ πάππον, ἂν μετὰ ἀκριβείας ἐξετάσῃς, πολλάκις εὑρήσεις ἐπίπαππον εὐτελῆ τινα καὶ ἀνώνυμον ἐσχηκότα· καθάπερ τῶν εὐτελῶν εἶναι δοκούντων ἂν τὸ γένος ἅπαν ἀναβαίνοντες κατὰ μικρὸν διερευνησώμεθα, ὑπάρχους καὶ στρατηγοὺς εὑρήσομεν αὐτῶν πολλάκις τοὺς ἀνωτέρω προγόνους καὶ εἰς ἱπποφορβοὺς καὶ συοφορβοὺς εὕροι τις ἂν γεγενημένους. Ἅπερ οὖν ἅπαντα Παῦλος εἰδώς, τούτων μὲν οὐ πολὺν ἐποιεῖτο λόγον, ψυχῆς δὲ εὐγένειαν ἐζήτει καὶ τοὺς ἄλλους ταύτην θαυμάζειν ἐπαίδευσεν. Οὐ μικρὸν οὖν τοῦτο

σημαντικὴ θέση. Καὶ ὅτι τίποτε δὲν ἦταν πιὸ λαμπρὸ καὶ πιὸ ἔνδοξο ἀπὸ τὸν Παῦλο, ἀλλὰ καὶ ὅτι ἀπὸ τοὺς ἴδιους τοὺς βασιλεῖς ἦταν πιὸ ὀνομαστός, εἶναι στὸν καθένα φανερό. Γιατὶ αὐτὸς ποὺ διέταζε δαίμονες καὶ ἀνάσταινε νεκροὺς καὶ μὲ μιὰ προσταγὴ μποροῦσε καὶ νὰ τυφλώσει καὶ νὰ θεραπεύσει τοὺς τυφλούς, τοῦ ὁποίου τὰ ἐνδύματα καὶ ἡ σκιά του θεράπευαν κάθε εἶδος ἀρρώστιας, εἶναι ὁλοφάνερο πὼς δὲ θεωροῦνταν τότε ἄνθρωπος ἀλλὰ κάποιος ἄγγελος ποὺ κατέβηκε ἀπὸ τὸν οὐρανό. 'Αλλ' ὅμως παρ' ὅλο ποὺ ἀπολάμβανε τόση δόξα καὶ θαυμαζόταν παντοῦ καὶ ὅπου ἂν ἐμφανιζόταν ὅλους τοὺς ἔφερνε στὴν πίστη, δὲν ντρεπόταν τὸ σκηνοποιὸ οὔτε θεωροῦσε πὼς μειώνονταν αὐτοὶ ποὺ εἶχαν τόσο μεγάλα ἀξιώματα. Γιατὶ βέβαια ἦταν φυσικὸ στὴν Ἐκκλησία τῆς Ρώμης νὰ ὑπῆρχαν καὶ πολλοὶ ἐπίσημοι, τοὺς ὁποίους ἀνάγκαζε νὰ χαιρετήσουν ἐκείνους τοὺς φτωχούς.

Γιατὶ ἤξερε, καὶ μάλιστα ἤξερε καλά, ὅτι τὴν εὐγένεια συνήθως δὲν τὴν κάνει ἡ λάμψη τοῦ πλούτου οὔτε ἡ ἀφθονία τῶν χρημάτων, ἀλλὰ ἡ εὐγένεια τῶν τρόπων, ἐνῶ αντίθετα ἐκεῖνοι ποὺ στεροῦνται αὐτὴν καὶ ὑπερηφανεύονται ἀπὸ τὴ δόξα τῶν γονέων τους, στολίζονται μόνο μὲ τὸ ἁπλὸ ὄνομα τῆς εὐγένειας καὶ ὄχι μὲ τὴν οὐσία τοῦ πράγματος· ἢ καλύτερα τὸ ἴδιο αὐτὸ τὸ ὄνομα ἀποκαλύπτεται πολλὲς φορὲς χωρὶς σημασία ἂν κανεὶς ἀνατρέξει στοὺς παλαιότερους προγόνους αὐτῶν τῶν εὐγενῶν. Γιατὶ ἂν μὲ προσοχὴ ἐξετάσεις τὸν ξακουστὸ καὶ λαμπρό, ποὺ μπορεῖ νὰ ἀναφέρει καὶ διάσημο πατέρα καὶ παππού, πολλὲς φορὲς θὰ βρεῖς νὰ ἔχει κάποιον προπάππο ἀσήμαντο καὶ ἀνώνυμο· ὅπως ἀκριβῶς ἂν ἐρευνήσουμε ὁλόκληρο τὸ γένος ἐκείνων ποὺ φαίνοναι ἀσήμαντοι, ἀνατρέχοντας στὸ παρελθὸν σιγὰ–σιγὰ θὰ βροῦμε πολλὲς φορὲς τοὺς παλαιότερους προγόνους τους νὰ ἦταν ὕπαρχοι καὶ στρατηγοὶ καὶ ποὺ κατάντησαν αὐτοὶ νὰ γίνουν ἱπποτρόφοι καὶ χοιροτρόφοι. Γνωρίζοντας λοιπὸν ὅλα αὐτὰ ὁ Παῦλος, δὲν ἔδινε μεγάλη σημασία γι' αὐτά, ἀλλὰ ζητοῦσε τὴν εὐγένεια τῆς ψυχῆς καὶ δίδαξε τοὺς ἄλλους αὐτὴ νὰ θαυμάζουν. Δὲν εἶναι λοιπὸν μικρὸ αὐτὸ ποὺ τώρα κερδίζου-

τέως ἐντεῦθεν καρπούμεθα, τὸ μηδενὶ τῶν εὐτελεστέρων ἐπαισχύνεσθαι, τὸ ψυχῆς ἀρετὴν ἐπιζητεῖν, τὸ πάντα τὰ ἔξωθεν ἡμῖν περικείμενα περιττὰ εἶναι νομίζειν καὶ ἀνόητα.

3. Ἔστι καὶ ἕτερον οὐκ ἔλαττον τούτου καρπώσασθαι κέρδος ἐντεῦθεν καὶ ὃ μάλιστα συνέχει ἡμῶν τὴν ζωὴν κατορθωθέν. Τί δὲ τοῦτό ἐστι; Τὸ μὴ κατηγορεῖν τοῦ γάμου μηδὲ νομίζειν ἐμπόδισμα εἶναι καὶ κώλυμα τῆς εἰς ἀρετὴν φερούσης ὁδοῦ τὸ γυναῖκα ἔχειν καὶ παῖδας τρέφειν καὶ οἰκίας προΐστασθαι καὶ τέχνην μεταχειρίζειν. Ἰδοὺ καὶ ἐνταῦθα ἀνὴρ ἦν καὶ γυνή, καὶ ἐργαστηρίων προειστήκεσαν καὶ τέχνην μεταχειρίζοντο καὶ τῶν ἐν μοναστηρίοις ζώντων ἀκριβεστέραν ἐπεδείξαντο πολλῷ τὴν φιλοσοφίαν. Πόθεν τοῦτο δῆλον; Ἀφ' ὧν προσεῖπεν αὐτοὺς ὁ Παῦλος, μᾶλλον δὲ οὐκ ἀφ' ὧν προσεῖπεν, ἀλλὰ καὶ ἀφ' ὧν μετὰ ταῦτα ἐμαρτύρησεν. Εἰπὼν γάρ, «ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν», προσέθηκεν αὐτῶν καὶ τὸ ἀξίωμα. Ποῖον δὴ τοῦτο; Οὐκ εἶπε 'τοὺς πλουσίους, τοὺς περιφανεῖς, τοὺς εὐπάτριδας'· ἀλλὰ τί; «Τοὺς συνεργούς μου ἐν Κυρίῳ». Τούτου δὲ οὐδὲν ἴσον εἰς ἀρετῆς γένοιτ' ἂν λόγον· καὶ οὐκ ἐντεῦθεν μονον, ἀλλὰ καὶ ἐξ ὧν παρ' αὐτοῖς ἔμεινεν, οὐχὶ ἡμέραν μίαν, δύο καὶ τρεῖς, ἀλλ' ἐνιαυτοὺς ὁλοκλήρους δύο, τὴν αὐτῶν ἔστιν ἀρετὴν ἰδεῖν.

Ὥσπερ γὰρ οἱ τῶν ἔξωθεν ἄρχοντες οὐκ ἂν ἕλοιντο παρ' εὐτελέσι καὶ ταπεινοῖς καταχθῆναί ποτε, ἀλλ' ἐπιζητοῦσι λαμπρὰς οἰκίας ἐπισήμων ἀνδρῶν τινων, ὥστε μὴ τὴν τῶν ὑποδεχομένων αὐτοὺς εὐτέλειαν τῷ μεγέθει τῆς ἀξίας λυμήνασθαι, οὕτω καὶ οἱ ἀπόστολοι ἐποίουν· οὐ πρὸς τυχόντας κατήγοντο, ἀλλ' ὥσπερ ἐκεῖνοι οἰκίας λαμπρότητα, οὕτω τῆς ψυχῆς ἀρετὴν ἐπεζήτουν οὗτοι, καὶ μετὰ ἀκριβείας διερευνώμενοι τοὺς ἐπιτηδείους αὐτοῖς, πρὸς ἐκείνους κατήγοντο. Καὶ γὰρ καὶ νόμος

με ἀπὸ ἐδῶ, δηλαδὴ τὸ νὰ μὴν ντρεπόμαστε γιὰ κανέναν ἀπὸ τοὺς πιὸ ἀσήμαντους, τὸ νὰ ἐπιζητοῦμε τὴν ἀρετὴ τῆς ψυχῆς, τὸ νὰ θεωροῦμε περιττὰ καὶ ἀνώφελα ὅλα τὰ πράγματα ποὺ μᾶς περιβάλλουν ἀπὸ ἔξω.

3. Εἶναι δυνατὸ καὶ ἄλλο κέρδος, ὄχι μικρότερο ἀπ' αὐτό, νὰ καρπωθοῦμε ἀπὸ ἐδῶ καὶ τὸ ὁποῖο ἂν τὸ ἐπιτύχουμε περισσότερο ἀπὸ κάθετι συγκρατεῖ τὴ ζωή μας. Καὶ ποιό εἶναι αὐτό; Τὸ νὰ μὴν κατηγοροῦμε τὸ γάμο, οὔτε νὰ θεωροῦμε πὼς εἶναι ἐμπόδιο καὶ πρόσκομμα στὸ δρόμο ποὺ ὁδηγεῖ στὴν ἀρετὴ τὸ νὰ ἔχει κανεὶς γυναίκα καὶ νὰ ἀνατρέφει παιδιὰ καὶ νὰ φροντίζει γιὰ σπίτι καὶ νὰ ἀσκεῖ κάποια τέχνη. Νὰ καὶ ἐδῶ ἦταν ἄνδρας καὶ γυναίκα, ποὺ καὶ ἐργαστήρια διεύθυναν καὶ τέχνη ἀσκοῦσαν καὶ ἐπέδειξαν πολὺ πιὸ αὐστηρὴ ἐγκράτεια ἀπ' αὐτοὺς ποὺ ζοῦν στὰ μοναστήρια. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἀπ' αὐτὰ ποὺ εἶπε γι' αὐτοὺς ὁ Παῦλος ἀναφέροντάς τους, ἢ καλύτερα ὄχι ἀπ' αὐτὰ ποὺ εἶπε ἀναφέροντάς τους, ἀλλὰ καὶ ἀπ' αὐτὰ ποὺ στὴ συνέχεια ἐπιβεβαίωσε γι' αὐτούς. Γιατὶ ἀφοῦ εἶπε, «χαιρετῆστε τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα», πρόσθεσε καὶ τὸ ἀξίωμά τους. Ποιό λοιπὸν εἶναι αὐτό; Δὲν εἶπε τοὺς πλούσιους, τοὺς διάσημους, τοὺς ἀριστοκράτες, ἀλλὰ τί; «τοὺς συνεργάτες μου στὸ ἔργο τοῦ Κυριου». Τίποτε μ' αὐτὸ δὲν μπορεῖ νὰ ἐξισωθεῖ μιλώντας γιὰ τὴν ἀρετή τους. Καὶ ὄχι μόνο ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ τὸ ὅτι ἔμεινε κοντά τους ὄχι μιὰ ἡμέρα καὶ δύο καὶ τρεῖς, ἀλλὰ δύο ὁλόκληρα χρόνια, εἶναι δυνατὸ νὰ δεῖ κανεὶς τὴν ἀρετή τους.

Ὅπως λοιπὸν οἱ κοσμικοὶ ἄρχοντες δὲ θὰ προτιμοῦσαν ποτὲ νὰ καταλύσουν σὲ ἀσήμαντους καὶ ταπεινούς, ἀλλὰ ἐπιζητοῦν λαμπρὰ σπίτια κάποιων διάσημων ἀνθρώπων, ὥστε ἡ μηδαμηνότητα αὐτῶν ποὺ τοὺς ὑποδέχονται νὰ μὴν καταστρέψει τὸ μεγάλο τους ἀξίωμα, ἔτσι ἔκαναν καὶ οἱ ἀπόστολοι. Δὲν κατέλυαν σὲ τυχαίους ἀνθρώπους, ἀλλά, ὅπως ἐκεῖνοι ἐπιζητοῦσαν λαμπρὸ σπίτι, ἔτσι αὐτοὶ ἐπιζητοῦσαν τὴν ἀρετὴ τῆς ψυχῆς καὶ ἀφοῦ ἐξέταζαν μὲ μεγάλη προσοχὴ τοὺς δικούς τους, σ' αὐτοὺς κατέλυαν. Γιατὶ πραγματικὰ ὑπῆρχε καὶ ἐντολὴ τοῦ

παρὰ τοῦ Χριστοῦ τοῦτο κελεύων ἔκειτο. «Εἰς ἣν γὰρ πόλιν», φησίν, «ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε». Ὥστε ἄξιοι Παύλου ἦσαν οὗτοι· εἰ δὲ ἄξιοι Παύλου, τῶν ἀγγέλων ἦσαν ἄξιοι. Ἐγὼ τὸ δωμάτιον ἐκεῖνο καὶ οὐρανὸν καὶ ἐκκλησίαν θαρρῶν ἂν προσείποιμι. Ὅπου γὰρ Παῦλος ἦν, ἐκεῖ καὶ ὁ Χριστὸς ἦν. «Εἰ δοκιμὴν ἐπιζητεῖτε», φησί, «τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ». Ὅπου δὲ Χριστὸς ἦν, ἐκεῖ καὶ ἄγγελοι συνεχῶς ἐφοίτων.

Οἱ δὲ καὶ πρὸ τούτου παρασχόντες ἑαυτοὺς ἀξίους τῆς τοῦ Παύλου θεραπείας, ἐννόησαν τίνες ἐγένοντο, ἔτεσι δύο συνοικοῦντες αὐτῷ, καὶ σχῆμα καὶ βάδισμα καὶ βλέμμα καὶ τρόπον στολῆς καὶ εἰσόδους καὶ ἐξόδους καὶ τἄλλα πάντα παρατηροῦντες. Ἐπὶ γὰρ τῶν ἁγίων οὐχὶ τὰ ῥήματα ταῦτα μόνον, οὐδὲ αἱ διδασκαλίαι καὶ αἱ παραινέσεις, ἀλλὰ καὶ ἡ λοιπὴ τοῦ βίου πᾶσα ἀναστροφὴ ἀρκοῦσα γένοιτ' ἂν τοῖς προσέχουσι διδασκαλία φιλοσοφίας. Ἐννόησον ἡλίκον ἦν ἰδεῖν Παῦλον καὶ δειπνούμενον καὶ ἐπιτιμῶντα καὶ παρακαλοῦντα καὶ εὐχόμενον καὶ δακρύοντα, ἐξιόντα καὶ εἰσιόντα. Εἰ γὰρ δεκατέσσαρας ἐπιστολὰς ἔχοντες μόνον, πανταχοῦ τῆς οἰκουμένης αὐτὰς περιφέρομεν, οἱ τὴν πηγὴν τῶν ἐπιστολῶν ἔχοντες, οἱ τὴν γλῶτταν τῆς οἰκουμένης, οἱ τὸ φῶς τῶν ἐκκλησιῶν, οἱ τὸν θεμέλιον τῆς πίστεως, οἱ τὸν στῦλον καὶ τὸ ἑδραίωμα τῆς ἀληθείας, τίνες οὐκ ἂν ἐγένοντο ἀγγέλῳ τοιούτῳ συζῶντες; Εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ δαίμοσιν ἦν φοβερὰ καὶ τοσαύτην εἶχον ἰσχύν, ἡ συνοίκησις αὐτοῦ πόσην οὐκ ἂν ἐπεσπάσατο Πνεύματος χάριν; Τὸ γὰρ τὴν κλίνην ὁρᾶν τὴν Παύλου, τὸ γὰρ τὴν στρωμνήν, τὸ γὰρ τὰ ὑποδήματα, οὐκ ἂν ἤρκεσεν αὐτοῖς εἰς ὑπόθεσιν κατανύξεως διηνεκοῦς; Εἰ γὰρ οἱ δαίμονες ὁρῶντες αὐτοῦ τὰ ἱμάτια ἔφριττον, πολλῷ μᾶλλον οἱ πιστοὶ καὶ συζήσαντες αὐτῷ κατενύσσοντο βλέποντες αὐτά.

---

5. Ματθ. 10,11.
6. Β' Κορ. 13,3.

Χριστοῦ ποὺ τὸ πρόσταζε αὐτό. «Σὲ ὅποια πόλη», λέγει, «ἢ σπίτι συμβεῖ νὰ μπεῖτε, ἐξετάστε ποιός εἶναι ἄξιος σ' αὐτὴν καὶ ἐκεῖ νὰ μείνετε»[5]. Ἐπομένως αὐτοὶ ἦταν ἄξιοι τοῦ Παύλου· καὶ ἂν ἦταν ἄξιοι τοῦ Παύλου, ἦταν ἄξιοι τῶν ἀγγέλων. Ἐγὼ τὸ δωμάτιο ἐκεῖνο θὰ τολμήσω νὰ τὸ ὀνομάσω καὶ οὐρανὸ καὶ Ἐκκλησία. Γιατὶ ὅπου ἦταν ὁ Παῦλος, ἐκεῖ ἦταν καὶ ὁ Χριστός· γιατὶ λέγει, «ἂν ζητᾶτε ἀπόδειξη γιὰ τὸ Χριστό, ποὺ μιλάει μέσω ἐμοῦ»[6]. Καὶ ὅπου ἦταν ὁ Χριστός, ἐκεῖ σύχναζαν συνέχεια καὶ οἱ ἄγγελοι.

Καὶ αὐτοί, ἀφοῦ ἀπὸ πρὶν παρουσιάστηκαν ὡς ἄξιοι γιὰ τὴν περιποίηση τοῦ Παύλου, κατάλαβαν ποιοί ἔγιναν, ἐπειδὴ ἔμειναν μαζί του δύο χρόνια καὶ πρόσεχαν καὶ τὴν ἐμφάνισή του καὶ τὸ βάδισμά του καὶ τὸ βλέμμα του καὶ τὸν τρόπο τοῦ ντυσίματός του καὶ τὸν τρόπο τῆς εἰσόδου καὶ τῆς ἐξόδου του ἀπὸ τὸ σπίτι καὶ ὅλα τὰ ἄλλα. Γιατὶ στὴν περίπτωση τῶν ἁγίων ὄχι μόνο τὰ λόγια αὐτὰ οὔτε οἱ διδασκαλίες καὶ οἱ παραινέσεις, ἀλλὰ καὶ ὅλη ἡ ὑπόλοιπη συμπεριφορὰ τῆς ζωῆς τους μπορεῖ νὰ γίνει σὲ ὅσους προσέχουν ἀποτελεσματικὴ διδασκαλία σωφροσύνης. Σκέψου πόσο μεγάλο πράγμα ἦταν νὰ δεῖ κανεὶς τὸν Παῦλο καὶ νὰ τρώει καὶ νὰ ἐπιτιμάει καὶ νὰ παρηγορεῖ καὶ νὰ προσεύχεται καὶ νὰ δακρύζει καὶ νὰ βγαίνει καὶ νὰ μπαίνει στὸ σπίτι. Ἂν λοιπὸν ἔχοντας μόνο δεκατέσσερις ἐπιστολὲς τὶς περιφέρουμε σὲ ὅλα τὰ μέρη τῆς οἰκουμένης, ἐκεῖνοι ποὺ εἶχαν τὴν πηγὴ τῶν ἐπιστολῶν, τὴ γλώσσα τῆς οἰκουμένης, τὸ φῶς τῶν Ἐκκλησιῶν, τὸ θεμέλιο τῆς πίστης, τὸ στύλο καὶ τὸ στήριγμα τῆς ἀλήθειας, ποιοί δὲ θὰ γίνονταν ζώντας μαζὶ μὲ τέτοιο ἄγγελο; Ἂν τὰ ροῦχα του προκαλοῦσαν φόβο στοὺς δαίμονες καὶ εἶχαν τόσο μεγάλη δύναμη, πόση χάρη τοῦ Πνεύματος δὲ θὰ ἀποσποῦσε ἡ συγκατοίκηση μαζί του; Γιατὶ τὸ νὰ βλέπουν τὸ κρεβάτι τοῦ Παύλου, τὸ στρῶμα του, τὰ ὑποδήματά του, δὲ θὰ τοὺς ἦταν ἀρκετὴ ἀφορμὴ γιὰ ἀδιάκοπη κατάνυξη; Γιατί, ἂν οἱ δαίμονες βλέποντας τὰ ροῦχα τοῦ ἔτρεμαν, πολὺ περισσότερο οἱ πιστοὶ ποὺ ἔζησαν μαζί του συγκινοῦνταν βαθιὰ ὅταν τὰ ἔβλεπαν.

Ἄξιον δὲ κἀκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν προσαγορεύων, τὴν Πρίσκιλλαν προτέθεικε τοῦ ἀνδρός. Οὐ γὰρ εἶπεν, 'ἀσπάσασθε Ἀκύλαν καὶ Πρίσκιλλαν', ἀλλά, «Πρίσκιλλαν καὶ Ἀκύλαν». Οὐδὲ γὰρ τοῦτο ἁπλῶς ἐποίησεν, ἀλλ' ἐμοὶ δοκεῖ πλείονα αὐτῇ συνειδέναι τοῦ ἀνδρὸς εὐλάβειαν. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἔξεστι καὶ ἀπὸ τῶν Πράξεων τοῦτο μαθεῖν. Τὸν γὰρ Ἀπολλώ, ἄνδρα λόγιον ὄντα καὶ δυνατὸν ἐν ταῖς Γραφαῖς, καὶ τὸ βάπτισμα Ἰωάννου μόνον εἰδότα, αὕτη λαβοῦσα κατήχησε τὴν ὁδὸν τοῦ Θεοῦ καὶ διδάσκαλον ἀπηρτισμένον ἐποίησεν. Οὐ γὰρ αἱ ἐπὶ τῶν ἀποστόλων γυναῖκες ταῦτα ἐμερίμων, ἅπερ αἱ νῦν, ὅπως λαμπρὰ ἱμάτια περιβάλοιντο, καὶ ἐπιτρίμμασι καὶ ὑπογραφαῖς τὴν ὄψιν τὴν ἑαυτῶν καλλωπίσαιεν, καὶ τοὺς ἄνδρας τοὺς ἑαυτῶν ἐνάγχουσαι, τῆς γείτονος καὶ τῆς ὁμοτίμου πολυτελεστέραν ἀναγκάζουσαι πρίασθαι στολὴν καὶ λευκοὺς ἡμιόνους καὶ χρυσοπάστους χαλινοὺς καὶ θεραπείαν εὐνούχων καὶ πολὺν θεραπαινίδων ἑσμὸν καὶ τὴν ἄλλην ἅπασαν τὴν καταγέλαστον φαντασίαν, ἀλλὰ ταῦτα πάντα ἀποσεισάμεναι καὶ τὸν κοσμικὸν ἀποβαλοῦσαι τῦφον, ἓν μόνον ἐζήτουν, ὅπως κοινωνοὶ γένωνται τῶν ἀποστόλων καὶ τῆς θήρας αὐτῶν μετάσχοιεν τῆς αὐτῆς.

Διὰ τοῦτο οὐκ αὐτὴ μόνη τοιαύτη, ἀλλὰ καὶ αἱ λοιπαὶ πᾶσαι. Καὶ γὰρ περὶ Περσίδος τινός φησιν, «ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς», καὶ Μαρίαν καὶ Τρύφαιναν ἀπὸ τούτων θαυμάζει τῶν πόνων, ὅτι ἐκοπίων μετὰ τῶν ἀποστόλων καὶ πρὸς τοὺς αὐτοὺς ἀγῶνας ἀπεδύσαντο. Καὶ πῶς Τιμοθέῳ γράφων φησί, «γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν τοῦ ἀνδρός». Ὅταν καὶ ὁ ἀνὴρ εὐλαβὴς ᾖ καὶ τὴν αὐτὴν πίστιν κεκτημένος καὶ τῆς αὐτῆς σοφίας μετέχων, ὅταν δὲ ἄπιστος ᾖ καὶ πεπλανημένος, οὐκ ἀποστερεῖ τὴν αὐθεντίαν τῆς διδασκαλίας αὐτήν. Κορινθίοις γοῦν ἐπιστέλλων λέγει· «καὶ γυνὴ ἥτις ἔχει ἄνδρα ἄπιστον, μὴ ἀφιέτω αὐτόν. Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις;». Πῶς δὲ ἂν ἔσωσεν ἡ πιστὴ γυνὴ τὸν ἄνρα τὸν ἄπι-

---

7. Βλ. Πράξ. 18,24–26. 9. Ρωμ. 16,6.12.
8. Ρωμ. 16,12. 10. Α' Τιμ. 2,12. 11. Α' Κορ. 7,13.16

Ἀξίζει ὅμως νὰ ἐξετάσουμε καὶ αὐτό, γιὰ ποιό λόγο, ὅταν τοὺς ἀνέφερε, ἔβαλε τὴν Πρίσκιλλα πρὶν ἀπὸ τὸν ἄνδρα της. Γιατὶ δὲν εἶπε, 'χαιρετῆστε τὸν Ἀκύλα καὶ τὴν Πρίσκιλλα', ἀλλά, «τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα». Οὔτε βέβαια τὸ ἔκαμε αὐτὸ τυχαῖα, ἀλλὰ μοῦ φαίνεται πὼς τῆς ἀναγνώριζε περισσότερη εὐλάβεια ἀπὸ τὸν ἄνδρα της. Καὶ ὅτι δὲν εἶναι εἰκασία αὐτό, εἶναι δυνατὸ νὰ τὸ μάθουμε καὶ ἀπὸ τὶς Πράξεις. Γιατὶ τὸν Ἀπολλώ, ποὺ ἦταν λόγιος ἄνδρας, ἤξερε καλὰ τὴ Γραφὴ καὶ ποὺ γνώριζε μόνο τὸ βάπτισμα τοῦ Ἰωάννη, αὐτὴ τὸν πῆρε καὶ τοῦ δίδαξε τὸ δρόμο τοῦ Θεοῦ καὶ τὸν ἔκαμε τέλειο διδάσκαλο[7]. Γιατὶ οἱ γυναῖκες τῆς ἐποχῆς τῶν ἀποστόλων δὲ φρόντιζαν γι' αὐτὰ ποὺ φροντίζουν οἱ σημερινές, πῶς νὰ φορέσουν λαμπρὰ ἐνδύματα καὶ νὰ καλλωπίσουν τὸ πρόσωπό τους μὲ καλλυντικὰ καὶ βαψίματα, πιέζουν τοὺς ἄνδρες τους καὶ τοὺς ἀναγκάζουν νὰ ἀγοράζουν πιὸ ἀκριβὸ ντύσιμο ἀπὸ τῆς γειτόνισσας καὶ μιᾶς ἰσότιμής τους, καθὼς καὶ λευκοὺς ἡμιόνους στολισμένους μὲ χρυσὰ χαλινάρια, καὶ περιποίηση εὐνούχων καὶ πλῆθος μεγάλο ἀπὸ ὑπηρέτριες καὶ ὅλη τὴν ἄλλη τὴ γελοία ἐμφάνιση, ἀλλὰ ἀπορρίπτοντας ὅλα αὐτὰ καὶ ἀποφεύγοντας τὴν κοσμικὴ ἐπίδειξη, ἕνα μόνο ἐπιζητοῦσαν, πῶς νὰ γίνουν συνεργάτες τῶν ἀποστόλων καὶ νὰ πάρουν μέρος στὸ ἴδιο μὲ ἐκείνους κυνήγι.

Γι' αὐτὸ ὄχι μόνο αὐτὴ ἦταν τέτοια, ἀλλὰ καὶ ὅλες οἱ ἄλλες. Γιατὶ καὶ γιὰ κάποια Περσίδα λέγει, «ἡ ὁποία πολὺ κοπίασε γιὰ μᾶς»[8], ἀλλὰ καὶ τὴ Μαρία καὶ τὴν Τρύφαινα[9] ἀπ' αὐτοὺς τοὺς κόπους τὶς θαυμάζει, γιατὶ κόπιαζαν μαζὶ μὲ τοὺς ἀποστόλους καὶ ἀνέλαβαν τοὺς ἴδιους ἀγῶνες. Καὶ πῶς γράφοντας στὸν Τιμόθεο λέγει, «δὲν ἐπιτρέπει σὲ γυναίκα νὰ διδάσκει οὔτε νὰ ἐξουσιάζει τὸν ἄνδρα»[10]; Ὅταν καὶ ὁ ἄνδρας εἶναι εὐσεβὴς καὶ ἔχει τὴν ἴδια πίστη καὶ μετέχει στὴν ἴδια σοφία. Ὅταν ὅμως εἶναι ἄπιστος καὶ πλανημένος δὲν τῆς στερεῖ τὴν ἐξουσία τῆς διδασκαλίας. Γράφοντας λοιπὸν στοὺς Κορινθίους λέγει· «καὶ γυναίκα ποὺ ἔχει ἄνδρα ἄπιστο, ἂς μὴν τὸν χωρίσει. Ποῦ ξέρεις ἐσύ, γυναίκα, ἂν ἔτσι σώσεις τὸν ἄνδρα σου;»[11]. Καὶ πῶς μποροῦσε νὰ σώσει ἡ πιστὴ γυναίκα τὸν ἄπιστο ἄν-

στον; Κατηχοῦσα δηλονότι καὶ διδάσκουσα καὶ ἐνάγουσα πρὸς τὴν πίστιν, ὥσπερ οὖν καὶ αὕτη Ἀπολλὼ ἡ Πρίσκιλλα. Ἄλλως δέ, ὅταν λέγῃ, «γυναικὶ διδάσκειν οὐκ ἐπιτρέπω», περὶ τῆς ἐν τῷ βήματι διδασκαλίας λέγει, περὶ τῆς ἐν κοινῷ διαλέξεως καὶ τῆς κατὰ τὸν ἱερωσύνης λόγον, ἰδίᾳ δὲ παραινεῖν καὶ συμβουλεύειν οὐκ ἐκώλυσεν. Οὐ γὰρ ἄν, εἰ κεκωλυμένον ἦν, ταύτην ἐπῄνεσε τοῦτο ποιοῦσαν.

4. Ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν ταῦτα καὶ γυναῖκες· ἐκεῖναι μὲν ἵνα τὴν ὁμόφυλον καὶ συγγενῆ μιμήσωνται, οὗτοι δὲ ἵνα μὴ γυναικὸς ἀσθενέστεροι φαίνωνται. Τίνα γὰρ ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, ὅταν γυναικῶν τοσαύτην προθυμίαν ἐπιδεικνυμένων καὶ τοσαύτην φιλοσοφίαν, ἡμεῖς τοῖς τοῦ κόσμου πράγμασιν ὦμεν συνδεδεμένοι διηνεκῶς; Ταῦτα καὶ ἄρχοντες μανθανέτωσαν καὶ ἀρχόμενοι καὶ ἱερεῖς καὶ οἱ τῶν λαϊκῶν τὴν τάξιν ἔχοντες, ἵν' ἐκεῖνοι μὲν μὴ τοὺς πλουτοῦντας θαυμάζωσι μηδὲ τὰς περιφανεῖς διώκωσιν οἰκίας, ἀλλ' ἀρετὴν μετὰ πενίας ζητῶσι, καὶ τοῖς πτωχοτέροις τῶν ἀδελφῶν μὴ ἐπαισχύνωνται μηδὲ τὸν σκηνοποιὸν καὶ τὸν βυρσοδέψην καὶ τὸν πορφυροπώλην καὶ τὸν χαλκοτύπον παρατρέχοντες τοὺς ἐν δυναστείαις θεραπεύσωσιν, οἱ δὲ ἀρχόμενοι ἵνα μὴ νομίζωσιν εἶναι κώλυμα πρὸς τὴν ὑποδοχὴν τῶν ἁγίων, ἀλλ' ἐννοοῦντες τὴν χήραν, ἣ τὸν Ἠλίαν ὑπεδέξατο δράκα ἀλεύρου μόνον ἔχουσα, καὶ τούτους, οἳ τὸν Παῦλον διετίαν ἐξένισαν, τὰς οἰκίας διανοίγωσι τοῖς δεομένοις καὶ πάντα τοῖς ξένοις ὦσι κοινὰ κεκτημένοι.

Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι 'οἰκέτας οὐκ ἔχεις διακονουμένους'. Κἂν γὰρ μυρίους ἔχῃς, ὁ Θεός σε κελεύει διὰ σαυτοῦ τῆς φιλοξενίας τὸν καρπὸν τρυγᾶν. Διὰ τοῦτο Παῦλος χήρᾳ γυναικὶ διαλεγόμενος καὶ κελεύων αὐτὴν ξενοδοχεῖν, οὐ δι' ἑτέρων ἀλλὰ δι' ἑαυτῆς τοῦτο ἐπέταττεν. Εἰπὼν γάρ, «εἰ ἐξενοδόχησεν», ἐπήγαγεν, «εἰ ἁγίων πόδας ἔνιψεν». Οὐκ εἶπεν, 'εἰ χρήματα ἐδαπάνησε', οὐδέ, 'εἰ τοῖς οἰκέταις ἐκέλευσε τοῦτο ποιῆσαι',

---

12. Α' Τιμ. 5,10.

δρα; Κατηχώντας ἀσφαλῶς καὶ διδάσκοντας καὶ ὁδηγώντας αὐτὸν στὴν πίστη, ὅπως ἀκριβῶς λοιπὸν καὶ αὐτὴ ἡ Πρίσκιλλα τὸν Ἀπολλώ. Ἄλλωστε, ὅταν λέγει «δὲν ἐπιτρέπω σὲ γυναίκα νὰ διδάσκει», ἀναφέρεται στὴ διδασκαλία ἀπὸ τὸν ἄμφωνα, στὴν ὁμιλία σὲ σύναξη καὶ ποὺ ταιριάζει σὲ ἱερωμένους, ἐνῶ δὲν ἐμπόδισε τὶς παραινέσεις καὶ συμβουλὲς κατ' ἰδίαν. Γιατί, ἂν αὐτὸ ἐμποδιζόταν, δὲ θὰ τὴν ἐπαινοῦσε ποὺ τὸ ἔκανε.

4. Ἂς τὰ ἀκοῦν οἱ ἄνδρες, ἂς τὰ ἀκοῦν καὶ οἱ γυναῖκες αὐτά. Αὐτὲς γιὰ νὰ μιμηθοῦν τὴν ὁμόφυλη καὶ συγγενή τους καὶ ἐκεῖνοι γιὰ νὰ μὴ φαίνονται πιὸ ἀδύναμοι ἀπὸ γυναίκα. Γιατὶ ποιά δικαιολογία θὰ ἔχουμε, ποιά συγγνώμη, ὅταν οἱ γυναῖκες δείχνουν τόσο μεγάλη προθυμία καὶ τόσο μεγάλη πίστη, ἐνῶ ἐμεῖς εἴμαστε συνέχεια δεμένοι μὲ τὰ πράγματα τοῦ κόσμου; Αὐτὰ ἂς τὰ πληροφοροῦνται καὶ οἱ ἄρχοντες καὶ οἱ πολίτες καὶ οἱ ἱερεῖς καὶ οἱ λαϊκοί· ἐκεῖνοι, γιὰ νὰ μὴ θαυμάζουν τοὺς πλουσίους οὔτε νὰ ἐπιδιώκουν τὰ πολυτελὴ σπίτια, ἀλλὰ νὰ ἐπιζητοῦν τὴν ἀρετὴ μαζὶ μὲ τὴ φτώχεια καὶ νὰ μὴν ντρέπονται τοὺς φτωχότερους ἀπὸ τοὺς ἀδελφούς, οὔτε νὰ παραβλέπουν τὸ σκηνοποιὸ καὶ τὸ βυρσοδέψη καὶ τὸν πορφυροπώλη καὶ τὸ χαλκουργὸ καὶ νὰ κολακεύουν τοὺς δυνατούς· καὶ οἱ πολίτες, γιὰ νὰ μὴ νομίζουν πὼς ὑπάρχει ἐμπόδιο στὴν ὑποδοχὴ τῶν ἁγίων, ἀλλὰ ἔχοντας στὸ νοῦ τους τὴ χήρα, ποὺ ὑποδέχθηκε τὸν Ἠλία ἔχοντας μόνο μιὰ χούφτα ἀλεύρι, καθὼς καὶ αὐτοὺς ποὺ φιλοξένησαν τὸν Παῦλο γιὰ μιὰ διετία, νὰ ἀνοίγουν τὰ σπίτια τους σ' ἐκείνους ποὺ ἔχουν ἀνάγκη καὶ νὰ ἔχουν τὰ πάντα κοινὰ μὲ τοὺς ξένους.

Μὴ μοῦ πεῖς λοιπὸν αὐτό, ὅτι δὲν ἔχεις ὑπηρέτες νὰ σὲ ἐξυπηρετοῦν. Γιατὶ καὶ ἂν ἀκόμη ἔχεις δέκα χιλιάδες, ὁ Θεὸς σὲ προστάζει νὰ τρυγᾶς ἀπὸ μόνος σου τὸν καρπὸ τῆς φιλοξενίας. Γι' αὐτὸ ὁ Παῦλος, μιλώντας σὲ χήρα γυναίκα καὶ προτρέποντας αὐτὴν νὰ φιλοξενεῖ, πρόσταζε νὰ τὸ κάνει αὐτὸ ὄχι μὲ ἄλλους ἀλλὰ ἀπὸ μόνη της. Γιατί, ἀφοῦ εἶπε «ἂν φιλοξένησε», πρόσθεσε, «ἂν ἔπλυνε πόδια ἁγίων»[12]. Δὲν εἶπε, 'ἂν ξόδεψε χρήματα' οὔτε 'ἂν πρόσταξε τοὺς ὑπηρέτες νὰ τὸ κάμουν αὐτό',

ἀλλ', εἰ δι' ἑαυτῆς τοῦτο εἰργάσατο. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ τριακοσίους ὀκτὼ καὶ δέκα οἰκογενεῖς ἔχων, αὐτὸς ἐπὶ τὴν ἀγέλην ἔτρεχε καὶ τὸν μόσχον ἐβάσταζε καὶ τὰ ἄλλα ἅπαντα διηκόνει καὶ τὴν γυναῖκα κοινωνὸν ἐποίη τῶν τῆς φιλοξενίας καρπῶν. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἐν φάτνῃ τίκτεται καὶ ἐν οἰκίᾳ τικτόμενος τρέφεται καὶ αὐξηθεὶς οὐκ εἶχε ποῦ τὴν κεφαλὴν κλίνῃ, ἵνα σε παιδεύσῃ διὰ πάντων μὴ πρὸς τὰ λαμπρὰ τοῦ βίου τούτου κεχηνέναι πράγματα, ἀλλ' εὐτελείας εἶναι ἐραστὴν πανταχοῦ, καὶ πτωχείαν διώκειν καὶ περιουσίαν φεύγειν καὶ ἔσωθεν καλλωπίζεσθαι· «πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως», φησίν, «ἔσωθεν».

Ἐὰν ἔχῃς προαίρεσιν φιλόξενον, ἅπασαν τῆς φιλοξενίας ἔχεις τὴν θήκην, κἂν ὀβολὸν ᾖς κεκτημένος μόνον· ἂν δὲ μισάνθρωπος ᾖς καὶ μισόξενος, κἂν τὰ πάντα ᾖ περιβεβλημένος πράγματα, ἐστενοχώρηταί σοι τοῖς ξένοις ἡ οἰκία. Οὐκ εἶχεν αὕτη κλίνας ἀργυρενδέτους, ἀλλ' εἶχε σωφροσύνην πολλήν· οὐκ εἶχε στρωμνήν, ἀλλὰ προαίρεσιν ἐκέκτητο προσηνῆ καὶ φιλόξενον· οὐκ εἶχε κίονας ἀπαστράπτοντας, ἀλλ' εἶχε ψυχῆς κάλλος ἀπολάμπον· οὐκ εἶχε τοίχους μαρμάροις περιβεβλημένους, οὐδὲ ἔδαφος ψηφῖσι διηνθισμένον, ἀλλ' ἦν αὐτὴ ναὸς τοῦ Πνεύματος. Ταῦτα ἐπῄνεσεν ὁ Παῦλος, τούτων ἠράσθη· διὰ ταῦτα ἔτη δύο μείνας ἐπὶ τῆς οἰκίας οὐκ ἀπανίστατο· διὰ ταῦτα αὐτῶν μέμνηται διηνεκῶς καὶ ἐγκώμιον αὐτοῖς συντίθησι μέγα καὶ θαυμαστόν, οὐχ ἵνα αὐτοὺς λαμπροτέρους ἐργάσηται, ἀλλ' ἵνα τοὺς λοιποὺς εἰς τὸν αὐτὸν ἀγάγῃ ζῆλον καὶ πείσῃ μακαρίζειν, οὐχὶ τοὺς πλουτοῦντας οὐδὲ τοὺς ἐν ἀρχαῖς ὄντας, ἀλλὰ τοὺς φιλοξένους, τοὺς ἐλεήμονας, τοὺς φιλανθρώπους, τοὺς πολλὴν περὶ τοὺς ἁγίους φιλοφροσύνην ἐπιδεικνυμένους.

5. Ταῦτα δὴ καὶ ἡμεῖς ἀπὸ τῆς προσρήσεως ταύτης μαθόντες, διὰ τῶν ἔργων αὐτῶν ἐπιδειξώμεθα· καὶ μήτε τοὺς πλουτοῦντας ἁπλῶς μακαρίζωμεν, μήτε τοὺς πτωχοὺς ἐξευτελίζω-

---

13. Βλ. Γεν. 18,1–15.

14. Ψαλμ. 44,14.

ἀλλά, ἂν τὸ ἔκαμε αὐτὸ μόνη της. Γι' αὐτὸ καὶ ὁ Ἀβραάμ, ἂν καὶ εἶχε τριακόσιους δεκαοκτὼ ὑπηρέτες στὸ σπίτι του, ὁ ἴδιος ἔτρεχε στὸ κοπάδι καὶ κουβαλοῦσε τὸ μοσχάρι καὶ σὲ ὅλα τὰ ἄλλα ἐξυπηρετοῦσε, κάμνοντας καὶ τὴ γυναίκα του συμμέτοχο στοὺς καρποὺς τῆς φιλοξενίας[13]. Γι' αὐτὸ καὶ ὁ Κύριος μας Ἰησοῦς Χριστὸς καὶ σὲ φάτνη γεννιέται καὶ σὲ σπίτι γεννημένος τρέφεται καὶ ὅταν μεγάλωσε δὲν εἶχε ποῦ νὰ γείρει τὸ κεφάλι του, γιὰ νὰ σὲ διδάξει μὲ ὅλα νὰ μὴν ἀφοσιώνεσαι στὰ λαμπερὰ πράγματα τῆς ζωῆς αὐτῆς, ἀλλὰ νὰ εἶσαι παντοῦ ἐραστὴς τῆς λιτότητας, νὰ ἐπιδιώκεις τὴ φτώχεια καὶ ν' ἀποφεύγεις τὸν πλοῦτο, καλλωπίζοντας τὸν ἑαυτό σου ἐσωτερικά. «Γιατὶ ὅλη ἡ δόξα τῆς θυγατέρας τοῦ βασιλιᾶ», λέγει, «βρίσκεται μέσα της»[14].

Ἂν ἔχεις διάθεση φιλόξενη, ἔχεις ὅλη τὴν ἑτοιμασία τῆς φιλοξενίας, ἔστω κιὰ ἂν ἔχεις ἕνα μόνο ὀβολό. Ἂν ὅμως μισεῖς τοὺς ἀνθρώπους καὶ τοὺς ξένους, καὶ ἂν ἀκόμη ἔχεις γύρω σου ὅλα τὰ πράγματα, στὸ σπίτι σου δὲν ὑπάρχει χῶρος γιὰ τοὺς ξένους. Δὲν εἶχε αὐτὴ κρεβάτια στολισμένα μὲ ἀσήμι, ἀλλ' εἶχε σωφροσύνη πολλή· δὲν εἶχε στρῶμα, ἀλλ' εἶχε διάθεση καταδεκτικὴ καὶ φιλόξενη· δὲν εἶχε κολόνες ἀστραφτερές, ἀλλ' εἶχε λαμπερὴ ὀμορφιὰ ψυχῆς· δὲν εἶχε τοίχους καλυμμένους μὲ μάρμαρα οὔτε δάπεδο στολισμένο μὲ ψηφιδωτά, ἀλλ' ἦταν ἡ ἴδια ναὸς τοῦ Πνεύματος. Αὐτὰ ἐπαίνεσε ὁ Παῦλος, αὐτὰ ἀγάπησε πολύ. Γι' αὐτὰ ἔμεινε δυὸ χρόνια στὸ σπίτι της καὶ δὲν σηκωνόταν νὰ φύγει· γι' αὐτὰ τοὺς θυμᾶται πάντοτε καὶ τοὺς πλέκει ἐγκώμιο μεγάλο καὶ θαυμαστό, ὄχι γιὰ νὰ τοὺς κάνει αὐτοὺς πιὸ λαμπρούς, ἀλλὰ γιὰ νὰ ὁδηγήσει καὶ τοὺς ὑπόλοιπους στὸν ἴδιο ζῆλο καὶ νὰ τοὺς πείσει νὰ μακαρίζουν ὄχι τοὺς πλουσίους οὔτε ἐκείνους ποὺ ἔχουν ἀξιώματα, ἀλλὰ τους φιλόξενους, τοὺς ἐλεήμονες, τοὺς φιλάνθρωπους, ἐκείνους ποὺ δείχνουν φιλικὴ διάθεση γιὰ τοὺς ἁγίους.

5. Αὐτὰ λοιπὸν καὶ ἐμεῖς, ἀφοῦ τὰ μάθαμε ἀπὸ τὸν χαιρετισμὸ αὐτό, ἂς τὰ δείξουμε μὲ τὰ ἴδια τὰ ἔργα μας· καὶ οὔτε τοὺς πλουσίους νὰ μακαρίζουμε ἁπλῶς, οὔτε τοὺς φτωχοὺς νὰ ἐξευ-

μεν, μηδὲ ἐπαισυνώμεθα τέχναις, μηδὲ ὄνειδος εἶναι νομίζωμεν ἐργασίαν, ἀλλὰ ἀργίαν καὶ τὸ μὴ ἔχειν τι ποιεῖν. Εἰ γὰρ ὄνειδος ἦν τὸ ἐργάζεσθαι οὐκ ἂν αὐτὸ μετῆλθεν ὁ Παῦλος, οὐκ ἂν ἐπ' αὐτῷ μεῖζον ἐφρόνησεν, οὕτω λέγων· «ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ». Εἰ δὲ τέχνη ὄνειδος ἦν, οὐκ ἂν τοὺς μὴ ἐργαζομένους ἐκέλευσε μηδὲ ἐσθίειν. Ἁμαρτία γὰρ μόνον ἐστὶν ὄνειδος· ταύτην δὲ ἀργία τίκτειν εἴωθε, καὶ οὐ μίαν καὶ δύο καὶ τρεῖς μόνον, ἀλλὰ πᾶσαν ὁμοῦ τὴν πονηρίαν. Διὰ τοῦτο καί τις σοφὸς δεικνύς, ὅτι πᾶσαν τὴν κακίαν ἐδίδαξεν ἡ ἀργία καὶ περὶ οἰκετῶν διαλεγόμενός φησιν· «ἔμβαλε αὐτὸν εἰς ἔργον, ἵνα μὴ ἀργῇ». Ὅπερ γάρ ἐστιν ὁ χαλινὸς τῷ ἵππῳ, τοῦτο τὸ ἔργον τῇ φύσει τῇ ἡμετέρᾳ.

Εἰ καλὸν ἦν ἡ ἀργία, πάντα ἂν ἄσπαρτα καὶ ἀνήροτα ἡ γῆ ἀνεβλάστανεν· ἀλλ' οὐδὲν τοιοῦτον ἐργάζεται. Πρῴην μὲν οὖν ἐκεύλευσεν ἀνήροτα πάντα ἐκβαλεῖν ὁ Θεός, νυνὶ δὲ οὐκ ἐποίησεν οὕτως, ἀλλὰ καὶ ζεῦξαι βόας καὶ ἄροτρον ἑλκύσαι καὶ αὔλακα ἀνατεμεῖν καὶ σπέρματα καταβάλλειν καὶ ἑτέροις πολλοῖς τρόποις θεραπεῦσαι καὶ ἄμπελον καὶ δένδρα καὶ σπέρματα τοῖς ἀνθρώποις ἐνομοθέτησεν, ἵν' ἡ τῆς ἐργασίας ἀσχολία πάσης ἀπάγῃ πονηρίας τὴν τῶν ἐργαζομένων διάνοιαν. Ἐξ ἀρχῆς μὲν οὖν, ἵνα τὴν δύναμιν ἐπιδείξηται τὴν ἑαυτοῦ, χωρὶς τῶν πόνων τῶν ἡμετέρων ἅπαντα ἀναδοθῆναι παρεσκεύασε· «βλαστησάτω γὰρ ἡ γῆ βοτάνην χόρτου», φησί, καὶ πάντα ἐκόμα εὐθύς· μετὰ δε ταῦτα οὐχ οὕτως, ἀλλὰ καὶ διὰ τῶν ἡμετέρων αὐτὰ πόνων ἐκφέρεσθαι ἐκέλευσεν ἐκ τῆς γῆς, ἵνα μάθῃς ὅτι διὰ τὸ χρήσιμον ἡμῖν καὶ λυσιτελὲς τὸν πόνον εἰσήγαγε. Καὶ δοκεῖ μὲν εἶναι κόλασις καὶ τιμωρία τὸ ἀκοῦσαι, «ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου», τὸ δὲ ἀληθές, νουθεσία τίς ἐστι καὶ σωφρονισμὸς καὶ τῶν τραυμάτων τῶν ἀπὸ τῆς ἁμαρτίας γενομένων φάρμακον.

---

15. Α' Κορ. 9,16.18.
16. Σοφ. Σειρ. 33,28.
17. Γεν. 1,11.
18. Γεν. 3,19.

τελίζουμε, οὔτε νὰ ντρεπόμαστε τὶς τέχνες, οὔτε νὰ θεωροῦμε ντροπὴ τὴν ἐργασία, ἀλλὰ τὴν ἀργία καὶ τὸ νὰ μὴν ἔχουμε νὰ κάνουμε τίποτε. Γιατὶ ἂν ἦταν ντροπὴ ἡ ἐργασία, δὲ θὰ τὴν ἔκανε ὁ Παῦλος οὔτε θὰ ὑπερηφανευόταν γι' αὐτήν, λέγοντας αὐτά· «ἂν κηρύττω τὸ εὐαγγέλιο, δὲν ἀποτελεῖ γιὰ μένα αἰτία καύχησης· ποιά λοιπὸν εἶναι ἡ ἀμοιβή μου; Νὰ κηρύττω δωρεὰν τὸ εὐαγγέλιο τοῦ Χριστοῦ»[15]. Ἂν ὅμως ἡ τέχνη ἦταν ντροπή, δὲ θὰ παράγγελνε ἐκεῖνοι ποὺ δὲν ἐργάζονται οὔτε καὶ νὰ τρώγουν. Γιατὶ ντροπὴ εἶναι μόνο ἡ ἁμαρτία· καὶ αὐτὴ συνήθως τὴ γεννάει ἡ ἀργία, καὶ ὄχι μόνο μία καὶ δύο καὶ τρεῖς ἀλλὰ ὅλη μαζὶ τὴν κακία. Γι' αὐτὸ καὶ κάποιος σοφὸς δείχνοντας πὼς ὅλη τὴν κακία τὴ δίδαξε ἡ ἀργία καὶ μιλώντας γιὰ δούλους λέγει· «βάλε τον σὲ ἐργασία, γιὰ νὰ μὴ μένει ἀργός»[16]. Ὅ,τι δηλαδὴ εἶναι τὸ χαλινάρι γιὰ τὸ ἄλογο, αὐτὸ εἶναι ἡ ἐργασία γιὰ τὴ δική μας φύση.

Ἂν ἦταν καλὸ πράγμα ἡ ἀργία, ὅλα θὰ τὰ βλάσταινε ἡ γῆ ἄσπαρτα καὶ ἀκαλλιέργητα· ἀλλὰ τίποτε τέτοιο δὲν κάνει. Στὴν ἀρχὴ λοιπὸν πρόσταξε ὁ Θεὸς νὰ τὰ βλαστήσει ὅλα ἀκαλλιέργητα, μετὰ ὅμως δὲν ἔκαμε τὸ ἴδιο, ἀλλὰ ὅρισε στοὺς ἀνθρώπους καὶ βόδια νὰ ζέψουν καὶ ἄροτρο νὰ τραβήξουν καὶ αὐλάκι νὰ ἀνοίξουν καὶ σπόρους νὰ ρίχνουν καὶ μὲ πολλοὺς ἄλλους τρόπους νὰ περιποιηθοῦν καὶ ἀμπέλι καὶ δένδρα καὶ σπόρους, γιὰ νὰ ἀπομακρύνει ἡ ἀσχολία τῆς ἐργασίας ἀπὸ κάθε κακία τὴ σκέψη τῶν ἐργαζομένων. Στὴν ἀρχὴ λοιπόν, γιὰ νὰ φανερώσει τὴ δύναμή του, ἔκαμε νὰ φυτρώσουν ὅλα χωρὶς τοὺς δικούς μας κόπους· γιατὶ λέγει, «ἂς φυτρώσει ἡ γῆ χλόη καὶ θάμνους»[17], καὶ ἀμέσως ὅλα ἀναπτύσσονταν. Ὕστερα ὅμως δὲ γινόταν τὸ ἴδιο, ἀλλὰ πρόσταξε νὰ φυτρώνουν αὐτὰ ἀπὸ τὴ γῆ καὶ μὲ τοὺς δικούς μας κόπους, γιὰ νὰ μάθεις ὅτι ὅρισε τὸν κόπο γιατὶ μᾶς εἶναι πράγμα χρήσιμο καὶ ὠφέλιμο. Καὶ φαίνεται βέβαια πὼς εἶναι ποινὴ καὶ τιμωρία τὸ ν' ἀκούσουμε, «μὲ τὸν ἱδρώτα τοῦ προσώπου σου θὰ φᾶς τὸ ψωμί σου»[18], στὴν πραγματικότητα ὅμως εἶναι κάποια νουθεσία καὶ φρονηματισμὸς καὶ φάρμακο γιὰ τὶς πληγὲς ποὺ προξενήθηκαν ἀπὸ τὴν ἁμαρτία.

Διὰ ταῦτα καὶ Παῦλος εἰργάζετο διηνεκῶς, οὐκ ἐν ἡμέρᾳ μόνῃ, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ νυκτί· καὶ τοῦτο βοᾷ λέγων· «νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν». Καὶ οὐχ ἁπλῶς τέρψεως ἕνεκεν καὶ ψυχαγωγίας τὸ ἔργον μετῄει, καθάπερ πολλοὶ τῶν ἀδελφῶν, ἀλλὰ τοσοῦτον ἐπεδείκνυτο περὶ αὐτὸ πόνον, ὡς καὶ ἑτέροις δυνηθῆναι ἐπικουρῆσαι. «Ταῖς γὰρ χρείαις μου», φησί, «καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται». Ἄνθρωπος δαίμοσιν ἐπιτάττων, τῆς οἰκουμένης διδάσκαλος ὤν, τοὺς τὴν γῆν οἰκοῦντας ἅπαντας ἐπιτραπεὶς καὶ τὰς ὑφ' ἡλίῳ κειμένας ἐκκλησίας ἁπάσας καὶ δήμους καὶ ἔθνη καὶ πόλεις μετὰ πολλῆς θεραπεύων ἐπιμελείας, νύκτα καὶ ἡμέραν εἰργάζετο, καὶ οὐδὲ μικρὸν ἀνέπνει τῶν πόνων ἐκείνων. Ἡμεῖς δέ, οὐδὲ τὸ μυριοστὸν τῆς ἐκείνου φροντίδος μετιόντες, μᾶλλον δὲ οὐδὲ εἰς νοῦν λαβεῖν δυνάμενοι, διατελοῦμεν ἐν ἀργίᾳ ζῶντες διηνεκῶς. Καὶ ποίαν ἕξομεν ἀπολογίαν ἢ τίνα συγγνώμην, εἰπέ μοι;

Ἐντεῦθεν ἅπαντα εἰς τὸν βίον εἰσενήνεκται τὰ κακά, ὅτι πολλοὶ μεγίστην ἀξίαν εἶναι νομίζουσι, τὸ μὴ τὰς ἑαυτῶν μεταχειρίζειν τέχνας, καὶ ἐσχάτην κατηγορίαν, τὸ φανῆναί τι τοιοῦτον εἰδότας. Καὶ Παῦλος μὲν οὐκ ᾐσχύνετο ὁμοῦ καὶ σμίλην μεταχειρίζων καὶ δέρματα ῥάπτων καὶ τοῖς ἐν ἀξιώμασι διαλεγόμενος, ἀλλὰ καὶ ἐνεκαλλωπίζετο τῷ πράγματι, μυρίων πρὸς αὐτὸν λαμπρῶν καὶ ἐπισήμων ἀφικνουμένων ἀνθρώπων. Καὶ οὐ μόνον οὐκ ἐπῃσχύνετο ταῦτα ποιῶν, ἀλλὰ καὶ καθάπερ ἐν στήλῃ χαλκῇ ταῖς ἐπιστολαῖς ἐξεπόμπευσεν ἑαυτοῦ τὸ ἐπιτήδευμα. Ὅπερ οὖν ἐξ ἀρχῆς ἔμαθε καὶ μετὰ ταῦτα αὐτὸ μετεχείριζε καὶ τότε, μετὰ τὸ εἰς οὐρανὸν τρίτον ἁρπαγῆναι, μετὰ τὸ εἰς παράδεισον ἀπενεχθῆναι, μετὰ τὸ κοινωνῆσαι ῥημάτων ἀπορρήτων τῷ Θεῷ· ἡμεῖς δέ, οὐδὲ τῶν ὑποδημάτων ὄντες ἄξιοι τῶν ἐκείνου, αἰσχυνόμεθα τούτοις, ἐφ' οἷς ἐκεῖνος ἐνηβρύνετο, καὶ καθ' ἑκάστην μὲν ἡμέραν πλημμελοῦντες οὐδὲ ἐπιστρεφόμεθα

---

19. Α' Θεσ. 2,9.
20. Πράξ. 20,34.

Γι' αὐτὸ καὶ ὁ Παῦλος ἐργαζόταν συνέχεια, ὄχι μόνο τὴν ἡμέρα ἀλλὰ καὶ τὴ νύχτα. Καὶ αὐτὸ τὸ φωνάζει λέγοντας· «ἐργαζόμασταν λοιπὸν μέρα καὶ νύχτα, γιὰ μὴν ἐπιβαρύνουμε κάποιον ἀπὸ σᾶς»[19]. Καὶ δὲν ἐργαζόταν ἁπλῶς γιὰ εὐχαρίστηση καὶ ψυχαγωγία, ὅπως ἀκριβῶς πολλοὶ ἀπὸ τοὺς ἀδελφούς, ἀλλὰ κατέβαλε τόσο πολὺ κόπο, ὥστε νὰ μπορέσει νὰ βοηθήσει καὶ ἄλλους. «Γιὰ τὶς ἀνάγκες μου», λέγει, «καὶ γιὰ τοὺς συνοδούς μου ἐργάσθηκαν αὐτὰ τὰ χέρια»[20]. Ἄνθρωπος ποὺ πρόσταζε τοὺς δαίμονες, ποὺ ἦταν διδάσκαλος τῆς οἰκουμένης, ποὺ τοῦ εἶχε ἀνατεθεῖ ἡ εὐθύνη γιὰ ὅλους τοὺς ἀνθρώπους τῆς γῆς καὶ ποὺ φρόντιζε μὲ μεγάλη ἐπιμέλεια γιὰ ὅλες τὶς ἐκκλησίες τῆς ὑφηλίου καὶ γιὰ τοὺς λαοὺς καὶ τὰ ἔθνη καὶ τὶς πόλεις, ἐργαζόταν νύχτα καὶ ἡμέρα καὶ δὲν ξεκουραζόταν καθόλου ἀπὸ τοὺς κόπους αὐτούς. Ἐνῶ ἐμεῖς, χωρὶς νὰ ἔχουμε οὔτε τὸ ἐλάχιστο ἀπὸ τὴ φροντίδα του, ἢ καλύτερα χωρὶς νὰ μποροῦμε οὔτε καὶ νὰ τὴ σκεφθοῦμε, ζοῦμε συνέχεια χωρὶς ἐργασία. Πές μου λοιπὸν ποιά ἀπολογία θὰ ἔχουμε ἢ ποιά συγγνώμη;

Ἀπὸ ἐδῶ ἔχουν εἰσαχθεῖ ὅλα τὰ κακὰ στὴ ζωή, γιατὶ πολλοὶ νομίζουν πὼς εἶναι σπουδαιότατο πράγμα τὸ νὰ μὴ ἀσκοῦν τὶς τέχνες τους καὶ ἡ χειρότερη κατηγορία τὸ νὰ φανοῦν πὼς γνωρίζουν κάποια τέχνη. Καὶ ὁ Παῦλος βέβαια δὲν ντρεπόταν καὶ τὴ φαλτσέτα νὰ μεταχειρίζεται καὶ δέρματα νὰ ράβει καὶ συγχρόνως νὰ μιλάει σὲ κατέχοντες ἀξιώματα, ἀλλὰ καὶ καυχιόταν γιὰ τὸ πράγμα αὐτό, καὶ μάλιστα ἐνῶ ἔρχονταν σ' αὐτὸν πάρα πολλοὶ σπουδαῖοι καὶ ὀνομαστοὶ ἄνθρωποι. Καὶ ὄχι μόνο δὲν ντρεπόταν κάνοντας αὐτά, ἀλλὰ καὶ μὲ τὶς ἐπιστολές του, σὰν σὲ χάλκινη στήλη, ἔκανε γνωστὸ σὲ ὅλους τὸ ἐπάγγελμά του. Αὐτὸ λοιπὸν ποὺ ἀπὸ τὴν ἀρχὴ ἔμαθε, αὐτὸ ἀσκοῦσε καὶ ἀργότερα, καὶ μάλιστα καὶ μετὰ τὸν ἁρπαγμό του στὸν τρίτο οὐρανὸ καὶ μετὰ τὴν ὁδήγησή του στὸν παράδεισο, ὅπου ἄκουσε τὰ ἀνείπωτα ἐκεῖνα λόγια τοῦ Θεοῦ. Ἐμεῖς ὅμως, ποὺ δὲν ἀξίζουμε οὔτε ὅσο τὰ ὑποδήματά του, ντρεπόμαστε γι' αὐτὰ γιὰ τὰ ὁποῖα ἐκεῖνος καμάρωνε, καὶ κάθε ἡμέρα σφάλλοντας οὔτε ἀλλάζουμε γνώμη οὔτε θεωροῦμε πὼς αὐτὸ εἶναι ντροπή, ἐνῶ τὸ

οὐδὲ ὄνειδος εἶναι νομίζομεν, τὸ δὲ ἐκ δικαίων πόνων ζῆν ὡς αἰσχρὸν καὶ καταγέλαστον φεύγομεν.

Τίνα οὖν ἕξομεν ἐλπίδα σωτηρίας, εἰπέ μοι; Τὸν γὰρ αἰσχυνόμενον, ἁμαρτίαν αἰσχύνεσθαι δεῖ καὶ τὸ τῷ Θεῷ προσκροῦσαι καὶ τὸ ποιῆσαί τι τῶν οὐ δεόντων, ἐπὶ δὲ τέχναις καὶ ἐργασίαις καὶ ἐναβρύνεσθαι. Οὕτω γὰρ καὶ πονηρὰν ἔννοιαν τῇ τῆς ἐργασίας ἀσχολίᾳ τῆς διανοίας ἐκβαλοῦμεν ῥᾳδίως καὶ τοῖς δεομένοις ἐπικουρήσομεν καὶ τὰς ἑτέρων οὐκ ἐνοχλήσομεν θύρας καὶ τὸν νόμον τοῦ Χριστοῦ πληρώσομεν τὸν εἰπόντα· «μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν». Διὰ γὰρ τοῦτο χεῖρας ἔχομεν, ἵνα ἑαυτοῖς βοηθῶμεν καὶ τοῖς τὰ σώματα πεπηρωμένοις ἐκ τῶν ἡμετέρων εἰσφέρωμεν τὰ κατὰ δύναμιν ἅπαντα· ὡς ἐάν τις ἀργῶν διατελῇ, κἂν ὑγιαίνῃ, τῶν πυρεττόντων ἐστὶν ἀθλιώτερος· οἱ μὲν γὰρ παρὰ τῆς ἀσθενείας ἔχουσι συγγνώμην καὶ τύχοιεν ἂν ἐλέου, οὗτοι δὲ καταισχύνοντες τὴν τοῦ σώματος εὐεξίαν εἰκότως ἂν παρὰ πάντων μισοῦνται, ὡς καὶ τοὺς τοῦ Θεοῦ παραβαίνοντες νόμους καὶ τῇ τραπέζῃ τῶν ἀσθενούντων λυμαινόμενοι καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν φαυλοτέραν ποιοῦντες.

Οὐδὲ γὰρ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι δέον οἴκοθεν καὶ παρ' ἑαυτῶν τρέφεσθαι, τὰς ἑτέρων ἐνοχλοῦσιν οἰκίας, ἀλλ' ὅτι καὶ πάντων αὐτοὶ γίνονται χείρους. Οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν πάντων οὐδέν, ὃ μὴ διὰ τῆς ἀργίας ἀπόλλυται. Καὶ γὰρ ὕδωρ, τὸ μὲν ἑστηκὸς σήπεται, τὸ δὲ τρέχον καὶ πανταχοῦ πλανώμενον τὴν ἀρετὴν διασώζειν τὴν ἑαυτοῦ· καὶ σίδηρος, ὁ μὲν ἐν ἀργίᾳ κείμενος ἁπαλώτερός τε καὶ φαυλότερος, ἰῷ πολλῷ δαπανώμενος, γίνεται, ὁ δὲ ἐν ἐργασίαις ὤν, πολὺ χρησιμώτερος καὶ εὐπρεπέστερος ἀργύρου παντὸς οὐδὲν ἔλαττον ἀποστίλβων. Καὶ γῆν μὲν τὴν ἀργοῦσαν ἴδοι τις ἂν οὐδὲν ὑγιὲς ἐκφέρουσαν, ἀλλὰ πονηρὰς βοτάνας καὶ ἀκάνθας καὶ τριβόλους καὶ ἄκαρπα δένδρα, τὴν δὲ ἐργασίας ἀπολαύουσαν, καρποῖς ἡμέροις κομῶ-

---

21. Πράξ. 20,35.

νὰ ζοῦμε ἀπὸ τοὺς δίκαιους κόπους μας τὸ ἀποφεύγουμε σὰν αἰσχρὸ καὶ καταγέλαστο πράγμα.

Ποιά λοιπὸν ἐλπίδα σωτηρίας, πές μου, θὰ ἔχουμε; Γιατὶ αὐτὸς ποὺ ντρέπεται, πρέπει νὰ ντρέπεται τὴν ἁμαρτία, τὸ νὰ ἐναντιωθεῖ στὸ Θεὸ καὶ τὸ νὰ κάνει κάτι ἀπὸ ἐκεῖνα ποὺ δὲν πρέπει, ἐνῶ γιὰ τὶς τέχνες καὶ τὴν ἐργασία πρέπει ἀκόμη καὶ νὰ ὑπερηφανεύεται. Γιατὶ ἔτσι καὶ τὴν πονηρὴ σκέψη θὰ βγάλουμε μὲ τὴν ἀπασχόληση τῆς ἐργασίας ἀπὸ τὸ νοῦ μας καὶ ἐκείνους ποὺ ἔχουν ἀνάγκη θὰ βοηθήσουμε καὶ τὶς πόρτες τῶν ἄλλων δὲ θὰ κτυπήσουμε καὶ τὸ νόμο τοῦ Χριστοῦ θὰ ἐκπληρώσουμε, ἐκεῖνον ποὺ λέγει, «καλύτερο εἶναι νὰ δίνει κανεὶς παρὰ νὰ παίρνει»[21]. Γι' αὐτὸ λοιπὸν ἔχουμε χέρια, γιὰ νὰ βοηθοῦμε τὸν ἑαυτό μας καὶ σ' ἐκείνους ποὺ εἶναι ἀνάπηροι στὸ σῶμα νὰ προσφέρουμε ἀπὸ τὰ δικά μας ὅλα ὅσα μποροῦμε. Γιατὶ ἀλλιῶς, ἂν κάποιος μένει ἀργός, ἐνῶ εἶναι ὑγιής, εἶναι πιὸ ἀξιολύπητος καὶ ἀπὸ ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ πυρετό. Γιατὶ ἐκεῖνοι συγχωροῦνται ἐξ αἰτίας τῆς ἀρρώστιας τους καὶ θὰ βροῦν κατανόηση, ἐνῶ αὐτοὶ καταντροπιάζοντας τὴν εὐεξία τοῦ σώματος, εὔλογα θὰ μισοῦνται ἀπ' ὅλους, γιατὶ καὶ τοὺς νόμους τοῦ Θεοῦ παραβαίνουν καὶ λυμαίνονται τὸ τραπέζι τῶν ἀρρώστων καὶ κάνουν πιὸ αἰσχρὴ τὴν ψυχή τους.

Καὶ δὲν εἶναι βέβαια αὐτὸ μόνο τὸ φοβερό, τὸ ὅτι δηλαδή, ἐνῶ ἔπρεπε νὰ τρέφονται ἀπὸ μόνοι τους καὶ ἀπὸ τὰ δικά τους, χτυποῦν τὶς πόρτες τῶν ἄλλων, ἀλλὰ καὶ ἐπειδὴ γίνονται ἀπ' ὅλους χειρότεροι. Γιατὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει ἀπολύτως τίποτε ποὺ νὰ μὴν καταστρέφεται ἀπὸ τὴν ἀργία. Γιατὶ καὶ τὸ νερό, ἐκεῖνο ποὺ εἶναι στάσιμο χαλάει, ἐνῶ ἐκεῖνο ποὺ τρέχει καὶ πάει παντοῦ διατηρεῖ τὴν ἰδιότητά του. Καὶ τὸ σίδερο, ἐκεῖνο ποὺ μένει ἀχρησιμοπόητο γίνεται πιὸ μαλακὸ καὶ πιὸ ἀδύνατο, ἐπειδὴ τὸ τρώει ἡ πολλὴ σκουριά, ἐνῶ ἐκεῖνο ποὺ χρησιμοποιεῖται γίνεται πολὺ πιὸ χρήσιμο καὶ πιὸ ἐμφανίσημο, ἀστράφτοντας ὄχι λιγότερο ἀπὸ τὸ ἀσήμι. Καὶ τὴν ἀκαλλιέργητη γῆ μπορεῖ νὰ τὴ δεῖ κανεὶς νὰ μὴ βλασταίνει τίποτε τὸ καλό, ἀλλὰ μόνο ἄγρια χόρτα καὶ ἀγκάθια καὶ τριβόλια καὶ

σαν. Καὶ ἕκαστον δὲ τῶν ὄντων, ὡς εἰπεῖν ἁπλῶς, ὑπὸ μὲν τῆς ἀργίας φθείρεται, ὑπὸ δὲ τῆς οἰκείας ἐργασίας χρησιμώτερον γίνεται.

Ταῦτα οὖν εἰδότες ἅπαντα, καὶ πόσον μὲν ἀπὸ τῆς ἀργίας τὸ βλάβος, πόσον δὲ ἀπὸ τῆς ἐργασίας τὸ κέρδος, τὴν μὲν φεύγωμεν, τὴν δὲ διώκωμεν, ἵνα καὶ τὸν παρόντα βίον εὐσχημόνως ζήσωμεν καὶ δεομένοις ἐκ τῶν ἐνόντων ἐπικουρήσωμεν, καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν ἀμείνω κατασκευάσαντες τύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἄκαρπα δένδρα, ἐνῶ ἐκείνην ποὺ καλλιεργεῖται νὰ εἶναι γεμάτη ἥμερους καρπούς. Καὶ κάθε πράγμα γενικὰ ἀπὸ τὴν ἀργία παθαίνει φθορά, ἐνῶ ἀπὸ τὴν κατάλληλη ἐργασία γίνεται πιὸ χρήσιμο.

Γνωρίζοντας λοιπὸν καλὰ ὅλα αὐτὰ καὶ ἀκόμη πόση εἶναι ἡ ζημία ἀπὸ τὴν ἀργία καὶ πόσο τὸ κέρδος ἀπὸ τὴν ἐργασία, τὴν πρώτη ἂς ἀποφεύγουμε καὶ τὴ δεύτερη ἂς τὴν ἐπιδιώκουμε, γιὰ νὰ περάσουμε καὶ τὴν παρούσα ζωὴ ὄμορφα καὶ νὰ βοηθήσουμε ἀπὸ τὰ δικά μας ὅσους ἔχουν ἀνάγκη καὶ ἀφοῦ κάνουμε καλύτερη τὴν ψυχή μας νὰ ἐπιτύχουμε τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, καὶ συγχρόνως στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΑΚΥΛΑΝ ΚΑΙ ΠΡΙΣΚΙΛΛΑΝ



ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΑΚΥΛΑΝ ΚΑΙ ΠΡΙΣΚΙΛΛΑΝ

Καὶ εἰς τὸ μὴ κακῶς λέγειν τοὺς ἱερεῖς τοῦ Θεοῦ»

1. Ἆρα ἐπαιδεύθητε μηδὲν εἶναι νομίζειν πάρεργον τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων; ἆρα ἐμάθετε καὶ ἐπιγραφὰς καὶ ὀνόματα καὶ ψιλὰς περιεργάζεσθαι προσρήσεις, τὰς ἐν τοῖς θείοις Λογίοις γεγραμμένας; Ἐγὼ μὲν γὰρ οὐδένα οἶμαι λοιπὸν τῶν φιλοπόνων τὸν ἀνεξόμενον παραδραμεῖν τι τῶν ἐν ταῖς Γραφαῖς κειμένων ρημάτων, κἂν ὀνομάτων ᾖ κατάλογος, κἂν χρόνων ἀριθμός, κἂν ψιλὴ πρός τινας πρόσρησις. Πλὴν ἵνα ἀσφαλεστέρα αὕτη ἡ διόρθωσις γένηται, φέρε καὶ τήμερον τὰ λειπόμενα τῆς προσηγορίας τῆς πρὸς Πρίσκιλλαν και Ἀκύλαν ἐπέλθωμεν· καίτοι γε οὐ μικρὰ τὸ προοίμιον αὐτῆς ἡμᾶς ὠφέλησε. Καὶ γὰρ ἐδίδαξεν ἡμᾶς πόσον μὲν ἀγαθὸν ἔργον, πόσον δὲ κακὸν ἀργία, καὶ τίς ἡ Παύλου ψυχή, πῶς ἄγρυπνος καὶ μεμεριμνημένη, οὐ κατὰ πόλεις καὶ δήμους καὶ ἔθνη, ἀλλὰ καὶ καθ' ἕνα ἕκαστον τῶν πιστῶν πολλὴν ποιουμένη τὴν πρόνοιαν. Ἔδειξε πῶς οὐδὲν εἰς φιλοξενίαν ἡ πενία γίνεται κώλυμα, καὶ ὅτι οὐ πλούτου καὶ χρημάτων, ἀλλὰ ἀρετῆς πανταχοῦ χρεία καὶ προαιρέσεως εὐλάβειαν ἐχούσης, καὶ ὅτι πάντων εἰσὶ λαμπρότεροι οἱ τὸν τοῦ Θεοῦ φόβον ἔχοντες, κἂν εἰς πενίαν ἐσχάτην κατενεχθῶσι.

Τὴν γοῦν Πρίσκιλλαν καὶ Ἀκύλαν, σκηνοποιοὺς ὄντας καὶ χειροτέχνας καὶ ἐν πτωχείᾳ ζῶντας, τῶν βασιλέων πάντων



ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΗ

ΣΤΟΝ ΑΚΥΛΑ ΚΑΙ ΤΗΝ ΠΡΙΣΚΙΛΛΑ

καὶ στὸ νὰ μὴν κακολογοῦμε τοὺς ἱερεῖς τοῦ Θεοῦ

1. Ἄραγε διδαχθήκατε νὰ μὴ θεωρεῖτε τίποτε ἀσήμαντο ἀπ' αὐτὰ ποὺ βρίσκονται στὴ θεία Γραφή; ἄραγε μάθατε νὰ ἐξετάζετε μὲ προσοχὴ καὶ τὶς ἐπιγραφὲς καὶ τὰ ὀνόματα καὶ τὰ ἁπλὰ χαιρετίσματα, ποὺ εἶναι γραμμένα στὰ θεῖα Λόγια; Γιατὶ ἐγὼ νομίζω πὼς κανεὶς ἀπὸ τοὺς φιλόπονους δὲ θὰ ἀνεχθεῖ νὰ παρατρέξει κάτι ἀπὸ τὰ λόγια ποὺ βρίσκονται στὶς Γραφές, εἴτε εἶναι κατάλογος ὀνομάτων εἴτε χρονολογίες εἴτε ἁπλὴ προσφώνηση σὲ κάποιους. Ἀλλ' ὅμως, γιὰ νὰ γίνει πιὸ σίγουρη ἡ διόρθωση αὐτή, ἐμπρὸς καὶ σήμερα ἂς ἐξετάσουμε τὰ ὑπόλοιπα τοῦ χαιρετισμοῦ πρὸς τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα· ἂν καὶ βέβαια δὲ μᾶς ὠφέλησε λίγο τὸ προοίμιό του. Γιατὶ πραγματικὰ μᾶς δίδαξε πόσο καλὸ πράγμα εἶναι ἡ ἐργασία καὶ πόσο κακὸ ἡ ἀργία, ἐπίσης ποιά ἦταν ἡ ψυχὴ τοῦ Παύλου, πῶς ἦταν ἄγρυπνη καὶ γεμάτη φροντίδες, φροντίζοντας πολὺ ὄχι γιὰ πόλεις καὶ λαοὺς καὶ ἔθνη, ἀλλὰ καὶ γιὰ τὸν καθένα ἀπὸ τοὺς πιστοὺς χωριστά. Μᾶς ἔδειξε πῶς ἡ φτώχεια δὲ γίνεται καθόλου ἐμπόδιο γιὰ τὴ φιλοξενία καὶ ὅτι ὄχι πλοῦτο καὶ χρήματα ἀλλὰ ἀρετὴ χρειάζεται παντοῦ καὶ διάθεση γεμάτη εὐλάβεια, καὶ ὅτι ἀπ' ὅλους πιὸ λαμπροὶ εἶναι ἐκεῖνοι ποὺ ἔχουν τὸ φόβο τοῦ Θεοῦ ἀκόμη καὶ ἂν πέσουν στὴ χειρότερη φτώχεια.

Τὴν Πρίσκιλλα λοιπὸν καὶ τὸν Ἀκύλα, ποὺ ἦταν σκηνοποιοὶ καὶ ἐργάζονταν μὲ τὰ χέρια καὶ ζοῦσαν μὲ φτώχεια, τοὺς

μᾶλλον ἐμακαρίζομεν νῦν· καὶ οἱ μὲν ἐν ἀξιώμασι καὶ δυναστείαις σεσίγηνται, ὁ δὲ σκηνοποιὸς μετὰ τῆς γυναικὸς ᾄδονται πανταχοῦ τῆς οἰκουμένης. Εἰ δὲ ἐνταῦθα τοσαύτης ἀπολαύουσι δόξης, ἐννόησον ὅσον κατὰ τὴν ἡμέραν ἐκείνην ἀξιωθήσονται τῶν ἀντιδόσεων καὶ τῶν στεφάνων· καὶ πρὸ τῆς ἡμέρας δὲ ἐκείνης, οὐ μικρὰν καὶ ἡδονὴν καὶ ὠφέλειαν καὶ δόξαν ἐκαρπώσαντο νῦν, Παύλῳ τοσοῦτον συζήσαντες χρόνον. Καὶ γάρ, ὅπερ ἔμπροσθεν ἔλεγον, τοῦτο καὶ νῦν λέγω καὶ λέγων οὐ παύσομαι, ὅτι οὐχ ἡ διδασκαλία μόνον οὐδὲ ἡ παραίνεσις καὶ συμβουλή, ἀλλὰ καὶ αὕτη ἡ ὄψις τῶν ἁγίων πολλὴν εἶχεν ἡδονὴν καὶ ὠφέλειαν, καὶ αὐτὸς δὲ τῶν ἱματίων ὁ στολισμὸς καὶ αὐτὸς τῶν ὑποδημάτων ὁ τρόπος. Καὶ γὰρ ἐντεῦθεν πολλή τις εἰς τὸν ἡμέτερον εἰσενήνεκται βίον ὠφέλεια, τὸ μαθεῖν μέχρι ποῦ τοῖς ἀναγκαίοις ἐχρῶντο.

Οὐδὲ γὰρ μόνον τὸ μέτρον οὐχ ὑπερέβαινον τῆς χρείας, ἀλλ' ἔστιν ὅπου οὔτε τῆς χρείας αὐτῆς ἀπέλαυον ἁπάσης· ἀλλὰ καὶ ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι διετέλεσαν. Καὶ τοῖς μὲν μαθηταῖς ἐπιτάττων ὁ Παῦλος ἔλεγεν, «ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα», περὶ δὲ ἑαυτοῦ φαίνεται λέγων, ὅτι «ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα». Ἀλλὰ γὰρ ἃ μεταξὺ ἔλεγον καὶ μετὰ ταῦτα εἰσῆλθεν, ἀναγκαῖον εἰς μέσον παραθεῖναι πολλὴν ἔχοντα τὴν ζήτησιν. Τί δὲ τοῦτό ἐστιν; Ἔλεγον, ὅτι καὶ ὁ τῶν ἀποστολικῶν ἱματίων στολισμὸς παρέχει πολλὴν ἡμῖν τὴν ὠφέλειαν· μεταξὺ δέ με ταῦτα λέγοντα εἰσῆλθεν ὁ νόμος τοῦ Χριστοῦ, ὃν ἔθηκεν αὐτοῖς, οὕτω λέγων· «μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μηδὲ ὑποδήματα μηδὲ ῥάβδον εἰς τὴν ὁδόν»· φαίνεται δὲ Πέτρος σανδάλια ἔχων. Ὅτε γοῦν ὁ ἄγγελος καθεύδοντα αὐτὸν ἐξύπνισε καὶ ἐξήγαγε τοῦ δεσμωτηρίου, φησίν· «ὑπόδησαι τὰ σανδάλιά σου καὶ

1. Α' Τιμ. 6,8.
2. Α' Κορ. 4,11.
3. Ματθ. 10,9–10.

μακαρίζουμε τώρα περισσότερο ἀπ' ὅλους τοὺς βασιλεῖς· καὶ ἐκεῖνοι ποὺ εἶχαν ἀξιώματα καὶ ἐξουσίες ἔχουν ξεχασθεῖ, ἐνῶ ὁ σκηνοποιὸς μαζὶ μὲ τὴ γυναίκα του ὑμνοῦνται σὲ ὅλα τὰ μέρη τῆς γῆς. Ἂν ὅμως ἐδῶ ἀπολαμβάνουν τόσο μεγάλη δόξα, σκέψου κατὰ τὴν ἡμέρα ἐκείνη πόσο ἄξιοι θὰ κριθοῦν γιὰ τὴν ἀνταπόδοση καὶ τὰ βραβεῖα. Ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν ἡμέρα ἐκείνη δὲν κέρδισαν καὶ ἐδῶ μικρὴ εὐχαρίστηση καὶ ὠφέλεια καὶ δόξα, ἀφοῦ ἔζησαν τόσα χρόνια μαζὶ μὲ τὸν Παῦλο. Γιατὶ βέβαια, αὐτὸ ποὺ ἔλεγα πιὸ μπροστά, αὐτὸ καὶ τώρα θὰ πῶ καὶ δὲ θὰ σταματήσω νὰ τὸ λέγω, ὅτι ὄχι μόνο ἡ διδασκαλία οὔτε ἡ παραίνεση καὶ ἡ συμβουλή, ἀλλὰ καὶ αὐτὴ ἡ ἐξωτερικὴ ἐμφάνιση τῶν ἁγίων προξενοῦσε πολλὴ εὐχαρίστηση καὶ ὠφέλεια καθὼς καὶ ὁ τρόπος τοῦ ντυσίματος καὶ ἡ ποιότητα τῶν ὑποδημάτων τους. Γιατὶ καὶ ἀπὸ ἐδῶ μπορεῖ νὰ προκύψει μεγάλη ὠφέλεια στὴ ζωή μας, μαθαίνοντας δηλαδὴ μέχρι ποιό σημεῖο χρησιμοποοῦσαν τὰ ἀναγκαῖα.

Πραγματικὰ ὄχι μόνο δὲν ξεπερνοῦσαν τὸ μέτρο τῆς ἀνάγκης, ἀλλὰ πολλὲς φορὲς οὔτε καὶ τὰ ἴδια τὰ ἀναγκαῖα ἀπολάμβαναν ὅλα, ἀλλὰ ἔζησαν καὶ μὲ πείνα καὶ μὲ δίψα καὶ μὲ γύμνια. Ὁ Παῦλος λοιπὸν δίνοντας ἐντολὲς στοὺς μαθητές του ἔλεγε, «ἂν ἔχουμε τροφὲς καὶ σκεπάσματα, ἂς ἀρκεσθοῦμε σ' αὐτά»[1], ἐνῶ γιὰ τὸν ἑαυτό του φαίνεται νὰ λέγει, «μέχρι τὴν ὥρα αὐτὴ καὶ πεινᾶμε καὶ διψᾶμε καὶ γυρνᾶμε γυμνοὶ καὶ δερνόμαστε»[2]. Ἀλλ' ὅμως αὐτὰ ποὺ στὸ μεταξὺ εἶπα καὶ τὰ ὅσα ἦρθαν στὴ συνέχεια στὸ νοῦ εἶναι ἀνάγκη νὰ τὰ παρουσιάσω στὴ μέση, ἐπειδὴ ἀπαιτοῦν πολλὴ ἐξέταση. Καὶ ποιά εἶναι αὐτά; Ἔλεγα ὅτι καὶ τὸ ντύσιμο τῶν ἀποστόλων μᾶς παρέχει μεγάλη ὠφέλεια. Καὶ καθὼς ἔλεγα αὐτὰ μοῦ ἦρθε στὸ νοῦ ὁ νόμος τοῦ Χριστοῦ ποὺ ὅρισε σ' ἐκείνους λέγοντας αὐτά· «μὴν πάρετε στὸ ζωνάρι σας χρυσὸ ἢ ἀσημένιο ἢ χάλκινο νόμισμα οὔτε ὑποδήματα οὔτε ραβδὶ γιὰ τὸ δρόμο»[3], ἀλλὰ φαίνεται ὅτι ὁ Πέτρος εἶχε σανδάλια. Γιατὶ ὅταν ὁ ἄγγελος τὸν ξύπνησε τότε ποὺ κοιμόταν καὶ τὸν ὁδήγησε ἔξω ἀπὸ τὴ φυλακή, τοῦ λέγει· «βάλε τὰ σανδάλια σου καὶ φόρεσε τὸ ἱμάτιό σου καὶ ἀκολούθα

περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι». Καὶ Παῦλος δὲ Τιμοθέῳ γράφων λέγει· «τὸν φελόνην, ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ, φέρε ἐρχόμενος, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας».

Τί λέγεις; ὁ Χριστὸς οὐδὲ ὑποδήματα ἐκέλευσεν ἔχειν καὶ σὺ φελόνην ἔχεις καὶ ἕτερος σανδάλια πάλιν; Καὶ εἰ μὲν τῶν εὐτελῶν τινες ἦσαν καὶ τῶν οὐ πάντοτε τῷ Διδασκάλῳ πειθομένων οὐκ ἦν ζήτημα τὸ λεγόμενον, ἐπειδὴ δὲ οἱ καὶ τὰς ψυχὰς ἑαυτῶν ἐπιδιδόντες καὶ κορυφαῖοι καὶ πρῶτοι τῶν μαθητῶν εἰσιν οὗτοι καὶ πάντα ἐπείθοντο τῷ Χριστῷ, ὁ δὲ Παῦλος οὐ μόνον τὰ ἐπιταττόμενα ἐποίει ἀλλὰ καὶ ὑπὲρ τὰ σκάμματα ἐπεπήδα, κἀκείνου κελεύοντος ἐκ τοῦ Εὐαγγελίου ζῆν, οὗτος ἐκ τῶν χειρῶν αὐτοῦ ἔζη, πλέον τι τῶν ἐπιτεταγμένων ποιήσας, ἄξιον ὄντως ζητῆσαι, τίνος ἕνεκεν πάντα αὐτῷ πειθόμενοι, ἐνταῦθα δοκοῦσι παραβαίνειν αὐτοῦ τὸν νόμον. Ἀλλ' οὐ παραβαίνουσιν. Οὐδὲ γὰρ εἰς τοῦτο χρήσιμος ἡμῖν οὗτος ἔσται μόνον ὁ λόγος, εἰς τὴν ὑπὲρ τῶν ἁγίων ἐκείνων ζήτησιν, ἀλλὰ καὶ εἰς τὸ τὰ τῶν Ἑλλήνων ἐμφράξαι στόματα. Καὶ γὰρ πολλοὶ χηρῶν οἰκίας ἀνατρέποντες, ὀρφανοὺς γυμνοῦντες, τὰ πάντων περιβαλλόμενοι, λύκων οὐδὲν ἄμεινον διακείμενοι, ἐκ τῶν ἀλλοτρίων ζῶντες πόνων, ὁρῶντες πολλάκις τινὰς τῶν πιστῶν δι' ἀρρωστίαν σώματος πλείονα περιβεβλημένους ἱμάτια, τὸν νόμον εὐθέως ἡμῖν τοῦ Χριστοῦ προβάλλονται καὶ ταῦτα λέγουσι τὰ ῥήματα· 'οὐκ ἐκέλευσεν ὑμῖν ὁ Χριστὸς μὴ ἔχειν δύο χιτῶνας μηδὲ ὑποδήματα; πῶς οὖν ὑμεῖς παραβαίνετε τὸν νόμον τὸν περὶ τούτων κείμενον;' Εἶτα, δαψιλὲς γελάσαντες καὶ ἀνακαγχάσαντες καὶ καταισχύναντες τὸν ἀδελφόν, ἀποπηδῶσιν.

Ἵν' οὖν μὴ ταῦτα γένηται, φέρε καὶ τὴν ἐκείνων ἀναισχυντίαν ἐπιστομίσωμεν. Ἐξῆν μὲν οὖν τοῦτο πρὸς αὐτοὺς μόνον εἰπόντας ἀπαλλαγῆναι. Ποῖον δὲ τοῦτο; Ὅτι εἰ μὲν ἀξιόπιστόν

4. Πράξ. 12,8.
5. Β' Τιμ. 4,13.

με»[4]. Ἀλλὰ καὶ ὁ Παῦλος γράφοντας στὸν Τιμόθεο λέγει· «καθὼς θὰ ἔρχεσαι φέρε τὸ ἐπανωφόρι ποὺ ἄφησα στὴν Τρωάδα στὸ σπίτι τοῦ Κάρπου, καὶ τὰ βιβλία, προπαντὸς αὐτὰ ποὺ εἶναι γραμμένα σὲ μεμβράνες»[5].

Τί λέγεις; ὁ Χριστὸς πρόσταξε νὰ μὴν ἔχεις οὔτε ὑποδήματα καὶ σὺ ἔχεις ἐπανωφόρι καὶ ὁ ἄλλος πάλι σανδάλια; Καὶ ἂν βέβαια ἦταν κάποιοι ἀπὸ τοὺς ἀσήμαντους καὶ ἀπὸ ἐκείνους ποὺ δὲν ὑπάκουαν πάντοτε στὸ Διδάσκαλο δὲ θὰ δημιουργοῦσε ζήτημα τὸ λεγόμενο, ἐπειδὴ ὅμως αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ παρέδωσαν καὶ τὴν ψυχή τους ἀκόμη, οἱ κορυφαῖοι καὶ πρῶτοι ἀπὸ τοὺς ἀποστόλους καὶ ποὺ πάντοτε ὑπάκουαν στὸ Χριστό, καὶ ὁ Παῦλος ὄχι μόνο ἐκτελοῦσε τὶς ἐντολὲς ἀλλὰ καὶ ὁρμοῦσε σὲ μεγαλύτερους κινδύνους, καὶ ἐνῶ ἐκεῖνος πρόσταζε νὰ ζεῖ ἀπὸ τὸ Εὐαγγέλιο, αὐτὸς ζοῦσε ἀπὸ τὰ χέρια του, κάνοντας κάτι περισσότερο ἀπὸ τὶς ἐντολές, ἀξίζει πραγματικὰ νὰ ἐρευνήσουμε, γιὰ ποιό λόγο ἐνῶ ὑπάκουαν σὲ ὅλα σ' αὐτόν, ἐδῶ φαίνονται νὰ παραβαίνουν τὸ νόμο του. Ἀλλὰ δὲν τὸν παραβαίνουν. Γιατὶ ὁ λόγος αὐτὸς δὲ θὰ μᾶς εἶναι χρήσιμος μόνο σ' αὐτό, στὴν ἔρευνα δηλαδὴ γιὰ τοὺς ἁγίους ἐκείνους, ἀλλὰ καὶ στὸ νὰ κλείσουμε τὰ στόματα τῶν εἰδωλολατρῶν. Γιατὶ πραγματικὰ πολλοί, διαλύοντας σπίτια χηρῶν, ξεγυμνώνοντας ὀρφανά, κάνοντας δικά τους ὅλων τὰ πράγματα, δὲ συμπεριφέρονται καθόλου καλύτερα ἀπὸ λύκους, ζώντας ἀπὸ τοὺς ξένους κόπους, καὶ ὅταν βλέπουν πολλὲς φορὲς κάποιους ἀπὸ τοὺς πιστοὺς νὰ φοροῦν ἐξ αἰτίας κάποιας σωματικῆς ἀρρώστιας περισσότερα ροῦχα μᾶς παρουσιάζουν ἀμέσως τὸ νόμο τοῦ Χριστοῦ καὶ μᾶς λέγουν αὐτὰ τὰ λόγια· 'δὲ σᾶς πρόσταξε ὁ Χριστὸς νὰ μὴν ἔχετε δύο χιτῶνες οὔτε ὑποδήματα; πῶς λοιπὸν ἐσεῖς παραβαίνετε τὸ νόμο ποὺ ἀναφέρεται σ' αὐτά;' Στὴ συνέχεια, ἀφοῦ γελάσουν καὶ καγχάσουν μὲ τὸ παραπάνω καὶ ἀφοῦ καταντροπιάσουν τὸν ἀδελφό, ἀπομακρύνονται.

Γιὰ νὰ μὴν γίνονται λοιπὸν αὐτά, ἐμπρὸς ἂς ἀποστομώσουμε καὶ τὴ δική τους ἀδιαντροπιά. Θὰ μπορούσαμε βέβαια ν' ἀπαλλαγοῦμε ἀπ' αὐτοὺς ἀφοῦ τοὺς ποῦμε αὐτὸ μόνο. Καὶ ποιό

τινα νομίζεις εἶναι τὸν Χριστόν, εἰκότως ταῦτα προβάλλῃ καὶ ζητεῖς πρὸς ἡμᾶς, εἰ δὲ ἀπιστεῖς αὐτῷ τίνος ἕνεκεν προβάλλῃ τὰς νομοθεσίας; Ἀλλ᾽ ὅταν μὲν ἡμῶν κατηγορεῖν ἐθέλῃς ἀξιόπιστος νομοθέτης ὁ Χριστὸς εἶναί σοι δοκεῖ, ὅταν δὲ αὐτὸν προσκυνεῖν δέῃ καὶ θαυμάζειν οὐδεὶς οὐκέτι σοι λόγος τοῦ κοινοῦ τῆς οἰκουμένης Δεσπότου.

2. Πλὴν ἀλλ᾽ ἵνα μὴ δι᾽ ἀπορίαν ἀπολογίας τοῦτο λέγειν ἡμᾶς νομίζωσιν, ἐπ᾽ αὐτὴν ἴωμεν λοιπὸν τῶν ζητουμένων τὴν λύσιν. Τίς οὖν ἡ λύσις ἔσται; Ἐὰν ἴδωμεν τίσι καὶ πότε καὶ διὰ τί ταῦτα ἐπέταττεν ὁ Χριστός. Οὐ γὰρ ἁπλῶς αὐτὰ καθ᾽ ἑαυτὰ τὰ λεγόμενα ἐξετάζειν χρή, ἀλλὰ καὶ πρόσωπον καὶ καιρὸν καὶ αἰτίαν καὶ πάντα ταῦτα μετὰ ἀκριβείας δεῖ ἐρευνᾶσθαι. Εὑρήσομεν γὰρ ἀκριβῶς σκοποῦντες, ὅτι οὐ πᾶσι ταῦτα ἐπετέτακτο, ἀλλὰ τοῖς ἀποστόλοις μόνοις, καὶ ἐκείνοις δὲ οὐ μέχρι παντός, ἀλλὰ μέχρι τινὸς διωρισμένου καιροῦ. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῶν τῶν εἰρημένων· καλέσας γὰρ τοὺς δώδεκα μαθητὰς εἶπεν αὐτοῖς, «εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε· δωρεὰν δότε· μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν».

Ὅρα Διδασκάλου σοφίαν, πῶς κοῦφον ἐποίησε τὸ ἐπίταγμα. Πρότερον γὰρ εἰπών, «ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε», καὶ τὴν παρ᾽ αὐτοῦ χάριν δαψιλῆ δοὺς αὐτοῖς, τότε ταῦτα ἐπέταξε, τῇ τῶν σημείων περιουσίᾳ ῥᾳδίαν καὶ κούφην ποιῶν τὴν πενίαν ἐκείνην. Οὐκ ἐντεῦθεν δὲ μόνον δῆλον, ὅτι αὐτοῖς μόνοις ταῦτα ἐπετέτακτο, ἀλλὰ καὶ ἐξ ἑτέρων πολλῶν. Καὶ γὰρ τὰς παρθένους ἐκείνας διὰ τοῦτο

---

6. Ματθ. 10,6–9.

εἶναι αὐτό; Ὅτι δηλαδή, ἂν νομίζεις πὼς ἀξίζει νὰ πιστεύει κανεὶς στὸ Χριστό, εὔλογα τὰ προβάλλεις αὐτὰ καὶ τὰ ἐρωτᾶς σὲ μᾶς, ἂν ὅμως δὲν πιστεύεις σ' αὐτόν, γιὰ ποιό λόγο προβάλλεις τὶς ἐντολές του; Ἀλλ' ὅταν θέλεις νὰ μᾶς κατηγορεῖς, ὁ Χριστὸς σοῦ φαίνεται πὼς εἶναι νομοθέτης ἄξιος νὰ τὸν πιστεύει κανείς, ὅταν ὅμως πρέπει νὰ τὸν προσκυνεῖς καὶ νὰ τὸν θαυμάζεις, οὔτε ἕνα λόγο λέγεις πιὰ γιὰ τὸν κοινὸ Κύριο τῆς οἰκουμένης.

2. Ἀλλ' ὅμως γιὰ νὰ μὴ νομίζουν πὼς τὸ λέμε αὐτὸ ἀπὸ ἔλλειψη δικαιολογίας, ἂς ἔρθουμε στὴ συνέχεια στὴν ἴδια τὴ λύση τοῦ θέματος. Ποιά λοιπὸν θὰ εἶναι ἡ λύση; Ἂν δοῦμε σὲ ποιούς καὶ πότε καὶ γιατί τὰ πρόσταξε αὐτὰ ὁ Χριστός. Γιατὶ δὲν πρέπει νὰ ἐξετάζουμε μόνο τὰ λεγόμενα ἀνεξάρτητα μὲ τὰ ὑπόλοιπα, ἀλλὰ καὶ τὸ πρόσωπο καὶ τὸν καιρὸ καὶ τὴν αἰτία καὶ ὅλα αὐτὰ πρέπει νὰ τὰ ἐρευνᾶμε μὲ ἀκρίβεια. Θὰ βροῦμε λοιπὸν ἐξετάζοντας προσεκτικὰ ὅτι αὐτὰ δὲν τὰ εἶχε προστάξει σὲ ὅλους, ἀλλὰ στοὺς ἀποστόλους μόνο, καὶ σ' ἐκείνους ὅμως ὄχι γιὰ πάντα ἀλλὰ μέχρι κάποιο ὁρισμένο χρονικὸ διάστημα. Ἀπὸ ποῦ γίνεται φανερὸ αὐτό; Ἀπὸ τὰ ἴδια τὰ λεχθέντα. Γιατὶ ὅταν κάλεσε τοὺς δώδεκα μαθητὲς τοὺς εἶπε· «στοὺς εἰδωλολάτρες μὴν πηγαίνετε καὶ σὲ πόλη Σαμαρειτῶν μὴν μπαίνετε, ἀλλὰ πηγαίνετε μᾶλλον στὰ χαμένα πρόβατα τῆς γενεᾶς τοῦ Ἰσραήλ· νὰ θεραπεύετε τοὺς ἀρρώστους, νὰ καθαρίζετε τοὺς λεπρούς, νὰ διώχνετε τὰ δαιμόνια· δωρεὰν τὰ λάβατε, δωρεὰν καὶ νὰ τὰ δίνετε· μὴν πάρετε στὸ ζωνάρι σας χρυσὸ ἢ ἀσημένιο ἢ χάλκινο νόμισμα»[6].

Πρόσεχε τὴ σοφία τοῦ Διδασκάλου, πῶς ἔκαμε ἐλαφριὰ τὴν προσταγή. Γιατί, ἀφοῦ πρῶτα εἶπε «νὰ θεραπεύετε τοὺς ἀρρώστους, νὰ καθαρίζετε τοὺς λεπρούς, νὰ διώχνετε τὰ δαιμόνια», καὶ ἀφοῦ τοὺς ἔδωσε πλούσια τὴ χάρη του, τότε τὰ πρόσταξε αὐτά, κάνοντας μὲ τὰ πολλὰ θαύματα εὔκολη καὶ ἐλαφριὰ ἐκείνη τὴ φτώχεια. Καὶ ὄχι μόνο ἀπὸ ἐδῶ εἶναι φανερὸ πὼς σ' αὐτοὺς μόνο τὰ εἶχε προστάξει αὐτὰ ἀλλὰ καὶ ἀπὸ πολλὰ ἄλλα. Γιατὶ καὶ τὶς παρθένες ἐκεῖνες γι' αὐτὸ τὶς τιμώρησε, ἐπειδὴ

ἐκόλασεν, ἐπειδὴ ἔλαιον οὐκ εἶχον ἐν ταῖς λαμπάσιν αὐτῶν· καὶ ἑτέροις ἐγκαλεῖ, ὅτι πεινῶντα αὐτὸν εἶδον καὶ οὐκ ἔθρεψαν, διψῶντα καὶ οὐκ ἐπότισαν. Τὸν τοίνυν οὐκ ἔχοντα χαλκὸν οὐδὲ ὑποδήματα ἀλλ' ἓν ἱμάτιον μόνον, πῶς δυνατὸν ἦν ἕτερον διαθρέψαι, πῶς γυμνὸν περιβαλεῖν, πῶς ἄστεγον εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; Χωρὶς δὲ τούτων καὶ ἑτέρωθεν αὐτὸ τοῦτο δῆλον ἔσται καὶ καταφανές. Προσελθόντος γάρ τινος καὶ εἰπόντος, «διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;»· ἐπειδὴ τὰ τοῦ νόμου κατέλεξεν ἅπαντα, ὁ δὲ περιεργαζόμενος, ἔλεγε, «ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι μοι ὑστερεῖ;», λέγει πρὸς αὐτόν, «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ δεῦρο, ἀκολούθει μοι».

Καίτοι εἰ νόμος καὶ πρόσταγμα ἦν τοῦτο πρῶτον ἐξαρχῆς εἰπεῖν ἔδει καὶ νομοθετῆσαι καὶ ἐν προστάγματος τάξει θεῖναι, ἀλλὰ μὴ ἐν συμβουλῇ καὶ παραινέσει αὐτὸ εἰσηγήσασθαι. Ὅταν μὲν γὰρ λέγῃ, «μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον», ἐπιτάττων λέγει, ὅταν δὲ λέγῃ, «εἰ ἐθέλεις τέλειος εἶναι», συμβουλεύων καὶ παραινῶν λέγει. Οὐκ ἔστι δὲ ταὐτὸν συμβουλεύειν καὶ νομοθετεῖν. Ὁ μὲν γὰρ νομοθετῶν ἐκ παντὸς τρόπου βούλεται τὸ ἐπιταττόμενον γίνεσθαι, ὁ δὲ συμβουλεύων καὶ παραινῶν καὶ τῇ γνώμῃ τοῦ ἀκούοντος ἐπιτρέπων τὴν αἵρεσιν τῶν λεγομένων κύριον ποιεῖ τοῦ δέξασθαι καὶ μὴ τὸν ἀκροατήν. Διὰ δὴ τοῦτο οὐκ ἁπλῶς εἶπεν, «ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα», ἵνα μὴ νόμον εἶναι νομίσῃς τὸ λεγόμενον, ἀλλὰ πῶς; «εἰ ἐθέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα», ἵνα μάθῃς ὅτι ἐν τῇ γνώμῃ τῶν ἀκουόντων τὸ πρᾶγμα κεῖται.

Ὅτι μὲν οὖν τοῖς ἀποστόλοις ταῦτα ἐπετέτακτο μόνοις, δῆλον ἐντεῦθεν, ἀλλ' οὐδέπω τὴν λύσιν εὑρήκαμεν. Εἰ γὰρ καὶ αὐτοῖς τοῦτο νενομοθέτηται μόνοις, τίνος ἕνεκεν ἐπιταγέντες μηδὲ ὑποδήματα ἔχειν μηδὲ διπλοῦν ἱμάτιον, εὑρίσκονται ὁ μὲν

---

7. Βλ. Ματθ. 25,1–13.
8. Βλ. Ματθ. 25,31–40.
9. Ματθ. 19,16.20–21.

δὲν εἶχαν λάδι στὰ λυχνάρια τους[7], καὶ ἄλλους τοὺς κατηγορεῖ ὅτι τὸν εἶδαν νὰ πεινάει καὶ δὲν τοῦ ἔδωσαν νὰ φάει, νὰ διψάει καὶ δὲν τοῦ ἔδωσαν νὰ πιεῖ[8]. Αὐτὸς λοιπὸν ποὺ δὲν εἶχε χάλκινο νόμισμα οὔτε ὑποδήματα, ἀλλὰ ἕνα ἱματιο μόνο, πῶς ἦταν δυνατὸ νὰ θρέψει ἄλλον, πῶς νὰ ντύσει γυμνό, πῶς νὰ βάλει ἄστεγο στὸ σπίτι του; Καὶ χωρὶς αὐτά, καὶ ἀπὸ ἀλλοῦ θὰ γίνει αὐτὸ τὸ ἴδιο σαφὲς καὶ ὁλοφάνερο. Ὅταν κάποιος πλησίασε τὸν Ἰησοῦ καὶ τοῦ εἶπε, «Διδάσκαλε, τί νὰ κάνω γιὰ νὰ κληρονομήσω τὴν αἰώνια ζωή;» καὶ ὅταν ὁ Ἰησοῦς τοῦ ἀνέφερε ὅλες τὶς ἐντολὲς τοῦ νόμου, αὐτὸς μὲ ἔντονη περιέργεια τοῦ ἔλεγε· «ὅλα αὐτὰ τὰ τηρῶ ἀπὸ τὰ νιάτα μου· σὲ τί ὑστερῶ ἀκόμη;», τοῦ λέγει ὁ Ἰησοῦς· «ἂν θέλεις νὰ γίνεις τέλειος, πήγαινε, πούλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τὰ χρήματα στοὺς φτωχούς, καὶ ἔλα νὰ μὲ ἀκολουθήσεις»[9].

Ἀλλ' ἂν αὐτὸ ἦταν νόμος καὶ προσταγή, ἔπρεπε νὰ τὸ πεῖ πρῶτο ἀπὸ τὴν ἀρχὴ καὶ νὰ τὸ καθορίσει μὲ νόμο καὶ νὰ τὸ θέσει ὑπὸ μορφὴ ἐντολῆς, καὶ νὰ μὴν τὸ παρουσιάσει σὰν συμβουλὴ καὶ παραίνεση. Γιατὶ ὅταν λέγει, «νὰ μὴν ἀποκτήσετε χρυσάφι οὔτε ἀσήμι», τὸ λέγει προστάζοντας, ὅταν ὅμως λέγει, «ἂν θέλεις νὰ εἶσαι τέλειος», τὸ λέγει συμβουλεύοντας καὶ παραινώντας. Δὲν εἶναι ὅμως τὸ ἴδιο νὰ συμβουλεύει καὶ νὰ θέτει νόμους κανείς. Γιατὶ ὅποιος θέτει νόμους θέλει μὲ κάθε τρόπο νὰ ἐκτελεῖται ἡ προσταγή του, ἐνῶ ὅποιος συμβουλεύει καὶ παραινεῖ καὶ ἀφήνει στὴ διάθεση τοῦ ἀκροατῆ τὴν ἐκλογὴ τῶν λεγομένων κάμνει τὸν ἀκροατὴ κύριο νὰ τὰ δεχθεῖ ἢ ὄχι. Γι' αὐτὸ ἀκριβῶς δὲν εἶπε μόνο, «πήγαινε, πούλησε τὰ ὑπάρχοντά σου», γιὰ νὰ μὴ νομίσεις πὼς αὐτὸ εἶναι ἐντολή, ἀλλὰ πῶς; «Ἂν θέλεις νὰ εἶσαι τέλειος, πήγαινε, πούλησε τὰ ὑπάρχοντά σου», γιὰ νὰ μάθεις ὅτι τὸ πράγμα ἐξαρτᾶται ἀπὸ τὴ διάθεση τῶν ἀκροατῶν.

Τὸ ὅτι λοιπὸν στοὺς ἀποστόλους μόνο εἶχαν διαταχθεῖ αὐτὰ εἶναι φανερὸ ἀπὸ ἐδῶ, ἀλλὰ δὲ βρήκαμε ἀκόμη τὴ λύση. Γιατὶ ἂν σ' αὐτοὺς μόνο εἶχε δοθεῖ αὐτὴ ἡ ἐντολή, γιὰ ποιό λόγο ἐνῶ διατάχθηκαν νὰ μὴν ἔχουν ὑποδήματα οὔτε διπλὸ

σανδάλια κεκτημένος, ὁ δὲ καὶ φελόνην ἔχων; Τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; Ὅτι οὔτε αὐτοὺς μέχρι παντὸς ἀφῆκεν ὑπὸ ταύτην εἶναι τῶν νόμων τὴν ἀνάγκην, ἀλλ' ἐπὶ τὸν σωτήριον ἰέναι μέλλων θάνατον, ἀπέλυσεν αὐτοὺς τῆς νομοθεσίας ταύτης. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν τοῦ Σωτῆρος ρημάτων. Ἐπειδὴ γὰρ ἔμελλεν ἐπὶ τὸ πάθος ὁδεύειν καλέσας αὐτούς φησιν· «ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε; Οἱ δὲ ἀποκριθέντες εἶπον, 'οὐδενός'. Ὁ δὲ εἶπεν αὐτοῖς· 'ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον, ἀράτω καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν'».

Ἀλλ' ἴσως εἴποι τις ἄν, ὅτι 'τοὺς μὲν ἀποστόλους διὰ τῶν εἰρημένων ἀπήλλαξας τῶν ἐγκλημάτων, τὸ δὲ ζητούμενόν ἐστιν εἰπεῖν, τίνος ἕνεκεν ἐναντία ὁ Χριστὸς ἐνομοθέτησε, ποτὲ μὲν λέγων, «μὴ κτήσησθε πήραν», ποτὲ δὲ λέγων, «ὁ ἔχων βαλάντιον, ἀράτω καὶ πήραν»'. Τίνος οὖν ἕνεκεν τοῦτο πεποίηκεν; Ἀξίως τῆς αὐτοῦ σοφίας καὶ προνοίας τῆς ὑπὲρ τῶν μαθητῶν. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ταῦτα ἐπέταξεν, ἵνα ἔργῳ καὶ πείρᾳ τὴν ἀπόδειξιν τῆς αὐτοῦ δυνάμεως λάβωσι καὶ λαβόντες θαρρήσωσι λοιπὸν εἰς τὴν οἰκουμένην ἐξελθεῖν ἅπασαν. Ἐπειδὴ δὲ λοιπὸν ἱκανῶς ἔγνωσαν αὐτοῦ τὴν δύναμιν, ἐβούλετο καὶ αὐτοὺς οἴκοθεν τὴν αὐτῶν ἀρετὴν ἐπιδείξασθαι καὶ μὴ μέχρι τέλους αὐτοὺς διαβαστάζεσθαι, ἀλλ' ἐνδιδόναι πολλαχοῦ καὶ συγχωρεῖν καὶ πειρασμοὺς αὐτοὺς ὑπομένειν, ἵνα μὴ διὰ τέλους ἀργοὶ μένωσι. Καὶ καθάπερ οἱ νήχεσθαι διδάσκοντες, παρὰ μὲν τὰς ἀρχὰς τὰς αὐτῶν ὑποτιθέντες χεῖρας μετὰ πολλῆς τῆς ἀκριβείας τοὺς μαθητὰς τοὺς ἑαυτῶν διαβαστάζουσι, μετὰ δὲ πρώτην καὶ δευτέραν καὶ τρίτην ἡμέραν πολλαχοῦ τὴν δεξιὰν αὐτῶν ὑποσύροντες ἐκείνοις, κελεύουσιν ἑαυτοῖς βοηθεῖν καί που καὶ μικρὸν βαπτίζεσθαι ἐπιτρέπουσι καὶ πολλὴν τῷ στόματι δέχεσθαι τὴν ἅλμην, οὕτω δὴ καὶ ὁ Χριστὸς ἐποίησεν ἐπὶ τῶν μαθητῶν.

---

10. Λουκᾶ. 22,35–36.
11. Ματθ. 10,10.

ἱμάτιο βρίσκονται ὁ ἕνας νὰ ἔχει σανδάλια καὶ ὁ ἄλλος νὰ ἔχει ἐπανωφόρι; Τί λοιπὸν μποροῦμε νὰ ποῦμε σ' αὐτά; Ὅτι οὔτε αὐτοὺς ἄφησε νὰ εἶναι γιὰ πάντα κάτω ἀπὸ τὸν ἐξαναγκασμὸ τῶν νόμων, ἀλλ' ὅταν ἐπρόκειτο νὰ βαδίσει στὸ σωτήριο θάνατό του τοὺς ἀπάλλαξε ἀπὸ τὴν ἐντολὴ αὐτή. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἀπὸ τὰ ἴδια τὰ λόγια τοῦ Σωτήρα. Γιατί, ὅταν ἐπρόκειτο νὰ βαδίσει στὸ πάθος του, τοὺς κάλεσε καὶ τοὺς εἶπε· «ὅταν σᾶς ἔστειλα χωρὶς χρήματα καὶ σακίδιο στερηθήκατε μήπως τίποτε; Ἐκεῖνοι τοῦ ἀπάντησαν καὶ εἶπαν, 'ὄχι'. Τότε τοὺς εἶπε· 'τώρα ὅμως ὅποιος ἔχει χρήματα ἂς τὰ πάρει· τὸ ἴδιο καὶ αὐτὸς ποὺ ἔχει σακίδιο. Καὶ ὅποιος δὲν ἔχει ἂς πουλήσει τὸ ἱμάτιό του καὶ ἂς ἀγοράσει μαχαίρι'»[10].

Ἀλλὰ ἴσως θὰ μποροῦσε νὰ πεῖ κανείς· 'μὲ ὅσα ἔχουν λεχθεῖ ἀπάλλαξες τοὺς ἀποστόλους ἀπὸ τὶς κατηγορίες, τὸ ζήτημα ὅμως εἶναι γιὰ ποιό λόγο ὁ Χριστὸς ὅρισε τὰ ἀντίθετα, ἄλλοτε λέγοντας, «μὴν ἀποκτήσετε σακίδιο», καὶ ἄλλοτε λέγοντας, «ὅποιος ἔχει χρήματα ἂς τὰ πάρει, ὅπως καὶ σακίδιο»[11]'. Γιὰ ποιό λοιπὸν λόγο τὸ ἔκανε αὐτό; Τὸ ἔκαμε σύμφωνα μὲ τὴ σοφία του καὶ τὴ φροντίδα του γιὰ τοὺς μαθητές. Γιατὶ στὴν ἀρχὴ τὰ διέταξε αὐτὰ γιὰ νὰ πάρουν ἀπόδειξη τῆς δύναμής του μὲ ἔργο καὶ πείρα καὶ ἀφοῦ τὴν πάρουν νὰ τολμήσουν στὴ συνέχεια νὰ βγοῦν σὲ ὅλη τὴν οἰκουμένη. Ὅταν ὅμως ὕστερα γνώρισαν ἀρκετὰ τὴ δύναμή του, ἤθελε καὶ αὐτοὶ νὰ δείξουν μόνοι τους τὴ δική τους ἀρετὴ καὶ νὰ μὴν τοὺς συγκρατεῖ μέχρι τέλος, ἀλλὰ νὰ ἐπιτρέπει πολλὲς φορὲς καὶ νὰ ἀφήνει νὰ ὑπομένουν καὶ πειρασμούς, γιὰ νὰ μὴ μένουν μέχρι τέλος ἀργοί. Καὶ ὅπως αὐτοὶ ποὺ διδάσκουν κολύμβηση στὴν ἀρχὴ συγκρατοῦν μὲ πολλὴ προσοχὴ τοὺς μαθητές τους βάζοντας ἀπὸ κάτω τὰ χέρια τους, ἐνῶ ὕστερα ἀπὸ τὴν πρώτη καὶ τὴ δεύτερη καὶ τὴν τρίτη ἡμέρα ἀποσύροντας πολλὲς φορὲς τὸ χέρι τους ἀπ' αὐτοὺς τοὺς προστάζουν νὰ βοηθοῦν τὸν ἑαυτό τους καὶ κάπου κάπου τοὺς ἀφήνουν γιὰ λίγο νὰ βουλιάζουν καὶ νὰ παίρνουν στὸ στόμα τους πολλὴ ἁρμύρα, ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ Χριστὸς στοὺς μαθητές του.

Ἐν ἀρχῇ καὶ ἐν προοιμίοις οὐ μικρόν, οὐ μέγα αὐτοὺς ἀφῆκε παθεῖν, ἀλλὰ πανταχοῦ παρῆν τειχίζων αὐτούς, περιφράττων, πάντα μετὰ ἀφθονίας αὐτοῖς ἐπιρρεῖν παρασκευάζων· ἐπειδὴ δὲ ἔδει καὶ τὴν ἀνδρείαν αὐτοὺς ἐπιδείξασθαι τὴν αὐτῶν συνέστειλεν ὀλίγῳ τὴν χάριν, ἐγκελευσάμενος αὐτοῖς πολλὰ καὶ δι' ἑαυτῶν ἀνύειν· διά τοι τοῦτο, ὅτε μὲν οὐκ εἶχον ὑποδήματα οὐδὲ ζώνην οὐδὲ ῥάβδον οὐδὲ χαλκὸν οὐδενὸς ὑστερήθησαν, «μή τινος» γάρ, φησίν, «ὑστερήσατε; Οἱ δὲ ἀποκριθέντες εἶπον· 'οὐδενός'», ἐπειδὴ δὲ αὐτοὺς ἐκέλευσε καὶ βαλάντιον ἔχειν καὶ πήραν καὶ ὑποδήματα, εὑρίσκονται καὶ πεινῶντες καὶ διψῶντες καὶ γυμνητεύοντες. Ὅθεν δῆλον, ὅτι πολλαχοῦ συνεχώρει καὶ παρακινδυνεύειν αὐτοὺς καὶ στενοχωρεῖσθαι, ἵνα τινὰ μισθὸν ἔχωσιν.

Οὕτω που καὶ οἱ ὄρνιθες τοῖς νεοττοῖς ποιοῦσι τοῖς ἑαυτῶν· καὶ γὰρ ἐκεῖνοι, ἕως μὲν τὰ πτερὰ ἁπαλὰ ἔχουσιν ἐπὶ τῆς καλιᾶς καθήμενοι θάλπουσιν, ἐπειδὰν δὲ ἴδωσι πτεροφυήσαντας καὶ δυναμένους τὸν ἀέρα τέμνειν, πρῶτον μὲν περὶ αὐτὴν τὴν καλιὰν ἵπτασθαι παρασκευάζουσιν, ἔπειτα δὲ καὶ πορωτέρω περιάγουσι, παρὰ μὲν τὴν ἀρχὴν ἑπόμεναι καὶ διαβαστάζουσαι, μετὰ δὲ ταῦτα αὐτοὺς ἑαυτοῖς ἀφιεῖσαι βοηθεῖν. Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, καθάπερ ἐν καλιᾷ, τῇ Παλαιστίνῃ τρέφων τοὺς μαθητάς· ἐπειδὴ δὲ πέτεσθαι ἐδίδαξε παρὼν καὶ διαβαστάζων αὐτούς, τέλος ἀφῆκεν εἰς τὴν οἰκουμένην πτῆναι, κελεύσας καὶ ἑαυτοῖς πολλαχοῦ βοηθεῖν.

Καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς καὶ ἵνα τὴν δύναμιν αὐτοῦ μάθωσι, πάντων αὐτοὺς ἐγύμνωσε καὶ μονοχίτωνας ἀπέστειλε καὶ χωρὶς ὑποδημάτων ἐκέλευσε βαδίζειν, αὐτῆς οὖν τῆς ῥήσεως ἀκούσαντες σαφῶς εἰσόμεθα. Οὐ γὰρ ἁπλῶς εἶπεν αὐτοῖς, «ἄρατε βαλάντιον καὶ πήραν», ἀλλ' ἀνέμνησεν αὐτοὺς τῶν προτέρων, οὕτως εἰπών· «ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας, μή τινος ὑστερήσατε;», τουτέστιν, 'οὐ πάντα μετὰ ἀφθο-

Στὴν ἀρχὴ καὶ στὸ ξεκίνημα δὲν τοὺς ἄφησε νὰ πάθουν οὔτε κάτι μικρὸ οὔτε κάτι μεγάλο, ἀλλὰ παντοῦ ἦταν παρὼν ὀχυρώνοντας καὶ περιφράζοντας αὐτούς, κάνοντας νὰ ἔρχονται ὅλα σ' αὐτοὺς μὲ ἀφθονία. Ἐπειδὴ ὅμως ἔπρεπε νὰ δείξουν καὶ τὴ δική τους ἀνδρεία, μείωσε λίγο τὴ χάρη, παροτρύνοντας αὐτοὺς νὰ κατορθώνουν καὶ πολλὰ ἀπὸ μόνοι τους. Γι' αὐτὸ ἀκριβῶς ὅταν δὲν εἶχαν ὑποδήματα οὔτε ζωνάρι οὔτε ραβδὶ οὔτε χάλκινο νόμισμα, δὲ στερήθηκαν τίποτε. «Μήπως στερηθήκατε», λέγει, «τίποτε; Καὶ αὐτοὶ τοῦ ἀπάντησαν καὶ εἶπαν· 'ὄχι'». Ὅταν ὅμως τοὺς διέταξε νὰ ἔχουν καὶ χρήματα καὶ σακίδιο καὶ ὑποδήματα, παρουσιάζονται καὶ νὰ πεινοῦν καὶ νὰ διψοῦν καὶ νὰ εἶναι γυμνοί. Ἐπομένως εἶναι φανερὸ ὅτι σὲ πολλὲς περιπτώσεις τοὺς ἐπέτρεπε καὶ νὰ διακινδυνεύουν καὶ νὰ στενοχωροῦνται, γιὰ νὰ ἔχουν κάποια ἀμοιβή.

Κάτι τέτοιο κάνουν καὶ τὰ πουλιὰ γιὰ τὰ μικρά τους. Γιατὶ καὶ αὐτὰ ὥσπου τὰ μικρὰ ἔχουν τὰ φτερά τους τρυφερὰ κάθονται στὴ φωλιὰ καὶ τὰ ζεσταίνουν, ὅταν ὅμως δοῦν πὼς ἔβγαλαν φτερὰ καὶ μποροῦν νὰ σχίζουν τὸν ἀέρα, πρῶτα τὰ προετοιμάζουν νὰ πετοῦν γύρω ἀπὸ τὴ φωλιά τους, ὕστερα ὅμως τὰ περιφέρουν καὶ πιὸ μακριά, καὶ ἐνῶ στὴν ἀρχὴ τὰ ἀκολουθοῦν καὶ τὰ ὑποβαστάζουν, στὴ συνέχεια τὰ ἀφήνουν νὰ βοηθήσουν μόνα τους τὸν ἑαυτό τους. Ἔτσι καὶ ὁ Χριστὸς ἔκαμε, τρέφοντας στὴν Παλαιστίνη, σὰν σὲ φωλιά, τοὺς μαθητές. Ἀφοῦ τοὺς ἔμαθε νὰ πετοῦν μένοντας μαζί τους καὶ βοηθώντας τους, στὴ συνέχεια τοὺς ἄφησε νὰ πετάξουν στὴν οἰκουμένη, ἀφοῦ τοὺς πρόσταξε νὰ βοηθοῦν σὲ πολλὲς περιπτώσεις καὶ ἴδιοι τὸν ἑαυτό τους.

Καὶ ὅτι αὐτὸ εἶναι ἀλήθεια, καὶ ὅτι γιὰ νὰ μάθουν τὴ δύναμή του τοὺς ἀπογύμνωσε ἀπ' ὅλα καὶ τοὺς ἀπέστειλε μ' ἕνα χιτώνα καὶ τοὺς πρόσταξε νὰ βαδίζουν χωρὶς ὑποδήματα, θὰ τὰ γνωρίσουμε καλὰ ἀφοῦ ἀκούσουμε αὐτὰ τὰ λόγια. Γιατὶ δὲν τοὺς εἶπε μόνο, 'νὰ πάρετε χρήματα καὶ σακίδιο', ἀλλὰ τοὺς θύμισε τὰ προηγούμενα, λέγοντας τὰ ἑξῆς· «ὅταν σᾶς ἔστειλα χωρὶς χρήματα καὶ σακίδιο μήπως στερηθήκατε τίποτε;» Δηλα-

νίας ὑμῖν ἐπέρρει καὶ πολλῆς ἀπελαύσατε δαψιλείας;' ἀλλὰ νῦν βούλομαι ὑμᾶς καὶ δι' ἑαυτῶν ἀγωνίζεσθαι· βούλομαι ὑμᾶς καὶ πενίας πεῖραν λαβεῖν· διὰ τοῦτο λοιπὸν ἐπὶ τὴν ἀνάγκην οὐκ ἄγω τοῦ προτέρου νόμου, ἀλλ' ἐπιτρέπω καὶ βαλάντιον ἔχειν καὶ πήραν, ἵνα μή, καθάπερ δι' ἀψύχων ὀργάνων ἐνεργεῖν τὰ καθ' ὑμᾶς νομίζωμαι, ἀλλὰ καὶ ὑμεῖς τὴν οἰκείαν ἔχητε ἐπιδεί-κνυσθαι φιλοσοφίαν.

3. Καὶ τί, φησίν, οὐκ ἂν μείζων ἐφάνη ἡ χάρις, εἰ διαπαντὸς οὕτως ἐτέλεσαν ὄντες; Ἀλλ' αὐτοὶ οὐκ ἐγένοντο οὕτω δόκιμοι· εἰ γὰρ μηδεμιᾶς ἔλαβον θλίψεως πεῖραν, μὴ πενίας, μὴ διω-γμοῦ, μὴ στενοχωρίας, ἔμειναν ἂν ἀργοὶ καὶ νωθεῖς· νῦν δὲ οὐχὶ τὴν χάριν διαλάμψαι μόνον, ἀλλὰ καὶ τὴν τῶν ὑπακουόντων δο-κιμὴν ἠθέλησεν ἐπιδειχθῆναι, ἵνα μὴ μετὰ ταῦτά τινες ἔχωσι λέ-γειν, ὅτι οὐδὲν παρ' ἑαυτῶν εἰσήνεγκαν ἐκεῖνοι, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Θεοῦ ῥοπῆς ἐγένετο. Ἠδύνατο μὲν γὰρ αὐτοὺς ὁ Θεὸς μέχρι τέλους ἐν ἀφθονίᾳ καταστῆσαι τοσαύτῃ, ἀλλ' οὐκ ἠθέλησε διὰ πολλὰς καὶ ἀναγκαίας προφάσεις, ἃς πολλάκις πρὸς τὴν ὑμετέ-ραν ἀγάπην εἰρήκαμεν· μίαν μὲν δὴ ταύτην, ἑτέραν δὲ οὐκ ἐλάτ-τονα ταύτης, ἵνα καὶ μετριάζειν εἰδῶσι· τρίτην δέ, ἵνα μὴ μείζο-να ἢ κατὰ ἄνθρωπον λάβωσι δόξαν. Διὰ δὴ ταῦτα καὶ πολλῷ πλείονα τούτων, ἀφεὶς αὐτοὺς πολλοῖς τῶν ἀδοκήτων περιπί-πτειν, οὐκ ἠβουλήθη ὑπὸ τὴν ἀκρίβειαν τῆς νομοθεσίας τῆς προτέρας ἀφεῖναι, ἀλλ' ἐχάλασε καὶ ἀνῆκε τῆς φιλοσοφίας τὸν τόνον ἐκείνης, ὥστε μὴ βαρύν τινα καὶ ἀφόρητον αὐτοῖς γενέ-σθαι τὸν βίον, πολλαχοῦ ἐγκαταλιμπανομένοις καὶ τὸν ἀκριβῆ νόμον ἐκεῖνον ἀναγκαζομένοις τηρεῖν.

Ἐπειδὴ δὲ χρὴ καὶ τὸ προκείμενον ἀσαφὲς ὂν ποιῆσαι κα-ταφανές, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. Εἰπὼν γάρ, «ὁ ἔχων βα-λάντιον, ἀράτω καὶ πήραν», ἐπήγαγεν, «καὶ ὁ μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν». Τί ποτε τοῦτό ἐστι; καθοπλίζει τοὺς μαθητὰς ὁ λέγων, «ἐάν τίς σε ῥα-

δή, 'δὲν ἔρχονταν ὅλα σὲ σᾶς μὲ ἀφθονία καὶ δὲν τὰ ἀπολαύσατε πολὺ πλουσιοπάροχα;' Τώρα ὅμως θέλω ν' ἀγωνίζεστε καὶ σεῖς μόνοι σας· θέλω νὰ γνωρίσετε καὶ σεῖς τὴ φτώχεια. Γι' αὐτὸ στὸ ἑξῆς δὲ σᾶς τοποθετῶ κάτω ἀπὸ τὸν ἐξαναγκασμὸ τῆς προηγούμενης ἐντολῆς, ἀλλὰ σᾶς ἐπιτρέπω νὰ ἔχετε καὶ χρήματα καὶ σακίδιο, γιὰ νὰ μὴ μὲ νομίζουν πὼς ἐνεργῶ τὰ δικά σας, ὅπως μέσα ἀπὸ ἄψυχα ὄργανα, ἀλλὰ γιὰ νὰ μπορεῖτε καὶ σεῖς νὰ δείχνετε τὴ δική σας ἐνάρετη ζωή.

3. Καὶ τί, λέγει, δὲ θὰ φαινόταν μεγαλύτερη ἡ χάρη, ἂν γιὰ πάντα ζοῦσαν ἔτσι; 'Αλλ' αὐτοὶ δὲ θὰ γίνονταν τόσο δοκιμασμένοι. Γιατὶ ἂν δὲ δοκίμαζαν καμιὰ θλίψη οὔτε φτώχεια οὔτε διωγμὸ οὔτε στενοχώρια, θὰ ἔμεναν ἀδρανεῖς καὶ νωθροί· τώρα ὅμως θέλησε ὄχι μόνο νὰ λάμψει ἡ χάρη ἀλλὰ νὰ φανεῖ καὶ ἡ δοκιμασία αὐτῶν ποὺ τὸν ὑπάκουαν, γιὰ νὰ μὴν μποροῦν ὕστερα μερικοὶ νὰ λέγουν ὅτι δὲν πρόσφεραν ἐκεῖνοι τίποτε δικό τους, ἀλλ' ὅλα γίνονταν μὲ τὴ δύναμη τοῦ Θεοῦ. Μποροῦσε βέβαια ὁ Θεὸς νὰ τοὺς ἔχει μέχρι τέλος σὲ τόσο μεγάλη ἀφθονία, ἀλλὰ δὲ θέλησε γιὰ πολλοὺς καὶ ἀναγκαίους λόγους, τοὺς ὁποίους πολλὲς φορὲς εἶπα πρὸς τὴν ἀγάπη σας. Ἕνας λοπὸν εἶναι αὐτός, ἄλλος, ὄχι μικρότερος ἀπ' αὐτόν, γιὰ νὰ γνωρίζουν νὰ εἶναι μετριόφρονες· καὶ τρίτος, γιὰ νὰ μὴ λάβουν δόξα μεγαλύτερη ἀπ' αὐτὴ ποὺ ταιριάζει στὸν ἄνθρωπο. Γι' αὐτὰ λοιπὸν καὶ γιὰ πολὺ περισσότερα ἀπ' αὐτά, ἐπιτρέποντάς τους νὰ πέφτουν σὲ πολλὰ ἀπροσδόκητα, δὲ θέλησε νὰ τοὺς ἀφήσει κάτω ἀπὸ τὴν αὐστηρότητα τῆς προηγούμενης νομοθεσίας, ἀλλὰ μετρίασε καὶ χαλάρωσε τὴν ἰσχὺ ἐκείνης τῆς φιλοσοφίας, ὥστε νὰ μὴν τοὺς γίνει ἡ ζωὴ δύσκολη καὶ ἀφόρητη, ἀφοῦ σὲ πολλὰ ἐγκαταλείπονταν μόνοι τους καὶ ἀναγκάζονταν νὰ τηροῦν τὴν αὐστηρὴ ἐκείνη ἐντολή.

'Επειδὴ ὅμως πρέπει καὶ τὸ ζήτημα γιὰ τὸ ὁποῖο γίνεται λόγος καὶ ποὺ εἶναι ἀσαφὲς νὰ τὸ καταστήσουμε ὁλοφάνερο, εἶναι ἀνάγκη νὰ ποῦμε καὶ αὐτο. Γιατὶ ἀφοῦ εἶπε, «ὅποιος ἔχει χρήματα ἂς τὰ πάρει, ὅπως ἐπίσης καὶ σακίδιο», πρόσθεσε· «καὶ ὅποιος δὲν ἔχει ἂς πουλήσει τὸ ἱμάτιό του καὶ ἂς ἀγοράσει

πίση εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην»; ὁ κελεύων 'εὐλογεῖν τοὺς λοιδορουμένους, ἀνέχεσθαι τῶν ἐπηρεαζόντων, εὔχεσθαι ὑπὲρ τῶν διωκόντων', εἶτα καθοπλίζει καὶ διὰ μαχαίρας μόνης; Καὶ ποῖον ἂν ἔχοι τοῦτο λόγον; Εἰ γὰρ ὅλως ἔδει καθοπλίσαι, οὐ μαχαίρας ἔδει κτήσασθαι μόνον, ἀλλὰ καὶ ἀσπίδα καὶ κράνος καὶ κνημῖδα. Ὅλως δέ, εἴ γε ἀνθρωπίνως τὰ τοιαῦτα ἔμελλεν οἰκονομεῖν, πόσοις οὐκ ἦν τὸ ἐπίταγμα γέλως; Εἰ γὰρ μυρία τοιαῦτα ὅπλα ἐκτήσαντο πρὸς τοσαύτην ἔφοδον καὶ ἐπιβουλὴν δήμων, τυράννων, πόλεων, ἐθνῶν, τίνες ἔμελλον οἱ ἕνδεκα φανεῖσθαι; Φωνῆς γὰρ ἀκοῦσαι χρεμετίζοντος ἵππου δυνατὸν ἦν αὐτοῖς; πρὸς δὲ τὴν ὄψιν μόνην οὐκ ἂν κατεπλάγησαν τῶν στρατοπέδων, ἐν λίμναις καὶ ποταμοῖς καὶ ἀκατίοις τραφέντες μικροῖς;

Τίνος οὖν ἕνεκεν τοῦτο λέγει; Τὴν ἔφοδον τῶν Ἰουδαίων ἐνδείξασθαι βουλόμενος καὶ ὅτι μέλλουσιν αὐτὸν συλλαμβάνειν. Καὶ τοῦτο φανερῶς μὲν οὐκ ἠθέλησεν εἰπεῖν, δι' αἰνιγμάτων δέ, ὥστε μὴ θορυβῆσαι πάλιν αὐτούς. Ὥσπερ οὖν ὅταν ἀκούσῃς αὐτοῦ λέγοντος, ὅτι «ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων, καὶ ὃ ἠκούσατε ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί», οὐ τοῦτο ὑποπτεύεις, ὅτι κελεύει τοὺς στενωποὺς καὶ τὴν ἀγορὰν ἀφέντας ἐπὶ τῶν δωμάτων κηρύττειν· οὐδὲ γὰρ φαίνονται τοῦτο ποιήσαντες οἱ μαθηταί· ἀλλὰ τό, «ἐπὶ τῶν δωμάτων», καὶ τό, «ἐν τῷ φωτί», τὸ μετὰ παρρησίας αἰνίττεται· τὸ δέ, «εἰς τὸ οὖς», καὶ τό, «ἐν τῇ σκοτίᾳ», τοῦτο δηλοῖ, ὅτι 'ὅπερ ἐν μικρῷ μέρει τῆς οἰκουμένης, καὶ ἐν ἑνὶ χωρίῳ τῆς Παλαιστίνης ἠκούσατε, τοῦτο πανταχοῦ τῆς γῆς ἐξηχήσατε'. Οὐ γὰρ δὴ ἐν σκοτίᾳ οὐδὲ εἰς τὸ οὖς διελέγετο αὐτοῖς, ἀλλ' ἐφ' ὑψηλῶν τῶν ὀρέων, καὶ ἐν ταῖς συναγωγαῖς πολλάκις. Οὕτω καὶ ἐνταῦθα ὑποληπτέ-

---

12. Ματθ. 5,39.
13. Ματθ. 10,27.

μαχαίρι». Τί λοιπὸν σημαίνει αὐτό; Ὁπλίζει τοὺς μαθητὲς αὐτὸς ποὺ λέγει, «ἂν κάποιος σὲ χτυπήσει στὸ δεξιὸ σαγόνι, νὰ τοῦ στρέψεις καὶ τὸ ἄλλο»[12]; αὐτὸς ποὺ παραγγέλλει 'νὰ εὐλογοῦμε ἐκείνους ποὺ μᾶς κακολογοῦν, νὰ ἀνεχόμαστε ἐκείνους ποὺ μᾶς κακομεταχειρίζονται, νὰ προσευχόμαστε γιὰ ἐκείνους ποὺ μᾶς καταδιώκουν', ἔπειτα μᾶς ὁπλίζει καὶ μάλιστα μ' ἕνα μαχαίρι μόνο; Καὶ ποιά δικαιολογία μπορεῖ νὰ ἔχει αὐτό; Γιατί, ἂν ἔπρεπε νὰ τοὺς ὁπλίσει ὁπωσδήποτε, ἔπρεπε νὰ ἀποκτήσουν ὄχι μόνο μαχαίρι, ἀλλὰ καὶ ἀσπίδα καὶ κράνος καὶ κνημίδες. Καὶ γενικὰ ἂν ἐπρόκειτο νὰ τὰ διευθετήσει αὐτὰ ἀνάλογα μὲ τὰ ἀνθρώπινα, σὲ πόσους ἡ ἐντολὴ δὲ θὰ φαινόταν γελοία; Γιατὶ ἂν ἀποκτοῦσαν ἀμέτρητα τέτοια ὅπλα ἐναντίον μιᾶς τόσο μεγάλης ἐπίθεσης καὶ ἐπιβουλῆς λαῶν, τυράννων, πόλεων, ἐθνῶν, σὰν ποιοί θὰ παρουσιάζονταν οἱ ἕνδεκα; Θὰ μποροῦσαν ἀλήθεια αὐτοὶ ν' ἀκούσουν τὸ χρεμέτισμα ἑνὸς ἀλόγου; δὲ θὰ κατατρόμαζαν ἀπὸ τὴ θέα καὶ μόνο τῶν στρατιωτῶν τὴ στιγμὴ ποὺ μεγάλωσαν σὲ λίμνες καὶ ποτάμια καὶ μικρὲς βάρκες;

Γιὰ ποιό λόγο τὸ λέγει αὐτό; Θέλοντας νὰ δείξει τὴν ἐπίθεση τῶν Ἰουδαίων καὶ ὅτι πρόκειται νὰ τὸν συλλάβουν. Καὶ αὐτὸ δὲ θέλησε νὰ τὸ πεῖ φανερὰ ἀλλὰ τὸ εἶπε αἰνιγματικά, γιὰ νὰ μὴν τοὺς θορυβήσει πάλι. Ὅπως λοιπὸν ὅταν τὸν ἀκούσεις νὰ λέγει, «αὐτὸ ποὺ ἀκούσατε στὸ αὐτί, διακηρύξτε το ἀπὸ τοὺς ἐξῶστες καὶ αὐτὸ ποὺ ἀκούσατε στὸ σκοτάδι, διαλαλῆστε το στὸ φῶς»[13], δὲ σκέπτεσαι αὐτό, ὅτι δηλαδὴ προστάζει ν' ἀφήσουν τοὺς στενοὺς δρόμους καὶ τὴν ἀγορὰ καὶ νὰ κηρύττουν ἐπάνω στοὺς ἐξῶστες –οὔτε βέβαια φαίνεται νὰ τὸ ἔκαμαν αὐτὸ οἱ μαθητές–, ἀλλὰ μὲ τὸ «ἐπάνω στοὺς ἐξῶστες» καὶ τὸ «στὸ φῶς», ὑπαινίσσεται τὸ νὰ κηρύττουν μὲ παρρησία, ἐνῶ μὲ τὸ «στὸ αὐτὶ» καὶ μὲ τὸ «στὸ σκοτάδι» δηλώνει τὸ ἑξῆς, ὅτι δηλαδὴ αὐτὸ ποὺ ἀκούσατε σ' ἕνα μικρὸ μέρος τῆς οἰκουμένης καὶ σ' ἕνα τόπο τῆς Παλαιστίνης νὰ τὸ διαλαλήσετε σὲ ὅλα τὰ σημεῖα τῆς γῆς. Γιατὶ βέβαια δὲν τοὺς μιλοῦσε στὸ σκοτάδι οὔτε στὸ αὐτί, ἀλλὰ πάνω σὲ ὑψώματα τῶν βουνῶν καὶ στὶς συναγωγὲς πολλὲς φορές. Ἔτσι καὶ ἐδῶ πρέπει νὰ τὸ ἐννοή-

ον. Ὥσπερ οὖν ἐκεῖ δώματα ἀκούοντες ἑτέρως ἐνοήσαμεν, οὕτω καὶ ἐνταῦθα μαχαίρας ἀκούοντες μὴ τοῦτο νομίσωμεν, ὅτι ἐπέταξε μαχαίρας κεκτῆσθαι, ἀλλ' ὅτι διὰ τῶν μαχαιρῶν τὴν ἐνεστῶσαν αἰνίττεται ἐπιβουλήν, καὶ ὅτι μέλλει πάσχειν παρὰ τῶν Ἰουδαίων, ἅπερ ἔπαθε.

Καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. Εἰπὼν γάρ, «ἀγοράσει μάχαιραν», ἐπήγαγε· «δεῖ γὰρ τὰ γεγραμμένα περὶ ἐμοῦ τελεσθῆναι», «ὅτι ἐν τοῖς ἀνόμοις ἐλογίσθην». Εἰπόντων δὲ ἐκείνων, ὅτι «εἰσὶν ὧδε δύο μάχαιραι», καὶ το λεχθὲν μὴ συνιέντων, φησίν, «ἱκανόν ἐστι». Καίτοι γε οὐκ ἦν ἱκανόν· εἰ μὲν γὰρ ἀνθρωπίνῃ βοηθείᾳ κεχρῆσθαι αὐτοὺς ἐβούλετο, οὐ μόνον δύο καὶ τρεῖς, ἀλλ' οὐδὲ ἑκατὸν ἦσαν ἱκαναὶ μάχαιραι· εἰ δὲ οὐκ ἐβούλετο ἀνθρωπίνῃ βοηθείᾳ αὐτοὺς κεχρῆσθαι, καὶ αἱ δύο περιτταί. Ἀλλ' ὅμως οὐκ ἐξεκάλυψε τὸ αἴνιγμα· καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν· ἐπειδὰν μὴ νοήσωσι τὸ λεχθέν, παρατρέχει καὶ ἀφίησι, τῇ τῶν πραγμάτων ἐκβάσει τῶν μετὰ ταῦτα τὴν κατανόησιν τῶν εἰρημένων ἐπιτρέπων λοιπόν, ὅπερ οὖν καὶ ἀλλαχοῦ ἐποίησε. Καὶ γὰρ περὶ τῆς ἀναστάσεως αὐτοῦ διαλεγόμενος, οὕτω πως ἔλεγε· «λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν». Καὶ ὅμως οὐκ ᾔδεισαν οἱ μαθηταὶ τὸ λεγόμενον· καὶ ὅτι οὐκ ᾔδεισαν, ὁ εὐαγγελιστὴς ἐπεσημήνατο, λέγων· «ὅτε δὲ ἀνέστη ὁ Ἰησοῦς, τότε ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ τῇ Γραφῇ». Καὶ πάλιν ἀλλαχοῦ· «οὐδὲ γὰρ ᾔδεισαν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι».

4. Ἀλλὰ τὸ μὲν ζήτημα ἱκανὴν ἔχει τὴν λύσιν, ἡμεῖς δὲ ἐπὶ τὸ λειπόμενον τῆς προσρήσεως μέρος τὸν λόγον ἀγάγωμεν. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον καὶ πόθεν εἰς ταῦτα ἐξέβημεν; Ἐμακαρίζομεν τὴν Πρίσκιλλαν καὶ τὸν Ἀκύλαν, ὅτι συνῴκουν τῷ Παύλῳ, ὅτι καὶ τὸν τρόπον τῆς στολῆς καὶ τὸν τρόπον τῶν ὑποδημάτων καὶ τὰ ἄλλα ἅπαντα μετὰ ἀκριβείας αὐτοῦ κατε-

---

14. Λουκᾶ. 22,37.
15. Λουκᾶ. 22,38.
16. Ἰω. 2,19.
17. Ἰω. 2,22.
18. Ἰω. 20,9.

σουμε. Ὅπως λοιπὸν ἐκεῖ ἀκούοντας 'ἐξῶστες' ἐννοήσαμε διαφορετικά, ἔτσι καὶ ἐδῶ ἀκούοντας 'μαχαίρια' ἂς μὴ νομίσουμε αὐτό, ὅτι δηλαδὴ πρόσταξε ν' ἀποκτήσουν μαχαίρια, ἀλλ' ὅτι μὲ τὰ μαχαίρια ὑπαινίσσεται τὴν παρούσα ἐπιβουλὴ καὶ ὅτι πρόκειται νὰ πάθει ἀπὸ τοὺς Ἰουδαίους αὐτὰ ποὺ ἔπαθε.

Καὶ αὐτὸ εἶναι φανερὸ ἀπὸ τὰ ἑπόμενα. Γιατὶ ἀφοῦ εἶπε, «ἂς ἀγοράσει μαχαίρι», πρόσθεσε· «γιατὶ πρέπει νὰ ἐκπληρωθοῦν γιὰ μένα αὐτὰ ποὺ εἶναι γραμμένα, ὅτι λογαριάσθηκα ἀνάμεσα στοὺς ἀνόμους»[14]. Καὶ ὅταν ἐκεῖνοι εἶπαν, «ὑπάρχουν ἐδῶ δύο μαχαίρια» καὶ δὲν κατάλαβαν αὐτὸ ποὺ εἶπε, λέγει· «εἶναι ἀρκετά»[15]. Ὅμως δὲν ἦταν ἀρκετά. Γιατὶ ἂν ἤθελε νὰ χρησιμοποιοῦν ἀνθρώπινη βοήθεια, ὄχι μόνο δύο καὶ τρία, ἀλλ' οὔτε ἑκατὸ μαχαίρια ἦταν ἀρκετά· ἂν ὅμως δὲν ἤθελε νὰ χρησιμοποιοῦν ἀνθρώπινη βοήθεια, καὶ τὰ δύο ἦταν περιττά. Ἀλλ' ὅμως δὲν ἐξήγησε τὴν αἰνιγματικὴ φράση. Καὶ πραγματικὰ πολλὲς φορὲς φαίνεται νὰ τὸ κάνει αὐτό. Ὅταν δὲν καταλάβουν αὐτὸ ποὺ εἶπε, τὸ προσπερνάει καὶ τὸ παραλείπει, ἀφήνοντας στὴ συνέχεια τὴν κατανόηση τῶν λόγων του ἀπὸ τὴν ἔκβαση τῶν γεγονότων ποὺ θὰ ἀκολουθήσουν, πράγμα βέβαια ποὺ τὸ ἔκαμε καὶ ἀλλοῦ. Καὶ ὅταν δηλαδὴ μιλοῦσε γιὰ τὴν ἀνάστασή του, ἔλεγε τὰ ἑξῆς· «γκρεμίστε αὐτὸν τὸ ναὸ καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ξανακτίσω»[16]. Καὶ ὅμως δὲν ἀντιλήφθηκαν οἱ μαθητὲς τὸ λεγόμενο. Καὶ ὅτι δὲν τὸ ἀντιλήφθηκαν, τὸ ἐπισήμανε ὁ εὐαγγελιστὴς λέγοντας· «ὅταν ὅμως ἀναστήθηκε ὁ Ἰησοῦς, τότε πίστεψαν στὰ λόγια του καὶ στὴ Γραφή»[17]. Καὶ πάλι ἀλλοῦ λέγει· «γιατὶ δὲ γνώριζαν μέχρι τότε ὅτι πρέπει νὰ ἀναστηθεῖ ἀπὸ τοὺς νεκρούς»[18].

4. Τὸ ζήτημα λοιπὸν αὐτὸ λύθηκε ἱκανοποιητικά, γι' αὐτὸ ἂς φέρουμε τὸ λόγο στὸ ὑπόλοιπο μέρος τοῦ χαιρετισμοῦ. Ποιό λοιπὸν ἦταν τὸ λεγόμενο καὶ ἀπὸ ποῦ καταλήξαμε σ' αὐτά; Μακαρίζαμε τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα, γιατὶ συγκατοικοῦσαν μὲ τὸν Παῦλο, γιατὶ μάθαιναν καλὰ τὸν τρόπο τοῦ ντυσίματός του, τὸ εἶδος τῶν ὑποδημάτων του καὶ ὅλα τὰ ἄλλα. Ἀπὸ ἐδῶ μᾶς γεννήθηκε τὸ ζήτημα αὐτό. Γιατὶ ζητούσαμε νὰ ἐξηγήσου-

μάνθανον. Ἐντεῦθεν τὸ ζήτημα ἡμῖν ἐτέχθη τοῦτο. Ἐζητοῦμεν γάρ, τίνος ἕνεκεν, τοῦ Χριστοῦ ἀπαγορεύοντος μηδὲν ὅλως ἔχειν, εἰ μὴ μόνον ἱμάτιον, ἐφαίνοντο καὶ ὑποδήματα καὶ φελόνην ἔχοντες. Εἶτα ὁ λόγος ἀπέδειξεν, ὅτι οὐ παραβαίνοντες τὸν νόμον, ἀλλὰ καὶ σφόδρα τηροῦντες τούτοις ἐχρῶντο. Ταῦτα δὲ ἐλέγομεν, οὐκ εἰς περιουσίαν χρημάτων ὑμᾶς ἀλείφοντες, οὐδὲ παρακαλοῦντες πλείω τῆς χρείας κεκτῆσθαι, ἀλλ᾽ ἵνα ἔχητε πρὸς τοὺς ἀπίστους ἀντιλέγειν τοὺς διαχλευάζοντας τὰ ἡμέτερα.

Καὶ γὰρ ὁ Χριστὸς λύσας τὸν πρότερον νόμον, οὐχὶ οἰκίας, οὐδὲ ἀνδράποδα, οὐδὲ κλίνας, οὐδὲ ἀργυρώματα, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν ἐκέλευσεν ἔχειν, ἀλλὰ τῆς ἀνάγκης ἀπηλλάχθαι τῶν πρότερον εἰρημένων. Καὶ ὁ Παῦλος δὲ οὕτω παρῄνει λέγων· «ἔχοντες τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα». Τὸ γὰρ περιττὸν τῆς χρείας εἰς τοὺς δεομένους ἀναλίσκεσθαι δεῖ, καθάπερ οὖν καὶ οὗτοι ἐποίουν, Πρίσκιλλα καὶ Ἀκύλας. Διόπερ αὐτοὺς ἐπαινεῖ καὶ θαυμάζει καὶ μέγιστον αὐτῶν συντίθησιν ἐγκώμιον. Εἰπὼν γάρ, «ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Κυρίῳ», καὶ τὴν αἰτίαν τίθησιν τῆς τοιαύτης ἀγάπης. Ποίαν δὴ ταύτην, «οἵτινες ὑπὲρ τῆς ψυχῆς μου», φησί, «τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν».

Οὐκοῦν διὰ τοῦτο αὐτοὺς ἀγαπᾷς καὶ φιλεῖς, ἴσως εἴποι τίς; Μάλιστα μὲν οὖν· εἰ καὶ τοῦτο μόνον ἦν, ἀρκοῦν ἐγκώμιον ἦν. Ὁ γὰρ τὸν στρατηγὸν σώσας, τοὺς στρατιώτας διέσωσεν ἄν· ὁ τὸν ἰατρὸν ἀπαλλάξας τῶν κινδύνων, τοὺς κάμνοντας εἰς ὑγείαν ἐπανήγαγεν· ὁ τὸν κυβερνήτην ἐξαρπάσας τοῦ κλύδωνος, τὸ πλοῖον ὅλον τῶν κυμάτων ἀπήλλαξεν· οὕτω καὶ οἱ τὸν διδάσκαλον τῆς οἰκουμένης διασώσαντες καὶ τὸ αἷμα τὸ ἑαυτῶν ἐκχέαντες ὑπὲρ τῆς ἐκείνου σωτηρίας, κοινοὶ τῆς οἰκουμένης ἦσαν εὐεργέται, ἐν τῇ περὶ τὸν διδάσκαλον προνοίᾳ τοὺς μαθητὰς

---

19. Α᾽ Τιμ. 6,8.
20. Ρωμ. 16,4.

με γιὰ ποιό λόγο, ἐνῶ ὁ Χριστὸς ἀπαγόρευε νὰ μὴν ἔχουν ἐντελῶς τίποτε παρὰ μόνο ἕνα ἱμάτιο, παρουσιάζονταν νὰ ἔχουν καὶ ὑποδήματα καὶ ἐπανωφόρι. Στὴ συνέχεια ὁ λόγος ἀπέδειξε πὼς τὰ χρησιμοποιοῦσαν αὐτὰ ὄχι παραβαίνοντας τὴν ἐντολή, ἀλλὰ καὶ τηρώντας αὐτὴν πάρα πολὺ πιστά. Καὶ αὐτὰ τὰ λέγαμε, ὄχι γιὰ νὰ σᾶς παρακινήσω πρὸς ἀπόκτηση πολλῶν χρημάτων οὔτε νὰ σᾶς προτρέψω νὰ ἀποκτήσετε περισσότερα ἀπὸ τὶς ἀνάγκες σας, ἀλλὰ γιὰ νὰ μπορεῖτε νὰ ἀντικρούετε τοὺς ἀπίστους ποὺ περιπαίζουν τὰ δικά μας.

Γιατὶ καὶ ὁ Χριστός, ἀφοῦ κατάργησε τὴν προηγούμενη ἐντολή, δὲν παράγγειλε νὰ ἔχουν οὔτε σπίτια, οὔτε δούλους, οὔτε κρεβάτια, οὔτε ἀσημένια σκεύη, οὔτε κανένα ἄλλο τέτοιο, ἀλλὰ ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ἀνάγκη τῶν ὅσων λέχθηκαν προηγουμένως. Καὶ ὁ Παῦλος ἐξάλλου ἔτσι συμβούλευε λέγοντας· «ὅταν ἔχουμε τροφὲς καὶ σκεπάσματα, ἂς ἀρκεσθοῦμε σ' αὐτά»[9]. Γιατὶ τὸ περίσσευμα τῆς ἀνάγκης πρέπει νὰ ξοδεύεται σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, ὅπως βέβαια ἔκαμναν καὶ αὐτοί, ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας. Γι' αὐτὸ ἀκριβῶς τοὺς θαυμάζει καὶ τοὺς ἐπαινεῖ καὶ πλέκει γι' αὐτοὺς πολὺ μεγάλο ἐγκώμιο. Γιατί, ἀφοῦ εἶπε, «χαιρετῆστε τὴν Πρίσκιλλα καὶ τὸν Ἀκύλα, τοὺς συνεργάτες μου στὸ ἔργο τοῦ Κυρίου», ἀναφέρει καὶ τὴν αἰτία μιᾶς τέτοιας ἀγάπης. Ποιά λοιπὸν εἶναι αὐτή; «Οἱ ὁποῖοι», λέγει, «διακινδύνεψαν τὴ ζωή τους γιὰ χάρη μου»[20].

Ὥστε, θὰ μποροῦσε ἴσως νὰ πεῖ κανείς, γι' αὐτὸ τοὺς ἀγαπᾶς καὶ τοὺς συμπαθεῖς; Βεβαιότατα γι' αὐτό. Ἂν ἦταν καὶ αὐτὸ μόνο, ἦταν ἀρκετὸ ἐγκώμιο. Γιατὶ ἐκεῖνος ποὺ ἔσωσε τὸ στρατηγό, ἔσωσε τοὺς στρατιῶτες· ἐκεῖνος ποὺ ἀπάλλαξε τὸν ἰατρὸ ἀπὸ τοὺς κινδύνους ἐπανέφερε στὴν ὑγεία τοὺς ἀρρώστους· ἐκεῖνος ποὺ γλύτωσε τὸν κυβερνήτη ἀπὸ τὴν τρικυμία, ἔσωσε ὅλο τὸ πλοῖο ἀπὸ τὰ κύματα. Ἔτσι καὶ αὐτοὶ ποὺ διέσωσαν τὸ διδάσκαλο τῆς οἰκουμένης καὶ ἔχυσαν τὸ αἷμα τους γιὰ τὴ δική του σωτηρία, ἦταν εὐεργέτες ὅλης τῆς οἰκουμένης, ἀφοῦ μὲ τὴ φροντίδα τους γιὰ τὸ διδάσκαλο διέσωσαν ὅλους τοὺς μαθητές. Καὶ γιὰ νὰ μάθεις ὅτι δὲν ἔδειχαν τέτοια συμπε-

ἅπαντας διασώσαντες. Ἵνα δὲ μάθῃς, ὅτι οὐ περὶ τὸν διδάσκαλον ἦσαν τοιοῦτοι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἀδελφῶν τὴν αὐτὴν ἐπεδείκνυντο πρόνοιαν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γάρ, «οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν», ἐπήγαγε λέγων· «οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἐθνῶν». Τί λέγεις; σκηνοποιοῖς, πτωχοῖς χειροτέχναις, οὐδὲν πλέον τῆς ἀναγκαίας ἔχουσι τροφῆς, πᾶσαι αἱ Ἐκκλησίαι τῶν ἐθνῶν εὐχαριστοῦσι; καὶ τί τοσοῦτον οἱ δύο οὗτοι ἐκκλησίας τοσαύτας ὠφελῆσαι ἴσχυσαν; ποίαν χρημάτων εἶχον περιουσίαν; ποῖον δυναστείας μέγεθος; τίνα παρὰ ἄρχουσι παρρησίαν; Χρημάτων μὲν περιουσίαν καὶ δυναστείαν παρὰ τοῖς κρατοῦσιν οὐκ ἐκέκτηντο, ὃ δὲ τούτων ἁπάντων μεῖζον ἦν, προθυμίαν γενναίαν καὶ ψυχὴν πρὸς κινδύνους παρατεταγμένην μετὰ πολλῆς τῆς περιουσίας εἶχον. Διὰ τοῦτο πολλῶν εὐεργέται ἐγένοντο καὶ σωτῆρες.

Οὐ γὰρ οὕτως οἱ πλουτοῦντες καὶ ψοφοδεεῖς ὡς οἱ πενίᾳ συζῶντες καὶ μεγαλόψυχοι τὰς ἐκκλησίας ὠφελεῖν δύναιτ' ἄν. Καὶ μηδεὶς παράδοξον εἶναι νομιζέτω τὸ λεγόμενον· ἀληθὲς γάρ ἐστι καὶ ἀπ' αὐτῶν δείκνυται τῶν πραγμάτων. Ὁ μὲν γὰρ πλούσιος πολλὰς ἔχει τοῦ παραβλάπτεσθαι τὰς λαβάς. Δέδοικεν ὑπὲρ οἰκίας, ὑπὲρ οἰκετῶν, ὑπὲρ ἀγρῶν, ὑπὲρ χρημάτων, μή τις αὐτόν τι τούτων ἀφέληται. Καὶ τὸ πολλῶν εἶναι κύριον, πολλῶν εἶναι δοῦλον ποιεῖ. Ὁ μέντοι πένης, εὔζωνός τις ὢν καὶ πάσας ταύτας ἀποθέμενος τὰς λαβάς, λέων ἐστὶν πῦρ πνέων, καὶ ψυχὴν ἔχει γενναίαν, καὶ πάντων ἐξανιστάμενος, ῥᾳδίως ἅπαντα πράττει τὰ δυνάμενα τὰς ἐκκλησίας ὠφελεῖν, κἂν ἐλέγξαι δέῃ κἂν ἐπιτιμῆσαι κἂν μυρίας διὰ τὸν Χριστὸν ἀναδέξασθαι ἀπεχθείας· καὶ ἐπειδὴ ἅπαξ τῆς ζωῆς ὑπερεῖδε τῆς παρούσης, πάντα ῥᾳδίως καὶ μετὰ πολλῆς ποιεῖ τῆς εὐκολίας. Τί γὰρ καὶ δέδοικεν, εἰπέ μοι; Μή τις αὐτοῦ τὰ χρήματα ἀφέληται; Ἀλλ' οὐκ ἔστι τοῦτο εἰπεῖν. Ἀλλὰ μὴ τῆς πατρίδος ἐκπέσῃ; Ἀλλὰ πᾶσα ἡ ὑπ' οὐρανὸν πόλις αὐτῷ ἐστιν. Ἀλλὰ μὴ τῆς τρυφῆς αὐτόν τις

ριφορὰ μόνο γιὰ τὸ διδάσκαλο, ἀλλὰ καὶ γιὰ τοὺς ἀδελφοὺς φρόντιζαν τὸ ἴδιο, ἄκουσε τὰ ἑπόμενα. Γιατί, ἀφοῦ εἶπε, «οἱ ὁποῖοι γιὰ χάρη μου διακινδύνεψαν τὴ ζωή τους», πρόσθεσε λέγοντας· «τοὺς ὁποίους ὄχι μόνο ἐγὼ εὐχαριστῶ, ἀλλὰ καὶ ὅλες οἱ ἐκκλησίες τῶν Χριστιανῶν ποὺ προέρχονται ἀπὸ ἐθνικούς». Τί λέγεις; ὅλες οἱ ἐκκλησίες τῶν ἐθνῶν εὐχαριστοῦν τοὺς σκηνοποιούς, τοὺς φτωχοὺς τεχνίτες, ποὺ δὲν ἔχουν τίποτε περισσότερο ἀπὸ τὴν ἀπαραίτητη τροφή; Καὶ πόσο πολὺ μπόρεσαν αὐτοὶ νὰ ὠφελήσουν τόσες ἐκκλησίες; πόσα πολλὰ χρήματα εἶχαν; ποιά μεγάλη ἐξουσία; ποιά παρρησία κοντὰ στοὺς ἄρχοντες; Πολλὰ χρήματα βέβαια καὶ ἐξουσία κοντὰ στοὺς ἄρχοντες δὲν εἶχαν. Εἶχαν ὅμως αὐτὸ ποὺ ἦταν μεγαλύτερο ἀπ' ὅλα αὐτά, προθυμία γενναία καὶ ψυχὴ πάρα πολὺ ἕτοιμη γιὰ τοὺς κινδύνους. Γι' αὐτὸ ἔγιναν εὐεργέτες καὶ σωτῆρες σὲ πολλούς.

Καὶ πραγματικὰ δὲν μποροῦν νὰ ὠφελήσουν τὶς ἐκκλησίες τόσο οἱ πλούσιοι καὶ δειλοί, ὅσο ἐκεῖνοι ποὺ ζοῦν μὲ τὴ φτώχεια καὶ οἱ μεγαλόψυχοι. Καὶ κανεὶς ἂς μὴ νομίζει παράδοξο τὸ λεγόμενο, γιατὶ εἶναι ἀληθινὸ καὶ ἀποδεικνύεται ἀπὸ τὰ ἴδια τὰ πράγματα. Ὁ πλούσιος δηλαδὴ ἔχει πολλὲς ἀφορμὲς γιὰ νὰ παθαίνει κακό. Φοβᾶται γιὰ τὸ σπίτι, γιὰ τοὺς ὑπηρέτες, γιὰ τὰ χωράφια, γιὰ τὰ χρήματα, μήπως κανεὶς τοῦ πάρει κάτι ἀπ' αὐτά. Καὶ τὸ ὅτι εἶναι κύριος πολλῶν τὸν κάνει νὰ εἶναι δοῦλος πολλῶν. Ὁ φτωχὸς ὅμως, ποὺ εἶναι καλὰ ἐξασκημένος καὶ ἔχει ἀπομακρύνει ὅλες αὐτὲς τὶς ἀφορμές, εἶναι λιοντάρι ποὺ βγάζει φωτιὰ καὶ ἔχει ψυχὴ γενναία, καὶ διωκόμενος ἀπὸ ὅλους εὔκολα πράττει ὅλα ἐκεῖνα ποὺ μποροῦν νὰ ὠφελοῦν τὶς ἐκκλησίες, εἴτε πρέπει νὰ ἐλέγξει εἴτε νὰ ἐπιτιμήσει εἴτε νὰ ἀναλάβει ἄπειρα βάρη γιὰ τὸ Χριστό· καὶ ἐπειδὴ μιὰ γιὰ πάντα περιφρόνησε τὴν παροῦσα ζωὴ ὅλα τὰ κάνει εὔκολα καὶ μὲ πολλὴ προθυμία. Καὶ πραγματικὰ πές μου, τί ἔχει νὰ φοβηθεῖ; Μήπως κανεὶς τοῦ πάρει τὰ χρήματα; Ἀλλὰ δὲν μπορεῖ νὰ τὸ πεῖ κανείς. Μήπως ὅμως ἐξορισθεῖ ἀπὸ τὴν πατρίδα του; Ἀλλὰ κάθε πόλη τῆς γῆς ἀνήκει σ' αὐτόν. Μήπως ὅμως τοῦ στερήσει κανεὶς τὶς ἀπολαύ-

περικόψῃ καὶ τῆς δορυφορίας; Ἀλλὰ καὶ τούτοις ἅπασι χαίρειν εἰπών, ἐν οὐρανῷ πολιτεύεται καὶ πρὸς τὴν μέλλουσαν ἐπείγεται ζωήν. Κἂν αὐτὴν ἐπιδοῦναι δέῃ τὴν ψυχήν, καὶ τὸ αἷμα εἰσενεγκεῖν, οὐ παραιτήσεται. Ἐντεῦθεν ὁ τοιοῦτος καὶ τυράννων καὶ βασιλέων καὶ δήμων καὶ πάντων ἐστὶ δυνατώτερός τε καὶ εὐπορώτερος.

Καὶ ἵνα μάθῃς ὅτι οὐ κολακεία τὸ λεγόμενον, ἀλλ' ἀληθῶς, οἱ μηδὲν κεκτημένοι οὗτοι μάλιστα πάντων ἐλευθεροστομεῖν δύναιτ' ἄν, πόσοι πλούσιοι κατὰ τὸν καιρὸν ἦσαν Ἡρῴδου; πόσοι δυνάσται; τίς παρῆλθεν εἰς μέσον; τίς ἐπετίμησε τῷ τυράννῳ; τίς ἤμυνεν ἀδικουμένοις τοῖς τοῦ Θεοῦ νόμοις; Τῶν μὲν εὐπόρων οὐδείς, ὁ δὲ πένης καὶ πτωχός, ὁ μὴ κλίνην μήτε τράπεζαν μήτε στέγην ἔχων, ὁ τῆς ἐρήμου πολίτης Ἰωάννης, οὗτος μόνος καὶ πρῶτος μετὰ παρρησίας ἁπάσης τὸν τύραννον ἤλεγχε καὶ τοὺς μοιχαλίους ἐξεκάλυπτε γάμους καὶ παρόντων ἁπάντων καὶ ἀκουόντων τὴν καταδικάζουσαν αὐτὸν ἐξέφερε ψῆφον. Καὶ πρὸ τούτου δὲ πάλιν ὁ μέγας Ἠλίας, τῆς μηλωτῆς μηδὲν κεκτημένος πλέον, τὸν ἀσεβῆ καὶ παράνομον Ἀχαὰβ ἐκεῖνον μόνος ἤλεγξε μετὰ πολλῆς ἀνδρείας. Οὐδὲν γὰρ οὕτως ἐλευθεροστομεῖν παρασκευάζει καὶ θαρρεῖν ἐν ἅπασι πείθει τοῖς δεινοῖς καὶ ἀναλώτους ἐργάζεται καὶ ἰσχυρούς, ὡς τὸ μηδὲν κεκτῆσθαι μηδὲ περιβολήν τινα πραγμάτων ἔχειν. Ὥστε, εἴ τις βούλοιτο πολλὴν κεκτῆσθαι δύναμιν ἀσπασάσθω πενίαν, καταφρονείτω τῆς παρούσης ζωῆς, μηδὲν εἶναι νομιζέτω θάνατον. Οὗτος οὐχὶ τῶν εὐπόρων μόνον οὐδὲ τῶν ἀρχόντων, ἀλλὰ καὶ αὐτῶν τῶν βασιλευόντων πλείονα τὰς ἐκκλησίας ὠφελῆσαι δυνήσεται. Οἱ μὲν γὰρ βασιλεύοντες καὶ οἱ εὔποροι, ὅσα ἂν ποιήσωσιν, ἀπὸ χρημάτων ποιοῦσιν, ὁ δὲ τοιοῦτος πολλάκις καὶ ἀπὸ κινδύνων καὶ ἀπὸ θανάτων πολλὰ καὶ μεγάλα συνετέλεσεν. Ὅσῳ δὲ χρυσίου παντὸς τιμιώτερον αἷμα, τοσούτῳ βελτίων ἐκείνης αὕτη ἡ εἰσφορά.

σεις καὶ τοὺς σωματοφύλακες; Ἀλλὰ καὶ ὅλα αὐτὰ ἀφοῦ τὰ ἀποχαιρέτησε, ζεῖ στὸν οὐρανὸ καὶ σπεύδει πρὸς τὴ μέλλουσα ζωή. Καὶ ἂν χρειασθεῖ νὰ δώσει καὶ τὴν ψυχή του ἀκόμη καὶ νὰ προσφέρει τὸ αἷμα του, δὲ θὰ ἀποφύγει νὰ τὸ κάνει καὶ αὐτό. Καὶ αὐτὸ εἶναι ἐκεῖνο ποὺ ἕναν τέτοιο ἄνθρωπο τὸν κάνει πιὸ δυνατὸ καὶ πιὸ πλούσιο καὶ ἀπὸ τυράννους καὶ ἀπὸ βασιλεῖς καὶ ἀπὸ λαοὺς καὶ ἀπ' ὅλους.

Καὶ γιὰ νὰ μάθεις πὼς αὐτὸ δὲν εἶναι κολακεία ἀλλὰ πὼς πραγματικὰ ἐκεῖνοι ποὺ δὲν ἔχουν τίποτε, αὐτοὶ πιὸ πολὺ ἀπ' ὅλους μποροῦν νὰ μιλοῦν ἐλεύθερα, πόσοι πλούσιοι ἦταν κατὰ τὴν ἐποχὴ τοῦ Ἡρώδη; πόσοι ἄρχοντες; Ποιός παρουσιάσθηκε στὴ μέση; ποιός ἐπιτίμησε τὸν τύραννο; ποιός ὑπερασπίσθηκε τοὺς νόμους τοῦ Θεοῦ ποὺ παραβιάζονταν; Ἀπὸ τοὺς πλουσίους κανείς, ἐνῶ ὁ φτωχὸς καὶ ἄπορος, ἐκεῖνος ποὺ δὲν εἶχε κρεβάτι οὔτε τραπέζι οὔτε στέγη, ὁ πολίτης τῆς ἐρήμου Ἰωάννης, αὐτὸς μόνος καὶ πρῶτος μὲ κάθε παρρησία ἔλεγχε τὸν τύραννο, ξεσκέπαζε τοὺς μοιχικοὺς γάμους καὶ ἐνῶ ὅλοι ἦταν παρόντες καὶ τὸν ἄκουαν ξεστόμισε τὴν καταδικαστικὴ γι' αὐτὸν ἀπόφαση. Καὶ πρὶν ἀπ' αὐτὸ πάλι ὁ μεγάλος Ἠλίας, ποὺ δὲν εἶχε τίποτε περισσότερο ἀπὸ τὴ μηλωτή, μόνος ἔλεγξε μὲ πολλὴ ἀνδρεία τὸν ἀσεβὴ καὶ παράνομο ἐκεῖνον Ἀχαάβ. Γιατὶ τίποτε δὲν κάνει κάποιον τόσο νὰ μιλάει μὲ παρρησία καὶ δὲν τὸν παρακινεῖ νὰ ἔχει θάρρος σὲ ὅλα τὰ δεινὰ καὶ δὲν τὸν καθιστᾶ ἀδάμαστο καὶ ἰσχυρό, ὅσο τὸ νὰ μὴν κατέχει τίποτε καὶ νὰ μὴν ἔχει καμιὰ ἐπιθυμία. Ἑπομένως, ἂν θέλει κανεὶς νὰ ἀποκτήσει πολλὴ δύναμη, ἂς ἀπιζητήσει τὴ φτώχεια, ἂς περιφρονεῖ τὴν παρούσα ζωή, ἂς μὴ θεωρεῖ τίποτε τὸ θάνατο. Αὐτὸς θὰ μπορέσει νὰ ὠφελήσει τὶς ἐκκλησίες περισσότερο ὄχι μόνο ἀπὸ τοὺς πλουσίους οὔτε ἀπὸ τοὺς ἄρχοντες, ἀλλὰ καὶ ἀπὸ τοὺς ἴδιους τοὺς βασιλεῖς. Γιατὶ οἱ βασιλεῖς καὶ οἱ πλούσιοι, ὅσα καὶ ἂν κάμουν, τὰ κάνουν μὲ τὰ χρήματα, ἐνῶ αὐτὸς πολλὲς φορὲς πραγματοποίησε πολλὰ καὶ μεγάλα καὶ μὲ κινδύνους και μὲ θανάτους. Καὶ ὅσο τὸ αἷμα εἶναι πιὸ πολύτιμο ἀπ' ὅλο τὸ χρυσάφι, τόσο καλύτερη ἀπὸ ἐκείνη εἶναι αὐτὴ ἡ προσφορά.

5. Τοιοῦτοί τινες ἦσαν καὶ οὗτοι οἱ Παύλου ξενοδόχοι, ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας, οἳ χρημάτων μὲν περιουσίαν οὐκ εἶχον, πλούτου δὲ παντὸς εὐπορωτέραν ἐκέκτηντο γνώμην, καθ' ἑκάστην ἀποθανεῖσθαι προσδοκῶντες ἡμέραν καὶ ἐν σφαγαῖς καὶ αἵμασι ζῶντες καὶ διὰ παντὸς μαρτυροῦντες τοῦ χρόνου. Διὰ τοῦτο ἤνθει τὰ ἡμέτερα κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι οὕτω μὲν οἱ μαθηταὶ τοῖς διδασκάλοις, οὕτω δὲ οἱ διδάσκαλοι συνεδέδεντο τοῖς μαθηταῖς. Οὐ γὰρ δὴ περὶ τούτων μόνον φησὶ ὁ Παῦλος, ἀλλὰ καὶ περὶ ἑτέρων πολλῶν. Καὶ γὰρ Ἑβραίοις καὶ Θεσσαλονικεῦσι γράφων καὶ Γαλάταις, πολλὴν ἅπασι μαρτυρεῖ πειρασμῶν ἐπαγωγήν, καὶ δείκνυσι δι' ὧν ἐπέστελλεν, ὅτι καὶ ἠλαύνοντο καὶ τῆς πατρίδος ἐξέπιπτον καὶ τὰς οὐσίας ἀπώλλυον καὶ μέχρις αὐτοῦ τοῦ αἵματος ἐκινδύνευον· καὶ ἅπας ἐναγώνιος αὐτοῖς ὁ βίος ἦν καὶ αὐτὰ δὲ ἀκρωτηριασθῆναι τὰ μέλη οὐκ ἂν ὑπὲρ τῶν διδασκάλων παρῃτήσαντο.

Τοῖς γοῦν Γαλάταις ἐπιστέλλων ἔλεγε· «μαρτυρῶ γὰρ ὑμῖν, ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι». Καὶ τὸν Ἐπαφρᾶν δὲ τὸν ἐν Κολοσσαῖς ἐπὶ τοῖς αὐτοῖς ἀποδέχεται πάλιν, εἰπών, ὅτι «ἠσθένησε παραπλήσιον θανάτου, καὶ ἠλέησεν αὐτὸν ὁ Θεός, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ». Οὕτω δὲ εἶπε δεικνύς, ὅτι δικαίως ἔμελλεν ἀλγεῖν ἐπὶ τῇ τελευτῇ τοῦ μαθητοῦ. Καὶ τὴν ἀρετὴν δὲ αὐτοῦ πάλιν ἐκκαλύπτει πᾶσιν, οὑτωσὶ λέγων, ὅτι «ἤγγισε μέχρι θανάτου παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας». Τί γένοιτ' ἂν ἐκείνων μακαριώτερον, τί δὲ ἡμῶν ἀθλιώτερον; εἴ γε ἐκεῖνοι μὲν καὶ τὸ αἷμα καὶ τὴν ψυχὴν ὑπὲρ τῶν διδασκάλων προΐεντο, ἡμεῖς δὲ οὐδὲ ῥῆμα ψιλὸν πολλάκις προέσθαι τολμῶμεν ὑπὲρ τῶν κοινῶν πατέρων, ἀλλὰ ἀκούοντες αὐτοὺς βλασφημουμένους, λοιδορουμένους κακῶς καὶ παρὰ τῶν οἰκείων καὶ παρὰ

---

21. Γαλ. 4,15.
22. Φιλ. 2,27.
23. Φιλ. 2,30.

5. Τέτοιοι ἦταν καὶ αὐτοὶ ποὺ φιλοξένησαν τὸν Παῦλο, ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας, οἱ ὁποῖοι δὲν εἶχαν χρηματικὴ περιουσία ἀλλ' εἶχαν διάθεση πλουσιότερη ἀπὸ κάθε πλοῦτο, περιμένοντας κάθε ἡμέρα νὰ πεθάνουν καὶ ζώντας μέσα σὲ σφαγὲς καὶ αἵματα καὶ μαρτυρώντας ὅλο το χρόνο. Γι' αὐτὸ ἄνθιζαν τὰ δικά μας πράγματα κατὰ τοὺς καιροὺς ἐκείνους, γιατὶ ἔτσι συνδέονταν οἱ μαθητὲς μὲ τοὺς διδασκάλους καὶ οἱ διδάσκαλοι μὲ τοὺς μαθητές. Γιατὶ βέβαια ὁ Παῦλος δὲ μιλάει μόνο γι' αὐτοὺς ἀλλὰ καὶ γιὰ πολλοὺς ἄλλους. Πραγματικὰ γράφοντας στοὺς Ἑβραίους, στοὺς Θεσσαλονικεῖς καὶ στοὺς Γαλάτες, μαρτυρεῖ μεγάλη ἐπίθεση πειρασμῶν σὲ ὅλους καὶ δείχνει μὲ ὅσα ἔγραφε πὼς καὶ διώκονταν καὶ ἐξορίζονταν ἀπὸ τὴν πατρίδα τους καὶ ἔχαναν τὶς περιουσίες τους καὶ κινδύνευε ἀκόμη καὶ ἡ ζωή τους. Καὶ ὅλη τους ἡ ζωὴ ἦταν γεμάτη ἀγῶνες καὶ δὲ θὰ ἀπέφευγαν νὰ ἀκρωτηριασθοῦν ἀκόμη καὶ τὰ ἴδια τὰ μέλη τους γιὰ χάρη τῶν διδασκάλων.

Γράφοντας λοιπὸν στοὺς Γαλάτες ἔλεγε· «γιατὶ βεβαιώνω γιὰ σᾶς πὼς ἂν ἦταν δυνατὸ θὰ βγάζατε τὰ μάτια σας καὶ θὰ μοῦ τὰ δίνατε»[21]. Καὶ τὸν Ἐπαφρᾶ ἐπίσης, ποὺ βρισκόταν στὶς Κολοσσές, τὸν ἐπαινεῖ πάλι γιὰ τὰ ἴδια πράγματα, ἀφοῦ εἶπε· «ἀρρώστησε καὶ κινδύνεψε νὰ πεθάνει, ἀλλὰ ὁ Θεὸς τὸν ἐλέησε· καὶ ὄχι μόνο αὐτόν, ἀλλὰ καὶ ἐμένα, γιὰ νὰ μὴ μοῦ προστεθεῖ λύπη ἐπάνω σὲ ἄλλη»[22]. Καὶ εἶπε ἔτσι δείχνοντας πὼς δίκαια ἐπρόκειτο νὰ λυπηθεῖ γιὰ τὸ θάνατο τοῦ μαθητῆ του. Καὶ τὴν ἀρετή του πάλι ἀποκαλύπτει σὲ ὅλους, λέγοντας τὰ ἑξῆς· «πλησίασε νὰ πεθάνει, βάζοντας σὲ κίνδυνο τὴ ζωή του, γιὰ νὰ ἀναπληρώσει τὴν ἔλλειψη τῆς ὑπηρεσίας σας πρὸς ἐμένα»[23]. Τί μπορεῖ νὰ ὑπάρξει πιὸ μακάριο ἀπὸ ἐκείνους καὶ τί πιὸ ἄθλιο ἀπὸ μᾶς; γιατὶ ἐκεῖνοι πρόσφεραν γιὰ τοὺς διδασκάλους τους καὶ τὸ αἷμα καὶ τὴ ζωή τους, ἐνῶ ἐμεῖς δὲν τολμοῦμε πολλὲς φορὲς οὔτε ἕνα ἁπλὸ λόγο νὰ ποῦμε γιὰ τοὺς κοινοὺς πατέρες, ἀλλὰ ἀκούοντας νὰ βλασφημοῦνται καὶ νὰ κακολογοῦνται πολὺ καὶ ἀπὸ τοὺς δικούς μας καὶ ἀπὸ τοὺς ξένους, δὲν ἀποστομώ-

τῶν ἀλλοτρίων, οὐκ ἐπιστομίζομεν τοὺς λέγοντας, οὐ κωλύομεν, οὐκ ἐλέγχομεν.

Εἴθε μὲν οὖν μὴ αὐτοὶ τῆς κατηγορίας ἤρχομεν ταύτης. Νυνὶ δὲ οὐ τοσαῦτα παρὰ τῶν ἀπίστων σκώμματα καὶ ὀνείδη, ὅσα παρὰ τῶν δοκούντων εἶναι πιστῶν καὶ μεθ' ἡμῶν τετάχθαι γινόμενα εἰς τοὺς ἄρχοντας ἴδοι τις ἄν. Ἔτι οὖν ζητήσομεν πόθεν ῥᾳθυμία τοσαύτη καὶ εὐλαβείας ὑπεροψία γέγονεν, ὅταν οὕτως ὦμεν ἀπεχθῶς πρὸς τοὺς πατέρας διακείμενοι τοὺς ἡμετέρους; Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδέν, ὃ καταλῦσαι καὶ διαφθεῖραι Ἐκκλησίαν δύναιτ' ἄν, μᾶλλον δὲ οὐκ ἔστιν οὕτω γενέσθαι τοῦτο ἀλλαχόθεν ῥᾳδίως, ἀλλ' ἢ ὅταν οἱ μαθηταὶ τοῖς διδασκάλοις, καὶ τοῖς πατράσιν οἱ παῖδες, καὶ τοῖς ἄρχουσιν οἱ ἀρχόμενοι μὴ μετὰ πολλῆς ὦσι συνδεδεμένοι τῆς ἀκριβείας. Εἶτα, ἂν μὲν τὸν ἀδελφόν τις εἴπῃ κακῶς, καὶ τῆς ἀναγνώσεως τῶν θείων ἀπείργεται Γραφῶν, «ἵνα τί γὰρ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;», φησὶν ὁ Θεός· εἶτα τὴν αἰτίαν τιθείς, ἐπήγαγε· «καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις»· τὸν πνευματικὸν δὲ πατέρα κατηγορῶν, ἄξιον εἶναι νομίζεις σαυτὸν ἐπιβῆναι τῶν ἱερῶν προθύρων; Καὶ πῶς ἂν ἔχοι λόγον; Εἰ γὰρ οἱ κακολογοῦντες πατέρα ἢ μητέρα θανάτῳ τελευτῶσι, ποίας ἄξιος ἔσται ὁ τὸν πολλῷ τῶν γονέων ἐκείνων ἀναγκαιότερον ὄντα καὶ βελτίω τολμῶν λέγειν κακῶς; Καὶ οὐ δέδοικε, μήποτε διαστᾶσα ἡ γῆ παντελῶς αὐτὸν ἀφανίσῃ, ἢ σκηπτὸς ἄνωθεν κατενεχθεὶς καταφλέξῃ τὴν κατήγορον γλῶτταν;

Οὐκ ἤκουσας τί πέπονθεν ἡ Μωϋσέως ἀδελφὴ κατειποῦσα τοῦ ἄρχοντος; πῶς ἀκάθαρτος γέγονε καὶ εἰς λέπραν ἐνέπεσε καὶ τὴν ἐσχάτην ὑπέμεινεν ἀτιμίαν, καὶ τοῦ ἀδελφοῦ παρακαλοῦντος καὶ τῷ Θεῷ προσπίπτοντος, οὐδεμιᾶς ἔτυχε συγγνώμης, ἀλλὰ καὶ ἐκθεμένη τὸν ἅγιον ἐκεῖνον καὶ πρὸς τὴν ἀνατροφὴν αὐτοῦ συντελέσασα, καὶ ὅπως ἡ μήτηρ γένοιτο τροφὸς καὶ

---

24. Ψαλμ. 49,16.
25. Ψαλμ. 49,20.

νουμε ἐκείνους ποὺ τὰ λέγουν, δὲν τοὺς ἐμποδίζομε, δὲν τοὺς ἐλέγχουμε.

Καὶ μακάρι λοιπὸν νὰ μὴν ἀρχίζαμε ἐμεῖς οἱ ἴδιοι αὐτὴ τὴν κατηγορία. Τώρα ὅμως μπορεῖ νὰ δεῖ κανεὶς νὰ γίνονται στοὺς ἄρχοντες πειράγματα καὶ προσβολὲς ὄχι τόσα ἀπὸ τοὺς ἀπίστους, ὅσα ἀπ' αὐτοὺς ποὺ φαίνονται ὅτι εἶναι πιστοὶ καὶ βρίσκονται μαζί μας. Ἀκόμη λοιπὸν θὰ ζητήσουμε νὰ βροῦμε ἀπὸ ποῦ ἔγινε τόσο μεγάλη ἀδιαφορία καὶ περιφρόνηση τῆς εὐλάβειας, ὅταν συμπεριφερόμαστε μὲ τόση ἀπέχθεια πρὸς τοὺς πατέρες μας; Γιατὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει τίποτε ποὺ θὰ μποροῦσε νὰ διαλύσει καὶ νὰ καταστρέψει τὴν Ἐκκλησία, ἢ καλύτερα δὲν εἶναι δυνατὸ νὰ γίνει αὐτὸ τόσο εὔκολα ἀπὸ ἀλλοῦ, παρὰ μόνο ὅταν δὲν εἶναι δεμένοι μὲ πολλὴ ἀκρίβεια οἱ μαθητὲς μὲ τοὺς διδασκάλους καὶ τὰ παιδιὰ μὲ τοὺς πατέρες καὶ οἱ πιστοὶ μὲ τοὺς προϊσταμένους. Ἔπειτα ἂν κανεις κακολογήσει τὸν ἀδελφό του, ἐμποδίζεται ἀπὸ τὴν ἀνάγνωση τῶν θείων Γραφῶν· γιατὶ λέγει ὁ Θεός, «γιατί παίρνεις στὸ στόμα σου τὴ διαθήκη μου;»[24], στὴ συνέχεια ὅμως ἀναφέροντας τὴν αἰτία πρόσθεσε· «καθόσον καὶ κατηγοροῦσες τὸν ἀδελφό σου»[25]. Καὶ ὅταν κατηγορεῖς τὸν πνευματικὸ πατέρα, θεωρεῖς τὸν ἑαυτό σου ἄξιο νὰ περάσει τὰ πρόθυρα τοῦ ναοῦ; καὶ πῶς μπορεῖ νὰ ἔχει δικαιολογία αὐτό; Ἂν λοιπον αὐτοὶ ποὺ κακολογοῦν τὸν πατέρα ἢ τὴ μητέρα τους καταλήγουν σὲ θάνατο, ποιά τιμωρία θὰ ἀξίζει ἐκεῖνος ποὺ τολμάει νὰ κακολογεῖ αὐτὸν ποὺ εἶναι πολὺ πιὸ ἀναγκαῖος καὶ καλύτερος ἀπὸ τοὺς γονεῖς ἐκείνους; Καὶ δὲ φοβᾶται μήπως ἀνοίξει ἡ γῆ καὶ τὸν ἀφανίσει ἐντελῶς ἢ πέσει κεραυνὸς ἀπὸ τὸν οὐρανὸ καὶ κατακάψει τὴ γλώσσα ποὺ κατηγορεῖ;

Δὲν ἄκουσες τί ἔπαθε ἡ ἀδελφὴ τοῦ Μωϋσῆ ὅταν κατηγόρησε τὸν ἀρχηγό; πῶς ἔγινε ἀκάθαρτη καὶ ἔπεσε σὲ λέπρα καὶ ὑπέμεινε τὴ χειρότερη ἀτιμία καὶ παρ' ὅλο ποὺ ὁ ἀδελφός της παρακαλοῦσε καὶ ἐκλιπαροῦσε τὸ Θεὸ δὲ βρῆκε καμιὰ συγγνώμη, ἀλλὰ ἂν καὶ εἶχε ἐκθέσει δίπλα στὸ ποτάμι τὸν ἅγιο ἐκεῖνο καὶ συντέλεσε στὴν ἀνατροφή του μὲ τὸ νὰ γίνει ἡ μητέρα του

μὴ ἐν βαρβαρικῇ χειρὶ τραφῇ τὸ παιδίον ἐξαρχῆς συμπράξασα, καὶ μετὰ ταῦτα στρατηγήσασα τοῦ γυναικείου γένους, καθάπερ Μωϋσῆς τοῦ τῶν ἀνδρῶν, καὶ πάντα συνδιενεγκοῦσα τὰ δεινὰ καὶ ἀδελφὴ Μωϋσέως οὖσα, οὐδὲν ὅμως ἀπὸ τούτων ἁπάντων ἐλέρδανεν εἰς τὸ διαφυγεῖν τὴν ὀργὴν τοῦ Θεοῦ ἐπὶ τῇ κακηγορίᾳ; ἀλλ' ὁ Μωϋσῆς, ὁ τοσοῦτον λαὸν ἐξαιτησάμενος μετὰ τὴν ἄφατον ἀσέβειαν ἐκείνην, οὗτος ὑπὲρ τῆς ἀδελφῆς προσπίπτων καὶ συγγνώμην αἰτῶν, οὐκ ἴσχυσεν ἵλεω ποιῆσαι τὸν Θεόν, ἀλλὰ καὶ ἐπετιμᾶτο σφοδρῶς, ἵνα μάθωμεν ἡμεῖς ὅσον κακόν ἐστι τὸ τοὺς ἄρχοντας λέγειν κακῶς καὶ τοὺς ἑτέρων κρίνειν βίους. Καὶ γὰρ ἐπὶ τῆς ἡμέρας ἐκείνης, οὐκ ἀφ' ὧν ἁμαρτάνομεν μόνον, ἀλλὰ καὶ ἀφ' ὧν ἑτέροις ἐψηφισάμεθα, κρινεῖ πάντως ἡμῖν ὁ Θεός· καὶ πολλάκις ὃ τῇ φύσει κοῦφόν ἐστιν ἁμάρτημα, τοῦτο χαλεπὸν καὶ ἀσύγγνωστον γίγνεται τῇ τοῦ ἁμαρτάνοντος περὶ ἑτέρου κρίσει.

Τάχα ἀσαφὲς τὸ εἰρημένον· οὐκοῦν αὐτὸ σαφὲς ποιῆσαι πειράσομαι. Ἥμαρτέ τις· ἕτερον ἁμαρτάνοντα τὴν αὐτὴν ἁμαρτίαν κατεδίκασε σφοδρῶς. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ τοσαύτην ἐπισπᾶται κόλασιν, ὅσην ἡ φύσις τῆς ἁμαρτίας ἀπαιτεῖ, ἀλλὰ καὶ διπλασίονα πολλῷ καὶ τριπλασίονα· οὐ γὰρ ἀφ' ὧν αὐτὸς ἥμαρτεν, ἀλλ' ἀφ' ὧν ἕτερον ἁμαρτάνοντα τὰ αὐτὰ χαλεπῶς ἐκόλασε, ψηφιεῖτε αὐτῷ τὴν τιμωρίαν ὁ Θεός. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἀπὸ τῶν γεγενημένων καὶ ἐκβάντων, μειζόνως, ὅπερ ὑπεσχόμην ὑμῖν, αὐτὸ ποιήσω καταφανές. Ὁ Φαρισαῖος, καίτοι γε αὐτὸς οὐδὲν ἁμαρτών, ἀλλὰ καὶ ἐν δικαιοσύνῃ ζήσας, καὶ πολλὰ ἔχων κατορθώματα εἰπεῖν, ἐπειδὴ τὸν τελώνην, τὸν ἅρπαγα καὶ πλεονέκτην καὶ παρανομώτατον κατεδίκασε, τοσαύτην ἔδωκε δίκην, ὡς ἐκείνου μείζονι τηρεῖσθαι κολάσει. Εἰ δὲ ὁ μηδὲν μὲν ἁμαρτῶν αὐτός, ἁμαρτάνοντα δὲ ἕτερον καὶ περιφανῆ πᾶσιν ἐπὶ παρανομίαις ὄντα, ῥήματι ψιλῷ καταδικάσας τοσαύτην ἐπεσπάσατο κόλασιν, οἱ πολλὰ μὲν καθ' ἑκάστην ἡμέ-

---

26. Βλ. Ἀριθμ. 12,1-15.

τροφός του καὶ βοήθησε ἀπὸ τὴν ἀρχὴ νὰ μὴν τραφεῖ ἀπὸ ξένο χέρι τὸ παιδὶ καὶ ἀργότερα ἔγινε ἀρχηγὸς στὶς γυναῖκες, ὅπως ἀκριβῶς ὁ Μωυσῆς, καὶ ὑπέφερε μαζί του ὅλα τὰ δεινὰ καὶ ἦταν ἀδελφὴ τοῦ Μωϋσῆ, τίποτε ὅμως ἀπ' ὅλα αὐτὰ δὲν κέρδισε στὸ ν' ἀποφύγει τὴν ὀργὴ τοῦ Θεοῦ γιὰ τὴν κακολογία της[26]; 'Αλλὰ καὶ ὁ Μωϋσῆς, ποὺ ἔσωσε τόσο πολὺ λαό, μετὰ τὴν ἀνέκφραστη ἐκείνη ἀσέβεια, ἱκετεύοντας καὶ ζητώντας ὁ ἴδιος συγγνώμη γιὰ χάρη τῆς ἀδελφῆς της, δὲν μπόρεσε νὰ ἐξιλεώσει τὸ Θεό, ἀλλὰ καὶ δεχόταν αὐστηρὴ ἐπιτίμηση, γιὰ νὰ μάθουμε ἐμεῖς πόσο κακὸ εἶναι τὸ νὰ κακολογεῖ κανεὶς τοὺς ἄρχοντες καὶ νὰ κρίνει τὴ ζωὴ τῶν ἄλλων. Γιατὶ πραγματικὰ τὴν ἡμέρα ἐκείνη θὰ μᾶς καταδικάσει ὁπωσδήποτε ὁ Θεὸς ὄχι μόνο ἀπὸ τὶς ἁμαρτίες μας ἀλλὰ καὶ ἀπὸ τὶς κρίσεις μας γιὰ τοὺς ἄλλους· καὶ πολλὲς φορὲς ἐκεῖνο ποὺ ἀπὸ τὴ φύση του εἶναι ἐλαφρὸ ἁμάρτημα, αὐτὸ γίνεται φοβερὸ καὶ ἀσυγχώρητο μὲ τὴν κρίση ἐκείνου ποὺ ἁμαρτάνει γιὰ ἄλλον.

Ἴσως αὐτὸ εἶναι ἀσαφές· θὰ προσπαθήσω λοιπὸν νὰ τὸ κάνω σαφές. Ἁμάρτησε κάποιος· ἄλλον ποὺ ἔκανε τὴν ἴδια ἁμαρτία τὸν καταδίκασε αὐστηρά. Τὴν ἡμέρα ἐκείνη δὲν ἐπισύρει τόση τιμωρία, ὅση ἀπαιτεῖ ἡ φύση τῆς ἁμαρτίας, ἀλλὰ μεγαλύτερη ἀπὸ διπλάσια καὶ τριπλάσια. Γιατὶ ὄχι ἐπειδὴ ἁμάρτησε, ἀλλ' ἐπειδὴ τιμώρησε αὐστηρὰ ἄλλον ποὺ διέπραττε τὶς ἴδιες ἁμαρτίες, θὰ τοῦ ἐπιβάλει τὴν τιμωρία ὁ Θεός. Καὶ ὅτι αὐτὸ εἶναι ἀληθινὸ θὰ σᾶς τὸ κάνω, ὅπως σᾶς ὑποσχέθηκα, περισσότερο φανερὸ ἀπ' αὐτὰ ποὺ ἔχουν γίνει καὶ ἔχουν συμβεῖ. Ὁ Φαρισαῖος, ἂν καὶ βέβαια ὁ ἴδιος δὲν ἁμάρτησε καθόλου, ἀλλὰ ἔζησε μὲ δικαιοσύνη καὶ μποροῦσε νὰ πεῖ πολλὰ κατορθώματα, ἐπειδὴ καταδίκασε τὸν τελώνη, τὸν ἅρπαγα καὶ πλεονέκτη καὶ ἄδικο, καταδικάσθηκε τόσο πολύ, ὥστε νὰ τὸν περιμένει μεγαλύτερη τιμωρία ἀπὸ τοῦ τελώνη. Ἂν ὅμως αὐτός, ποὺ δὲν ἁμάρτησε καθόλου ὁ ἴδιος καὶ καταδίκασε μὲ λόγια μόνο ἄλλον ἁμαρτωλὸ ποὺ σὲ ὅλους ἦταν γνωστὸς γιὰ τὶς παρανομίες του, ἐπέσυρε τόσο μεγάλη τιμωρία, ἐμεῖς πού, ἐνῶ κάνουμε πολλὲς ἁμαρτίες κάθε ἡμέρα, καταδικάζουμε τὴ ζωὴ τῶν

ραν ἁμαρτάνοντες, ἑτέρων δὲ βίους καταδικάζοντες, οὐδὲ ἐμφανεῖς ὄντας τινί, οὐδὲ δήλους, ἐννόησον ὅσην ὑποστησόμεθα κόλασιν, πῶς ἐκπεσούμεθα πάσης συγγνώμης· «ἐν ᾧ γὰρ κρίματι», φησί, «κρίνετε, καὶ ὑμεῖς κριθήσεσθε».

6. Διὰ δὴ ταῦτα ἀντιβολῶ καὶ παραινῶ καὶ δέομαι ταύτης ἀποστῆναι τῆς πονηρᾶς συνηθείας. Τοὺς μὲν γὰρ ἱερέας κακῶς ἀκούοντας οὐδὲν παραβλάψομεν, οὐ μόνον ἂν ψευδῆ τὰ λεγόμενα ᾖ, ἀλλὰ κἂν ἀληθῆ· ἐπεὶ καὶ ὁ Φαρισαῖος τὸν τελώνην οὐδὲν κατέβλαψεν, ἀλλὰ καὶ ὠφέλησε, καίτοι γε ἀληθῆ περὶ αὐτοῦ λέγων· ἡμεῖς δὲ ἑαυτοὺς τοῖς ἐσχάτοις περιβαλοῦμεν κακοῖς· ἐπεὶ καὶ ὁ Φαρισαῖος καθ' ἑαυτοῦ τὸ ξίφος ὤθησε, καὶ καιρίαν πληγὴν λαβὼν ἀπῆλθεν. Ἵνα οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, κρατῶμεν ἀκολάστου γλώττης. Εἰ γὰρ τὸν τελώνην εἰπὼν κακῶς, οὐ διέφυγεν ἐκεῖνος, οἱ τοὺς πατέρας ἡμῶν κακῶς λέγοντες, ποίαν ἕξομεν ἀπολογίαν; Εἰ τὸν ἀδελφὸν βλασφημήσασα Μαρία ἅπαξ, τοσαύτην ἔδωκε δίκην, ποίας σωτηρίας ἡμῖν ἐλπίς, ὅταν μυρίαις καθ' ἑκάστην ἡμέραν τοὺς ἄρχοντας πλύνωμεν λοιδορίαις; Μὴ γάρ μοι τοῦτο λεγέτω τις, ὅτι 'ἐκεῖνος Μωϋσῆς ἦν', δυνήσομαι γὰρ εἰπεῖν καὶ ἐγώ, ὅτι 'κἀκείνη Μαρία ἦν'. Ἄλλως δέ, ἵνα καὶ τοῦτο αὐτὸ μάθῃς σαφῶς, ὅτι εἰ καὶ ἐγκλημάτων ὑπεύθυνοι ὦσιν οἱ ἱερεῖς, οὐδὲ οὕτω σοι θέμις τὸν ἐκείνων βίον κρίνειν, ἄκουσον τί φησι περὶ τῶν ἀρχόντων τῶν ἰουδαϊκῶν ὁ Χριστός· «ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε».

Καὶ τί γένοιτ' ἂν χεῖρον ἐκείνων, ὧν ὁ ζῆλος ἔφθειρε τοὺς μαθητευομένους; Ἀλλ' ὅμως οὐδὲ οὕτω κατεβίβασεν αὐτοὺς ἀπὸ τῆς ἀξίας, οὐδὲ εὐκαταφρονήτους ἐποίησεν εἶναι τοῖς ἀρχομένοις· καὶ μάλα εἰκότως. Εἰ γὰρ ταύτης ἐπιλάβοιντο τῆς ἐξουσίας οἱ ἀρχόμενοι, ὀφθήσονται πάντας ἀποχειροτονοῦντές καὶ

---

27. Ματθ. 7,2.

28. Ματθ. 23,2–3.

λων ποὺ δὲν εἶναι φανερὴ σὲ κανέναν οὔτε γνωστή, σκέψου πόση τιμωρία θὰ ὑποστοῦμε, πῶς θὰ χάσουμε κάθε συγγνώμη· γιατὶ λέγει, «μὲ τὸ κριτήριο ποὺ κρίνετε, θὰ κριθεῖτε καὶ σεῖς»[27].

6. Γι' αὐτὸ λοιπὸν σᾶς ἱκετεύω καὶ σᾶς συμβουλεύω καὶ σᾶς παρακαλῶ νὰ ἐγκαταλείψετε τὴν κακὴ αὐτὴ συνήθεια. Γιατὶ τοὺς ἱερεῖς, ὅταν τοὺς κακολογοῦμε, δὲ θὰ τοὺς βλάψουμε καθόλου, ὄχι μόνο ἂν τὰ λεγόμενα εἶναι ψεύτικα, ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι ἀληθινά. Ἐπειδὴ καὶ ὁ Φαρισαῖος δὲν ἔβλαψε καθόλου τὸν τελώνη, ἀλλὰ καὶ τὸν ὠφέλησε, μολονότι βέβαια ἔλεγε τὴν ἀλήθεια γι' αὐτόν. Ἐμεῖς ὅμως θὰ ρίξουμε τὸν ἑαυτό μας στὰ χειρότερα κακά, ἐπειδὴ καὶ ὁ Φαρισαῖος ἔσυρε τὸ ξίφος ἐναντίον του καὶ ἔφυγε ἀφοῦ δέχθηκε καίριο χτύπημα. Γιὰ νὰ μὴν πάθουμε λοιπὸν καὶ ἐμεῖς τὰ ἴδια, ἂς ἐξουσιάζουμε τὴν ἀκόλαστη γλῶσσα. Γιατί, ἂν ἐκεῖνος δὲν ξέφυγε, ἐπειδὴ κακολόγησε τὸν τελώνη, ἐμεῖς ποὺ κακολογοῦμε τοὺς πατέρες μας ποιά ἀπολογία θὰ ἔχουμε; Ἂν ἡ Μαρία τιμωρήθηκε τόσο πολὺ ἐπειδὴ βλασφήμησε μιὰ φορὰ τὸν ἀδελφό της, ποιά ἐλπίδα σωτηρίας θὰ ἔχουμε ἐμεῖς, ὅταν μὲ ἄπειρες ὕβρεις περιλούζουμε καθημερινὰ τοὺς ἄρχοντες; Καὶ ἂς μὴ μοῦ λέγει κανεὶς ὅτι 'ἐκεῖνος ἦταν ὁ Μωϋσῆς', γιατὶ θὰ μπορέσω καὶ ἐγὼ νὰ πῶ ὅτι 'καὶ ἐκείνη ἦταν ἡ Μαρία'. Ἄλλωστε, γιὰ νὰ τὸ μάθεις καὶ αὐτὸ καλά, ὅτι δηλαδὴ καὶ ἂν ἀκόμη οἱ ἱερεῖς εἶναι ἔνοχοι γιὰ κατηγορίες, οὔτε ἔτσι σοῦ ἐπιτρέπεται νὰ κρίνεις τὴ ζωή τους, ἄκουσε τί λέγει ὁ Χριστὸς γιὰ τοὺς ἄρχοντες τῶν Ἰουδαίων· «στὴ ἕδρα τοῦ Μωϋσῆ κάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. Ὅλα λοιπὸν ὅσα σᾶς λέγουν νὰ κάμνετε, νὰ τὰ κάμνετε, ἀλλὰ νὰ μὴν ἐνεργεῖτε σύμφωνα μὲ τὰ ἔργα τους»[28].

Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει χειρότερο ἀπὸ ἐκείνους ποὺ ὁ ζῆλος τους κατέστρεψε τοὺς μαθητές τους; Ἀλλ' ὅμως οὔτε ἔτσι τοὺς κατέβασε ἀπὸ τὸ ἀξίωμα, οὔτε τοὺς ἔκαμε εὐκαταφρόνητους στοὺς ἀρχόμενους. Καὶ πολὺ σωστά. Γιατὶ ἂν οἱ ἀρχόμενοι καταλάβουν αὐτὴ τὴν ἐξουσία, θὰ τοὺς δοῦμε νὰ τοὺς καθαιροῦν ὅλους καὶ νὰ τοὺς κατεβάζουν ἀπὸ τὸ βῆμα. Γι'

ἐκ τοῦ βήματος καταβιβάζοντες. Διὰ τοῦτο καὶ Παῦλος τὸν ἀρχιερέα τῶν Ἰουδαίων ὑβρίσας καὶ εἰπών, «τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με;», ἐπειδή τινων ἤκουσεν ἐπιστομιζόντων αὐτὸν καὶ λεγόντων, «τὸν ἀρχιερέα τοῦ Θεοῦ λοιδορεῖς;», δεῖξαι βουλόμενος, ὅσην ἀπονέμειν δεῖ τοῖς ἄρχουσι τὴν αἰδῶ καὶ τὴν τιμήν, τί φησιν; «Οὐκ ᾔδειν ὅτι ἀρχιερεὺς τοῦ Θεοῦ ἦν». Διὰ τοῦτο καὶ Δαυῒδ παρανομοῦντα λαβὼν τὸν Σαοὺλ καὶ φόνου πνέοντα καὶ μυρίας ὄντα κολάσεως ἄξιον, οὐ μόνον αὐτοῦ τῆς ζωῆς ἐφείσατο, ἀλλ' οὔτε ρῆμα φορτικὸν εἰς αὐτὸν ἐκβαλεῖν ὑπέμεινε· καὶ τὴν αἰτίαν τίθησι λέγων, ὅτι «χριστὸς Κυρίου ἐστίν».

Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθεν ἐκ πολλῆς τῆς περιουσίας ἔστιν ἰδεῖν, πῶς πόρρω που τὰ τῶν ἱερέων διορθοῦν τὸν ἀρχόμενον ἑστηκέναι χρή. Τῆς γὰρ κιβωτοῦ ποτε ἀναγομένης, ἐπειδή τινες τῶν ἀρχομένων περιτρεπομένην καὶ καταπίπτειν μέλλουσαν ἰδόντες ἀνώρθωσαν, ἐν αὐτῷ τῷ χωρίῳ δίκην ἔδοσαν, ὑπὸ τοῦ Κυρίου πληγέντες καὶ νεκροὶ μείναντες. Καίτοι γε οὐδὲν ἄτοπον ἐποίουν· οὐδὲ γὰρ ἀνέτρεπον τὴν κιβωτόν, ἀλλ' ἀνατρέπεσθαι μέλλουσαν καὶ καταπίπτειν ἀνώρθουν. Ἀλλ' ἵνα ἐκ πολλῆς περιουσίας μάθῃς τῶν ἱερέων τὸ ἀξίωμα καὶ πῶς οὐ θέμις τὸν ὑποτεταγμένον καὶ ἐν τάξει λαϊκῶν ὄντα τοιαῦτα ἐπανορθοῦν, ἀπέκτεινεν αὐτοὺς ἐν μέσῳ τῷ πλήθει, τοὺς ἄλλους πάντας ἐκ πολλῆς φοβῶν τῆς ὑπερβολῆς, καὶ πείθων μηδέποτε τοῖς τῆς ἱερωσύνης προσιέναι ἀδύτοις. Εἰ γὰρ δὴ μέλλοιεν ἕκαστοι ἐπὶ προφάσει τοῦ τὰ κακῶς γινόμενα διορθοῦν εἰς τὸ τῆς ἱερωσύνης εἰσάγειν ἑαυτοὺς ἀξίωμα, οὔτε πρόφασις ἐπιλείψει διορθώσεώς ποτε, οὔτε ἄρχοντα, οὔτε ἀρχόμενον διαγνωσόμεθα, ἀναμεμιγμένων πάντων ἀλλήλοις.

Καὶ μή μέ τις νομίσῃ τῶν ἱερέων κατεγνωκότα ταῦτα λέγειν (διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν πολλήν, ὡς καὶ ὑμεῖς ἴστε, τὴν ἐπιείκειαν ἐν ἅπασιν ἐπιδείκνυνται καὶ οὐδεμίαν οὐδενί ποτε

---

29. Πράξ. 23,3.4.5.
30. Α' Βασ. 24,7.
31. Βλ. Β' Βασ. 6,1–7.

αὐτὸ καὶ ὁ Παῦλος, ὅταν ἔβρισε τὸν ἀρχιερέα τῶν Ἰουδαίων καὶ εἶπε, «ἐσένα θὰ σὲ χτυπήσει ὁ Θεός, τοῖχε ἀσβεστωμένε, καὶ σὺ κάθεσαι γιὰ νὰ μὲ κρίνεις;», ἐπειδὴ ἄκουσε κάποιους νὰ τὸν ἀποστομώνουν καὶ νὰ λέγουν, «τὸν ἀρχιερέα τοῦ Θεοῦ βρίζεις;», θέλοντας νὰ δείξει πόσο σεβασμὸ καὶ τιμὴ πρέπει νὰ ἀπονέμει κανεὶς στοὺς ἄρχοντες, τί λέγει; «Δὲν ἤξερα ὅτι ἦταν ἀρχιερέας τοῦ Θεοῦ»[29]. Γι' αὐτὸ καὶ ὁ Δαβίδ, ὅταν συνέλαβε τὸ Σαοὺλ νὰ παρανομεῖ καὶ νὰ ἔχει φονικὲς διαθέσεις καὶ νὰ ἀξίζει γιὰ πολὺ μεγάλη τιμωρία, ὄχι μόνο λυπήθηκε τὴ ζωή του, ἀλλ' οὔτε ἀνέχθηκε νὰ ξεστομίσει σ' αὐτὸν λόγο προσβλητικό· καὶ ἀναφέρει τὴν αἰτία λέγοντας, «εἶναι χρισμένος ἀπὸ τὸν Κύριο»[30].

Καὶ ὄχι μόνο ἀπὸ ἐδῶ, ἀλλὰ καὶ ἀπὸ ἀλλοῦ μπορεῖ πάρα πολὺ καλὰ νὰ δεῖ κανεὶς πῶς πρέπει ὁ πιστὸς νὰ στέκεται μακριὰ ἀπὸ τὸ νὰ διορθώνει τὴ διαγωγὴ τῶν ἱερέων. Ὅταν λοιπὸν κάποτε μεταφερόταν ἡ κιβωτός, κάποιοι ἀπὸ τοὺς λαϊκούς, ἐπειδὴ στήριξαν τὴν κιβωτὸ ὅταν τὴν εἶδαν νὰ γέρνει καὶ νὰ πέφτει, τιμωρήθηκαν στὸν ἴδιο τὸν τόπο, ἀφοῦ χτυπήθηκαν ἀπὸ τὸν Κύριο καὶ ἔμειναν νεκροί[31]. Καὶ ὅμως δὲν ἔκαναν τίποτε τὸ ἄτοπο. Γιατὶ δὲν ἀνέτρεπαν τὴν κιβωτό, ἀλλὰ ἐνῶ ἐπρόκειτο νὰ ἀνατραπεῖ καὶ νὰ πέσει κάτω τὴ στήριξαν. Ἀλλὰ γιὰ νὰ μάθεις πολὺ καλὰ τὸ ἀξίωμα τῶν ἱερέων καὶ πῶς δὲν ἐπιτρέπεται νὰ διορθώνει αὐτὰ τὰ πράγματα ὅποιος βρίσκεται κάτω ἀπ' αὐτοὺς καὶ ἀνήκει στὴν τάξη τῶν λαϊκῶν, τοὺς θανάτωσε μπροστὰ στὸ πλῆθος, φοβίζοντας πάρα πολὺ ὅλους τοὺς ἄλλους καὶ πείθοντάς τους νὰ μὴν πλησιάζουν ποτὲ στὰ ἄδυτα τῆς ἱερωσύνης. Γιατὶ ἂν ἔφθανε ὁ καθένας, μὲ πρόφαση νὰ διορθώσει τὰ κακῶς γινόμενα, νὰ μπαίνει στὸ ἀξίωμα τῆς ἱερωσύνης, οὔτε πρόφαση γιὰ διόρθωση θὰ λείψει ποτέ, οὔτε ἄρχοντα οὔτε λαὸ θὰ ξεχωρίζουμε, ἀφοῦ ὅλοι θὰ ἔχουν ἀναμιχθεῖ μεταξύ τους.

Καὶ ἂς μὴ νομίσει κανεὶς πὼς τὰ λέγω αὐτὰ γιὰ νὰ κατηγορήσω τοὺς ἱερεῖς (γιατὶ μὲ τὴ χάρη τοῦ Θεοῦ δείχνουν, ὅπως καὶ σεῖς γνωρίζετε, καλωσύνη σὲ ὅλους καὶ σὲ κανένα δὲν ἔχουν δώσει ποτὲ καμιὰ ἀφορμή), ἀλλὰ γιὰ νὰ μάθετε ἐσεῖς ὅτι,

παρεσχήκασι λαβήν), ἀλλ' ἵνα ὑμεῖς μάθητε, ὅτι εἰ καὶ μοχθηροὺς εἴχετε πατέρας καὶ φορτικοὺς διδασκάλους, οὐδὲ οὕτως ἀκίνδυνον ὑμῖν ἦν οὐδὲ ἀσφαλὲς βλασφημεῖν αὐτοὺς καὶ λοιδορεῖσθαι. Εἰ γὰρ ἐπὶ τῶν σωματικῶν γονέων σοφός τίς φησι, «κἂν ἀπολίπῃ σύνεσιν, συγγνώμην ἔχε», τί γὰρ αὐτοῖς ἀποδώσεις, καθὼς αὐτοὶ σοί; πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτον φυλάττεσθαι χρὴ τὸν νόμον, καὶ τὸν ἑκάστου βίον ἑαυτὸν ἕκαστον περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, ἵνα μὴ ἀκούσωμεν κατ' ἐκείνην τὴν ἡμέραν, «ὑποκριτά, τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς δοκόν;». Καὶ γὰρ ὑποκριτῶν ἔργον, τὸ δημοσίᾳ μὲν καὶ πάντων ὁρώντων τὰς χεῖρας φιλεῖν τῶν ἱερέων καὶ γονάτων ἅπτεσθαι καὶ παρακαλεῖν ὑπὲρ αὐτῶν εὔχεσθαι καὶ δεομένους βαπτίσματος ἐπὶ τὰς ἐκείνων τρέχειν θύρας, οἴκοι δὲ καὶ ἐν ἀγοραῖς τοὺς τοσούτων ἀγαθῶν αἰτίους ἡμῖν καὶ διακόνους μυρίοις πλύνειν ὀνείδεσιν, ἢ ἑτέρων ὀνειδιζόντων ἀνέχεσθαι.

Εἰ μὲν γὰρ ἀληθῶς κακὸς ὁ πατήρ, πῶς αὐτὸν ἀξιόπιστον εἶναι νομίζεις διάκονον τῆς τῶν φρικτῶν ἐκείνων μυσταγωγίας; Εἰ δὲ ἀξιόπιστος ἐκείνων εἶναί σοι διάκονος, τίνος ἕνεκεν ἀνέχῃ κακῶς ἑτέρων λεγόντων αὐτὸν καὶ οὐκ ἐπιστομίζεις οὐδὲ ἀγανακτεῖς οὐδὲ δυσχεραίνεις, ἵνα παρὰ τοῦ Θεοῦ πολὺν τὸν μισθὸν ἀπολάβῃς καὶ παρ' αὐτῶν ἐκείνων τῶν κατηγορούντων τὸν ἔπαινον; Κἂν γὰρ μυριάκις ὦσιν ὑβρισταί, πάντως ἐπαινέσονταί σε καὶ ἀποδέξονται τῆς περὶ τοὺς πατέρας κηδεμονίας· ὥσπερ, ἂν μὴ τοῦτο ποιῶμεν ἅπαντες ἡμῶν καταγνώσονται καὶ αὐτοὶ οἱ κακῶς λέγοντες. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ ἐκεῖ τὴν ἐσχάτην δώσομεν δίκην. Οὐδὲν γὰρ οὕτω τὰς ἐκκλησίας λυμαίνεται, ὡς τοῦτο τὸ νόσημα· καὶ καθάπερ σῶμα μὴ μετὰ ἀκριβείας συνδεδεμένον τῇ τῶν νευρῶν περιβολῇ πολ-

---

32. Σοφ. Σειρ. 3,13.
33. Ματθ. 7,3.

καὶ ἂν ἀκόμη εἴχατε κακοὺς πατέρες καὶ ἀφόρητους διδασκάλους, οὔτε ἔτσι ἦταν ἀκίνδυνο γιὰ σᾶς οὔτε ἀσφαλὲς νὰ τοὺς βλασφημεῖτε καὶ νὰ τοὺς βρίζετε. Ἂν λοιπὸν γιὰ τοὺς σωματικοὺς γονεῖς κάποιος σοφὸς λέγει, «καὶ ἂν ἀκόμη ἐξασθενήσει ἡ σύνεσή του νὰ εἶσαι ἐπιεικὴς ἀπέναντί του»[32] (γιατὶ τί ἀνάλογο θὰ τοὺς ἀποδώσεις μὲ ἐκεῖνο ποὺ σοῦ ἔδωσαν αὐτοί;), πολὺ περισσότερο γιὰ τοὺς πνευματικοὺς πρέπει νὰ τηρεῖ κανεὶς αὐτὸ τὸ νόμο καὶ ὁ καθένας μόνος του νὰ ἐξετάζει καὶ νὰ προσέχει τὴ δική του ζωή, γιὰ νὰ μὴν ἀκούσουμε τὴν ἡμέρα ἐκείνη, «ὑποκριτή, γιατί βλέπεις τὸ σκουπιδάκι ποὺ εἶναι στὸ μάτι τοῦ ἀδελφοῦ σου, καὶ δὲ νιώθεις τὸ δοκάρι ποὺ εἶναι στὸ μάτι σου;»[33]. Γιατὶ πραγματικὰ ἔργο τῶν ὑποκριτῶν εἶναι τὸ νὰ φιλοῦν δημόσια καὶ ὅταν τοὺς βλέπουν ὅλοι τὰ χέρια τῶν ἱερέων καὶ νὰ ἀγγίζουν τὰ γόνατά τους καὶ νὰ τοὺς παρακαλοῦν νὰ προσεύχονται γιὰ χάρη τους καὶ νὰ τρέχουν στὶς πόρτες τους ὅταν χρειάζονται βάπτισμα, ἐνῶ στὸ σπίτι καὶ στὶς ἀγορὲς αὐτοὺς ποὺ μᾶς εἶναι αἴτιοι καὶ ὑπηρέτες σὲ τόσα ἀγαθὰ τοὺς περιλούζουν μὲ ἄπειρες ὕβρεις ἢ ὅταν ἄλλοι τοὺς βρίζουν τὸ ἀνέχονται.

Γιατί, ἂν πραγματικὰ εἶναι κακὸς ὁ πατέρας, πῶς νομίζεις ὅτι εἶναι ἀξιόπιστος ὑπηρέτης τῆς μυσταγωγίας τῶν φρικτῶν μυστηρίων; Ἂν ὅμως σοῦ φαίνεται πὼς εἶναι ἀξιόπιστος ὑπηρέτης αὐτῶν τῶν μυστηρίων, γιὰ ποιό λόγο ἀνέχεσαι νὰ τὸν κακολογοῦν ἄλλοι καὶ δὲν τοὺς κλείνεις τὸ στόμα οὔτε ἀγανακτεῖς οὔτε δυσανασχετεῖς, γιὰ νὰ πάρεις μεγάλο μισθὸ ἀπὸ τὸ Θεὸ καὶ τὸν ἔπαινο ἀπὸ τοὺς ἴδιους τοὺς κατηγόρους; Γιατὶ καὶ ἂν ἀκόμη εἶναι χίλιες φορὲς ὑβριστές, ὁπωσδήποτε θὰ σὲ ἐπαινέσουν καὶ θὰ δεχθοῦν τὴ φροντίδα σου γιὰ τοὺς πατέρες· ὅπως πάλι, ἂν δὲν τὸ κάμνουμε αὐτό, ὅλοι θὰ μᾶς κατηγορήσουν, ἀκόμη καὶ αὐτοὶ ποὺ κακολογοῦν. Καὶ ὄχι μόνο αὐτὸ εἶναι τὸ φοβερό, ἀλλὰ καὶ τὸ ὅτι καὶ ἐκεῖ θὰ τιμωρηθοῦμε μὲ τὴ χειρότερη τιμωρία. Γιατὶ τίποτε δὲν καταστρέφει τόσο τὶς Ἐκκλησίες, ὅσο αὐτὴ ἡ ἀρρώστια. Καὶ ὅπως ἕνα σῶμα ποὺ δὲν εἶναι μὲ ἀκρίβεια συνδεμένο μὲ τὴ σύνδεση τῶν νεύρων γεννάει πολ-

λὰς τίκτει τὰς ἀρρωστίας καὶ ἀβίωτον ποιεῖ τὸν βίον, οὕτω καὶ Ἐκκλησία μὴ σφοδρᾷ καὶ ἀρραγεῖ τῇ τῆς ἀγάπης ἁλύσει περιβεβλημένη μυρίους τίκτει πολέμους καὶ τὴν ὀργὴν τοῦ Θεοῦ αὔξει καὶ πολλῶν πειρασμῶν γίνεται ὑπόθεσις.

Ἵνα οὖν μὴ ταῦτα συμβαίνῃ μηδὲ τὸν Θεὸν παροξύνωμεν καὶ τὰ ἡμέτερα ἐπαυξήσωμεν καὶ πολλῆς ἀηδίας πληρῶμεν τὴν ζωὴν τὴν ἡμετέραν, πρὸς εὐφημίαν τὴν γλῶτταν μεταθέντες, τὸν ἑαυτῶν καθ' ἑκάστην ἡμέραν περιεργαζώμεθα βίον καὶ τὴν ἑτέρων ζωὴν τῷ τὰ ἀπόρρητα μετὰ ἀκριβείας εἰδότι κρίνειν ἐπιτρέψαντες, αὐτοὶ τὰ ἑαυτῶν ἁμαρτήματα κρίνωμεν. Οὕτω γὰρ καὶ τὸ τῆς γεέννης δυνησόμεθα διαφυγεῖν πῦρ. Ὥσπερ γὰρ οἱ τὰ ἀλλότρια πολυπραγμονοῦντες κακὰ τῶν οἰκείων οὐδένα ποιοῦνται λόγον, οὕτως οἱ δεδοικότες εἰς τὸν ἑτέρων παρακύψαι βίον, πολλὴν ἑαυτοῖς τῶν πεπλημμελημένων ποιήσονται τὴν φροντίδα· οἱ δὲ τὰ ἑαυτῶν ἀναλογιζόμενοι κακὰ καὶ ταῦτα καθ' ἑκάστην κρίνοντες τὴν ἡμέραν καὶ δίκας ἑαυτοὺς ἀπαιτοῦντες, ἥμερον ἕξουσι τότε τὸν δικαστήν. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· «εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα ὑπὸ Κυρίου».

Ἵν' οὖν διαφύγωμεν τὴν ψῆφον ἐκείνην, πάντα τὰ ἄλλα ἀφέντες, περιεργαζώμεθα τὴν ἑαυτῶν ζωὴν καὶ κολάζωμεν τὸν λογισμὸν τὸν ἁμαρτάνειν ἀναπείθοντα καὶ κατανύττωμεν τὸ συνειδὸς καὶ λόγον ἑαυτοὺς ἀπαιτῶμεν τῶν πεπραγμένων ἡμῖν. Οὕτω γὰρ δυνησόμεθα κοῦφον τῶν ἁμαρτημάτων ποιήσαντες τὸ φορτίον, συγγνώμης ἀπολαῦσαι πολλῆς καὶ τὸν παρόντα βίον μεθ' ἡδονῆς διάγειν καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

34. Α' Κορ. 11,31.

λὲς ἀρρώστιες καὶ κάνει τὴ ζωὴ ἀφόρητη, ἔτσι καὶ μία Ἐκκλησία ποὺ δὲν εἶναι περιζωσμένη μὲ τὴν ἰσχυρὴ καὶ στερεὴ ἁλυσίδα τῆς ἀγάπης γεννάει ἄπειρους πολέμους, αὐξάνει τὴν ὀργὴ τοῦ Θεοῦ καὶ γινεται αἰτία πολλῶν πειρασμῶν.

Γιὰ νὰ μὴ συμβαίνουν λοιπὸν αὐτὰ οὔτε καὶ νὰ ἐξοργίζουμε τὸ Θεὸ καὶ αὐξήσουμε ἔτσι τὰ δικά μας κακά, καταστήσουμε ἀναπότρεπτη τὴν τιμωρία μας καὶ γεμίζουμε τὴ ζωή μας μὲ πολλὴ ἀπέχθεια, ἀφοῦ μεταστρέψουμε τὴ γλώσσα μας γιὰ ἐπαίνους, ἂς ἐξετάζουμε μὲ προσοχὴ κάθε ἡμέρα τὴ ζωή μας, καὶ ἀφήνοντας τὴ ζωὴ τῶν ἄλλων σ' ἐκεῖνον ποὺ μὲ ἀκρίβεια γνωρίζει νὰ κρίνει τὰ ἀπόρρητα, ἂς κρίνουμε οἱ ἴδιοι τὰ ἁμαρτήματά μας. Γιατὶ ἔτσι θὰ μπορέσουμε νὰ ξεφύγουμε καὶ τὸ πῦρ τῆς γέεννας. Ὅπως λοιπὸν ἐκεῖνοι ποὺ μὲ προσοχὴ ἐξετάζουν τὰ ξένα κακὰ δὲ μιλοῦν καθόλου γιὰ τὰ δικά τους, ἔτσι αὐτοὶ ποὺ φοβοῦνται νὰ σκύψουν στὴ ζωὴ τῶν ἄλλων, θὰ φροντίσουν πολὺ γιὰ τὰ δικά τους ἁμαρτήματα· καὶ ὅσοι ἀναλογίζονται τὰ δικά τους κακὰ καὶ τὰ κρίνουν κάθε ἡμέρα καὶ ἀπαιτοῦν τιμωρίες γιὰ τοὺς ἑαυτούς του, θὰ ἔχουν τότε ἥμερο τὸ δικαστή. Καὶ αὐτὸ γιὰ νὰ δηλώσει ὁ Παῦλος ἔλεγε· «γιατὶ ἂν κρίναμε τὸν ἑαυτό μας, δὲ θὰ μᾶς ἔκρινε ὁ Κύριος»[34].

Γιὰ νὰ ἀποφύγουμε λοιπὸν τὴν ἀπόφαση ἐκείνη, ἀφήνοντας κατὰ μέρος ὅλα τὰ ἄλλα, ἂς ἐξετάζουμε τὴ δική μας ζωή, ἂς τιμωροῦμε τὸ λογισμὸ ποὺ μᾶς πείθει ν' ἁμαρτάνουμε, ἂς ἐλέγχουμε τὴ συνείδησή μας καὶ ἂς ἀπαιτοῦμε λόγο ἀπὸ τὸν ἑαυτό μας γιὰ τὶς πράξεις μας. Γιατὶ ἔτσι θὰ μπορέσουμε, κάμνοντας ἐλαφρὸ τὸ φορτίο τῶν ἁμαρτημάτων μας, νὰ ἀπολαύσουμε πολλὴ συγγνώμη, καὶ ζώντας μὲ πολλὴ ἡδονὴ τὴν παρούσα ζωή, θὰ μπορέσουμε νὰ ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

«ΔΙΑ ΔΕ ΤΑΣ ΠΟΡΝΕΙΑΣ ΕΚΑΣΤΟΣ ΤΗΝ ΕΑΥΤΟΥ ΓΥΝΑΙΚΑ ΕΧΕΤΩ»



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

«ΔΙΑ ΔΕ ΤΑΣ ΠΟΡΝΕΙΑΣ ΕΚΑΣΤΟΣ ΤΗΝ ΕΑΥΤΟΥ ΓΥΝΑΙΚΑ ΕΧΕΤΩ»

1. Πρὸς τὰς τοῦ μέλιτος πηγὰς καὶ τήμερον ὑμᾶς χειραγωγῆσαι βούλομαι, μέλιτος οὐδέποτε κόρον ἔχοντος. Τοιαύτη γὰρ τῶν Παύλου ρημάτων ἡ φύσις, καὶ πάντες δέ, ὅσοι πληροῦσι τὰς ἑαυτῶν καρδίας ἐκ τῶν πηγῶν τούτων, διὰ τοῦ Πνεύματος τοῦ ἁγίου φθέγγονται· μᾶλλον δὲ καὶ μέλιτος ἀρετὴν ἀποκρύπτει πᾶσαν ἡ τῶν θείων ἡδονὴ λογίων. Καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν, «ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου». Οὐ μέλιτος δέ ἐστιν ἡδίων μόνον, ἀλλὰ καὶ χρυσίου καὶ λίθου παντὸς τιμιωτέρα καὶ ἀργυρίου παντὸς καθαρωτέρα ἡ ἡδονὴ τῶν θείων λογίων. «Τὰ λόγια γὰρ Κυρίου», φησί, «λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως». Διὰ τοῦτο καί τις σοφὸς ἔλεγεν· «ἐσθίειν μέλι πολὺ οὐ καλόν, τιμᾶν δὲ χρὴ λόγους ἐνδόξους». Ἐξ ἐκείνου μὲν γὰρ καὶ νόσος οὐκ οὖσα τίκτεται πολλάκις, ἀπὸ δὲ τούτων καὶ τὴν οὖσαν ἀρρωστίαν ἀποθέσθαι δυνάμεθα· καὶ τὸ μὲν μέλι κατὰ πέψιν διαφθείρεται, τὰ δὲ λόγια τὰ θεῖα, ὅταν πεφθῇ, τότε καὶ ἡδίω γίνεται καὶ χρησιμώτερα, αὐτοῖς τε τοῖς ἔχουσι, καὶ ἑτέροις πολλοῖς. Καὶ τραπέζης μέν τις αἰσθητῆς μετὰ δαψιλείας ἀπολαύων, εἶτα ἐκεῖθεν ἐρευγόμενος, ἀηδὴς τῷ κοινωνοῦντι γίνεται· ἀπὸ διδασκαλίας δέ τις ἐρευξάμενος πνευματικῆς, πολλῆς τῆς εὐωδίας μεταδίδωσι τῷ πλησίον.

---

1. Α΄ Κορ. 7,2.
2. Ψαλμ. 118,103.
3. Ψαλμ. 11,7.
4. Παροιμ. 25,27.



ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ

«ΓΙΑ Ν' ΑΠΟΦΕΥΓΕΤΑΙ Η ΠΟΡΝΕΙΑ Ο ΚΑΘΕΝΑΣ ΑΣ ΕΧΕΙ ΤΗ ΔΙΚΗ ΤΟΥ ΓΥΝΑΙΚΑ»[1]

1. Καὶ σήμερα θέλω νὰ σᾶς ὁδηγήσω πρὸς τὶς πηγὲς τοῦ μέλιτος, τοῦ μέλιτος ποὺ ποτὲ δὲ φέρνει κορεσμό. Γιατὶ τέτοια εἶναι ἡ φύση τῶν λόγων τοῦ Παύλου καὶ ὅλοι ὅσοι γεμίζουν τὶς καρδιές τους ἀπὸ τὶς πηγὲς αὐτὲς μιλοῦν μὲ τὴ δύναμη τοῦ ἁγίου Πνεύματος. Ἡ καλύτερα ἡ εὐχαρίστηση τῶν θείων λόγων ἐπισκιάζει ὅλη τὴ γλυκύτητα ποὺ ἔχει τὸ μέλι. Καὶ δηλώνοντας αὐτὸ ὁ προφήτης ἔλεγε· «πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸ λάρυγγά μου»[2]. Καὶ ὄχι μόνο ἀπὸ τὸ μέλι εἶναι γλυκύτερη ἡ εὐχαρίστηση τῶν θείων λόγων, ἀλλὰ πιὸ ἀκριβὴ καὶ ἀπὸ τὸ χρυσάφι καὶ ἀπὸ κάθε πολύτιμο λίθο καὶ πιὸ καθαρὴ ἀπὸ ὅλο τὸ ἀσήμι. «Γιατὶ τὰ λόγια τοῦ Κυρίου», λέγει, «εἶναι λόγια ἀγνά, ἀσήμι πυρωμένο, δοκιμασμένο στὴ γῆ, ἑπτὰ φορὲς καθαρό»[3]. Γι' αὐτὸ καὶ κάποιος σοφὸς ἔλεγε· «τὸ νὰ τρώει κανεὶς πολὺ μέλι δὲν εἶναι καλό, ἀντίθετα ὅμως πρέπει νὰ τιμάει λόγια ἔνδοξων ἀνθρώπων»[4]. Γιατὶ ἀπὸ τὸ μέλι προέρχεται πολλὲς φορὲς καὶ ἀρρώστια ποὺ δὲν ὑπῆρχε, ἐνῶ μὲ τὰ θεῖα λόγια μποροῦμε νὰ διώξουμε καὶ τὴν ἀρρώστια ποὺ ὑπάρχει. Καὶ τὸ μέλι βέβαια χάνεται ὅταν χωνευθεῖ, ἐνῶ τὰ θεῖα λόγια ὅταν χωνευθοῦν τότε γίνονται καὶ πιὸ γλυκὰ καὶ πιὸ χρήσιμα καὶ σ' αὐτοὺς ποὺ τὰ ἔχουν καὶ σὲ πολλοὺς ἄλλους. Καὶ ὅταν κανεὶς ἀπολαμβάνει ἕνα πλούσιο αἰσθητὸ τραπέζι καὶ στὴ συνέχεια ρεύεται ἐξ αἰτίας αὐτοῦ, γίνεται δυσάρεστος σ' ἐκεῖνον ποὺ βρίσκεται κοντά του, ἐνῶ ὅταν ρευθεῖ ὕστερα ἀπὸ πνευματικὴ διδασκαλία μεταδίδει στὸν πλησίον του πολλὴ εὐωδία.

Ὁ γοῦν Δαυῒδ τοιαύτης συνεχῶς ἀπολαύων ἑστιάσεως ἔλεγεν, «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν». Ἔστι γὰρ καὶ πονηρὸν λόγον ἐρεύξασθαι. Καὶ καθάπερ ἐπὶ τῆς αἰσθητῆς τραπέζης κατὰ τὴν φύσιν τῶν ἐδεσμάτων καὶ ἡ τῆς ἐρυγῆς ποιότης ἐκδίδοται, οὕτω δὴ καὶ ἐπὶ τῆς τῶν ρημάτων δυνάμεως, οἷάπερ ἂν σιτῶνται, τοιαῦτα καὶ ἐρεύγονται πολλοὶ τῶν ἀνθρώπων. Οἷον, ἐὰν εἰς θέατρον ἀναβῇς καὶ πορνικῶν ᾀσμάτων ἀκούσῃς, τοιαῦτα καὶ ἐρεύξῃ πάντως εἰς τὸν πλησίον ρήματα· ἂν δὲ εἰς τὴν ἐκκλησίαν ἐλθών, μετάσχῃς ἀκουσμάτων πνευματικῶν, τοιαύτας ἕξεις καὶ τὰς ἐρυγάς. Διὰ τοῦτο καὶ ὁ Προφήτης ἔλεγεν, «ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν», τῆς τραπέζης, ἧς ἀεὶ μετεῖχε, τὴν βρῶσιν ἡμῖν ἐνδεικνύμενος. Τούτῳ καὶ ὁ Παῦλος πειθόμενος παρῄνει λέγων, «πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ᾽ εἴ τις ἀγαθός». Καὶ τίς ἐστιν ὁ σαπρός, φησίν; Ἐὰν μάθῃς τὸν ἀγαθόν, τότε εἴσῃ καὶ τὸν σαπρόν· πρὸς γὰρ τὴν ἀντιδιαστολὴν ἐκείνου τοῦτον τέθεικε. Τίς οὖν ἐστιν ὁ ἀγαθός, οὐδὲν δεήσῃ παρ᾽ ἐμοῦ μαθεῖν· αὐτὸς γὰρ ἡμῖν αὐτοῦ τὴν φύσιν ἡρμήνευσεν. Εἰπὼν γάρ, «εἴ τις ἀγαθός», ἐπήγαγε, «πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας», δεικνὺς ὅτι οὗτός ἐστιν ἀγαθὸς ὁ τὸν πλησίον οἰκοδομῶν. Ὥσπερ οὖν ὁ οἰκοδομῶν ἀγαθός, οὕτως ὁ καθαιρῶν σαπρὸς καὶ φαῦλος.

Καὶ σὺ τοίνυν, ἀγαπητέ, εἰ μὲν ἔχεις τι τοιοῦτον εἰπεῖν, ὃ δύναται βελτίω ποιῆσαι τὸν ἀκούοντα, μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας· εἰ δὲ μηδὲν τοιοῦτον ἔχεις ἀλλὰ πονηρὰ καὶ διεφθαρμένα ρήματα, σίγησον, μὴ κατηγορήσῃς τοῦ πλησίον. Οὗτος γὰρ ὁ λόγος σαπρός ἐστιν, οὐκ οἰκοδομῶν τὸν ἀκούοντα ἀλλὰ καὶ καταστρέφων. Ἄν τε γὰρ ἀρετῆς ἐπιμελῆται πρὸς ἀπόνοιαν αἴρεται πολλάκις, ἄν τε ἠμελημένος ᾖ ρᾳθυμότερος γίνεται. Ἂν αἰσχρὸν μέλλῃς φθέγγεσθαι ρῆμα καὶ γέλωτος γέμον

5. Ψαλμ. 44,2.
6. Ἐφ. 4,29.

Ὁ Δαβὶδ λοιπὸν ποὺ ἀπολάμβανε συνεχῶς τέτοιο τραπέζι ἔλεγε· «ἄφησε ἡ καρδιά μου νὰ βγεῖ λόγος ἀγαθός»[5]. Γιατὶ εἶναι δυνατὸ νὰ ξεστομλίσει κανεὶς καὶ λόγο κακό. Καὶ ὅπως στὸ αἰσθητὸ τραπέζι σύμφωνα μὲ τὴ φύση τῶν φαγητῶν βγαίνει καὶ ἡ ποιότητα τοῦ ρεψίματος, ἔτσι ἀκριβῶς καὶ ὡς πρὸς τὴ δύναμη τῶν λόγων, μὲ ὅποιους λόγους τρέφονται, τέτοιους καὶ ἐκστομίζουν πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους. Γιὰ παράδειγμα, ἂν ἀνεβεῖς στὸ θέατρο καὶ ἀκούσεις ἀνήθικα τραγούδια, τέτοια λόγια ὁπωσδηποτε θὰ ἐκστομίσεις καὶ στὸν πλησίον σου· ἂν ὅμως ἔρθεις στὴν ἐκκλησία καὶ πάρεις μέρος σὲ πνευματικὴ ἀκρόαση, τέτοια θὰ εἶναι καὶ τὰ λόγια ποὺ θὰ ἐκστομίσεις. Γι' αὐτὸ καὶ ὁ προφήτης ἔλεγε, «ἄφησε ἡ καρδιά μου νὰ βγεῖ λόγος ἀγαθός», φανερώνοντας τὸ φαγητὸ τοῦ τραπεζιοῦ στὸ ὁποῖο πάντοτε ἔπαιρνε μέρος. Ἀκολουθώντας αὐτὸν καὶ ὁ Παῦλος συμβούλευε λέγοντας· «κανένας βλαβερὸς λόγος ἂς μὴ βγαίνει ἀπὸ τὸ στόμα σας παρὰ μόνο ὠφέλιμος»[6]. Καὶ ποιός εἶναι, λέγει, ὁ βλαβερὸς λόγος; Ἂν μάθεις τὸν ὠφέλιμο τότε θὰ γνωρίσεις καὶ τὸ βλαβερό· γιατὶ τὸν ἀνέφερε αὐτὸν πρὸς διάκρισή του ἀπὸ ἐκεῖνον. Ποιός λοιπὸν εἶναι ὁ ὠφέλιμος, δὲ χρειάζεται καθόλου νὰ τὸ μάθεις ἀπὸ μένα, ἐπειδὴ ὁ ἴδιος μᾶς ἐξήγησε τὴ φύση του. Γιατὶ ἀφοῦ εἶπε, «παρὰ μόνο ὠφέλιμος», πρόσθεσε, «γιὰ οἰκοδομὴ τῆς Ἐκκλησίας», δείχνοντας ὅτι αὐτὸς εἶναι ὠφέλιμος, αὐτὸς ποὺ οἰκοδομεῖ τὸν πλησίον. Ὅπως ἀκριβῶς λοιπὸν αὐτὸς ποὺ οἰκοδομεῖ εἶναι ὠφέλιμος, ἔτσι ἐκεῖνος ποὺ καταστρέφει εἶναι βλαβερὸς καὶ κακός.

Καὶ σὺ λοιπόν, ἀγαπητέ, ἂν ἔχεις νὰ πεῖς κάτι τέτοιο ποὺ μπορεῖ νὰ κάνει καλύτερο τὸν ἀκροατή σου, μὴν ἐμποδίσεις ἕνα τέτοιο λόγο ποὺ ὁδηγεῖ στὴ σωτηρία· ἂν ὅμως δὲν ἔχεις τίποτε τέτοιο παρὰ μόνο κακὰ καὶ ἀνήθικα λόγια, σιώπησε, μὴν κατηγορήσεις τὸν πλησίον σου. Γιατὶ αὐτὸς ὁ λόγος εἶναι βλαβερός, ἀφοῦ ὄχι μόνο δὲν οἰκοδομεῖ τὸν ἀκροατὴ ἀλλὰ καὶ τὸν καταστρέφει. Ἂν πάλι φροντίζει γιὰ τὴν ἀρετή, πολλὲς φορὲς ὁδηγεῖ σὲ ἀλαζονεία, ἐνῶ ἂν εἶναι ἀδιάφορος, γίνεται πιὸ νωθρός. Ἂν πρόκειται νὰ πεῖς ἕνα λόγο αἰσχρὸ καὶ πολὺ γελοῖο, σιώ-

σίγησον. Καὶ γὰρ οὗτος ὁ λόγος σαπρός ἐστι, τόν τε λέγοντα τόν τε ἀκούοντα ἀσελγεστέρους ποιῶν καὶ τὰς ἐν ἑκάστῳ πονηρὰς ἐπιθυμίας ἀνάπτων. Ὥσπερ οὖν τῷ πυρὶ τὰ ξύλα τροφὴ γίνεται καὶ ὕλη, οὕτω τοῖς πονηροῖς βουλεύμασι τὰ ρήματα. Διὰ τοῦτο οὐ χρὴ πάντα ἅπερ ἂν ἔχωμεν ἐν διανοίᾳ φθέγγεσθαι πάντως, ἀλλὰ σπουδάζειν μὲν καὶ τῆς διανοίας αὐτῆς ἐξορίζειν τὰς πονηρὰς ἐπιθυμίας καὶ πᾶσαν αἰσχρὰν ἔννοιαν. Εἰ δέ ποτε λαθόντες παραδεξόμεθα ρυπαροὺς λογισμούς, μηδέποτε διὰ τῆς γλώττης αὐτοὺς ἐκφέρωμεν, ἀλλ' ἀποπνίγωμεν αὐτοὺς διὰ τῆς σιγῆς.

Καὶ γὰρ καὶ θηρία καὶ ἑρπετὰ εἰς λάκκον ἐμπίπτοντα, ἂν μὲν εὕρῃ τινὰ διέξοδον ἄνωθεν ἀναβάντα ἀγριώτερα γίνεται, ἂν δὲ μένῃ κάτω διηνεκῶς συγκεκλεισμένα πάντοθεν ἀπόλλυται ρᾳδίως καὶ ἀφανίζεται· οὕτω δὴ καὶ τὰ πονηρὰ ἐνθυμήματα, ἂν μὲν εὕρῃ τινὰ διὰ τοῦ στόματος ἡμῶν καὶ τῶν ρημάτων ἔξοδον ἀνάπτει τὴν ἔνδον φλόγα, ἂν δὲ ἀποκλείσῃς αὐτὰ διὰ τῆς σιγῆς ἀσθενέστερα γίνεται, καὶ καθάπερ λιμῷ τηκόμενα τῇ σιωπῇ ταχέως ἐναποθνήσκει τῇ διανοίᾳ. Ὥστε κἂν ἐπιθυμήσῃς τινὰ αἰσχρὰν ἐπιθυμίαν μὴ φθέγξῃ δὲ ρῆμα αἰσχρόν, κατέσβεσας καὶ τὴν ἐπιθυμίαν. Οὐκ ἔχεις διάνοιαν καθαράν; Κἂν στόμα ἔχε καθαρὸν καὶ μὴ κενώσῃς ἔξω τὸν βόρβορον, ἵνα μὴ καὶ ἕτερον καὶ σαυτὸν καταβλάψῃς. Οὐ γὰρ τοῖς λέγουσι μόνον, ἀλλὰ καὶ τοῖς ἀκούουσιν αἰσχρὰ φθεγγομένων ἑτέρων πολλὴ προσγίνεται κηλίς. Διὰ τοῦτο παραινῶ καὶ συμβουλεύω, μὴ μόνον τοῦ λέγειν τὰ τοιαῦτα, ἀλλὰ καὶ λεγόντων ἑτέρων τοῦ ἀκούειν ἀπέχεσθαι καὶ τῷ θείῳ προσηλῶσθαι νόμῳ διηνεκῶς. Τὸν γὰρ τοιοῦτον καὶ ὁ προφήτης μακαρίζει, λέγων· «μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός».

2. Ἐν μὲν οὖν τοῖς ἔξωθεν συλλόγοις, εἰ καί τι λεχθείη ποτὲ

---

7. Ψαλμ. 1,1–2.

πησε. Γιατὶ καὶ αὐτὸς ὁ λόγος εἶναι βλαβερός, ἀφοῦ κάνει καὶ τὸν ὁμιλητὴ καὶ τὸν ἀκροατὴ πιὸ ἀνήθικους καὶ ἀνάβει στὸν καθένα τὶς πονηρὲς ἐπιθυμίες. Ὅπως λοιπὸν στὴ φωτιὰ τὰ ξύλα γίνονται τροφὴ και ὕλη, ἔτσι στὶς πονηρὲς σκέψεις γίνονται τὰ λόγια. Γι' αὐτὸ δὲν πρέπει νὰ λέμε ὁπωσδήποτε ὅλα ὅσα συμβαίνει νὰ ἔχουμε στὸ νοῦ μας, ἀλλὰ νὰ φροντίζουμε νὰ διώχνουμε καὶ ἀπὸ τὸ νοῦ μας τὶς πονηρὲς ἐπιθυμίες καὶ κάθε αἰσχρὴ σκέψη. Καὶ ἂν κάποτε χωρὶς νὰ τὸ ἀντιληφθοῦμε δεχθοῦμε μέσα μας κάποιες ἀνήθικες σκέψεις, ἂς μὴν τὶς ἀνακοινώνουμε μὲ τὴ γλώσσα, ἀλλὰ ἂς τὶς πνίγουμε μὲ τὴ σιωπή μας.

Γιατὶ καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ ποὺ πέφτουν μέσα σὲ λάκκο, ἂν βροῦν κάποια διέξοδο γίνονται πιὸ ἄγρια ὅταν ἀνεβοῦν ἐπάνω· ἂν ὅμως μένουν κάτω διαρκῶς ἀποκλεισμένα, ὁπωσδήποτε χάνονται εὔκολα καὶ ἐξαφανίζονται. Ἔτσι λοιπὸν καὶ οἱ πονηρὲς σκέψεις, ἂν βροῦν κάποια διέξοδο ἀπὸ τὸ στόμα μας καὶ μὲ τὰ λόγια μας, ἀνάβουν τὴ φλόγα τῆς ἐπιθυμίας μέσα μας, ἂν ὅμως τὶς ἀποκλείσεις μὲ τὴ σιωπή, γίνονται ἀσθενέστερες καὶ σὰν μὲ τὴ σιωπὴ νὰ λειώνουν ἀπὸ πείνα γρήγορα πεθαίνουν μέσα στὸ νοῦ. Ὥστε καὶ ἂν ἀκόμη ἔχεις κάποια αἰσχρὴ ἐπιθυμία, ἀλλὰ δὲν πεῖς αἰσχρὸ λόγο, ἔσβησες καὶ τὴν ἐπιθυμία. Δὲν ἔχεις νοῦ καθαρό; Τουλάχιστο ἔχε στόμα καθαρὸ καὶ μὴν ἀδειάσεις ἔξω τὸ βόρβορο, γιὰ νὰ μὴ βλάψεις καὶ ἄλλον καὶ τὸν ἑαυτό σου. Γιατὶ ὄχι μόνο σ' αὐτοὺς ποὺ λέγουν, ἀλλὰ καὶ σ' ἐκείνους ποὺ ἀκοῦν ἄλλους νὰ λένε αἰσχρὰ λόγια προξενεῖται μεγάλη κηλίδα. Γι' αὐτὸ σᾶς προτρέπω καὶ σᾶς συμβουλεύω νὰ ἀπέχετε ὄχι μόνο ἀπὸ τὸ νὰ λέτε τέτοια λόγια, ἀλλὰ καὶ ἀπὸ τὸ νὰ ἀκοῦτε ἄλλους νὰ τὰ λέγουν, καὶ νὰ προσηλώνεστε πάντοτε στὸ νόμο τοῦ Θεοῦ. Γιατὶ ἕνα τέτοιο ἄνθρωπο τὸν μακαρίζει καὶ ὁ προφήτης λέγοντας· «μακάριος εἶναι ὁ ἄνθρωπος ποὺ δὲ βάδισε σύμφωνα μὲ τὶς σκέψεις τῶν ἀσεβῶν καὶ δὲ στάθηκε στὸ δρόμο τῶν ἁμαρτωλῶν καὶ δὲν κάθισε σὲ καθέδρα μολυσμένων, ἀλλὰ θὰ μελετάει τὸ νόμο τοῦ Κυρίου ἡμέρα καὶ νύχτα»[7].

2. Στὶς κοσμικὲς λοιπὸν συγκεντρώσεις, καὶ ἂν ἀκόμη λεχθεῖ

χρηστόν, ἀλλ' ἐν πολλοῖς τοῖς φαύλοις μόλις ἓν ὑγιὲς οἱ πολλοὶ φθέγγονται· ἐπὶ δὲ τῶν θείων Γραφῶν τοὐναντίον ἅπαν· πονηρὸν μὲν οὐδένα οὐδέποτε ἀκούσῃ λόγον, πάντας δὲ σωτηρίας καὶ πολλῆς γέμοντας φιλοσοφίας, οἷα δὴ καὶ τὰ σήμερον ἡμῖν ἀναγνωσθέντα. Τίνα δὲ ταῦτά ἐστι; «Περὶ δὲ ὧν ἐγράψατέ μοι», φησί, «καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα». Περὶ γάμων ὁ Παῦλος νομοθετεῖ καὶ οὐκ αἰσχύνεται οὐδὲ ἐρυθριᾷ· καὶ μάλα εἰκότως. Εἰ γὰρ ὁ Δεσπότης αὐτοῦ γάμον ἐτίμησε καὶ οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ τῇ παρουσίᾳ καὶ τῷ δώρῳ τὸ πρᾶγμα ἐκόσμησε (καὶ γὰρ καὶ δῶρα τῷ γάμῳ μείζονα ἁπάντων εἰσήνεγκε, τὴν τοῦ ὕδατος φύσιν εἰς οἶνον μεταβαλών), πῶς ὁ δοῦλος ἠρυθρίασεν ἂν περὶ γάμου νομοθετῶν; Οὐ γὰρ πονηρὸν ὁ γάμος πρᾶγμα, ἀλλὰ πονηρὸν ἡ μοιχεία, πονηρὸν ἡ πορνεία· γάμος δὲ πορνείας ἀναιρετικὸν φάρμακον. Μὴ τοίνυν αὐτὸν ἀτιμάζωμεν ταῖς διαβολικαῖς πομπαῖς, ἀλλ' ὅπερ ἐποίησαν οἱ ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ οἱ νῦν γυναῖκας λαμβάνοντες ποιείτωσαν, τὸν Χριστὸν ἐχέτωσαν μέσον.

Καὶ πῶς δυνατὸν τοῦτο γενέσθαι, φησί; Δι' αὐτῶν τῶν ἱερέων· «ὁ δεχόμενος» γάρ, φησίν, «ὑμᾶς, ἐμὲ δέχεται». Ἂν τοίνυν τὸν διάβολον ἀπελάσῃς, ἂν τὰ πορνικὰ ᾄσματα καὶ τὰ κεκλασμένα μέλη καὶ τὰς ἀτάκτους χορείας καὶ τὰ αἰσχρὰ ῥήματα καὶ τὴν διαβολικὴν πομπὴν καὶ τὸν θόρυβον καὶ τὸν κεχυμένον γέλωτα καὶ τὴν λοιπὴν ἐξελάσῃς ἀσχημοσύνην, εἰσαγάγῃς δὲ τοὺς ἁγίους Χριστοῦ δούλους, καὶ ὁ Χριστὸς δι' αὐτῶν παρέσται πάντως μετὰ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν· «ὃς γὰρ ἂν ποιήσῃ», φησί, «τὸ θέλημα τοῦ Πατρός μου, οὗτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί». Καὶ οἶδα ὅτι βαρύς τισιν εἶναι δοκῶ καὶ φορτικός, ταῦτα παραινῶν καὶ παλαιὸν ἔθος ἐκκόπτων. Πλὴν ἀλλ' οὐδέν μοι τούτου μέλει· οὐ γὰρ τῆς χάριτος τῆς

8. Α' Κορ. 7,1–2.
9. Ματθ. 10,40.
10. Ματθ. 12,50.

καμιὰ φορὰ καλό, ὅμως ἀνάμεσα στὰ πολλὰ αἰσχρὰ μὲ δυσκολία οἱ πολλοὶ λέγουν ἕνα καλὸ πράγμα, ἐνῶ στὶς θεῖες Γραφὲς γίνεται ἐντελῶς τὸ ἀντίθετο· δὲ θ' ἀκούσεις ποτὲ κανένα κακὸ λόγο, ἀλλὰ ὅλοι εἶναι γεμάτοι ἀπὸ σωτηρία καὶ πολλὴ φιλοσοφία, ὅπως ἀκριβῶς καὶ τὸ ἀνάγνωσμα ποὺ ἀκούσαμε σήμερα. Καὶ ποιά εἶναι αὐτά; «Σχετικὰ μ' ἐκεῖνα ποὺ μοῦ γράψατε», λέγει, «καλὸ εἶναι γιὰ τὸν ἄνδρα νὰ μὴ συνάπτει σχέσεις μὲ γυναίκα· ἀλλὰ γιὰ ν' ἀποφεύγεται ἡ πορνεία κάθε ἄνδρας ἂς ἔχει τὴ δική του γυναίκα, καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα»[8]. Γιὰ τὸ γάμο νομοθετεῖ ὁ Παῦλος, καὶ δὲν ντρέπεται οὔτε κοκκινίζει. Καὶ πολὺ φυσικά. Γιατί, ἂν ὁ Κύριός του τιμοῦσε τὸ γάμο καὶ δὲν ντρεπόταν, ἀλλὰ καὶ μὲ τὴν παρουσία του καὶ μὲ τὸ δῶρο του κόσμισε τὸ πράγμα (γιατὶ πραγματικὰ πρόσφερε καὶ δῶρα στὸ γάμο τὰ μεγαλύτερα ἀπ' ὅλα, μεταβάλλοντας τὸ νερὸ σὲ κρασί), πῶς θὰ κοκκίνιζε ὁ δοῦλος του νομοθετώντας γιὰ τὸ γάμο; Γιατὶ ὁ γάμος δὲν εἶναι κακὸ πράγμα, ἀλλὰ κακὸ εἶναι ἡ μοιχεία, κακὸ εἶναι ἡ πορνεία, ἐνῶ ὁ γάμος εἶναι φάρμακο ποὺ ἀπομακρύνει ἀπὸ τὴν πορνεία. Ἂς μὴν τὸν ἀτιμάζουμε λοιπὸν μὲ τὶς διαβολικὲς πομπές, ἀλλὰ αὐτὸ ποὺ ἔκαναν τότε στὴν Κανὰ τῆς Γαλιλαίας ἂς κάμνουν καὶ αὐτοὶ ποὺ τώρα παντρεύονται, δηλαδὴ ἂς ἔχουν τὸ Χριστὸ μέσα τους.

Καὶ πῶς, λέγει, μπορεῖ νὰ γίνει αὐτό; Μὲ τοὺς ἱερεῖς· «γιατὶ αὐτὸς ποὺ δέχεται ἐσᾶς», λέγει, «δέχεται ἐμένα»[9]. Ἂν λοιπὸν ἀπομακρύνεις τὸ διάβολο, ἂν ἀπομακρύνεις τὰ πορνικὰ τραγούδια, τὰ θηλυπρεπὴ ᾄσματα, τοὺς ἄτακτους χορούς, τὰ αἰσχρὰ λόγια, τὴ διαβολικὴ πομπή, τὸ θόρυβο, τὰ ἀκράτητα γέλια καὶ τὴν ὑπόλοιπη ἀσχημοσύνη καὶ εἰσαγάγεις τοὺς ἅγιους δούλους τοῦ Χριστοῦ, θὰ παραβρεθεῖ ὁπωσδήποτε μ' αὐτοὺς καὶ ὁ Χριστὸς μαζὶ μὲ τὴ μητέρα του καὶ τοὺς ἀδελφούς του. «Γιατὶ ὅποιος ἐφαρμόζει τὸ θέλημα τοῦ Πατέρα μου», λέγει, «αὐτὸς εἶναι ἀδελφὸς καὶ ἀδελφὴ καὶ μητέρα μου»[10]. Καὶ γνωρίζω πὼς σὲ μερικοὺς φαίνομαι ἐνοχλητικὸς καὶ φορτικὸς ὅταν συμβουλεύω αὐτὰ καὶ ξερριζώνω παλιὰ συνήθεια. Ἀλλ' ὅμως δὲ μ' ἐνδιαφέρει καθόλου αὐτό, γιατὶ δὲ ἔχω ἀνάγκη ἀπὸ τὴν εὐγνωμο-

παρ' ὑμῶν, ἀλλὰ τῆς ὠφελείας δέομαι τῆς ὑμετέρας· οὐ τῶν κρότων καὶ τῶν ἐπαίνων, ἀλλὰ τοῦ κέρδους καὶ τῆς φιλοσοφίας. Μή μοι λεγέτω τις, ὅτι ἔθος ἐστίν· ὅπου ἁμαρτία τολμᾶται, ἔθους μὴ μνησθῇς· ἀλλ', εἰ μὲν πονηρὰ τὰ γινόμενα, κἂν παλαιὸν ἔθος ᾖ, κατάλυσον· ἂν δὲ μὴ ποηρά, κἂν συνήθεια μὴ ᾖ, εἰσάγαγε καὶ καταφύτευσον.

Ὅτι δὲ οὐ παλαιὸν ἔθος ἦν τὸ τοιαῦτα ἀσχημονεῖν ἀλλὰ καινοτομία τίς ἐστι τὰ γινόμενα, ἀναμνήσθητι πῶς ἔγημεν ὁ Ἰσαὰκ τὴν Ρεβέκκαν, πῶς ὁ Ἰακὼβ τὴν Ραχήλ. Καὶ γὰρ τῶν γάμων αὐτῶν μέμνηται ἡ Γραφή, καὶ πῶς εἰς τὰς οἰκίας τῶν νυμφίων ἤχθησαν αὗται αἱ νύμφαι λέγει, καὶ οὐδενὸς τοιούτου μέμνηται· ἀλλὰ συμπόσιον μὲν καὶ δεῖπνον ἐποιήσαντο τοῦ συνήθους φαιδρότερον καὶ τοὺς προσήκοντας ἐκάλεσαν εἰς τοὺς γάμους, αὐλοὶ δέ, σύριγγες καὶ κύμβαλα καὶ τὰ οἰνώδη σκιρτήματα καὶ ἡ λοιπὴ ἡ νῦν ἀσχημοσύνη πᾶσα ἐκποδὼν ἦν. Οἱ δὲ ἐφ' ἡμῶν καὶ ὕμνους εἰς τὴν Ἀφροδίτην ᾄδουσι χορεύοντες, καὶ μοιχείας πολλάς, καὶ γάμων διαφθοράς, καὶ ἔρωτας παρανόμους, καὶ μίξεις ἀθέσμους, καὶ πολλὰ ἕτερα ἀσεβείας καὶ αἰσχύνης γέμοντα ᾄσματα κατ' ἐκείνην ᾄδουσι τὴν ἡμέραν, καὶ μετὰ μέθην καὶ τοσαύτην ἀσχημοσύνην δι' αἰσχρῶν ρημάτων δημοσίᾳ τὴν νύμφην πομπεύουσι.

Πῶς οὖν αὐτὴν ἀπαιτεῖς σωφροσύνην, εἰπέ μοι, εἰς τοσαύτην ἀναίδειαν ἐκ πρώτης αὐτὴν παιδοτριβῶν τῆς ἡμέρας καὶ παρασκευάζων ἐπ' ὄψεσιν αὐτῆς καὶ γίνεσθαι καὶ λέγεσθαι ταῦτα, ἃ μηδὲ σπουδαίοις ἀνδραπόδοις ἀκοῦσαι θέμις; Τοσοῦτον χρόνον ἐπόνεσεν ὁ πατὴρ μετὰ τῆς μητρὸς φυλάττων τὴν παρθένον, ὥστε μήτε εἰπεῖν μήτε ἑτέρου ἀκοῦσαι λέγοντός τι τῶν τοιούτων ρημάτων καὶ θαλάμους καὶ γυναικωνίτιδας καὶ φύλακας καὶ θύρας καὶ μοχλοὺς καὶ τὰς ἐν ἑσπέρᾳ προόδους καὶ τὸ μηδενὶ φαίνεσθαι μηδὲ τῶν ἐπιτηδείων καὶ πολλὰ ἕτερα πλείονα τούτων πραγματευόμενος, καὶ σὺ πάντα ἐκεῖνα ἐν μιᾷ ἐλθὼν

σύνη σας, ἀλλὰ μ' ἐνδιαφέρει ἡ ὠφέλειά σας· δὲν ἔχω ἀνάγκη ἀπὸ τὰ χειροκροτήματα καὶ τοὺς ἐπαίνους σας ἀλλὰ μ' ἐνδιαφέρει τὸ κέρδος καὶ ἡ ἐνάρετη ζωή σας. Ἂς μὴ μοῦ πεῖ κανείς, ὅτι εἶναι ἔθιμο. Ὅπου διαπράττεται ἁμαρτία μὴ θυμηθεῖς τὸ ἔθιμο, ἀλλὰ ἂν εἶναι πονηρὰ ὅσα γίνονται, ἔστω καὶ ἂν εἶναι παλιὸ ἔθιμο, νὰ τὰ καταργήσεις· ἂν ὅμως δὲν εἶναι πονηρά, ἔστω καὶ ἂν δὲν εἶναι συνήθεια, εἰσάγαγέ τα καὶ φύτεψέ τα.

Ὅτι ὅμως δὲν ἦταν παλιὸ ἔθιμο τὸ νὰ κάνουν τέτοιες ἀσχήμιες, ἀλλ' εἶναι κάποια καινοτομία αὐτὰ ποὺ γίνονται, θυμήσου πῶς παντρεύτηκε ὁ Ἰσαὰκ τὴ Ρεβέκκα, πῶς ὁ Ἰακὼβ τὴ Ραχήλ. Γιατὶ πραγματικὰ ἡ Γραφὴ μνημονεύει τοὺς γάμους αὐτούς, καὶ λέγει πῶς οἱ νύφες αὐτὲς ὁδηγήθηκαν στὰ σπίτια τῶν γαμβρῶν, χωρὶς ν' ἀναφέρει τίποτε τέτοιο. Ἔκαναν βέβαια συμπόσιο καὶ δεῖπνο πιὸ χαρούμενο ἀπὸ τὸ συνηθισμένο καὶ κάλεσαν τοὺς δικούς τους στοὺς γάμους, ἀλλὰ αὐλοὶ καὶ φλογέρες καὶ κύμβαλα, τὰ σκιρτήματα ποὺ γεννιοῦνται ἀπὸ τὸ κρασὶ καὶ ὅλη ἡ ὑπόλοιπη σημερινὴ ἀσχημοσύνη ἀπουσίαζε ἀπὸ τὸ γάμο. Οἱ σημερινοὶ ὅμως καὶ ὕμνους στὴν Ἀφροδίτη ψάλλουν χορεύοντας, καὶ μοιχεῖες πολλὲς καὶ διαφθορὲς γάμων καὶ παράνομους ἔρωτες καὶ συνουσίες ἀθέμιτες καὶ πολλὰ ἄλλα τραγούδια γεμάτα ἀπὸ ἀσέβεια καὶ ἀσχημοσύνη τραγουδοῦν κατὰ τὴν ἡμέρα ἐκείνη, καὶ μετὰ ἀπὸ τὴ μέθη καὶ τὴν τόση μεγάλη ἀσχημοσύνη μὲ λόγια αἰσχρὰ διαπομπεύουν δημόσια τὴ νύφη.

Πῶς λοιπόν, πές μου, ἀπαιτεῖς ἀπ' αὐτὴ σωφροσύνη, ὅταν ἀπὸ τὴν πρώτη ἡμέρα τὴ διδάσκεις τόσο μεγάλη ἀναίδεια καὶ κάνεις νὰ γίνονται καὶ νὰ λέγονται μπροστά της αὐτά, ποὺ οὔτε οἱ καλοὶ δοῦλοι δὲν ἐπιτρέπεται ν' ἀκούσουν; Τόσα χρόνια κόπιασε ὁ πατέρας μαζὶ μὲ τὴ μητέρα φυλάγοντας τὴ νεάνιδα, ὥστε νὰ μὴ πεῖ οὔτε ν' ἀκούσει ἄλλον νὰ λέγει κάτι ἀπ' αὐτὰ τὰ λόγια, φροντίζοντας γιὰ κοιτῶνες, γιὰ ξεχωριστὰ δωμάτια, γιὰ φύλακες, γιὰ πόρτες, γιὰ μοχλούς, γιὰ τὶς βραδινὲς ἐξόδους, καὶ νὰ μὴ παρουσιάζεται σὲ κανέναν οὔτε καὶ στοὺς συγγενεῖς καθὼς καὶ γιὰ πολλὰ ἄλλα πολὺ περισσότερα ἀπ' αὐτά, καὶ σὺ ὅλα αὐτὰ ἦρθες καὶ τὰ σκόρπισες σὲ μία ἡμέρα, κάνοντας αὐτὴν νὰ

ἐξέχεας ἡμέρᾳ, ἀναίσχυντον αὐτὴν παρασκευάζων γενέσθαι διὰ τῆς ἀτίμου πομπῆς ἐκείνης καὶ διεφθαρμένα ρήματα εἰς τὴν ψυχὴν εἰσάγων τῆς νύμφης; Οὐκ ἐντεῦθεν τὰ μετὰ ταῦτα κακά; οὐ ἐντεῦθεν μοιχεῖαι καὶ ζηλοτυπίαι; οὐκ ἐντεῦθεν ἀπαιδίαι καὶ χηρεῖαι καὶ ὀρφανίαι ἄωροι; Ὅταν γὰρ τοὺς δαίμονας καλῇς διὰ τῶν ᾀσμάτων, ὅταν τὴν ἐκείνων ἐπιθυμίαν πληροῖς διὰ τῶν αἰσχρῶν ρημάτων, ὅταν μίμους καὶ μαλακοὺς εἰς τὴν οἰκίαν εἰσάγῃς καὶ τὸ θέατρον ἅπαν, ὅταν πορνῶν ἐμπλήσῃς τὴν οἰκίαν καὶ τῶν δαιμόνων ὁλόκληρον παρασκευάσῃς ἐκεῖ κωμᾶσαι τὸν χορόν, τί προσδοκᾷς λοιπὸν ὑγιές, εἰπέ μοι; Τίνος δὲ ἕνεκεν καὶ ἱερέας εἰσάγεις, μέλλων τῇ ὑστεραίᾳ τοιαῦτα τελεῖν;

Βούλει φιλοτιμίαν ἐπιδείξασθαι κέρδος ἔχουσαν; Κάλεσον χοροὺς πενήτων. Ἀλλ' αἰσχύνῃ πάντως καὶ ἐρυθριᾷς; Καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον, ὅταν τὸν μὲν διάβολον ἕλκων εἰς τὴν οἰκίαν μηδὲν νομίζῃς αἰσχρὸν ποιεῖν, τὸν δὲ Χριστὸν μέλλων εἰσάγειν ἐρυθριᾷς; Ὥσπερ γὰρ πενήτων εἰσιόντων ὁ Χριστὸς παραγίνεται, οὕτω μαλακῶν καὶ μίμων ἐκεῖ χορευόντων ὁ διάβολος ἐν τῳ μέσῳ κωμάζει. Καὶ ἀπὸ μὲν τῆς δαπάνης ἐκείνης κέρδος οὐδὲν ἀλλὰ καὶ πολλὴ γένοιτ' ἂν ἡ βλάβη, ἀπὸ δὲ τούτων τῶν ἀναλωμάτων πολύν τινα λήψῃ τὸν μισθὸν ταχέως. Ἀλλὰ οὐδεὶς ἐπὶ τῆς πόλεως τοῦτο εἰργάσατο; Ἀλλὰ σὺ κατάρξαι σπούδασον καὶ ἀρχηγὸς γενέσθαι τῆς καλῆς ταύτης συνηθείας, ἵνα καὶ οἱ μετὰ ταῦτα εἰς σὲ ἀναφέρωσι. Κἂν ζηλώσῃ τις, κἂν μιμήσηται τοῦτο τὸ ἔθος, πρὸς τοὺς ἐξετάζοντας ἕξουσι λέγειν οἱ ἔγγονοι καὶ οἱ ἐξ ἐγγόνων, ὅτι 'ὁ δεῖνα τὸν καλὸν τοῦτον νόμον πρῶτος εἰσήγαγεν'.

Εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν ἀγώνων, ἐν τοῖς συμποσίοις, οἱ πρὸς τὸ φιλοτιμότερον τὰς ἀνοήτους ταύτας λειτουργίας ἐξάγοντες, παρὰ πολλῶν ᾄδονται, πολλῷ μᾶλλον ἐπὶ τῆς λειτουργίας τῆς πνευματικῆς ἅπαντες ἐπαινέσονται καὶ χάριν ὁμολογήσουσι τῷ πρώτῳ τὴν θαυμαστὴν ταύτην ἀρχὴν εἰσαγαγόντι καὶ

γίνει ἀδιάντροπη μὲ τὴν ἀτιμωτικὴ ἐκείνη πομπὴ καὶ εἰσάγοντας στὴν ψυχὴ τῆς νύφης διεφθαρμένα λόγια; Δὲν ἀρχίζουν ἀπὸ ἐδῶ ὅλα τὰ μετέπειτα κακά; δὲν ξεκινοῦν ἀπὸ ἐδῶ οἱ μοιχεῖες καὶ οἱ ζηλοτυπίες; δὲν προέρχονται ἀπὸ ἐδῶ ἀτεκνίες καὶ χηρεῖες καὶ πρόωρες ὀρφάνιες; Γιατὶ ὅταν μὲ τὰ τραγούδια καλεῖς τοὺς δαίμονες, ὅταν μὲ τὰ αἰσχρὰ λόγια ἱκανοποιεῖς τὴν ἐπιθυμία τους, ὅταν στὸ σπίτι σου εἰσάγεις γελωτοποιοὺς καὶ θηλυπρεπεῖς καὶ ὅλους τοὺς θεατρίνους, ὅταν γεμίσεις μὲ πόρνες τὸ σπίτι καὶ κάνεις ὅλους τοὺς δαίμονες νὰ διασκεδάζουν ἐκεῖ, πές μου, ποιό καλὸ περιμένεις στὴ συνέχεια; Καὶ γιὰ ποιό λόγο εἰσάγεις καὶ ἱερεῖς, ἀφοῦ πρόκειται τὴν ἑπόμενη ἡμέρα νὰ κάνεις τέτοια πράγματα;

Θέλεις νὰ δείξεις γενναιοδωρία ποὺ νὰ ἔχει κέρδος; Κάλεσε ὁμάδες φτωχῶν. Ἀλλὰ ντρέπεσαι ὁπωσδήποτε καὶ κοκκινίζεις; Καὶ τί εἶναι χειρότερο ἀπ' αὐτὴ τὴν ἀνοησία, ὅταν σύροντας τὸ διάβολο στὸ σπίτι νομίζεις πὼς δὲν κάνεις τίποτε τὸ αἰσχρό, ἐνῶ ὅταν πρόκειται νὰ εἰσαγάγεις τὸ Χριστὸ κοκκινίζεις ἀπὸ ντροπή; Γιατί, ὅπως ὅταν μπαίνουν οἱ φτωχοὶ ἔρχεται ὁ Χριστός, ἔτσι ὅταν χορεύουν ἐκεῖ θηλυπρεπεῖς καὶ γελωτοποιοὶ διασκεδάζει ἀνάμεσά τους ὁ διάβολος. Καὶ ἀπὸ τὶς δαπάνες βέβαια ἐκεῖνες δὲν προέρχεται κανένα κέρδος, ἀλλὰ καὶ μεγάλη ζημία μπορεῖ νὰ προκύψει, ἐνῶ ἀπὸ τὰ ἔξοδα αὐτὰ γρήγορα θὰ λάβεις κάποιο μεγάλο μισθό. Ἀλλὰ κανεὶς δὲν τὸ ἔκαμε αὐτὸ στὴν πόλη; Φρόντισε σὺ ν' ἀρχίσεις πρῶτος καὶ νὰ γίνεις ἀρχηγὸς τῆς καλῆς αὐτῆς συνήθειας, γιὰ νὰ μιλοῦν γιὰ σένα καὶ οἱ μεταγενέστεροι. Καὶ ἂν κανεὶς ζηλέψει ἢ μιμηθεῖ αὐτὸ τὸ ἔθιμο, σ' ἐκείνους ποὺ θὰ τοὺς ἐρωτοῦν θὰ μποροῦν τὰ ἐγγόνια καὶ τὰ δισέγγονα νὰ λέγουν ὅτι 'ὁ τάδε εἰσήγαγε πρῶτος αὐτὸν τὸν καλὸ νόμο'.

Γιατί, ἂν στὴν περίπτωση τῶν κοσμικῶν ἀγώνων, κατὰ τὰ συμπόσια ἐπαινοῦνται ἀπὸ πολλοὺς ἐκεῖνοι ποὺ ξοδεύουν πάρα πολλὰ γιὰ τὶς ἀνώφελες αὐτὲς ὑπηρεσίες, πολὺ περισσότερο στὴν περίπτωση πνευματικοῦ ἔργου ὅλοι θὰ τὸ ἐπαινέσουν καὶ θὰ εὐγνωμονοῦν ἐκεῖνον ποὺ πρῶτος εἰσήγαγε τὴ θαυμαστὴ

ἔσται τὸ αὐτὸ καὶ φιλοτιμία καὶ κέρδος. Καὶ γὰρ ὑφ' ἑτέρων τοῦτο κατορθούμενον, σοί, τῷ πρώτῳ φυτευσαμένῳ, τῶν καρπῶν ἐκείνων οἴσει τὴν ἀμοιβήν· τοῦτό σε καὶ πατέρα ποιήσει ταχέως, τοῦτο καὶ τῶν τικτομένων προστήσεται καὶ τὸν νυμφίον τῇ νύμφῃ συγκαταγηράσαι παρασκευάσαι. Ὥσπερ γὰρ τοῖς ἁμαρτάνουσιν ἀπειλεῖ συνεχῶς ὁ Θεός, λέγων, ὅτι «ἔσονται οἱ υἱοὶ ὑμῶν ὀρφανοὶ καὶ αἱ γυναῖκες ὑμῶν χῆραι», οὕτω καὶ τοῖς ἐν ἅπασιν αὐτῷ πειθομένοις καὶ γῆρας λιπαρὸν καὶ πάντα μετὰ τούτων δώσειν ὑπισχνεῖται τὰ ἀγαθά.

3. Καὶ Παύλου δὲ ἔστιν ἀκοῦσαι τοῦτο λέγοντος, ὅτι θανάτους ἀώρους πολλάκις ἁμαρτημάτων ἐποίησε πλῆθος. «Διὰ τοῦτο» γάρ, φησίν, «ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί». Ὅτι δὲ πένητες τρεφόμενοι οὐδὲν τοιοῦτον ἀφιᾶσι συμπεσεῖν, ἀλλὰ κἂν γένηταί τι τῶν ἀδοκήτων ταχίστην ἐπάγουσιν αὐτοῦ τὴν διόρθωσιν, ἀπὸ τῆς κόρης μάνθανε τῆς ἐν Ἰόππῃ. Καὶ γὰρ ταύτην ποτὲ νεκρὰν κειμένην περιστάντες οἱ τρεφόμενοι πένητες καὶ δακρύσαντες ἀνέστησαν καὶ πρὸς ζωὴν ἐπανήγαγον. Τοσοῦτον εὐχὴ χηρῶν καὶ πενήτων γέλωτος παντὸς καὶ χορείας ἐστὶ χρησιμωτέρα. Ἐνταῦθα πρὸς μίαν ἡμέραν ἡ τέρψις, ἐκεῖ διηνεκὲς τὸ κέρδος. Ἐννόησον ἡλίκον ἐστὶ τοσαύτας ἐπὶ τῆς κεφαλῆς εὐλογίας λαβοῦσαν τὴν νύμφην, εἰς τὴν οἰκίαν εἰσιέναι τοῦ νυμφίου. Πόσων στεφάνων ταῦτα σεμνότερα; πόσου χρησιμώτερα πλούτου; ὡς τά γε νῦν γινόμενα ἐσχάτης παραπληξίας καὶ παραφροσύνης ἐστίν.

Εἰ γὰρ μηδὲ κόλασις, μηδὲ τιμωρία τις ἔκειτο τοῖς τὰ τοιαῦτα ἀσχημονοῦσιν, ἐννόησον ὅσης ἐστὶ τιμωρίας ἀνέχεσθαι τοσαύταις πλυνομένους λοιδορίαις, δημοσίᾳ, πάντων ἀκουόντων, ὑπὸ ἀνθρώπων μεθυόντων καὶ διεφθαρμένων τὸν νοῦν. Οἱ μὲν γὰρ πένητες λαμβάνοντες εὐλογοῦσι, μυρία συνεύχονται τὰ

11. Ἐξ. 22,24.
12. Α' Κορ. 11,30.
13. Βλ. Πράξ. 9,36–43.

αὐτὴ ἀρχή, καὶ θὰ εἶναι τὸ ἴδιο καὶ γενναιοδωρία καὶ κέρδος. Γιατὶ πραγματικὰ καὶ ὅταν θὰ κατορθώνεται αὐτὸ ἀπὸ ἄλλους, σὲ σένα ποὺ πρῶτος τὸ φύτεψες θὰ φέρει τὴν ἀμοιβὴ τῶν καρπῶν ἐκείνων· αὐτὸ θὰ σὲ κάνει καὶ πατέρα γρήγορα, αὐτὸ θὰ προστατεύει καὶ τὰ παιδιά, καὶ θὰ κάνει τὸ γαμπρὸ νὰ γεράσει μαζὶ μὲ τὴ νύφη. Γιατί, ὅπως τοὺς ἁμαρτωλοὺς τοὺς ἀπειλεῖ συνεχῶς ὁ Θεὸς λέγοντας, «θὰ γίνουν τὰ παιδιά σας ὀρφανὰ καὶ οἱ γυναῖκες σας χῆρες»[11], ἔτσι καὶ σ' αὐτοὺς ποὺ τὸν ὑπακοῦν σὲ ὅλα ὑπόσχεται νὰ δώσει καὶ καλὰ γηρατειὰ καὶ μαζὶ μ' αὐτὰ ὅλα τὰ ἀγαθά.

3. Ἀλλὰ καὶ τὸν Παῦλο μποροῦμε ν' ἀκούσουμε νὰ τὸ λέγει αὐτό, ὅτι δηλαδὴ τὰ πολλὰ ἁμαρτήματα προξένησαν πολλὲς φορὲς πρόωρους θανάτους. «Γι' αὐτό», λέγει, «ἔχετε ἀνάμεσά σας πολλοὺς ἀσθενεῖς καὶ ἀρρώστους, καθὼς καὶ ἀρκετοὺς θανάτους»[12]. Καὶ ὅτι οἱ φτωχοί, ὅταν τρέφονται, δὲν ἀφήνουν τίποτε τέτοιο νὰ συμβεῖ, ἀλλά, καὶ ἂν ἀκόμη συμβεῖ κάτι τὸ ἀπροσδόκητο, τὸ διορθώνουν πολὺ γρήγορα, μάθε το ἀπὸ τὴ νέα ποὺ ζοῦσε στὴν Ἰόππη[13]. Γιατί, ὅταν αὐτὴ κάποτε ἦταν νεκρή, ἀφοῦ συγκεντρώθηκαν γύρω της οἱ φτωχοὶ ποὺ ἔτρεφε μὲ τὰ δάκρυά τους τὴν ἀνάστησαν καὶ τὴν ἐπανέφεραν στὴ ζωή. Τόσο πιὸ χρήσιμη εἶναι ἡ προσευχὴ τῶν χηρῶν καὶ τῶν φτωχῶν ἀπὸ κάθε διασκέδαση καὶ χορό. Ἐδῶ ἡ εὐχαρίστηση εἶναι γιὰ μιὰ ἡμέρα, ἐκεῖ παντοτινὸ τὸ κέρδος. Σκέψου πόσο μεγάλο πράγμα εἶναι νὰ μπαίνει ἡ νύφη στὸ σπίτι τοῦ γαμπροῦ, ἔχοντας πάρει προηγουμένως τόσες εὐλογίες στὸ κεφάλι της. Ἀπὸ πόσα στεφάνια δὲν εἶναι αὐτὰ πιὸ σπουδαῖα; ἀπὸ πόσο πλοῦτο πιὸ χρήσιμα; Ἀντίθετα αὐτὰ ποὺ γίνονται τώρα εἶναι δείγματα τῆς χειρότερης ἀνοησίας καὶ παραφροσύνης.

Ἂν λοιπὸν δὲν ἐπιφυλασσόταν οὔτε ποινὴ οὔτε κάποια τιμωρία γι' αὐτοὺς ποὺ κάνουν τέτοιες ἀσχήμιες, σκέψου πόση τιμωρία εἶναι νὰ ἀνέχονται νὰ περιλούζονται μὲ τόσες ὕβρεις, δημόσια καὶ ἐνῶ ἀκοῦν ὅλοι, ἀπὸ ἀνθρώπους μεθυσμένους καὶ μὲ διεφθαρμένο τὸ νοῦ. Γιατὶ οἱ φτωχοί, ὅταν παίρνουν εὐλογοῦν καὶ εὔχονται νὰ γίνουν ἄπειρα τὰ ἀγαθά, ἐνῶ ἐκεῖνοι ὕστε-

ἀγαθά, ἐκεῖνοι δὲ μετὰ τὴν μέθην, μετὰ τὴν ἀδηφαγίαν, πάντα βόρβορον κωμμάτων κατὰ τῆς τῶν γαμούντων καταχέουσι κεφαλῆς, ἅμιλλάν τινα διαβολικὴν πρὸς ἀλλήλους ἔχοντες· καὶ καθάπερ ἐχθρῶν ὄντων τῶν συνιόντων, οὕτως οἱ προσήκοντες αὐτοῖς φιλοτιμοῦνται πρὸς ἀλλήλους, ἐν τῷ ρητὰ καὶ ἄρρητα λέγειν ὀνείδη περὶ τῶν γημάντων, μιμῆσαι τοὺς ἀντιτεταγμένους· καὶ ἡ πρὸς ἀλλήλους τούτων φιλονεικία μεθ' ὑπερβολῆς ἁπάσης τὸν νυμφίον μετὰ τῆς νύμφης καταισχύνεσθι παρασκευάζει.

Ἆρ' οὖν ἑτέραν ζητήσομεν ἀπόδειξιν, εἰπέ μοι, τῶν δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς ταῦτα καὶ γίνεσθαι καὶ λέγεσθαι παρ' αὐτῶν; Τίς οὖν ἀμφισβητήσει λοιπόν, ὅτι δαιμόνων κινούντων τὰς ἐκείνων ψυχὰς καὶ λέγεται ταῦτα πάντα καὶ γίνεται παρ' ἐκείνων; Οὐκ ἔστιν οὐδείς· καὶ γὰρ τοιαῦται τοῦ διαβόλου αἱ ἀντιδόσεις, λοιδορίαι, καὶ μέθαι, καὶ παραφροσύνη ψυχῆς. Εἰ δέ τις οἰωνίζοιτο τὸ πένητας ἀντὶ τούτων εἰσάγεσθαι καὶ συμφορᾶς λέγοι εἶναι σύμβολα ταῦτα, μαθέτω καὶ τοῦτο, ὅτι οὐ τὸ πένητας τρέφεσθαι καὶ χήρας, ἀλλὰ τὸ μαλακοὺς καὶ πόρνας, τοῦτο ἁπάσης ἀηδίας καὶ μυρίων ἐστὶ σύμβολον κακῶν. Πολλάκις γὰρ ἀπ' αὐτῆς τῆς ἡμέρας ἐκ τῶν φίλων τὸν νυμφίον αἰχμάλωτον λαβοῦσα ἀπῆλθεν ἡ πόρνη, καὶ τὸν ἔρωτα τὸν πρὸς τὴν νύμφην ἔσβεσε, καὶ τὴν εὔνοιαν ὑπέσυρε, καὶ τὴν ἀγάπην πρὶν ἐξαφθῆναι κατέλυσε, καὶ μοιχείας ἐγκατέβαλε σπέρματα.

Ταῦτα δεδοικέναι τοὺς πατέρας ἐχρῆν, εἰ καὶ μηδὲν ἕτερον, καὶ κωλύειν τῶν μίμων καὶ τῶν ὀρχομένων τὰς εἰς τοὺς γάμους παρουσίας. Γάμος γὰρ οὐχ ἵνα ἀσελγῶμεν εἰσενήνεκται οὐδ' ἵνα πορνεύωμεν, ἀλλ' ἵνα σωφρονῶμεν. Ἄκουσον γοῦν τοῦ Παύλου λέγοντος· «διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω». Δύο γὰρ ταῦτά ἐστι, δι' ἅπερ εἰσενήνεκται γάμος, ἵνα τε σωφρονῶμεν καὶ ἵνα πατέρες γινώμεθα, τῶν δὲ δύο τούτων προηγουμένη ἡ τῆς σωφροσύνης ἐστὶ πρόφασις. Ἐπειδὴ γὰρ εἰσῆλθεν ἐπιθυμία, εἰσῆλθε

ρα ἀπὸ τὴ μέθη, ὕστερα ἀπὸ τὴ πολυφαγία, χύνουν ἐπάνω στὸ κεφάλι αὐτῶν ποὺ παντρεύονται ὅλο τὸ βόρβορο τῶν βωμολοχιῶν, δείχνο ντας μεταξύ τους κάποια διαβολικὴ ἅμιλλα· καὶ σὰν νὰ εἶναι ἐχθροὶ οἱ συγκεντρωθέντες, ἔτσι οἱ οἰκεῖοι τους, λέγοντας τὶς συνηθισμένες καὶ ἀκατανόμαστες ὕβρεις γιὰ τοὺς νεόνυμφους, συναγωνίζονται μεταξύ τους νὰ μιμηθοῦν τοὺς ἀντιπάλους. Καὶ ὁ συναγωνισμὸς αὐτὸς μεταξύ τους κάνει νὰ καταντροπιάζεται ὑπερβολικὰ ὁ γαμβρὸς μὲ τὴ νύφη.

Ἄρα λοιπόν, πές μου, θὰ ζητήσουμε ἄλλη ἀπόδειξη γι' αὐτὰ ποὺ γίνονται καὶ λέγονται ἀπ' αὐτοὺς καὶ ὄχι τοὺς δαίμονες ποὺ κινοῦν τὶς ψυχές τους; Ποιός δηλαδὴ θ' ἀμφισβητήσει ὅτι ὅλα αὐτὰ λέγονται καὶ γίνονται ἐπειδὴ οἱ δαίμονες κινοῦν τὶς ψυχές τους; Κανείς; γιατὶ τέτοιες εἶναι οἱ ἀνταποδόσεις τοῦ διαβόλου, ὕβρεις καὶ μέθες καὶ παραφροσύνη ψυχῆς. Ἂν ὅμως κανεὶς θεωρεῖ κακὸ σημάδι τὸ νὰ μπαίνουν στὸ σπίτι του ἀντὶ αὐτῶν οἱ φτωχοὶ καὶ τὰ νομίζει αὐτὰ σύμβολα συμφορᾶς, ἂς μάθει κι αὐτό, ὅτι δηλαδὴ ὄχι τὸ νὰ τρέφονται φτωχοὶ καὶ χῆρες, ἀλλὰ τὸ νὰ τρέφονται θηλυπρεπεῖς καὶ πόρνες εἶναι σημάδι κάθε ἀσχήμιας καὶ ἄπειρων κακῶν. Γιατὶ πολλὲς φορὲς ἀπὸ τὴν ἡμέρα του γάμου ἡ πόρνη πῆρε αἰχμάλωτο τὸ γαμπρὸ μέσα ἀπὸ τοὺς φίλους του καὶ ἔφυγε, ἔσβησε τὸν ἔρωτά του πρὸς τὴ νύφη καὶ ὑπονόμευσε τὸ ἐνδιαφέρον του γι' αὐτήν, διέλυσε τὴν ἀγάπη του πρὸς αὐτὴν πρὶν καλὰ φουντώσει καὶ ἔσπειρε τὰ σπέρματα τῆς μοιχείας.

Αὐτὰ ἔπρεπε νὰ φοβοῦνται οἱ πατέρες, ἂν ὄχι τίποτε ἄλλο, καὶ νὰ ἐμποδίζουν τὴν παρουσία τῶν γελωτοποιῶν καὶ τῶν χορευτῶν στοὺς γάμους. Γιατὶ ὁ γάμος δὲν ἔχει θεσπισθεῖ γιὰ νὰ ἀσελγοῦμε, οὔτε γιὰ νὰ πορνεύουμε, ἀλλὰ γιὰ νὰ σωφρονοῦμε. Ἄκουσε λοιπὸν τὸν Παῦλο ποὺ λέγει· «γιὰ ν' ἀποφεύγεται ἡ πορνεία ὁ καθένας ἂς ἔχει τὴ δική του γυναίκα καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα». Δύο λοιπὸν εἶναι αὐτὰ γιὰ τὰ ὁποῖα ἔχει θεσπισθεῖ ὁ γάμος, καὶ γιὰ νὰ σωφρονοῦμε, καὶ γιὰ νὰ γινόμαστε πατέρες, καὶ ἀπὸ τὰ δύο αὐτὰ πρώτη εἶναι ἡ αἰτία τῆς σωφροσύνης. Ἐπειδὴ δηλαδὴ εἰσῆλθε στὸν ἄνθρωπο ἡ ἐπι-

καὶ γάμος τὴν ἀμετρίαν ἐκκόπτων καὶ πείθων μιᾷ χρῆσθαι γυναικί. Τὰς γὰρ παιδοποιίας οὐχ ὁ γάμος ποιεῖ πάντως, ἀλλ' ἐκεῖνο τὸ ρῆμα τοῦ Θεοῦ τὸ λέγον, «αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν», καὶ μαρτυροῦσιν ὅσοι γάμῳ μὲν ἐχρήσαντο, πατέρες δὲ οὐκ ἐγένοντο.

Ὥστε προηγουμένη αὕτη ἡ αἰτία, ἡ τῆς σωφροσύνης, καὶ μάλιστα νῦν, ὅτε ἡ οἰκουμένη πᾶσα τοῦ γένους ἡμῶν ἐμπέπλησται. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ποθεινὸν τὸ τῶν παίδων ἦν, διὰ τὸ μνημόσυνον καὶ λείψανα καταλιμπάνειν ἕκαστον τῆς ἑαυτοῦ ζωῆς. Ἐπειδὴ γὰρ ἀναστάσεως οὐδέπω ἦσαν ἐλπίδες ἀλλ' ὁ θάνατος ἐκράτει καὶ μετὰ τὴν ἐντεῦθεν ζωὴν ἀπόλλυσθαι ἐνόμιζον οἱ τελευτῶντες, ἔδωκεν ὁ Θεὸς τὴν ἐκ τῶν παίδων παραμυθίαν, ὥστε τῶν ἀπελθόντων εἰκόνας ἐμψύχους μένειν καὶ τὸ γένος ἡμῶν διατηρεῖσθαι, καὶ τοῖς μέλλουσι τελευτᾶν καὶ τοῖς ἐπιτηδείοις τοῖς ἐκείνων μεγίστην εἶναι παράκλησιν τὰ ἐκείνων ἔκγονα. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο μάλιστα ποθεινὰ τὰ τέκνα ἦν, ἄκουσον τί πρὸς τὸν Ἰὼβ ἀποδύρεται μετὰ τὰς πολὰς πληγὰς ἡ γυνή. «Ἰδού», φησίν, «ἀπώλετο τὸ μνημόσυνόν σου ἀπὸ τῆς γῆς, οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου». Καὶ πάλιν ὁ Σαοὺλ πρὸς τὸν Δαυΐδ· «ὅμοσόν μοι, ἵνα μὴ ἀφανίσῃς τὸ σπέρμα μου καὶ τὸ ὄνομά μου μετ' ἐμέ».

Ἐπειδὴ δὲ λοιπὸν ἡ ἀνάστασις ἐπὶ θύραις καὶ θανάτου λόγος οὐδείς, ἀλλὰ πρὸς ἑτέραν ζωὴν ὁδεύομεν βελτίω τῆς οὔσης, περιττὴ ἡ περὶ ταῦτα σπουδή. Εἰ γὰρ παίδων ἐπιθυμεῖς, πολλῷ βελτίους καὶ χρησιμωτέρους δυνήσῃ κτήσασθαι νῦν, ὅτε πνευματικαί τινες ὠδῖνες εἰσήχθησαν καὶ βελτίων τόκος καὶ γηροκόμοι χρησιμώτεροι. Ὥστε μία τίς ἐστι γάμου πρόφασις, τὸ μὴ πορνεύειν, καὶ διὰ τοῦτο τὸ φάρμακον εἰσενήνεκται τοῦτο. Εἰ δὲ μέλλοις καὶ μετὰ γάμον κεχρῆσθαι πορνείαις, περιττῶς ἦλθες ἐπὶ τὸν γάμον καὶ εἰκῇ καὶ μάτην· μᾶλλον δὲ οὐκ εἰκῇ καὶ μάτην

14. Γεν. 1,28. 15. Ἰὼβ 2,9β.

θυμία, θεσπίσθηκε καὶ ὁ γάμος, ἐμποδίζοντας τὴν ἄμετρη χρήση καὶ πείθοντας τὸν ἄνδρα νὰ ἔχει μόνο μία γυναίκα. Γιατὶ τὴ γέννηση τῶν παιδιῶν δὲν τὴν κάνει ὁπωσδήποτε ὁ γάμος, ἀλλὰ ἐκεῖνος ὁ λόγος τοῦ Θεοῦ ποὺ λέγει, «αὐξάνεστε καὶ πληθύνεστε καὶ γεμίστε τὴ γῆ»[14]. Καὶ τὸ βεβαιώνουν αὐτὸ ὅσοι σύναψαν βέβαια γάμο ἀλλὰ δὲν ἔγιναν πατέρες.

Ὥστε πρώτη εἶναι αὐτὴ ἡ αἰτία, ἡ αἰτία τῆς σωφροσύνης, καὶ μάλιστα τώρα ποὺ ὅλη ἡ γῆ ἔχει γεμίσει ἀπὸ τὸ ἀνθρώπινο γένος. Στὴν ἀρχὴ βέβαια ἡ ἀπόκτηση παιδιῶν ἦταν πράγμα ποθητό, γιατὶ ἐπιθυμοῦσε ὁ καθένας ν' ἀφήνει ἀνάμνηση καὶ συνέχεια τῆς δικῆς του ζωῆς. Γιατί, ἐπειδὴ δὲν ὑπῆρχαν ἀκόμη οἱ ἐλπίδες γιὰ ἀνάσταση ἀλλ' ἐξουσίαζε ὁ θάνατος, καὶ ὅσοι πέθαιναν πίστευαν πὼς χάνονται μετὰ τὴν ἐδῶ ζωή, ἔδωσε ὁ Θεὸς τὴν παρηγοριὰ ἀπὸ τὰ παιδιά, ὥστε νὰ μένουν εἰκόνες ζωντανὲς αὐτῶν ποὺ πέθαναν καὶ νὰ διατηρεῖται τὸ γένος τῶν ἀνθρώπων, καὶ νὰ εἶναι σ' ἐκείνους ποὺ ἐπρόκειτο νὰ παθάνουν καὶ στοὺς συγγενεῖς τους οἱ ἀπόγονοι ἐκείνων πολὺ μεγάλη παρηγοριά. Καὶ γιὰ νὰ μάθεις ὅτι γι' αὐτὸ κυρίως ἦταν ποθητὰ τὰ παιδιά, ἄκουσε τί θρηνολογεῖ στὸν Ἰὼβ ὕστερα ἀπὸ τὶς πολλὲς συμφορὲς ἡ γυναίκα του. «Νά», λέγει, «ἡ ἀνάμνησή σου ἔσβησε ἀπὸ τὴ γῆ, ἐξαφανίσθηκαν οἱ υἱοὶ καὶ οἱ θυγατέρες σου»[15]. Καὶ πάλι ὁ Σαοὺλ λέγει στὸ Δαβίδ· «ὁρκίσου μου, ὅτι δὲ θὰ ἐξαφανίσεις τοὺς ἀπογόνους μου καὶ τὸ ὄνομά μου ὕστερα ἀπὸ μένα»[16].

Ἐπειδὴ ὅμως τώρα πλέον ἡ ἀνάσταση εἶναι πολὺ κοντά μας καὶ δὲ γίνεται κανεὶς λόγος γιὰ θάνατο, ἀλλὰ βαδίζουμε γιὰ ἄλλη ζωὴ καλύτερη ἀπ' αὐτή, εἶναι περιττὸ τὸ ἐνδιαφέρον μας γι' αὐτά. Ἂν λοιπὸν ἐπιθυμεῖς παιδιά, πολὺ καλύτερα καὶ πιὸ χρήσιμα θὰ μπορέσεις νὰ ἀποκτήσεις τώρα ποὺ εἰσήχθηκαν κάποιοι πνευματικοὶ πόνοι καὶ καλύτερος τόκος καὶ πιὸ χρήσιμοι γηροκόμοι. Ἑπομένως μιὰ μόνο εἶναι ἡ αἰτία τοῦ γάμου, τὸ νὰ μὴ πορνεύει κανείς, καὶ γι' αὐτὸ ἔχει θεσπισθεῖ αὐτὸ τὸ φάρμακο. Ἂν ὅμως πρόκειται καὶ μετὰ τὸ γάμο νὰ κάνεις πορνεῖες, ἀνώφελα παντρεύτηκες καὶ ἄσκοπα καὶ μάταια· ἢ καλύτερα ὄχι

μόνον, ἀλλὰ καὶ ἐπὶ βλάβῃ. Οὐ γάρ ἐστιν ἴσον οὐκ ἔχοντα γυναῖκα πορνεύειν, καὶ μετὰ γάμον πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖν. Οὐδὲ γὰρ πορνεία τὸ τοιοῦτο λοιπόν ἐστιν, ἀλλὰ μοιχεία. Εἰ γὰρ καὶ παράδοξόν ἐστι τὸ εἰρημένον, ἀλλ' ἀληθές.

4. Οὐκ ἀγνοοῦμεν γὰρ ὅτι πολλοὶ μοιχείαν νομίζουσιν, ὅταν τις ὕπανδρον φθείρῃ γυναῖκα μόνον· ἐγὼ δὲ κἂν δημοσίᾳ πόρνῃ κἂν θεραπαινίδι κἂν ἄλλῃ τινὶ γυναικὶ ἄνδρα οὐκ ἐχούσῃ πρόσχῃ κακῶς καὶ ἀκολάστως, ἔχων γυναῖκα, μοιχείαν τὸ τοιοῦτόν εἶναί φημι. Οὐ γὰρ δὴ μόνον ἀπὸ τῶν ὑβριζομένων, ἀλλὰ καὶ ἀπὸ τῶν ὑβριζόντων τὸ τῆς μοιχείας συνίσταται ἔγκλημα. Μὴ γάρ μοι τοὺς ἔξωθεν νόμους εἴπῃς νῦν, οἳ τὰς μὲν γυναῖκας μοιχευομένας εἰς δικαστήριον ἕλκουσι καὶ εὐθύνας ἀπαιτοῦσιν, ἄνδρας καὶ γυναῖκας ἔχοντας καὶ θεραπαινίσι προσφθειρομένους οὐκ ἀπαιτοῦσιν εὐθύνας· ἀλλ' ἐγώ σοι τὸν τοῦ Θεοῦ νόμον ἀναγνώσομαι, ὁμοίως καὶ ἐπὶ τῆς γυναικὸς καὶ ἐπὶ τοῦ ἀνδρὸς ἀγανακτοῦντα καὶ μοιχείαν εἶναι τὸ πρᾶγμα λέγοντα. Εἰπὼν γάρ, «καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω», ἐπήγαγε· «τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω».

Τί ποτε δηλοῦν βουλόμενος τοῦτο εἶπεν; ἆρα ἵνα τὰς προσόδους αὐτῇ τῶν χρημάτων διατηρήσῃ; ἵνα τὴν προῖκα σώαν; ἵνα ἱμάτια παράσχῃ πολυτελῆ; ἵνα τράπεζαν δαψιλεστέραν, ἵνα ἐξόδους λαμπράς; ἵνα οἰκετῶν θεραπείαν πολλήν; Τί λέγεις; ποῖον εὐνοίας εἶδος ζητεῖς; καὶ γὰρ ταῦτα πάντα εὐνοίας ἐστίν. Οὐδέν τι τοιοῦτον λέγω, φησίν, ἀλλὰ τὴν σωφροσύνην καὶ τὴν σεμνότητα. Τὸ σῶμα τοῦ ἀνδρὸς οὐκέτι τοῦ ἀνδρός, ἀλλὰ τῆς γυναικός. Τηρείτω τοίνυν αὐτῇ τὸ κτῆμα σῶον καὶ μὴ μειούτω μηδὲ παραφθειρέτω· καὶ γὰρ τῶν οἰκετῶν ἐκεῖνος εὔνους λέγεται, ὃς ἂν τὰ δεσποτικὰ δεξάμενος χρήματα, μηδὲν ἐξ αὐτῶν διαφθείρῃ. Ἐπειδὴ τοίνυν τῆς γυναικός ἐστι κτῆμα τὸ τοῦ ἀν-

---

16. Α' Βασ. 24,22.
17. Α' Κορ. 7,3.

μόνο ἄσκοπα καὶ μάταια, ἀλλὰ καὶ γιὰ ζημιά σου. Γιατὶ δὲν εἶναι ἴσο νὰ πορνεύει κανεὶς χωρὶς νὰ ἔχει γυναίκα καὶ νὰ κάνει πάλι ἀκριβῶς τὸ ἴδιο μετὰ τὸ γάμο του. Γιατὶ αὐτὸ πιὰ δὲν εἶναι πορνεία ἀλλὰ μοιχεία. Ἂν καὶ εἶναι παράξενο αὐτὸ ποὺ λέγω, εἶναι ὅμως ἀλήθεια.

4. Γιατὶ δὲν ἀγνοῶ ὅτι πολλοὶ θεωροῦν μοιχεία μόνο ὅταν κάποιος ἀτιμάσει παντρεμένη γυναίκα. Ἐγὼ ὅμως λέγω εἴτε πλησιάσεις δημόσια πόρνη εἴτε ὑπηρέτρια εἴτε κάποια ἄλλη γυναίκα ποὺ δὲν ἔχει ἄνδρα μὲ κακὸ καὶ ἀκόλαστο σκοπό, ἐνῶ εἶσαι παντρεμένος, καὶ αὐτὸ εἶναι μοιχεία. Γιατὶ τὸ ἁμάρτημα τῆς μοιχείας δὲ διαπράττεται μόνο ἀπ' αὐτοὺς ποὺ ἀτιμάζονται ἀλλὰ καὶ ἀπ' αὐτοὺς ποὺ ἀτιμάζουν. Καὶ μὴ μοῦ πεῖς τώρα τοὺς νόμους τῆς πολιτείας, ποὺ σύρουν στὸ δικαστήριο καὶ τιμωροῦν τὶς γυναῖκες ποὺ διαπράττουν μοιχεία, ἀλλὰ δὲν τιμωροῦν καὶ τοὺς ἄνδρες, ἂν καὶ εἶναι καὶ παντρεμένοι καὶ ἔρχονται σὲ συνουσία μὲ τὶς ὑπηρέτριες. Ἐγὼ ὅμως θὰ σοῦ διαβάσω τὸ νόμο τοῦ Θεοῦ, ποὺ μὲ τὸν ἴδιο τρόπο ἀγανακτεῖ καὶ στὴν περίπτωση τῆς γυναίκας καὶ στὴν περίπτωση τοῦ ἄνδρα καὶ λέγει πὼς τὸ πράγμα αὐτὸ εἶναι μοιχεία. Γιατὶ ἀφοῦ εἶπε, «καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα», πρόσθεσε· «στὴ γυναίκα του ὁ ἄνδρας ἂς ἀποδίδει τὴν ὀφειλόμενη συζυγικὴ ἀγάπη»[17].

Τί λοιπὸν θέλοντας νὰ φανερώσει τὸ εἶπε αὐτό; Μήπως γιὰ νὰ διατηρήσει τὰ εἰσοδήματά της; μήπως γιὰ νὰ φυλάξει τὴν προίκα της ἀκέραιη; μήπως γιὰ νὰ τῆς δώσει πολυτελὴ ἐνδύματα; μήπως τραπέζι πλουσιοπάροχο καὶ ἐμφανίσεις λαμπρές; μήπως πολλὴ περιποίηση ὑπηρετῶν; Τί λέγεις; Ποιό εἶδος συζυγικῆς ἀγάπης ζητᾶς; γιατὶ καὶ αὐτὰ ὅλα εἶναι ἐκδηλώσεις συζυγικῆς ἀγάπης. Δὲν ἐννοῶ τίποτε τέτοιο, λέγει, ἀλλὰ τὴ σωφροσύνη καὶ τὴ σεμνότητα. Τὸ σῶμα τοῦ ἄνδρα δὲν ἀνήκει στὸν ἄνδρα ἀλλὰ στὴ γυναίκα. Ἂς τῆς διατηρεῖ λοιπὸν ἀκέραιο τὸ κτῆμα καὶ οὔτε νὰ τῆς τὸ μειώνει οὔτε καὶ νὰ τῆς τὸ καταστρέφει. Γιατὶ καὶ ἀπὸ τοὺς ὑπηρέτες ἐκεῖνος λέγεται πὼς ἔχει καλὴ διάθεση, ἐκεῖνος ποὺ ἔλαβε τὰ χρήματα τοῦ κυρίου του καὶ δὲ χάλασε τίποτε ἀπ' αὐτά. Ἀφοῦ λοιπὸν τὸ σῶμα τοῦ ἄν-

δρὸς σῶμα, εὔνους ἔστω περὶ τὴν παρακαταθήκην ὁ ἀνήρ. Ὅτι γὰρ τοῦτό φησιν, εἰπών, «τὴν εὔνοιαν ἀποδιδότω», ἐπήγαγεν· «ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή».

Ὅταν τοίνυν ἴδῃς πόρνην δελεάζουσαν, ἐπιβουλεύουσαν, ἐρῶσαν τοῦ σώματος, εἰπὲ πρὸς αὐτήν· 'οὐκ ἔστιν ἐμὸν τὸ σῶμα, τῆς γυναικός ἐστι τῆς ἐμῆς· οὐ τολμῶ καταχρήσασθαι, οὔτε ἑτέρᾳ τοῦτο ἐνδοῦναι γυναικί'. Τοῦτο καὶ γυνὴ ποιείτω. Πολλὴ γὰρ ἐνταῦθα ἡ ἰσοτιμία· καίτοι γε ἐν τοῖς ἄλλοις πολλὴν δίδωσιν ὑπεροχὴν ὁ Παῦλος, οὕτω λέγων· «πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἵνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπᾷ ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα»· καί, «κεφαλὴ γυναικὸς ὁ ἀνήρ»· καί, «ὀφείλει ἡ γυνὴ ὑποτάσσεσθαι τῷ ἀνδρί». Καὶ πάλιν ἐν τῇ Παλαιᾷ, «πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου καὶ αὐτός σου κυριεύσει». Πῶς οὖν ἐνταῦθα ἴσην ἀντίδοσιν δουλείας καὶ δεσποτείας εἰσήγαγε; Τὸ γὰρ εἰπεῖν, «ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή», ἰσότητά τινα πολλήν ἐστιν εἰσάγοντος. Καὶ καθάπερ ἐκεῖνος δεσπότης ἐστὶ τοῦ σώματος αὐτῆς, οὕτω καὶ αὕτη δέσποινα τοῦ ἐκείνου σώματος.

Τίνος οὖν ἕνεκεν τοσαύτην ἰσοτιμίαν εἰσήγαγεν; Ὅτι ἐνταῦθα οὐκ ἀναγκαία ἡ ὑπεροχή· ἔνθα δὲ σωφροσύνης καιρὸς καὶ σεμνότητος, οὐδὲν ἔχει πλέον τῆς γυναικὸς ὁ ἀνήρ, ἀλλ' ὁμοίως ἐκείνῃ κολάζεται, τοὺς τοῦ γάμου παραφθείρας νόμους· καὶ μάλα εἰκότως. Οὐ γὰρ διὰ τοῦτο ἦλθεν ἡ γυνὴ πρὸς σὲ καὶ πατέρα καὶ μητέρα ἐγκατέλιπε καὶ τὸν οἶκον ἅπαντα, ἵνα καθυβρίζηται, ἵνα θεραπαινίδιον εὐτελὲς ἐπεισάγῃς αὐτῇ, ἵνα μυρίους ποιῇς πολέμους· συνέμπορον ἔλαβες καὶ κοινωνὸν τοῦ βίου καὶ ἐλευθέραν καὶ ὁμότιμον. Πῶς γὰρ οὐκ ἄτοπον τὴν προῖκα αὐτῆς

---

18. Α' Κορ. 7,4.
19. Ἐφ. 5,33.
20. Ἐφ. 5,23.24.
21. Γεν. 3,16.

δρα εἶναι κτῆμα τῆς γυναίκας, ἂς δείξει ὁ ἄνδρας τὸ ἐνδιαφέρον του γιὰ τὴ φύλαξη αὐτῆς τῆς παρακαταθήκης. Ὅτι βέβαια ἐννοεῖ αὐτό, ἀφοῦ εἶπε, «ἂς ἀποδίδει τὴ συζυγικὴ ἀγάπη», πρόσθεσε· «ἡ γυναίκα δὲν ἐξουσιάζει τὸ σῶμα της ἡ ἴδια, ἀλλὰ ὁ ἄνδρας της· παρόμοια καὶ ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του ὁ ἴδιος, ἀλλὰ ἡ γυναίκα του»[18].

Ὅταν λοιπὸν δεῖς μία πόρνη νὰ σὲ δελεάζει, νὰ σκέπτεται τὸ κακό σου, νὰ ἐπιθυμεῖ τὸ σῶμα σου, πὲς σ' αὐτήν· 'δὲν εἶναι δικό μου τὸ σῶμα ἀλλ' εἶναι τῆς γυναίκας μου· δὲν τολμῶ νὰ τὸ σφετερισθῶ, οὔτε νὰ τὸ παραδώσω σὲ ἄλλη γυναίκα'. Τὸ ἴδιο ἂς κάνει καὶ ἡ γυναίκα. Γιατὶ ἐδῶ εἶναι μεγάλη ἡ ἰσοτιμία, ἂν καὶ στὰ ἄλλα ὁ Παῦλος δίνει πολλὴ ὑπεροχὴ στὸν ἄνδρα λέγοντας τὸ ἑξῆς· «ἀλλὰ καὶ σεῖς, ἂς ἀγαπάει ὁ καθένας τὴ γυναίκα του ὅπως ἀγαπάει τὸν ἑαυτό του, καὶ ἡ γυναίκα νὰ σέβεται τὸν ἄνδρα της»[19]· καὶ «ὁ ἄνδρας εἶναι ἀρχηγὸς τῆς γυναίκας»· καὶ «ἡ γυναίκα πρέπει νὰ ὑποτάσσεται στὸν ἄνδρα της»[20]. Καὶ πάλι στὴν Παλαιὰ Διαθήκη λέγει· «θὰ ἐξαρτᾶσαι πάντοτε ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι ὁ κύριός σου»[21]. Πῶς λοιπὸν ἐδῶ εἰσήγαγε ἴση ἀνταπόδοση δουλείας καὶ ἐξουσίας; Γιατὶ μὲ τὸ νὰ πεῖ, «ἡ γυναίκα δὲν ἐξουσιάζει τὸ σῶμα της ἡ ἴδια, ἀλλὰ ὁ ἄνδρας της· παρόμοια καὶ ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του ὁ ἴδιος, ἀλλὰ ἡ γυναίκα του», δείχνει ὅτι εἰσάγει κάποια μεγάλη ἰσότητα. Καὶ ὅπως ἐκεῖνος εἶναι κύριος τοῦ σώματός της, ἔτσι καὶ αὐτὴ εἶναι κυρία τοῦ δικοῦ του σώματος.

Γιὰ ποιό λοιπὸν λόγο εἰσήγαγε τόσο μεγάλη ἰσοτιμία; Γιατὶ ἐδῶ δὲν εἶναι ἀναγκαία ἡ ὑπεροχή. Ὅπου ὅμως ἀπαιτεῖται σωφροσύνη καὶ σεμνότητα, τίποτε δὲν ἔχει ὁ ἄνδρας περισσότερο ἀπὸ τὴ γυναίκα, ἀλλὰ ὅμοια μ' ἐκείνη τιμωρεῖται, γιατὶ διέφθειρε τοὺς νόμους τοῦ γάμου. Καὶ πολὺ φυσικά. Γιατὶ ἡ γυναίκα δὲν ἦρθε σὲ σένα γι' αὐτό, δὲν ἐγκατέλειψε πατέρα καὶ μητέρα καὶ ὅλο τὸ σπίτι της γιὰ νὰ προσβάλλεται, γιὰ νὰ βάλεις κοντὰ σ' αὐτὴν μιὰ ἀσήμαντη ὑπηρετριούλα, καὶ νὰ τῆς κάνεις ἄπειρους πολέμους· τὴν πῆρες συνοδοιπόρο, σύντροφο τῆς ζωῆς, καὶ ἐλεύθερη καὶ ἰσότιμη . Πῶς λοιπὸν δὲν εἶναι παράλο-

ὑποδεχόμενον, πᾶσαν ἐπιδείκνυσθαι εὔνοιαν καὶ μηδὲν αὐτῆς ἐλαττοῦν, ὃ δὲ τῆς προικός ἐστιν ἁπάσης τιμιώτερον, τὴν σωφροσύνην καὶ τὴν σεμνότητα καὶ τὸ σῶμα τὸ ἑαυτοῦ, ὅπερ ἐστὶν ἐκείνης κτῆμα, διαφθείρειν τε καὶ μιαίνειν; Ἂν τὴν προῖκα μειώσῃς, τῷ κηδεστῇ δίδως λόγον· ἂν τὴν σωφροσύνην μειώσῃς, τῷ Θεῷ τὰς εὐθύνας ὑφέξεις, τῷ τὸν γάμον εἰσαγαγόντι καὶ τὴν γυναῖκα ἐγχειρίσαντι. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον τί φησιν ὁ Παῦλος περὶ τῶν μοιχευόντων· «ὁ γὰρ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς».

Ὁρᾷς δι' ὅσων ὁ λόγος ἀπέδειξεν ὅτι μοιχεία ἐστίν, οὐ μόνον τὸ ὕπανδρον γυναῖκα διαφθείρειν, ἀλλὰ καὶ τὸ ἡντιναοῦν πόρνην, ἔχοντα γυναῖκα; Ὥσπερ γὰρ μοιχεύεσθαι γυναῖκα λέγομεν κἂν εἰς οἰκέτην κἂν εἰς ὁντιναοῦν ἁμάρτῃ ἄνδρα ἔχουσαν, οὕτω καὶ ἄνδρα μοιχεύειν ἂν εἴποιμεν κἂν εἰς θεραπαινίδα κἂν εἰς ἡντιναοῦν δημώδη γυναῖκα ἀσελγαίνῃ γυναῖκα ἔχων αὐτός. Μὴ τοίνυν ἀμελῶμεν τῆς ἑαυτῶν σωτηρίας, μηδὲ τῷ διαβόλῳ προτείνωμεν ἡμῶν τὴν ψυχὴν διὰ τῆς ἁμαρτίας ταύτης. Καὶ γὰρ ἐντεῦθεν αἱ μυρίαι τῶν οἴκων ἀνατροπαί, οἱ μυρίοι πόλεμοι· ἐντεῦθεν τὰ τῆς ἀγάπης ὑπορρεῖ καὶ τὰ τῆς εὐνοίας ὑποσύρεται. Ὥσπερ γὰρ ἀμήχανον σώφρονα ἄνθρωπον ὑπεριδεῖν γυναικὸς καὶ καταφρονῆσαί ποτε, οὕτως ἀμήχανον ἄνθρωπον ἀσελγῆ καὶ ἀκόλαστον φιλεῖν τὴν γυναῖκα τὴν ἑαυτοῦ, κἂν ἁπάντων εὐμορφοτέρα ᾖ. Ἀπὸ γὰρ σωφροσύνης ἀγάπη τίκεται, ἀπὸ δὲ ἀγάπης τὰ μυρία ἀγαθά. Λιθίνας τοίνυν νόμιζε τὰς λοιπὰς γυναῖκας, εἰδὼς ὅτι μετὰ γάμον, κἂν ἀκολάστοις ἴδῃς ὀφθαλμοῖς ἑτέραν γυναῖκα κἂν δημοσίαν κἂν ὕπανδρον, τοῖς τῶν μοιχῶν ἐγκλήμασιν ὑπεύθυνος γέγονας. Ταῦτα σεαυτῷ καθ' ἑκάστην ἔπᾳδε τὰ ῥήματα· κἂν ἴδῃς ἐπιθυμίαν ἄλλης γυναικὸς ἐγειρομένην ἐν σοί, εἶτα ἐκ τούτου σοι τὴν γυναῖκα ἀηδῆ φαινομένην, εἴσελθε εἰς

---

22. Α' Θεσ. 4,8.

γο νὰ δείχνεις κάθε ἐνδιαφέρον ὅταν παίρνεις τὴν προίκα, χωρὶς ν' ἀφήνεις νὰ ἐλαττωθεῖ καθόλου, ἐνῶ αὐτὸ ποὺ εἶναι πιὸ πολύτιμο ἀπὸ ὅλη τὴν προίκα, δηλαδὴ τὴ σωφροσύνη καὶ τὴ σεμνότητα καὶ τὸ δικό σου σῶμα ποὺ εἶναι δικό της κτῆμα, νὰ τὸ διαφθείρεις καὶ νὰ τὸ μολύνεις; Ἂν ἐλαττώσεις τὴν προίκα, δίνεις λόγο στὸν πεθερό σου, ἂν ὅμως μειώσεις τὴ σωφροσύνη θὰ δώσεις λόγο στὸ Θεό, ποὺ εἰσήγαγε τὸ γάμο καὶ σοῦ παρέδωσε τὴ γυναίκα. Καὶ ὅτι αὐτὸ εἶναι ἀλήθεια, ἄκουσε τί λέγει ὁ Παῦλος γι' αὐτοὺς ποὺ διαπράττουν μοιχεία· «γιατὶ ὅποιος τὰ παραβαίνει αὐτά, δὲν παραβαίνει ἐντολὲς ἀνθρώπων, ἀλλὰ τοῦ Θεοῦ, ποὺ σᾶς ἔδωσε τὸ Πνεῦμα του τὸ ἅγιο»[22].

Βλέπεις μὲ ὅσα ἀπέδειξε ὁ λόγος ὅτι μοιχεία εἶναι ὄχι μόνο τὸ νὰ ἀτιμάζει κανεὶς παντρεμένη γυναίκα, ἀλλὰ καὶ ὁποιαδήποτε πόρνη, ὅταν ἔχει ὁ ἴδιος γυναίκα; Γιατὶ ὅπως λέμε ὅτι μία γυναίκα, ποὺ εἶναι παντρεμένη γίνεται μοιχαλίδα εἴτε ἁμαρτήσει μὲ ὑπηρέτη εἴτε μὲ ὁποιοδήποτε ἄλλον, ἔτσι μποροῦμε νὰ ποῦμε ὅτι καὶ ἕνας ἄνδρας, ποὺ εἶναι παντρεμένος, γίνεται μοιχὸς εἴτε ἀσελγεῖ μὲ ὑπηρέτρια εἴτε μὲ ὁποιαδήποτε γυναίκα τοῦ δρόμου ἀσελγεῖ. Ἂς μὴν ἀδιαφοροῦμε λοιπὸν γιὰ τὴ σωτηρία μας καὶ ἂς μὴν προσφέρουμε τὴν ψυχή μας στὸ διάβολο μὲ τὴν ἁμαρτία αὐτή. Γιατὶ πραγματικὰ ἀπὸ ἐδῶ προέρχονται οἱ ἀναρίθμητες καταστροφὲς τῶν οἰκογενειῶν, οἱ ἄπειρες συγκρούσεις· ἀπὸ ἐδῶ χάνεται σιγὰ–σιγὰ ἡ ἀγάπη καὶ ἀτονεῖ ὁ πόθος γιὰ τὴ σύζυγο. Γιατὶ ὅπως εἶναι ἀδύνατο ὁ συνετὸς ἄνδρας νὰ παραβλέψει καὶ νὰ περιφρονήσει ποτὲ τὴ γυναίκα του, ἔτσι εἶναι ἀδύνατο ὁ ἀσελγὴς καὶ ἀκόλαστος ἄνδρας νὰ ἀγαπάει τὴ γυναίκα του, ἔστω καὶ ἂν εἶναι ἡ πιὸ ὄμορφη ἀπὸ ὅλες. Ἀπὸ τὴ σωφροσύνη λοιπὸν γεννιέται ἡ ἀγάπη καὶ ἀπὸ τὴν ἀγάπη τὰ ἄπειρα ἀγαθά. Νὰ θεωρεῖς λοιπὸν πέτρινες τὶς ὑπόλοιπες γυναῖκες, ἀφοῦ γνωρίζεις ὅτι μετὰ τὸ γάμο ἂν δεῖς μὲ ἀκόλαστα μάτια ἄλλη γυναίκα, εἴτε πόρνη εἴτε παντρεμένη, εἶσαι ὑπόλογος γιὰ τὴν κατηγορία τῆς μοιχείας. Αὐτὰ τὰ λόγια νὰ τὰ ἐπαναλαμβάνεις κάθε ἡμέρα στὸν ἑαυτό σου· καὶ ἂν δεῖς νὰ σοῦ ἐγείρεται ἐπιθυμία γιὰ ἄλλη γυναίκα καὶ στὴ συνέχεια νὰ σοῦ φαίνε-

τὸν θάλαμον καί, τὸ βιβλίον ἀναπτύξας τοῦτο καὶ λαβὼν Παῦλον μεσίτην καὶ συνεχῶς ἐπᾴδων ταῦτα τὰ ρήματα, κατάσβεσον τὴν φλόγα.

Καὶ οὕτω καὶ ἡ γυνὴ πάλιν ἔσται σοι ποθεινοτέρα, οὐδεμιᾶς ἐπιθυμίας τὴν πρὸς αὐτὴν εὔνοιαν ὑποσυρούσης· οὐχ ἡ γυνὴ δὲ ἔσται ποθεινοτέρα μόνον, ἀλλὰ καὶ σὺ σεμνότερος πολλῷ καὶ ἐλευθεριώτερος δόξεις εἶναι. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν αἰσχρότερον ἀνθρώπου μετὰ γάμον πορνεύοντος. Οὐ γὰρ δὴ μόνον τὸν κηδεμόνα καὶ τοὺς φίλοους καὶ τοὺς ἀπαντῶντας, ἀλλὰ καὶ αὐτοὺς ἐρυθριᾷ τοὺς οἰκέτας. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ἀλλ' ὅτι καὶ τὴν οἰκείαν αὐτὴν δεσμωτηρίου παντὸς ἀηδεστέραν ὄψεται, πρὸς τὴν ἐρωμένην βλέπων καὶ τὴν πόρνην διηνεκῶς φανταζόμενος.

5. Βούλει μαθεῖν ἀκριβῶς ὅσον ἐστὶ τὸ δεινόν; Ἐννόησον οἷον οἱ τὰς γυναῖκας ἑαυτῶν ὑποπτεύοντες ζῶσι βίον, πῶς ἀηδῆ τὰ σιτία, ἀηδῆ ποτά. Δηλητηρίων ἡ τράπεζα δοκεῖ γέμειν φαρμάκων· καὶ ὥσπερ ὄλεθρον, μυρίων γέμουσαν κακῶν, οὕτω φεύγουσι τὴν οἰκίαν. Οὐχ ὕπνος αὐτοῖς ἐστιν, οὐ νὺξ προσηνής, οὐ συνουσία φίλων, οὐκ αὐταὶ αἱ τοῦ ἡλίου ἀκτῖνες· ἀλλὰ καὶ παρ' αὐτοῦ τοῦ φωτὸς ἐνοχλεῖσθαι νομίζουσιν, οὐχ ὅταν ἴδωσι μοιχευομένην τὴν γυναῖκα μόνον, ἀλλὰ κἂν ἁπλῶς ὑποπτεύωσι. Ταῦτα νόμιζε καὶ τὴν γυναῖκα πάσχειν, ὅταν ἀκούσῃ παρ' ὁτουοῦν, ἢ καὶ ὑποπτεύσῃ ὅτι πόρνῃ γυναικὶ σαυτὸν ἐξέδωκας. Ταῦτα λογιζόμενος, μὴ τὰς μοιχείας φεῦγε μόνον, ἀλλὰ καὶ τὰς ὑποψίας· κἂν ἀδίκως ὑποπτεύσῃ, θεράπευσον καὶ πεῖσον. Οὐ γὰρ ἐξ ἔχθρας ἢ ἀπονοίας, ἀλλ' ἀπὸ κηδεμονίας τοῦτο ποιεῖ, καὶ τοῦ σφόδρα δεδοικέναι περὶ τοῦ κτήματος τοῦ ἰδίου. Κτῆμα γὰρ αὐ-

ται ἐξ αἰτίας αὐτοῦ βαρετὴ ἡ γυναίκα σου, πήγαινε στὸ δωμάτιό σου καί, ἀφοῦ ἀνοίξεις τὸ βιβλίο αὐτὸ καὶ λάβεις μεσίτη τὸν Παῦλο καὶ ἐπαναλαμβάνοντας συνεχῶς τὰ λόγια αὐτά, σβῆσε ἐντελῶς τὴ φωτιά.

Καὶ ἔτσι καὶ ἡ γυναίκα σου θὰ σοῦ εἶναι πάλι πιὸ ποθητή, ἀφοῦ καμιὰ ἐπιθυμία δὲν ὑπονομεύει τὸν πόθο σου γι' αὐτήν. Καὶ ὄχι μόνο ἡ γυναίκα σου θὰ σοῦ γίνει πιὸ ποθητή, ἀλλὰ καὶ σὺ θὰ φανεῖς πὼς εἶσαι πολὺ πιὸ σεμνὸς καὶ πιὸ ἐλεύθερος. Γιατὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει τίποτε αἰσχρότερο ἀπὸ τὸν ἄνθρωπο ποὺ μετὰ τὸ γάμο πορνεύει. Γιατὶ ὄχι μόνο τὸν πεθερό του καὶ τοὺς φίλους του καὶ ἐκείνους ποὺ συναναστρέφεται, ἀλλὰ καὶ τοὺς ἴδιους τοὺς ὑπηρέτες του τοὺς κάνει νὰ κοκκινίζουν ἀπὸ ντροπή. Καὶ δὲν εἶναι μόνο αὐτὸ τὸ φοβερό, ἀλλὰ καὶ ὅτι θὰ βλέπει τὸ σπίτι του πιὸ ἐνοχλητικὸ ἀπὸ κάθε φυλακή, ἐπειδὴ ἔχει τὸ νοῦ του στὴν ἐρωμένη του καὶ σκέπτεται συνεχῶς τὴν πόρνη.

5. Θέλεις νὰ μάθεις πόσο ἀκριβῶς εἶναι τὸ κακό; Σκέψου τί ζωὴ περνοῦν ἐκεῖνοι ποὺ ὑποπτεύονται τὶς γυναῖκες τους, πόσο ἀηδιαστικὰ εἶναι τὰ φαγητά, πόσο ἀηδιαστικὰ τὰ ποτά. Τὸ τραπέζι τους φαίνεται νὰ εἶναι γεμάτο μὲ δηλητηριώδη φάρμακα. Καὶ ὅπως κανεὶς ἀποφεύγει τὴν καταστροφή, ἔτσι ἀποφεύγουν ἐκεῖνοι τὸ σπίτι, σὰν νὰ εἶναι γεμάτο ἀπὸ ἄπειρα κακά. Δὲν ὑπάρχει γι' αὐτοὺς ὕπνος, δὲν ὑπάρχει ἤρεμη νύχτα, δὲν ὑπάρχει συναναστροφὴ φίλων, οὔτε καὶ αὐτὲς ἀκόμη οἱ ἀκτίνες τοῦ ἥλιου, ἀλλὰ νομίζουν πὼς ἐνοχλοῦνται ἀκόμη καὶ ἀπ' αὐτὸ τὸ φῶς, ὄχι μόνο ὅταν δοῦν πὼς ἡ γυναίκα τους εἶναι μοιχαλίδα, ἀλλὰ καὶ ἂν ἁπλῶς ὑποψιάζονται κάτι τέτοιο. Αὐτὰ νὰ σκέπτεσαι πὼς παθάνει καὶ ἡ γυναίκα, ὅταν ἀκούσει ἀπὸ κάποιον ἢ καὶ ὅταν ὑποψιασθεῖ ὅτι παρέδωσες τὸν ἑαυτό σου σὲ πόρνη. Ἀναλογιζόμενος αὐτά, νὰ μὴν ἀποφεύγεις μόνο τὶς μοιχεῖες ἀλλὰ καὶ τὶς ὑποψίες· καὶ ἂν σὲ ὑποψιασθεῖ ἄδικα, φρόντισε νὰ τὴν καθησυχάσεις πείθοντάς την ὅτι δὲν συμβαίνει τίποτε. Γιατὶ δὲν τὸ κάνει αὐτὸ ἀπὸ ἔχθρα ἢ ἀνοησία, ἀλλὰ ἀπὸ ἐνδιαφέρον καὶ γιατὶ φοβᾶται πάρα πολὺ γιὰ τὸ δικό της κτῆμα. Γιατὶ

τῆς ἐστίν, ὥσπερ ἔφθην εἰπών, τὸ σῶμα τὸ σόν, καὶ κτῆμα τῶν ὄντων ἁπάντων τιμιώτερον. Μὴ τοίνυν αὐτὴν περὶ τὰ μέγιστα ἀδικήσῃς, μηδὲ καιρίαν δῷς τὴν πληγήν.

Εἰ γὰρ ἐκείνης καταφρονήσεις, ἀλλὰ τὸν Θεὸν φοβήθητι, τὸν ἔκδικον τῶν τοιούτων, τὸν ἀφορήτους κολάσεις τοῖς τοιούτοις ἀπειλήσαντα ἁμαρτήμασι. Τῶν γὰρ τοιαῦτα τολμώντων, φησίν, «ὁ σκώληξ οὐ τελευτήσει καὶ τὸ πῦρ οὐ σβεσθήσεται». Εἰ δὲ οὐ σφόδρα σε δάκνει τὰ μέλλοντα, τὰ γοῦν παρόντα σε φοβείτω. Πολλοὶ γοῦν τῶν πόρναις προσεχόντων καὶ ἐνταῦθα κακοὶ κακῶς ἀπώλοντο, περιεργίας ὑπομείναντες ὑπὸ τῶν πορνευομένων γυναικῶν. Φιλονεικοῦσι γὰρ ἐκεῖναι τῆς μὲν συνοικούσης αὐτῷ καὶ κατεγγυηθείσης ἀποστῆσαι γυναικός, τῷ δὲ αὐτῶν ἔρωτι προσδῆσαι τέλεον, μαγγανείας ἐκίνησαν καὶ φίλτρα κατεσκεύασαν καὶ πολλὰς γοητείας ἔρραψαν· εἶτα οὕτως εἰς ἀρρωστίαν αὐτὸν ἐμβαλοῦσαι χαλεπὴν καὶ φθορᾷ παραδοῦσαι καὶ τηκεδόνι μακρᾷ καὶ μυρίοις περιβαλοῦσαι κακοῖς, ἀπήνεγκαν τῆς παρούσης ζωῆς.

Εἰ μὴ φοβῇ τὴν γέενναν, ἄνθρωπε, τὰς γοητείας αὐτῶν φοβήθητι. Ὅταν γὰρ σαυτὸν διὰ τῆς ἀσελγείας ταύτης ἔρημον ποιήσῃς τῆς τοῦ Θεοῦ συμμαχίας καὶ γυμνώσῃς σαυτὸν τῆς ἄνωθεν βοηθείας, λαβοῦσά σε μετὰ ἀδείας ἡ πόρνη καὶ τοὺς αὐτῆς καλέσασα δαίμονας καὶ τὰ πέταλα ράψασα καὶ τὰς ἐπιβουλὰς ἐργασαμένη, μετὰ πολλῆς τῆς εὐκολίας περιγίνεταί σου τῆς σωτηρίας, ὄνειδός σε καὶ γέλωτα τῶν τὴν πόλιν οἰκούντων ἁπάντων καταστήσασα, ὥστε μηδὲ ἐλεεῖσθαι κακῶς πάσχοντα. «Τίς γὰρ ελεήσει», φησίν, «ἐπαοιδὸν ὀφιόδηκτον καὶ πάντας τοὺς προσάγοντας θηρίοις;». Παρίημι τὴν τῶν χρημάτων ζημίαν, τὰς καθημερινὰς ὑποψίας, τὸν τῦφον, τὴν ἀπόνοιαν, τὴν ὕβριν, τὴν παρὰ τῶν πορνῶν γινομένην εἰς τοὺς ἀνοήτους, ἃ θα-

---

23. Μάρκ. 9,46.

24. Σοφ. Σειρ. 12,13.

κτῆμα δικό της, ὅπως εἶπα παραπάνω, εἶναι τὸ σῶμα σου, καὶ μάλιστα κτῆμα τὸ πιὸ πολύτιμο ἀπ' ὅλα. Μὴ λοιπὸν διαπράξεις ἀπέναντί της τὸ μεγαλύτερο ἀδίκημα οὔτε νὰ τῆς δώσεις θανάσιμο κτύπημα.

Καὶ ἂν ἀκόμη περιφρονήσεις τὴ γυναίκα σου, φοβήσου ὅμως τὸ Θεὸ ποὺ ἐκδικεῖται αὐτὰ τὰ πράγματα καὶ ἀπείλησε μὲ ἀνυπόφορες τιμωρίες αὐτὰ τὰ ἁμαρτήματα. Γιατὶ γιὰ ἐκείνους ποὺ τὰ τολμοῦν αὐτὰ λέγει, «τὸ σκουλήκι δὲ θὰ πεθάνει καὶ ἡ φωτιὰ δὲ θὰ σβήσει»[23]. Ἂν ὅμως δὲ σὲ φοβίζουν καὶ πολὺ τὰ μελλοντικά, τουλάχιστον ἂς σὲ φοβίζουν τὰ παρόντα. Πολλοὶ λοιπὸν ἀπ' αὐτοὺς ποὺ δίνουν προσοχὴ στὶς πόρνες καὶ ἐδῶ χάθηκαν μὲ τὸν πιὸ κακὸ τρόπο, ἀφοῦ ὑπέφεραν ἀπὸ τὶς πόρνες αὐτὲς γυναῖκες τὰ πιὸ περίεργα πράγματα. Γιατί, προσπαθώντας νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὴ νόμιμη σύζυγό του καὶ νὰ τὸν προσδέσουν ὁλοκληρωτικὰ στὸν ἔρωτά τους, χρησιμοποίησαν μαγεῖες, κατασκεύασαν ἐρωτικὰ φίλτρα καὶ μηχανεύτηκαν πολλὰ γοητευτικὰ μέσα. Στὴ συνέχεια, ἀφοῦ τὸν ἔρριξαν ἔτσι σὲ φοβερὴ ἀρρώστια, τὸν παρέδωσαν στὴ φθορὰ καὶ σὲ μακροχρόνιο μαρασμὸ καὶ τὸν περιέβαλαν μὲ ἄπειρα κακά, τὸν ὁδήγησαν στὴ στέρηση τῆς παρούσας ζωῆς.

Ἂν δὲ φοβᾶσαι τὴ γέεννα, ἄνθρωπε, φοβήσου τὰ γοητευτικά τους μέσα. Γιατί, ὅταν μὲ τὴν ἀσέλγεια αὐτὴ στερηθεῖς τὴ συμμαχία τοῦ Θεοῦ καὶ ἀπογυμνώσεις τὸν ἑαυτό σου ἀπὸ τὴν οὐράνια βοήθεια, ἀφοῦ σὲ πάρει τότε μὲ πολλὴ εὐκολία στὰ χέρια της ἡ πόρνη καὶ καλέσει τοὺς δικούς της δαίμονες, ἐπινοώντας τὶς μηχανορραφίες της καὶ πραγματοποιώντας τὶς ἐπιβουλές της, μὲ μεγάλη εὐκολία σοῦ στερεῖ τὴ σωτηρία σου, κάμνοντάς σε συγχρόνως ἀντικείμενο χλευασμῶν καὶ περιπαίγματος ὅλων τῶν κατοίκων τῆς πόλης, ὥστε νὰ μὴ σὲ λυπᾶται κανεὶς ἂν καὶ ὑποφέρεις πάρα πολύ. Γιατὶ λέγει, «ποιός θὰ λυπηθεῖ τὸ μάγο ποὺ γοητεύει τὰ φίδια, ὅταν τὸν δαγκώσει τὸ φίδι, καὶ ὅλους τοὺς θηριοδαμαστὲς ποὺ πλησιάζουν τὰ θηρία;»[24]. Παραβλέπω τὴ ζημία τῶν χρημάτων, τὶς καθημερινὲς ὑποψίες, τὴν ἀλαζονεία, τὴν ἀνοησία, τὴν προσβολὴ ποὺ γίνεται ἀπὸ τὶς

νάτων μυρίων ἐστὶ πικρότερα. Καὶ τὴν μὲν γυναῖκα πολλάκις οὐδὲ βαρὺ ρῆμα εἰποῦσαν οὐκ ἤνεγκας, τὴν δὲ πόρνην καὶ ραπίζουσαν προσκυνεῖς. Καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς, οὐδὲ εὔχῃ διαστῆναί σοι τὴν γῆν;

Πῶς δυνήσῃ εἰς ἐκκλησίαν εἰσελθεῖν καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; ποίῳ στόματι καλέσαι τὸν Θεόν, ᾧ τὴν πόρνην ἐφίλησας; Καὶ οὐ δέδοικας οὐδὲ φρίττεις, εἰπέ μοι, μή ποτε σκηπτὸς ἄνωθεν ἐνεχθεὶς καταφλέξῃ τὴν ἀναίσχυντόν σου κεφαλήν; Κἂν γὰρ τὴν γυναῖκα λάθῃς τὴν ἠδικημένην, ἀλλὰ τὸν ἀκοίμητον ὀφθαλμὸν οὐ λήσῃ ποτέ· ἐπεὶ καὶ τῷ μοιχῷ ἐκείνῳ τῷ λέγοντι, «σκότος κύκλῳ μου καὶ τοῖχοι, τί εὐλαβοῦμαι;», ἀντεφθέγξατο ὁ σοφὸς ἐκεῖνος οὕτω λέγων· «ὅτι ὀφθαλμοὶ Κυρίου μυριοπλασίως ἡλίου φωτεινότεροι, βλέποντες εἰς τὰ ἔργα τῶν ἀνθρώπων». Διὰ ταῦτα δὴ πάντα ὁ Παῦλος ἔλεγεν· «ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί».

«Μέλι ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου». Ἰὸν ἔχει τῆς πόρνης τὸ φίλημα, ἰὸν λανθάνοντα καὶ ἐγκεκρυμμένον. Τί τοίνυν διώκεις ἡδονὴν κατάγνωσιν ἔχουσαν, ὄλεθρον τίκτουσαν, πληγὴν ἐπάγουσαν ἀνίατον, ἐξὸν εὐφραίνεσθαι καὶ μηδὲν πάσχειν δεινόν; Ἐπὶ γὰρ τῆς ἐλευθέρας γυναικὸς ὁμοῦ καὶ ἡδονὴ καὶ ἀσφάλεια καὶ ἄνεσις καὶ τιμὴ καὶ κόσμος καὶ συνειδὸς ἀγαθόν· ἐκεῖ δὲ πολλὴ μὲν ἡ πικρία, πολλὴ δὲ ἡ βλάβη, διηνεκὴς δὲ ἡ κατηγορία. Κἂν γὰρ μηδεὶς ἀνθρώπων ἴδῃ, τὸ συνειδὸς οὐδέποτε παύσεταί σου κατηγοροῦν· ἀλλ' ὅπουπερ ἂν ἀπέλθῃς, ἕψεται κατηγορῶν καὶ μεγάλα καταβοῶν ὁ κατήγορος οὗτος. Ὥστε, εἴ τις ἡδονὴν διώκει, οὗτος μάλιστα φευγέτω τὴν

25. Σοφ. Σειρ. 23,18.19. 26. Παροιμ. 5,3.4.

πόρνες στοὺς ἀνόητους, ποὺ εἶναι πικρότερα ἀπὸ ἄπειρους θανάτους. Καὶ τὴ γυναίκα σου βέβαια πολλὲς φορὲς χωρὶς νὰ πεῖ οὔτε κὰν βαρὺ λόγο δὲν τὴν ἄντεξες, ἐνῶ τὴν πόρνη καὶ ὅταν σὲ ραπίζει τὴν προσκυνᾶς. Καὶ δὲν ντρέπεσαι οὔτε κοκκινίζεις οὔτε εὔχεσαι ν' ἀνοίξει ἡ γῆ καὶ νὰ σὲ καταπιεῖ;

Πῶς θὰ μπορέσεις νὰ μπεῖς σὲ ἐκκλησία καὶ νὰ σηκώσεις τὰ χέρια σου στὸν οὐρανο; μὲ ποιό στόμα θὰ καλέσεις τὸ Θεό, μ' αὐτὸ μὲ τὸ ὁποῖο φίλησες τὴν πόρνη; Καὶ δὲ φοβᾶσαι οὔτε τρέμεις, πές μου, μήπως κάποτε πέσει ἀπὸ τὸν οὐρανὸ κεραυνὸς καὶ κατακάψει τὸ ἀδιάντροπο κεφάλι σου; Γιατὶ καὶ ἂν ἀκόμη ξεφύγεις τὴ γυναίκα ποὺ ἀδίκησες, δὲ θὰ ξεφύγεις ὅμως ποτὲ τὸ ἀκοίμητο μάτι τοῦ Θεοῦ· γιατὶ καὶ στὸ μοιχὸ ἐκεῖνον ποὺ ἔλεγε, «σκοτάδι ὑπάρχει γύρω μου καὶ τοῖχοι, τί φοβᾶμαι;», ἀπάντησε ὁ σοφὸς ἐκεῖνος λέγοντας αὐτά· «τὰ μάτια τοῦ Κυρίου εἶναι ἄπειρες φορὲς φωτεινότερα ἀπὸ τὸν ἥλιο καὶ βλέπουν τὰ ἔργα τῶν ἀνθρώπων»[25]. Ἐξ αἰτίας λοιπὸν ὅλων αὐτῶν ὁ Παῦλος ἔλεγε· «κάθε ἄνδρας ἂς ἔχει τὴ δική του γυναίκα καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα· στὴ γυναίκα του ὁ ἄνδρας ἂς ἀποδίδει τὴν ὀφειλόμενη συζυγικὴ ἀγάπη, τὸ ἴδιο καὶ ἡ γυναίκα στὸν ἄνδρα της».

«Μέλι στάζει ἀπὸ τὰ χείλη πόρνης γυναίκας, ποὺ προσωρινὰ γλυκαίνει τὸ φάρυγγά σου, μετὰ ὅμως γίνεται πικρότερο ἀπὸ χολὴ καὶ ἀκονισμένο περισσότερο ἀπὸ δίκοπο μαχαίρι»[26]. Φαρμάκι ἔχει τὸ φίλημα τῆς πόρνης, φαρμάκι ποὺ μένει ἀπαρατήρητο καὶ εἶναι κρυμμένο. Γιατί λοιπὸν ἐπιδιώκεις ἡδονὴ ποὺ ἐπιφέρει καταδίκη, γεννάει καταστροφή, προκαλεῖ ἀθεράπευτη πληγή, ἐνῶ μπορεῖς νὰ εὐφραίνεσαι καὶ νὰ μὴν παθαίνεις κανένα κακό; Γιατὶ στὴν νόμιμη γυναίκα ὑπάρχει μαζὶ καὶ ἡδονὴ καὶ ἀσφάλεια καὶ ἄνεση καὶ τιμὴ καὶ στόλισμα καὶ συνείδηση ἀγαθή, ἐνῶ ἐκεῖ εἶναι πολλὴ ἡ πικρία, πολλὴ ἡ βλάβη, καὶ διαρκὴς ἡ κατηγορία. Γιατὶ καὶ ἂν ἀκόμη δὲ σὲ δεῖ κανεὶς ἄνθρωπος, ἡ συνείδησή σου ὅμως ποτὲ δὲ θὰ σταματήσει νὰ σὲ κατηγορεῖ. Ὁπουδήποτε καὶ ἂν πᾶς, θὰ σὲ ἀκολουθήσει ὁ κατήγορος αὐτὸς κατηγορώντας καὶ καταβοώντας πολλὰ ἐναντίον σου. Ἐπο-

πρὸς τὰς πόρνας ὁμιλίαν. Οὐδὲν γὰρ ἐκείνης τῆς συνηθείας πικρότερον, οὐδὲν τῆς συνουσίας ἀηδέστερον, οὐδὲν τῶν τρόπων μιαρώτερον. «Ἔλαφος φιλίας καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι· ἡ πηγὴ τοῦ ὕδατός σου σοὶ ἔστω πηγή». Πηγὴν ὕδατος ἔχων καθαράν, τί τρέχεις ἐπὶ λάκκον βορβόρου γέμοντα, γεέννης ὄζοντα καὶ κολάσεως ἀφάτου; ποίαν ἕξεις ἀπολογίαν· τίνα συγγνώμην; Εἰ γὰρ οἱ πρὸ τοῦ γάμου πορνείᾳ προσέχοντες κολάζονται καὶ δίκην διδόασι, καθάπερ ἐκεῖνος ὁ τὰ ρυπαρὰ ἐνδεδυμένος ἱμάτια, πολλῷ μᾶλλον οἱ μετὰ τὸν γάμον. Διπλοῦν γὰρ ἐνταῦθα καὶ τριπλοῦν τὸ ἔγκλημα γίνεται, ὅτι τε παραμυθίας ἀπολαύοντες ἀπεσκίρτησαν εἰς τὴν ἀσέλγειαν ἐκείνην, καὶ ὅτι τὸ πρᾶγμα οὐχὶ πορνεία μόνον ἀλλὰ καὶ μοιχεία λογίζεται, ὃ πάσης ἁμαρτίας ἐστὶ χαλεπώτερον.

Ταῦτ' οὖν καὶ ἑαυτοῖς καὶ ταῖς γυναιξὶν ἐπᾴδοντες οὕτω διατελῶμεν· διὸ δὴ καὶ αὐτὸς εἰς ταῦτα καταλύσω τὰ ρήματα· «διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω· τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν ἀποδιδότω, ὁμοίως καὶ ἡ γυνὴ τῷ ἀνδρί. Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή». Μετὰ ἀκριβείας ταῦτα φυλάξαντες τὰ ρήματα καὶ ἐν ἀγορᾷ καὶ ἐν οἰκίᾳ καὶ ἐν ἡμέρᾳ καὶ ἐν ἑσπέρᾳ καὶ ἐπὶ τῆς τραπέζης καὶ ἐπὶ τῆς εὐνῆς καὶ πανταχοῦ καὶ αὐτοὶ μελετῶμεν καὶ τὰς γυναῖκας παιδεύωμεν καὶ πρὸς ἡμᾶς λέγειν καὶ παρ' ἡμῶν ἀκούειν, ἵνα, σωφρόνως τὸν παρόντα ζήσαντες βίον, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

27. Παροιμ. 5,19.18.

μένως ἂν κανεὶς ἐπιδιώκει ἡδονή, αὐτὸς κυρίως ἂς ἀποφεύγει τὴ συναναστροφη μὲ τὶς πόρνες. Γιατὶ τίποτε δὲν εἶναι πιὸ πικρὸ ἀπὸ τὴ συνήθεια αὐτή, τίποτε πιὸ ἀηδιαστικὸ ἀπὸ τὴ συνουσία αὐτή, τίποτε πιὸ μιαρὸ ἀπ' αὐτὴ τὴ συμπεριφορά. «Ἂς εἶναι ἡ συμπερφορά σου σὰν πρὸς ἀξιαγάπητο ἐλάφι καὶ χαριτωμένο πουλάρι· ἡ πηγὴ τοῦ νεροῦ ἂς ἀνήκει σὲ σένα μόνο»[27]. Ἀφοῦ ἔχεις καθαρὴ πηγὴ νεροῦ γιατί τρέχεις σὲ λάκκο ποὺ εἶναι γεμάτος βοῦρκο, ποὺ μυρίζει γέεννα καὶ ἐπιφυλάσσει ἀπερίγραπτη τιμωρία; Ποιά ἀπολογία θὰ ἔχεις; ποιά συγγνώμη; Γιατὶ ἂν τιμωροῦνται καὶ καταδικάζονται ἐκεῖνοι ποὺ πέφτουν σὲ πορνεία πρὶν τὸ γάμο, ὅπως ἐκεῖνος ποὺ ἦταν ντυμένος τὰ βρώμικα ροῦχα, πολὺ περισσότερο αὐτοὶ ποὺ πέφτουν μετὰ τὸ γάμο. Γιατὶ ἐδῶ τὸ ἔγκλημα εἶναι διπλὸ καὶ τριπλό· καὶ ἐπειδὴ ἀποσκίρτησαν πρὸς τὴν ἀσέλγεια αὐτὴ ἂν καὶ ἀπολάμβαναν παρηγοριά, καὶ ἐπειδὴ τὸ πράγμα θεωρεῖται ὄχι μόνο πορνεία ἀλλὰ καὶ μοιχεία, ποὺ εἶναι φοβερότερο ἀπὸ κάθε ἁμαρτία.

Αὐτὰ λοιπὸν ἂς ἐπαναλαμβάνουμε συνέχεια καὶ στὸν ἑαυτό μας καὶ στὶς γυναῖκες μας. Γι' αὐτὸ καὶ ἐγὼ θὰ τελειώσω τὸ λόγο μου μ' αὐτὰ τὰ λόγια· «γιὰ ν' ἀποφεύγεται ἡ πορνεία κάθε ἄνδρας ἂς ἔχει τὴ δική του γυναίκα, καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα. Στὴ γυναίκα του ὁ ἄνδρας ἂς ἀποδίδει τὴν ὀφειλόμενη συζυγικὴ ἀγάπη, τὸ ἴδιο καὶ ἡ γυναίκα στὸν ἄνδρα της. Ἡ γυναίκα δὲν ἐξουσιάσει τὸ σῶμα της ἡ ἴδια, ἀλλὰ ὁ ἄνδρας της· παρόμοια καὶ ὁ ἄνδρας δὲν ἐξουσιάζει τὸ σῶμα του ὁ ἴδιος, ἀλλὰ ἡ γυναίκα του». Ἀφοῦ φυλάξουμε μὲ ἀκερίβεια αὐτὰ τὰ λόγια στὴ μνήμη μας, καὶ ἐμεῖς οἱ ἴδιοι ἂς τὰ μελετοῦμε καὶ στὴν ἀγορὰ καὶ στὸ σπίτι καὶ τὴν ἡμέρα καὶ τὸ βράδυ καὶ στὸ τραπέζι καὶ στὸ κρεβάτι, διδάσκοντας καὶ τὶς γυναῖκες καὶ σὲ μᾶς νὰ τὰ λέγουν καὶ ἀπὸ μᾶς νὰ τὰ ἀκοῦν, ὥστε, ἀφοῦ ζήσουμε μὲ σωφροσύνη τὴν παροῦσα ζωή, νὰ ἐπιτύχουμε καὶ τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΓΥΝΗ ΔΕΔΕΤΑΙ ΝΟΜΩι ΕΦ' ΟΣΟΝ ΧΡΟΝΟΝ ΖΗι Ο ΑΝΗΡ ΑΥΤΗΣ· ΕΑΝ ΔΕ ΚΟΙΜΗΘΗι, ΕΛΕΥΘΕΡΑ ΕΣΤΙΝ Ωι ΘΕΛΕΙ ΓΑΜΗΘΗΝΑΙ, ΜΟΝΟΝ ΕΝ ΚΥΡΙΩι. ΜΑΚΑΡΙΩΤΕΡΑ ΔΕ ΕΣΤΙΝ, ΕΑΝ ΟΥΤΩ ΜΕΙΝΗι



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΓΥΝΗ ΔΕΔΕΤΑΙ ΝΟΜΩι ΕΦ' ΟΣΟΝ ΧΡΟΝΟΝ ΖΗι Ο ΑΝΗΡ
αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ»

1. Περὶ γάμου πρῴην ἡμῖν ὁ μακάριος Παῦλος ἐνομοθέτει καὶ τῶν τοῦ γάμου δικαιωμάτων, Κορινθίοις οὕτω γράφων καὶ λέγων· «περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω». Διὰ τοῦτο καὶ ἡμεῖς τὴν διάλεξιν ἅπασαν εἰς ταῦτα τὰ ῥήματα ἀναλώσαμεν. Οὐκοῦν ἀνάγκη καὶ σήμερον περὶ τῆς αὐτῆς ὑμῖν ὑποθέσεως διαλεχθῆναι πάλιν, ἐπειδὴ καὶ σήμερον περὶ τῶν αὐτῶν ὁ αὐτὸς διαλέγεται Παῦλος. Καὶ γὰρ ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· «γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι μόνον ἐν Κυρίῳ. Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν».

Ἑψώμεθα τοίνυν αὐτῷ καὶ σήμερον καὶ περὶ ταύτης διαλεξώμεθα τῆς ὑποθέσεως· ἀκολουθοῦντες γὰρ Παύλῳ, δι' αὐτοῦ πάντως τῷ Χριστῷ ἑψόμεθα, ἐπειδὴ καὶ οὗτος οὐχ ἑαυτῷ, ἀλλ' ἐκείνῳ ἀκολουθῶν, πάντα ἔγραφε. Καὶ γὰρ οὐ τὸ τυχὸν πρᾶγμα

---

1. Α' Κορ. 7,39–40. 2. Α' Κορ. 7,1–2.



ΟΜΙΛΙΑ

ΣΤΟ

«ΜΙΑ ΓΥΝΑΙΚΑ, ΣΥΜΦΩΝΑ ΜΕ ΤΟ ΝΟΜΟ, ΕΙΝΑΙ ΔΕΜΕΝΗ ΜΕ τὸν ἄνδρα της ὅσο ζεῖ αὐτός. Ἂν ὅμως πεθάνει ὁ ἄνδρας της εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει, μόνο κατὰ τὸ θέλημα τοῦ Κυρίου. Μακαριότερη ὅμως εἶναι ἂν μείνει χήρα»[1]

1. Γιὰ τὸ γάμο καὶ τὶς ὑποχρεώσεις τοῦ γάμου τὴν προηγούμενη φορὰ μᾶς ἔδινε ἐντολὲς ὁ μακάριος Παῦλος γράφοντας καὶ λέγοντας στοὺς Κορινθίους τὰ ἑξῆς· «σχετικὰ μ' αὐτὰ ποὺ μοῦ γράψατε, καλὸ εἶναι στὸν ἄνδρα νὰ μὴ συνάπτει σχέσεις μὲ γυναίκα· ἀλλὰ γιὰ ν' ἀποφεύγεται ἡ πορνεία κάθε ἄνδρας ἂς ἔχει τὴ δική του γυναίκα, καὶ κάθε γυναίκα ἂς ἔχει τὸ δικό της ἄνδρα»[2]. Γι' αὐτὸ καὶ ἐγὼ ξόδεψα ὅλη τὴν ὁμιλία μου σ' αὐτὰ τὰ λόγια. Εἶναι ἀνάγκη λοιπὸν καὶ σήμερα νὰ σᾶς μιλήσω πάλι γιὰ τὴν ἴδια ὑπόθεση, ἀφοῦ καὶ σήμερα ὁ Παῦλος μιλάει γιὰ τὰ ἴδια. Γιατὶ βέβαια τὸν ἀκούσατε νὰ φωνάζει καὶ νὰ λέγει· «μιὰ γυναίκα, σύμφωνα μὲ τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ ζεῖ αὐτός· ἂν ὅμως ὁ ἄνδρας πεθάνει, εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει, μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου. Μακαριότερη ὅμως εἶναι ἂν μείνει ἔτσι, κατὰ τὴ γνώμη μου βέβαια· καὶ νομίζω ὅτι καὶ ἐγὼ ἔχω Πνεῦμα Θεοῦ».

Ἂς τὸν ἀκολουθήσουμε λοιπὸν καὶ σήμερα καὶ ἂς μιλήσουμε γι' αὐτὴν τὴν ὑπόθεση. Γιατί, ἀκολουθώντας τὸν Παῦλο, θὰ ἀκολουθήσουμε μέσω αὐτοῦ ὁπωσδήποτε τὸ Χριστό, ἐπειδὴ καὶ αὐτὸς ἔγραψε τὰ πάντα ἀκολουθώντας ὄχι τὸν ἑαυτό του

γάμος εὖ διακείμενος, ὥσπερ οὖν μυρίων συμφορῶν ὑπόθεσις γίνεται τοῖς οὐκ εἰς δέον αὐτῷ χρωμένοις. Ὥσπερ γὰρ βοηθός ἐστιν ἡ γυνή, οὕτω πολλάκις καὶ ἐπίβουλος γίνεται. Ὥσπερ οὖν λιμήν ἐστιν ὁ γάμος, οὕτω καὶ ναυάγιον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην τῶν κακῶς αὐτῷ χρησαμένων. Ὁ μὲν γὰρ κατὰ τοὺς προσήκοντας αὐτὸν ἐπιτελῶν νόμους, τῶν ἀπὸ τῆς ἀγορᾶς καὶ πάντων τῶν πανταχοῦ κακῶν παραμυθίαν τινὰ καὶ ἀπαλλαγὴν εὑρίσκει τὴν οἰκίαν καὶ τὴν ἑαυτοῦ γυναῖκα, ὁ δὲ ἁπλῶς καὶ ὡς ἔτυχε τὸ πρᾶγμα μεταχειριζόμενος, κἂν πολλῆς ἐπὶ τῆς ἀγορᾶς ἀπολαύσῃ γαλήνης, σκοπέλους καὶ σπιλάδας εἰσελθὼν εἰς τὴν οἰκίαν ὄψεται.

Ἐπεὶ οὖν οὐ περὶ τῶν τυχόντων ἡμῖν ὁ κίνδυνος, ἀναγκαῖον μετὰ ἀκριβείας τοῖς λεγομένοις προσέχειν, καὶ τὸν μέλλοντα γυναῖκα ἄγεσθαι, μετὰ τῶν τοῦ Παύλου νόμων, μᾶλλον δὲ μετὰ τῶν τοῦ Χριστοῦ νόμων τοῦτο ποιεῖν. Οἶδα μὲν οὖν ὅτι πολλοῖς εἶναι δοκεῖ καινὸν καὶ παράδοξον τὸ λεγόμενον· πλὴν οὐ διὰ τοῦτο σιγήσομαι, ἀλλὰ πρῶτον τὸν νόμον ὑμῖν ἀναγνούς, οὕτω τὴν δοκοῦσαν ἀντινομίαν λῦσαι πειράσομαι. Τίς οὖν ἐστιν ὁ νόμος, ὃν ὁ Παῦλος ἡμῖν ἔθηκε; «Γυνή», φησί, «δέδεται νόμῳ». Οὐκοῦν οὐ δεῖ ἀποσχίζεσθαι ζῶντος τοῦ ἀνδρός, οὐδὲ ἕτερον ἐπεισάγειν νυμφίον, οὐδὲ δευτέροις ὁμιλεῖν γάμοις. Καὶ ὅρα πῶς μετὰ ἀκριβείας καὶ αὐτῇ τῶν λέξεων τῇ φύσει κέχρηται. Οὐ γὰρ εἶπε, 'συνοικείτω τῷ ἀνδρί, ἐφ' ὅσον χρόνον ζῇ'· ἀλλὰ τί; «Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς»· ὥστε κἂν βιβλίον ἀποστασίου δῷ καὶ τὴν οἰκίαν ἀφῇ, κἂν πρὸς ἄλλον ἀπέλθῃ, τῷ νόμῳ δέδεται καὶ μοιχαλίς ἐστιν ἡ τοιαύτη.

Ἐὰν τοίνυν ὁ ἀνὴρ ἐκβαλεῖν βούληται τὴν γυναῖκα, ἢ ἡ γυνὴ τὸν ἄνδρα ἀφεῖναι, ταύτης ἀναμιμνησκέσθω τῆς ῥήσεως,

ἀλλ' ἐκεῖνον. Γιατὶ δὲν εἶναι τυχαῖο πράγμα ἕνας εὐτυχισμένος γάμος, ὅπως ἀκριβῶς γίνεται καὶ ἀφορμὴ ἀμέτρητων συμφορῶν σ' ἐκείνους ποὺ δὲν τὸν χρησιμοποιοῦν ὅπως πρέπει. Ὅπως δηλαδὴ ἡ γυναίκα εἶναι βοηθός, ἔτσι πολλὲς φορὲς γίνεται καὶ ὕπουλος ἐχθρός. Καὶ ὅπως ὁ γάμος εἶναι λιμάνι, ἔτσι εἶναι καὶ ναυάγιο, ὄχι ἀπὸ τὴ φύση του, ἀλλὰ ἀπὸ τὴ διάθεση αὐτῶν ποὺ τὸν χρησιμοποίησαν κακῶς. Γιατὶ ἐκεῖνος ποὺ τὸν κάνει σύμφωνα μὲ τοὺς σχετικοὺς νόμους, βρίσκει κάποια παρηγοριὰ καὶ ἀπαλλαγὴ ἀπὸ τὰ κακὰ τῆς ἀγορᾶς καὶ ἀπὸ ὅλα τὰ ἄλλα στὸ σπίτι καὶ στὴ γυναίκα του, ἐνῶ ἐκεῖνος ποὺ μεταχειρίζεται τὸ πράγμα ἐπιπόλαια καὶ ἀλόγιστα, ἔστω καὶ ἂν στὴν ἀγορὰ ἀπολαμβάνει πολλὴ γαλήνη, ὅταν μπεῖ στὸ σπίτι του θὰ δεῖ σκοπέλους καὶ θύελλες.

Ἀφοῦ λοιπὸν ὁ κίνδυνος δὲν εἶναι γιὰ τυχαῖα πράγματά μας, εἶναι ἀνάγκη νὰ προσέχουμε μὲ ἀκρίβεια τὰ λεγόμενα καὶ αὐτὸς ποὺ πρόκειται νὰ πάρει γυναίκα νὰ τὸ κάνει αὐτὸ σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Παύλου ἢ καλύτερα σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Χριστοῦ. Γνωρίζω βέβαια ὅτι σὲ πολλοὺς φαίνεται πὼς εἶναι καινούριο καὶ παράξενο αὐτὸ ποὺ λέγω. Ὅμως δὲ θὰ σιωπήσω γι' αὐτό, ἀλλὰ πρῶτα θὰ σᾶς διαβάσω τὴν ἐντολὴ καὶ ὕστερα θὰ προσπαθήσω νὰ λύσω τὴ φαινομενικὴ ἀντινομία. Ποιά λοιπὸν εἶναι ἡ ἐντολὴ ποὺ μᾶς ἔθεσε ὁ Παῦλος; «Μιὰ γυναίκα», λέγει, «εἶναι δεμένη σύμφωνα μὲ τὸ νόμο». Λοιπὸν δὲν πρέπει ν' ἀποχωρίζεται ἀπὸ τὸ ἄνδρα της, ὅσο αὐτὸς ζεῖ, οὔτε νὰ εἰσάγει στὸ σπίτι της ἄλλο γαμπρό, οὔτε νὰ παντρεύεται γιὰ δεύτερη φορά. Καὶ πρόσεχε πῶς μὲ ἀκρίβεια χρησιμοποιεῖ καὶ τὶς λέξεις ποὺ ἀναφέρει. Γιατὶ δὲν εἶπε, 'ἂς συγκατοικεῖ μὲ τὸν ἄνδρα της ὅσον καιρὸ αὐτὸς ζεῖ', ἀλλὰ τί; «Μιὰ γυναίκα, σύμφωνα μὲ τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ ζεῖ αὐτός». Ὥστε, καὶ ἂν ἀκόμη πάρει διαζύγιο καὶ ἐγκαταλείψει τὸ σπίτι ἢ φύγει καὶ πάει σὲ ἄλλον, εἶναι δεμένη σύμφωνα μὲ τὸ νόμο καὶ μιὰ τέτοια γυναίκα εἶναι μοιχαλίδα.

Ἂν λοιπὸν ὁ ἄνδρας θέλει νὰ διώξει τὴ γυναίκα του ἢ ἡ γυναίκα νὰ ἐγκαταλείψει τὸν ἄνδρα της, ἂς θυμᾶται αὐτὰ τὰ λό-

καὶ τὸν Παῦλον νομιζέτω παρεῖναι καὶ καταδιώκειν αὐτὴν βοῶντα καὶ λέγοντα, «γυνὴ δέδεται νόμῳ». Καθάπερ γὰρ οἱ δραπετεύοντες οἰκέται κἂν τὴν οἰκίαν ἀφῶσι τὴν δεσποτικήν, τὴν ἅλυσιν ἔχουσιν ἐπισυρομένην, οὕτω καὶ γυναῖκες, κἂν τοὺς ἄνδρας ἀφῶσι, τὸν νόμον ἔχουσι καταδικάζοντα ἀντὶ ἁλύσεως, κατηγοροῦντα μοιχείαν, κατηγοροῦντα τῶν λαμβανόντων καὶ λέγοντα· 'περίεστιν ὁ ἀνὴρ ἔτι καὶ μοιχεία τὸ γινόμενόν ἐστι'· «γυνὴ γὰρ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. Καὶ πᾶς ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται».

Καὶ πότε, φησίν, ἐξέσται αὐτῇ δευτέροις ὁμιλῆσαι γάμοις; Πότε; Ὅταν τῆς ἁλύσεως ἀπαλλαγῇ, ὅταν ὁ ἀνὴρ τελευτήσῃ. Τοῦτο γοῦν δηλῶν, οὐ προσέθηκεν, ὅτι 'ἐὰν τελευτήσῃ ὁ ἀνὴρ αὐτῆς ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι', ἀλλ', ἐὰν «κοιμηθῇ», μονονουχὶ παραμυθούμενος τὴν ἐν χηρείᾳ καὶ πείθων μένειν ἐπὶ τῷ προτέρῳ καὶ μὴ δεύτερον εἰσαγαγεῖν νυμφίον. Οὐκ ἐτελεύτησέ σου ὁ ἀνήρ, ἀλλὰ καθεύδει. Τίς καθεύδοντα οὐκ ἀναμένει; Διὰ τοῦτό φησιν, «ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι»· οὐκ εἶπε, 'γαμείσθω', ἵνα μὴ δόξῃ βιάζεσθαι καὶ ἀναγκάζειν· οὔτε ἐκώλυσε βουλομένην ὁμιλεῖν δευτέρῳ γάμῳ, οὔτε μὴ θέλουσαν προετρέψατο, ἀλλὰ τὸν νόμον ἀνέγνω εἰπών, «ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι». Ἐλευθέραν δὲ αὐτὴν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν γεγενῆσθαι λέγων, ἔδειξεν ὅτι πρὸ τούτου δούλη ἦν, ζῶντος ἐκείνου· δούλη δὲ οὖσα καὶ ὑποκειμένη τῷ νόμῳ, κἂν μυριάκις βιβλίον ἀποστασίου λάβῃ, τῷ τῆς μοιχείας ἁλίσκεται νόμῳ. Οἰκέταις μὲν γὰρ ἔξεστι δεσπότας ἀμοίβειν ζῶντας, γυναικὶ δὲ οὐκ ἔξεστιν ἄνδρας ἀμείβειν, ζῶντος τοῦ ἀνδρός, ἐπεὶ τὸ πρᾶγμα μοιχεία ἐστί.

Μὴ γάρ μοι τοὺς παρὰ τοῖς ἔξωθεν κειμένους νόμους ἀνα-

3. Ματθ. 5,32.

για καὶ ἂς θεωρεῖ ὅτι ὁ Παῦλος εἶναι παρὼν καὶ τὴν καταδιώκει φωνάζοντας καὶ λέγοντας, «ἡ γυναίκα εἶναι δεμένη σύμφωνα μὲ τὸ νόμο». Γιατὶ ὅπως οἱ ὑπηρέτες ποὺ δραπετεύουν, καὶ ἂν ἀκόμη ἐγκαταλείψουν τὸ σπίτι τοῦ κυρίου τους, ἔχουν τὴν ἁλυσίδα νὰ σύρεται πίσω τους, ἔτσι καὶ οἱ γυναῖκες, καὶ ἂν ἀκόμη ἐγκαταλείψουν τοὺς ἄνδρες τους, ἔχουν ἀντὶ γιὰ ἁλυσίδα τὸ νόμο ποὺ τὶς καταδικάζει, ποὺ τὶς κατηγορεῖ γιὰ μοιχεία, ποὺ κατηγορεῖ αὐτοὺς ποὺ τὶς παίρνουν καὶ ποὺ λέγει, 'ζεῖ ἀκόμη ὁ ἄνδρας καὶ τὸ πρᾶγμα εἶναι μοιχεία'· γιατὶ «μιὰ γυναίκα, σύμφωνα μὲ τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ ζεῖ αὐτός»· ἀλλὰ καὶ ὅποιος παντρεύεται χωρισμένη διαπράττει μοιχεία»[3].

Καὶ πότε, λέγει, θὰ τῆς ἐπιτραπεῖ νὰ παντρευτεῖ γιὰ δεύτερη φορά; Πότε; Ὅταν ἀπαλλαγεῖ ἀπὸ τὴν ἁλυσίδα, ὅταν πεθάνει ὁ ἄνδρας της. Αὐτὸ λοιπὸν γιὰ νὰ δηλώσει, δὲν πρόσθεσε, 'ἂν πεθάνει ὁ ἄνδρας της εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει', ἀλλὰ «ἂν κοιμηθεῖ», σὰν νὰ παρηγορεῖ τὴ χήρα καὶ νὰ προσπαθεῖ νὰ τὴν πείσει νὰ μένει στὸν πρῶτο σύζυγο καὶ νὰ μὴν πάρει δεύτερο. Δὲν πέθανε ὁ ἄνδρας σου, ἀλλὰ κοιμᾶται. Ποιός δὲν περιμένει αὐτὸν ποὺ κοιμᾶται; Γι' αὐτὸ λέγει, «ἂν ὅμως κοιμηθεῖ ὁ ἄνδρας της, εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει». Δὲν εἶπε, 'ἂς παντρευτεῖ', γιὰ νὰ μὴ φανεῖ πὼς πιέζει καὶ ἐξαναγκάζει· οὔτε τὴν ἐμπόδισε ἂν θέλει νὰ κάνει δεύτερο γάμο, οὔτε ἂν δὲ θέλει τὴν παρακίνησε, ἀλλὰ τὸ νόμο διάβασε λέγοντας, «ἐλεύθερη εἶναι νὰ παντρευτεῖ ὅποιον θέλει». Λέγοντας πὼς αὐτὴ εἶναι ἐλεύθερη μετὰ τὸ θάνατο τοῦ ἄνδρα της, ἔδειξε ὅτι πρὶν ἀπ' αὐτὸ ἦταν δούλη, ὅταν ζοῦσε ἐκεῖνος. Ἀφοῦ λοιπὸν εἶναι δούλη καὶ βρίσκεται κάτω ἀπὸ τὶς διατάξεις τοῦ νόμου, καὶ ἂν ἀκόμη πάρει χίλιες φορὲς διαζύγιο, κηρύσσεται ἔνοχη γιὰ μοιχεία. Γιατὶ στοὺς ὑπηρέτες ἐπιτρέπεται ν' ἀλλάξουν κυρίους ὅταν ζοῦν· στὴ γυναίκα ὅμως δὲν ἐπιτρέπεται ν' ἀλλάζει ἄνδρες, ὅταν ζεῖ ὁ ἄνδρας της, γιατὶ τὸ πράγμα εἶναι μοιχεία.

Μὴ λοιπὸν μοῦ διαβάσεις τοὺς νόμους ποὺ ἰσχύουν στοὺς

γνῶς, τοὺς κελεύοντας διδόναι βιβλίον ἀποστασίου καὶ ἀφίστασθαι. Οὐ γὰρ δὴ κατὰ τούτους σοι μέλλει κρίνειν τοὺς νόμους ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀλλὰ καθ' οὓς αὐτὸς ἔθηκε. Καὶ οἱ τῶν ἔξωθεν δὲ νόμοι οὐχ ἁπλῶς, οὐδὲ προηγουμένως τοῦτο τεθείκασιν, ἀλλὰ καὶ αὐτοὶ κολάζουσι τὸ πρᾶγμα· ὥστε καὶ αὐτόθεν δείκνυται, ὅτι ἀηδῶς πρὸς ταύτην ἔχουσι τὴν ἁμαρτίαν. Τὴν γοῦν αἰτίαν τοῦ ἀποστασίου γινομένην γυμνὴν καὶ ἔρημον χρημάτων ἐκβάλλουσι, καὶ ὅθεν ἂν γένηται τῆς διαλύσεως ἡ πρόφασις, καὶ τῇ ζημίᾳ τῆς οὐσίας τοῦτον καλάζουσιν· οὐκ ἂν οὖν τοῦτο ποιήσαντες ἐπῄνουν τὸ γινόμενον.

2. Τί οὖν καὶ Μωϋσῆς; Τοῦτο ἔπραττε κἀκεῖνος διὰ τὴν αὐτὴν αἰτίαν. Σὺ δὲ ἄκουε τοῦ Χριστοῦ λέγοντος, ὅτι «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισσαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Ἄκουε αὐτοῦ πάλιν λέγοντος, «ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται». Διὰ τοῦτο ἦλθεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτο δούλου μορφὴν ἔλαβε, διὰ τοῦτο τὸ αἷμα ἐξέχεε τὸ τίμιον, τὸν θάνατον κατέλυσε, τὴν ἁμαρτίαν ἔσβεσε, δαψιλεστέραν τὴν τοῦ Πνεύματος ἔδωκε χάριν, ἵνα πρὸς μείζονά σε ἀγάγῃ φιλοσοφίαν. Ἄλλως δέ, οὐδὲ ὁ Μωϋσῆς προηγουμένως τοῦτο ἐνομοθέτησεν, ἀλλ' ἀναγκαζόμενος συγκαταβῆναι τῇ τῶν νομοθετουμένων ἀσθενείᾳ. Ἐπειδὴ γὰρ πρὸς φόνους ἦσαν ἕτοιμοι καὶ συγγενικῶν αἱμάτων τὰς οἰκίας ἐπλήρουν, καὶ οὔτε τῶν οἰκείων οὔτε τῶν ἀλλοτρίων ἐφείδοντο, ἵνα μὴ κατασφάττωσι τὰς γυναῖκας ἔνδον, ἃς ἂν ἀηδῶς ἔχωσιν, ἐκέλευσεν ἐκβαλεῖν, μεῖζον ἀναιρῶν κακὸν τὴν περὶ τὰς σφαγὰς εὐκολίαν.

Ὅτι γὰρ μιαιφόνοι τινὲς ἦσαν, ἄκουε αὐτῶν τῶν προφητῶν λεγόντων· «οἰκοδομοῦντες Σιὼν ἐν αἵματι καὶ Ἰερουσαλὴμ ἐν ἀδικίαις»· καὶ πάλιν, «αἵματα ἐφ' αἵμασι μίσγουσι»· καὶ πάλιν, «αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις». Ὅτι δὲ οὐ κατὰ τῶν

---

4. Ματθ. 5,20.
5. Ματθ. 5,32.
6. Μιχ. 3,10.
7. Ὠσηὲ 4,2.
8. Ἡσ. 1,15.

μὴ χριστιανοὺς καὶ προστάζουν νὰ δίνουν διαζύγιο καὶ νὰ χωρίζουν οἱ σύζυγοι. Γιατὶ βέβαια δὲν πρόκειται νὰ σὲ κρίνει ὁ Θεὸς σύμφωνα μὲ τοὺς νόμους αὐτοὺς τὴν ἡμέρα ἐκείνη, ἀλλὰ σύμφωνα μ' αὐτοὺς ποὺ ὁ ἴδιος ἔθεσε. Ἀλλὰ καὶ οἱ μὴ χριστιανικοὶ νόμοι δὲν τὸ ὅρισαν αὐτὸ ἔτσι ἁπλὰ καὶ κατὰ τρόπο ὁριστικό, ἀλλὰ καὶ αὐτοὶ τιμωροῦν τὸ πράγμα. Ὥστε καὶ ἀπὸ ἐδῶ ἀποδεικνύεται ὅτι ἀποδοκιμάζουν αὐτὴν τὴν ἁμαρτία. Ἐκείνην λοιπὸν ποὺ γίνεται αἰτία τοῦ διαζυγίου τὴ διώχνουν γυμνὴ καὶ χωρὶς περιουσία, καὶ αὐτὸν ποὺ θὰ γίνει ἡ ἀφορμὴ τοῦ χωρισμοῦ τὸν τιμωροῦν καὶ αὐτὸν μὲ χρηματικὸ πρόστιμο· μὲ αὐτὸ λοιπὸν ποὺ κάνουν δὲν ἐπαινοῦν αὐτὸ ποὺ γίνεται.

2. Τί λοιπὸν ἔκανε καὶ ὁ Μωϋσῆς; Αὐτὸ ἔκανε καὶ ἐκεῖνος γιὰ τὴν ἴδια αἰτία. Ἐσὺ ὅμως ἄκου τὸ Χριστὸ ποὺ λέγει· «ἂν ἡ ἀρετή σας δὲν ξεπεράσει τὴν ἀρετὴ τῶν γραμματέων καὶ τῶν Φαρισαίων, δὲ θὰ μπεῖτε στὴ βασιλεία τῶν οὐρανῶν»[4]. Ἄκου πάλι αὐτὸν ποὺ λέγει· «ὅποιος χωρίζει τὴ γυναίκα του, ἐκτὸς ἀπὸ πορνεία, τὴν ὁδηγεῖ στὴ μοιχεία, ἀλλὰ καὶ ὅποιος παντρευτεῖ χωρισμένη διαπράττει μοιχεία»[5]. Γι' αὐτὸ ἦρθε ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, γι' αὐτὸ πῆρε μορφὴ δούλου, γι' αὐτὸ ἔχυσε τὸ τίμιο αἷμα του, κατάργησε τὸ θάνατο, ἐξάλειψε τὴν ἁμαρτία, ἔδωσε πλουσιότερη τὴ χάρη τοῦ Πνεύματος, γιὰ νὰ σὲ ὁδηγήσει σὲ ὑψηλότερη ἀρετή. Ἄλλωστε οὔτε ὁ Μωϋσῆς ὅρισε αὐτὸν τὸ νόμο ἔτσι τυχαῖα, ἀλλὰ ἐπειδὴ ἀναγκαζόταν νὰ δείξει συγκατάβαση πρὸς τὴν ἀδυναμία ἐκείνων γιὰ τοὺς ὁποίους τὸν νομοθετοῦσε. Ἐπειδὴ δηλαδὴ ἦταν ἕτοιμοι γιὰ φόνους καὶ γέμιζαν τὰ σπίτια τους ἀπὸ συγγενικὰ αἵματα καὶ δὲ λυποῦνταν οὔτε τοὺς δικούς τους οὔτε τοὺς ξένους, γιὰ νὰ μὴ σφάζουν τὶς γυναῖκες μέσα, ποὺ δὲν τὶς ἀνέχονταν, πρόσταξε νὰ τὶς διώχνουν, ἐξαλείφοντας μεγαλύτερο κακό, τὴν εὐκολία γιὰ σφαγές.

Τὸ ὅτι πραγματικὰ μερικοὶ ἦταν αἱμοχαρεῖς, ἄκου τοὺς ἴδιους τοὺς προφῆτες ποὺ λέγουν· «οἰκοδομοῦν τὴ Σιὼν μέσα σὲ αἷμα καὶ τὴν Ἰερουσαλὴμ μέσα σὲ ἀδικίες»[6]. Καὶ πάλι· «τὰ αἵματα ἀνακατεύονται μὲ αἵματα»[7]. Καὶ πάλι· «τὰ χέρια σας εἶναι γεμάτα αἷμα»[8]. Καὶ ὅτι ὄχι μόνο ἐναντίον τῶν ξένων ἀλλὰ

ἀλλοτρίων μόνον, ἀλλὰ καὶ κατὰ τῶν οἰκείων ἐμαίνοντο, καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγε· «καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις». Οἱ δὲ παίδων αὐτῶν μὴ φεισάμενοι, οὐκ ἂν ἐφείσαντο γυναικῶν. Ἵν' οὖν μὴ τοῦτο γένηται, τοῦτο ἐπέτρεψε. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς Ἰουδαίοις ἐρωτῶσι καὶ λέγουσι, «πῶς Μωϋσῆς ἐπέτρεψε δοῦναι βιβλίον ἀποστασίου;», δεικνὺς ὅτι οὐκ ἀντινομοθετῶν αὐτῷ ταῦτα ἔγραφεν, οὕτω πώς φησι· «Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν εἶπεν, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ἀλλ' ὁ ποιήσας ἐξ ἀρχῆς ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς».

Εἰ καλὸν τοῦτο ἦν, φησίν, οὐκ ἂν ἕνα ἄνδρα ἐποίησε καὶ μίαν γυναῖκα, ἀλλὰ ἕνα ποιήσας τὸν Ἀδάμ, δύο ἂν ἐποίησε τὰς γυναῖκας, εἴ γε ἐβούλετο τὴν μὲν ἐκβαλεῖν, τὴν δὲ εἰσαγαγεῖν· νῦν δὲ διὰ τοῦ τρόπου τῆς δημιουργίας τὸν νόμον εἰσήγαγεν, ὃν ἐγὼ γράφω νῦν. Ποῖον δὴ τοῦτον; Τὸ τὴν κληρωθεῖσαν ἐξ ἀρχῆς γυναῖκα, ταύτην ἔχειν διαπαντός· οὗτος ἐκείνου παλαιότερος ὁ νόμος, καὶ τοσοῦτον, ὅσον ὁ Ἀδὰμ τοῦ Μωϋσέως. Ὥστε οὐ καινοτομῶ νῦν ἐγὼ οὐδὲ ξένα ἐπεισφέρω δόγματα, ἀλλὰ τοῦ Μωϋσέως πρεσβύτερα καὶ ἀρχαιότερα. Ἄξιον δὲ καὶ αὐτὸν τὸν νόμον ἀκοῦσαι Μωϋσέως, ὃν περὶ τούτου ἔθηκεν. «Ἐάν τις γυναῖκα λάβῃ», φησί, «καὶ συνοικήσῃ αὐτῇ καὶ ἔσται, ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἀσχημοσύνης πρᾶγμα, γράψει αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς». Ὅρα· οὐκ εἶπε, 'γραψάτω καὶ δότω', ἀλλὰ τί; «γράψει αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσει αὐτῇ εἰς τὰς χεῖρας αὐτῆς». Πολὺ δὲ τούτου κἀκείνου τὸ μέσον· τὸ μὲν γὰρ εἰπεῖν, 'γραψάτω καὶ δότω', κελεύοντος καὶ ἐπιτάττοντος, τὸ δὲ εἰπεῖν, «γράψει βιβλίον ἀποστασίου καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς», τὸ γεγενημένον ἀπαγγέλλοντος, οὐκ οἴκοθεν τὸν νόμον εἰσάγοντος.

«Ἐὰν οὖν τις», φησίν, «ἐκβάλῃ τὴν γυναῖκα καὶ ἀποστείλῃ

---

9. Ψαλμ. 1ο5,37.
10. Ματθ. 19,7–8.4.
11. Δευτ. 24,1.

καὶ ἐναντίων τῶν δικῶν τους μαίνονταν, καὶ αὐτὸ φανερώνοντας ὁ προφήτης ἔλεγε· «καὶ θυσίασαν τοὺς υἱούς τους καὶ τὶς θυγατέρες τους στὰ εἴδωλα»[9]. Ἐκεῖνοι λοιπὸν ποὺ δὲ λυπήθηκαν τὰ παιδιά τους, δὲ θὰ λυποῦνταν οὔτε τὶς γυναῖκες τους. Γιὰ νὰ μὴ γίνει λοιπὸν αὐτό, ἐπέτρεψε τοῦτο. Γι' αὐτὸ καὶ ὁ Χριστός, πρὸς τοὺς Ἰουδαίους ποὺ τὸν ἐρωτοῦσαν καὶ ἔλεγαν, «πῶς ὁ Μωυσῆς ἐπέτρεψε νὰ τῆς δίνεται διαζύγιο;», γιὰ νὰ δείξει πὼς δὲν τὰ ἔγραφε αὐτὰ νομοθετώντας ἀντίθετα μ' αὐτόν, εἶπε τὸ ἑξῆς· «ὁ Μωυσῆς τὸ εἶπε αὐτὸ γιατὶ εἶστε σκληρόκαρδοι· στὴν ἀρχὴ ὅμως δὲν συνέβαινε τὸ ἴδιο, ἀλλὰ ὁ δημιουργὸς ἀπὸ τὴν ἀρχὴ τοὺς ἔκανε ἄνδρα καὶ γυναίκα»[10].

Ἂν αὐτὸ ἦταν καλό, λέγει, δὲ θὰ ἔκανε ἕναν ἄνδρα καὶ μία γυναίκα, ἀλλὰ κάνοντας ἕναν τὸν Ἀδὰμ θὰ ἔκανε δύο τὶς γυναῖκες, ἂν βέβαια ἤθελε τὴ μία νὰ διώξει καὶ τὴν ἄλλη νὰ παντρευθεῖ. Τώρα ὅμως μὲ τὸν τρόπο τῆς δημιουργίας θέσπισε τὸ νόμο, ποὺ ἐγὼ τώρα γράφω. Ποιός λοιπὸν εἶναι αὐτός; Τὸ νὰ ἔχει κανεὶς γιὰ πάντα τὴ γυναίκα ποὺ τοῦ ἔλαχε ἀπὸ τὴν ἀρχή. Αὐτὸς ὁ νόμος εἶναι παλαιότερος ἀπὸ ἐκεῖνον, καὶ τόσο, ὅσο παλαιότερος εἶναι ὁ Ἀδὰμ ἀπὸ τὸ Μωϋσῆ. Ὥστε δὲν καινοτομῶ ἐγὼ τώρα οὔτε εἰσάγω ἄγνωστες ἐντολές, ἀλλὰ παλαιότερες καὶ ἀρχαιότερες ἀπὸ τὸ Μωϋσῆ. Ἀξίζει ὅμως ν' ἀκούσουμε καὶ τὸν ἴδιο τὸ νόμο τοῦ Μωϋσῆ ποὺ ὅρισε γι' αὐτὸ τὸ θέμα. «Ἂν κανεὶς πάρει γυναίκα», λέγει, «καὶ συγκατοικήσει μαζί της, ἀλλὰ ἀργότερα δὲν τοῦ ἀρέσει αὐτὴ γιατὶ βρῆκε σ' αὐτὴν ἄσχημο πράγμα, μπορεῖ νὰ τῆς συντάξει διαζύγιο καὶ νὰ τὸ δώσει στὰ χέρια της»[11]. Πρόσεχε· δὲν εἶπε, 'ἂς γράψει καὶ ἂς δώσει', ἀλλὰ τί; «μπορεῖ νὰ τῆς συντάξει διαζύγιο καὶ νὰ τὸ δώσει στὰ χέρια της». Πράγματι ὑπάρχει πολλὴ διαφορὰ ἀνάμεσα σ' αὐτὸ καὶ σ' ἐκεῖνο. Γιατὶ τὸ νὰ πεῖ, 'ἂς γράψει καὶ ἂς δώσει', εἶναι δεῖγμα ἐκείνου ποὺ προστάζει καὶ διατάζει, ἐνῶ τὸ νὰ πεῖ, «μπορεῖ νὰ τῆς συντάξει διαζύγιο καὶ νὰ τὸ δώσει στὰ χέρια της», εἶναι γνώρισμα ἐκείνου ποὺ ἀναγγέλλει τὸ γεγονὸς καὶ δὲν ὁρίζει ἀπὸ μόνος του τὸ νόμο.

«Ἂν λοιπὸν κανείς», λέγει, «χωρίσει τὴ γυναίκα του καὶ

αὐτὴν ἐκ τῆς οἰκία αὐτοῦ καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, καὶ μισήσῃ αὐτὴν καὶ ὁ ἀνὴρ ὁ ἔσχατος καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσῃ εἰς τὰς χεῖρας αὐτῆς καὶ ἐξαποστείλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ ἢ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα, οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερον ἐξαποστείλας αὐτὴν ἐπαναστρέψαι καὶ λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα». Εἶτα ἐνδεικνύμενος, ὅτι οὐκ ἐπαινεῖ τὸ γεγενημένον οὐδὲ γάμον εἶναι νομίζειν, ἀλλὰ διὰ τὴν ἀσθένειαν αὐτῶν συγκαταβαίνει, εἰπών, «οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα», ἐπήγαγε, «μετὰ τὸ μιανθῆναι αὐτήν», ἐμφαίνων διὰ τοῦ τρόπου τῆς λέξεως, ὅτι ὁ δεύτερος γάμος, ζῶντος τοῦ προτέρου ἀνδρὸς γενόμενος, μίασμα μᾶλλόν ἐστιν ἢ γάμος. Διὰ τοῦτο οὐκ εἶπε, 'μετὰ τὸ γαμηθῆναι αὐτήν'. Ὁρᾷς ὅτι συνῳδὰ τῷ Χριστῷ φθέγγεται; Εἶτα καὶ τὴν αἰτίαν προσέθηκεν, «ὅτι βδέλυγμά ἐστιν ἐναντίον τοῦ Θεοῦ».

Καὶ Μωϋσῆς μὲν οὕτως· ὁ δὲ προφήτης Μαλαχίας σαφέστερον πολλῷ τοῦ Μωϋσέως αὐτὸ τοῦτο ἐνδείκνυται, μᾶλλον δὲ οὐ Μαλαχίας, ἀλλ' ὁ Θεὸς διὰ τοῦ Μαλαχίου, λέγων οὕτως· «εἰ ἄξιον ἐπιβλέψει εἰς θυσίαν ὑμῶν; ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν;», εἶτα εἰπόντος, «τίνος ἕνεκεν;», φησί, «γυναῖκα ἐκ νεότητός σου ἐγκατέλιπες»· καὶ δεικνὺς ἡλίκον ἐστὶ κακὸν καὶ ἀποστερῶν πάσης συγγνώμης τὸν τοῦτο ποιήσαντα, διὰ τῶν ἑξῆς τὴν κατηγορίαν αὔξει, ἐπάγων οὕτω καὶ λέγων· «καὶ αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου καὶ ἐγκατάλειμμα πνεύματός σου καὶ οὐκ ἄλλος ἐποίησεν». Ὅρα πόσα τίθησι δικαιώματα· πρῶτον τὸ τῆς ἡλικίας, «γυνὴ νεότητός σου»· εἶτα τὸ ἀναγκαῖον, «καὶ αὕτη κοινωνός σου»· εἶτα τὸν τῆς δημιουργίας τρόπον, «ἐγκατάλειμμα πνεύματός σου».

3. Πρὸς τούτοις ἅπασιν, ὃ πάντων τούτων μεῖζον ἦν, τὸ τοῦ ποιήσαντος ἀξίωμα. Τοῦτο γάρ ἐστι τό, «οὐκ ἄλλος ἐποίησεν». Οὐκ ἔχεις, φησίν, εἰπεῖν, ὅτι σὲ μὲν ὁ Θεὸς ἐποίησεν, ἐκείνην δὲ οὐχ ὁ Θεός, ἀλλ' ἄλλος τις ἐκείνου καταδεέστερος· ἀλλ' εἷς καὶ

---

12. Δευτ. 24,2–4.
13. Μαλαχ. 2,13.14. 14. Μαλαχ. 2,14.15.

τὴ διώξει ἀπὸ τὸ σπίτι του, καὶ ἐκείνη ἀφοῦ φύγει παντρευτεῖ ἄλλον ἄνδρα, καὶ ἂν τὴ μισήσει καὶ ὁ τελευταῖος ἄνδρας της καὶ τῆς συντάξει διαζύγιο καὶ τὸ δώσει στὰ χέρια της καὶ τὴ διώξει ἀπὸ τὸ σπίτι του ἢ πεθάνει ὁ ἄνδρας της ποὺ τὴ πῆρε γυναίκα του, δὲν μπορεῖ ὁ ἄνδρας ποὺ τὴν εἶχε ἀποπέμψει προηγουμένως νὰ ἐπανέλθει καὶ νὰ τὴν πάρει γυναίκα του»[12]. Στὴ συνέχεια, δείχνοντας ὅτι δὲν ἐπαινεῖ αὐτὸ τὸ πράγμα οὔτε τὸ θεωρεῖ γάμο, ἀλλὰ τὸ κάμνει ἀπὸ συγκατάβαση πρὸς τὴν ἀδυναμία τους, ἀφοῦ εἶπε, «δὲν μπορεῖ ὁ ἄνδρας ὁ πρῶτος νὰ τὴν πάρει γυναίκα του», πρόσθεσε, «ἀφοῦ ἐκείνη μιάνθηκε», φανερώνοντας μὲ τὴ λέξη αὐτὴ ὅτι ὁ δεύτερος γάμος, ὅταν γίνεται ἐνῶ ζεῖ ὁ προηγούμενος ἄνδρας, εἶναι πολὺ περισσότερο μίασμα παρὰ γάμος. Γι' αὐτὸ δὲν εἶπε, 'ἀφοῦ ἐκείνη παντρεύτηκε'. Βλέπεις ὅτι μιλάει σύμφωνα μὲ τὸ Χριστό; Ἔπειτα πρόσθεσε καὶ τὴν αἰτία· «γιατὶ αὐτὸ εἶναι μισητὸ ἐνώπιον τοῦ Θεοῦ».

Καὶ ὁ Μωϋσῆς βέβαια ὅρισε αὐτά· ὁ προφήτης ὅμως Μαλαχίας παρουσιάζει ἀκριβῶς τὸ ἴδιο πολὺ σαφέστερα ἀπὸ τὸ Μωϋσῆ, ἢ καλύτερα ὄχι ὁ Μαλαχίας ἀλλὰ ὁ Θεὸς μέσω τοῦ Μαλαχία, λέγοντας τὸ ἑξῆς· «ἀξίζει νὰ κοιτάξω στὴ θυσία σας ἢ νὰ δεχθῶ κάτι ἀπὸ τὰ χέρια σας;». Ἔπειτα, ἀφοῦ εἶπε, «γιὰ ποιό λόγο;» λέγει, «ἐγκατέλειψες γυναίκα ἀπὸ τὴ νεότητά σου»[13]. Καὶ δείχνοντας πόσο μεγάλο κακὸ εἶναι αὐτὸ καὶ γιὰ νὰ στερήσει ἀπὸ κάθε συγγνώμη αὐτὸν ποὺ τὸ ἔκανε, αὐξάνει μὲ τὰ ἑπόμενα τὴν κατηγορία, προσθέτοντας καὶ λέγοντας τὰ ἑξῆς· «καὶ αὐτὴ εἶναι σύντροφός σου καὶ γυναίκα σου σύμφωνα μὲ τὸ νόμο τοῦ Θεοῦ. Καὶ ὑπόλειμμα τοῦ πνεύματός σου καὶ δὲν τὴ δημιούργησε ἄλλος»[14]. Πρόσεχε πόσα δικαιώματα ἀναφέρει. Πρῶτα τὸ δικαίωμα τῆς ἡλικίας· «γυναίκα τῆς νεότητάς σου»· ἔπειτα τὸ ἀναγκαῖο· «καὶ αὐτὴ εἶναι σύντροφός σου»· ὕστερα τὸν τρόπο τῆς δημιουργίας· «ὑπόλειμμα τοῦ πνεύματός σου».

3. Μαζὶ μὲ ὅλα αὐτὰ ἀναφέρει τὸ ἀξίωμα τοῦ δημιουργοῦ, πράγμα ποὺ ἦταν μεγαλύτερο ἀπ' ὅλα αὐτά. Γιατὶ αὐτὸ σημαίνει τὸ «δὲν τὴ δημιούργησε ἄλλος». Δὲν μπορεῖς, λέγει, νὰ πεῖς ὅτι ἐσένα δημιούργησε ὁ Θεὸς καὶ ἐκείνη ὄχι ὁ Θεός, ἀλλὰ κά-

ὁ αὐτὸς ἀμφοτέρους εἰς τὸ εἶναι παραγαγών· ὥστε εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν αἰδεσθείς, φύλαττε τὴν πρὸς αὐτὴν ἀγάπην. Εἰ γὰρ δούλοις πολλάκις τοῖς πρὸς ἀλλήλους στασιάζουσιν ὑπόθεσις τοῦτο γεγένηται, τὸ δεῖν λέγω τοὺς ἀμφοτέρους ἑνὶ καὶ τῷ αὐτῷ δουλεῦσαι δεσπότῃ, πολλῷ μᾶλλον ἐφ' ἡμῶν τοῦτο γίνεσθαι χρή, ὅταν καὶ δημιουργὸν καὶ δεσπότην τὸν αὐτὸν ἔχωμεν οἱ ἀμφότεροι. Εἶδες πῶς καὶ ἐν τῇ Παλαιᾷ ἀρχὰς καὶ προοίμια λοιπὸν ἐλάμβανε τῆς καινῆς φιλοσοφίας τὰ προστάγματα; Ἐπειδὴ γὰρ πολὺν ἐνετράφησαν τῷ νόμῳ χρόνον, καὶ πρὸς τὰ τελειότερα παραγγέλματα ὁδεύειν ὤφειλον, καὶ πρὸς τὸ τέλος λοιπὸν ἀπήντα αὐτοῖς τὰ τῆς πολιτείας, μετὰ τοῦ προσήκοντος καιροῦ λοιπὸν ἐπὶ ταύτην ἄγει τὴν φιλοσοφίαν αὐτοὺς ὁ προφήτης.

Πειθώμεθα τοίνυν τῷ καλῷ τούτῳ νόμῳ καὶ πάσης αἰσχύνης ἑαυτοὺς ἀπαλλάξωμεν καὶ μήτε τὰς ἑαυτῶν ἐκβάλωμεν μήτε τὰς ὑπὸ ἑτέρων ἐκβληθείσας δεχώμεθα. Ποίῳ γὰρ ὄψει προσώπῳ τὸν ἄνδρα τῆς γυναικός; ποίοις ὀφθαλμοῖς τοὺς φίλους τοὺς ἐκείνου, τοὺς οἰκέτας; Εἰ γὰρ τελευτήσαντος τοῦ συνοικοῦντος τὴν γυναῖκά τις τὴν ἐκείνου λαβών, εἶτα τὴν εἰκόνα μόνην ἀνακειμένην ἰδών, ἔπαθέ τι καὶ ἐδυσχέρανεν, ὡς ζῶντα τὸν ἄνδρα ὁρῶν τῆς αὐτῷ συνοικούσης, ποῖον βιώσεται βίον; πῶς οἴκαδε εἰσελεύσεται; μετὰ ποίας γνώμης, μετὰ ποίων ὀφθαλμῶν ὄψεται τὴν ἐκείνου γυναῖκα τὴν αὐτοῦ;

Μᾶλλον δὲ οὐδὲ ἐκείνου, οὔτε αὐτοῦ δικαίως ἄν τις τὴν τοιαύτην προσείποι· ἡ γὰρ μοιχαλὶς οὐδενός ἐστι γυνή. Καὶ γὰρ τὰς πρὸς ἐκεῖνον συνθήκας ἐπάτησε καὶ πρὸς σὲ μετὰ τῶν προσηκόντων νόμων οὐκ ἦλθε. Πόσης οὐκ ἂν εἴη παρανοίας, πρᾶγμα τοσούτων γέμον κακῶν εἰς τὴν οἰκίαν εἰσαγαγεῖν; Μὴ γὰρ σπάνις ἐστὶ γυναικῶν; Τίνος ἕνεκεν, πολλῶν οὐσῶν, ἃς μετὰ τῶν προσηκόντων νόμων καὶ μετὰ καθαροῦ συνειδότος λαμβάνειν ἔξεστιν, ἐπὶ τὰς κεκωλυμένας τρέχομεν, τὰς οἰκίας ἀνατρέ-

ποιος ἄλλος κατώτερος ἀπ' αὐτόν. Ἕνας καὶ ὁ ἴδιος σᾶς ἔφερε στὴν ὕπαρξη καὶ τοὺς δύο. Ὥστε, ἂν καὶ τίποτε ἄλλο, τουλάχιστον αὐτὸ σεβόμενος, φύλαγε τὴν ἀγάπη σου πρὸς αὐτήν. Γιατὶ ἂν πολλὲς φορὲς στοὺς δούλους ποὺ φιλονεικοῦν μεταξύ τους ἔγινε αὐτὸ ἀφορμή, τὸ ὅτι δηλαδὴ πρέπει καὶ οἱ δύο νὰ ὑπηρετήσουν ἕνα καὶ τὸν αὐτὸ κύριο, πολὺ περισσότερο πρέπει νὰ γίνεται αὐτὸ σ' ἐμᾶς, ὅταν καὶ οἱ δύο ἔχουμε τὸν ἴδιο καὶ δημιουργὸ καὶ Κύριο. Εἶδες πῶς καὶ στὴν Παλαιὰ Διαθήκη ἀρχὲς καὶ προοίμια ἀποτελοῦν οἱ ἐντολὲς τῆς νέας φιλοσοφίας; Ἀφοῦ λοιπὸν ἀνατράφηκαν πολὺ καιρὸ μὲ τὸ νόμο καὶ ἔπρεπε νὰ βαδίζουν πρὸς τὶς τελειότερες ἐντολὲς καὶ ἡ πολιτεία τους προχωροῦσε πρὸς τὸ τέλος, στὸν κατάλληλο καιρὸ πλέον τοὺς ὁδηγεῖ ὁ προφήτης σ' αὐτὴ τὴ φιλοσοφία.

Ἂς ὑπακοῦμε λοιπὸν στὸν καλὸ αὐτὸν νόμο καὶ ἂς ἀπαλλάξουμε τὸν ἑαυτό μας ἀπὸ κάθε ντροπὴ καὶ οὔτε νὰ χωρίζουμε τὶς γυναῖκες μας, οὔτε νὰ δεχόμαστε τὶς χωρισμένες ἀπὸ ἄλλους. Γιατὶ μὲ ποιό πρόσωπο θὰ δεῖς τὸν ἄνδρα τῆς γυναίκας; μὲ ποιά μάτια τοὺς φίλους του, τοὺς ὑπηρέτες του; Γιατί, ἂν κάποιος νιώθε ἄσχημα καὶ στεναχωριέται ὅταν, πεθαίνοντας ὁ σύζυγος, πάρει τὴ γυναίκα του καὶ ἀργότερα δεῖ μόνο τὴν εἰκόνα του ἀναρτημένη κάπου, ποιά ζωὴ θὰ κάνει ὅταν βλέπει ζωντανὸ τὸν ἄνδρα τῆς συζύγου του; πῶς θὰ μπεῖ στὸ σπίτι του; μὲ ποιά δύναμη, μὲ ποιά μάτια θὰ δεῖ τὴ γυναίκα ἐκείνου γυναίκα δική του;

Μᾶλλον ὅμως δὲν μπορεῖ κανεὶς νὰ ὀνομάσει δίκαια τὴ γυναίκα αὐτὴ οὔτε ἐκείνου οὔτε αὐτοῦ, γιατὶ ἡ μοιχαλίδα δὲν εἶναι γυναίκα κανενός. Γιατὶ καὶ τὴ συμφωνία της μ' ἐκεῖνον καταπάτησε, καὶ σὲ σένα δεν ἦρθε σύμφωνα μὲ τοὺς σχετικοὺς νόμους. Πόσης παραφροσύνης δεῖγμα δὲ θὰ εἶναι νὰ βάλει κανεὶς στὸ σπίτι του ἕνα πράγμα γεμάτο ἀπὸ τόσα κακά; Μήπως λοιπὸν ὑπάρχει ἔλλειψη γυναικῶν; Γιὰ ποιό λόγο, ἐνῶ ὑπάρχουν πολλές, τὶς ὁποῖες εἶναι δυνατὸ νὰ πάρει κανεὶς σύμφωνα μὲ τοὺς σχετικοὺς νόμους καὶ μὲ καθαρὴ συνείδηση, τρέχουμε σ' αὐτὲς ποὺ ἔχουν κώλυμα, ἀνατρέποντας τὰ σπίτια καὶ εἰσάγο-

ποντες, καὶ πολέμους ἐμφυλίους εἰσάγοντες, καὶ πανταχόθεν ἔχθραν ἑαυτοῖς παρασκευάζοντες, μυρίων κατηγόρων ἀνοίγοντες στόματα, καὶ τὴν ζωὴν τὴν ἑαυτῶν καταισχύνοντες, καί, τὸ πάντων χαλεπώτατον, ἀπαραίτητον ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως συνάγοντες ἑαυτοῖς κόλασιν; Τί γὰρ ἐροῦμεν τότε τῷ μέλλοντι κρίνειν ἡμᾶς, ὅταν τὸν νόμον παρενεγκὼν εἰς μέσον καὶ ἀναγνοὺς εἴποι· 'ἐκέλευσα ἀπολελυμένην γυναῖκα μὴ λαμβάνειν, εἰπὼν ὅτι μοιχεία τὸ πρᾶγμά ἐστι. Πῶς οὖν ἐτόλμησας ἐπὶ κεκωλυμένον γάμον ἐλθεῖν;' Τί ἐροῦμεν καὶ τί ἀποκρινούμεθα;

Οὐ γὰρ δεῖ τοὺς παρὰ τῶν ἔξωθεν κειμένους νόμους ἐκεῖ προβαλέσθαι, ἀλλ' ἀνάγκη σιγῶντας καὶ δεδεμένους εἰς τὸ τῆς γεέννης ἀπάγεσθαι πῦρ μετὰ τῶν μοιχῶν καὶ τῶν τοὺς ἀλλοτρίους ἀδικησάντων γάμους· ὅ τε γὰρ ἀπολύσας χωρὶς αἰτίας, τῆς ἐπὶ πορνείᾳ, ὅ τε ἐκβεβλημένην γαμῶν, τοῦ ἀνδρὸς ζῶντος, ὁμοίως μετὰ τῆς ἐκβληθείσης κολάζονται. Διὸ παρακαλῶ καὶ δέομαι καὶ ἀντιβολῶ μήτε ἄνδρας ἐκβάλλειν γυναῖκας, μήτε γυναῖκας ἄνδρας ἀφιέναι, ἀλλ' ἀκούειν τοῦ Παύλου λέγοντος· «γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ».

Ποίαν γὰρ ἔχοιεν συγγνώμην οἱ, τοῦ Παύλου καὶ δεύτερον ἐπιτρέποντος γάμον μετὰ τὴν τελευτὴν τοῦ συνοικοῦντος, καὶ τοσαύτην παρέχοντος ἄδειαν, πρὸ τῆς τελευτῆς τολμῶντες τοῦτο ποιεῖν; τίνος ἂν τύχοιεν ἀπολογίας ἢ οὗτοι οἱ ζώντων τῶν ἀνδρῶν τὰς γυναῖκας λαμβάνοντες, ἢ ἐκεῖνοι οἱ πρὸς τὰς πανδήμους ἀπερχόμενοι πόρνας; Καὶ γὰρ καὶ ἐκεῖνο μοιχείας ἕτερον εἶδος, τὸν γυναῖκα ἔχοντα ἔνδον, πόρναις γυναιξὶν ὁμιλεῖν. Ὥσπερ γὰρ ἡ τὸν ἄνδρα ἔχουσα γυνή, κἂν οἰκέτῃ κἂν ἐλευθέρῳ τινὶ γυναῖκα μὴ ἔχοντι ἑαυτὴν ἐκδῷ, τοῖς τῆς μοιχείας ἁλί-

ντας ἐμφύλιες διαμάχες, παρακαλοῦμε ἀπὸ παντοῦ ἔχθρα στὸν ἑαυτό μας καὶ ἀνοίγομε στόματα ἀμέτρητων κατηγόρων, ντροπιάζουμε τὴ ζωή μας καί, τὸ φοβερότερο ἀπ' ὅλα, συγκεντρώνουμε κατὰ τὴν ἡμέρα τῆς κρίσης ἀναγκαῖα γιὰ τὸν ἑαυτό μας τὴν τιμωρία; Γιατὶ τί θὰ ποῦμε τότε σ' αὐτὸν ποὺ πρόκειται νὰ μᾶς κρίνει, ὅταν φέρει τὸ νόμο στὴ μέση καὶ ἀφοῦ τὸν διαβάσει μᾶς πεῖ· 'πρόσταξα νὰ μὴν παίρνετε χωρισμένη γυναίκα, λέγοντας ὅτι τὸ πράγμα αὐτὸ εἶναι μοιχεία. Πῶς λοιπὸν τόλμησες νὰ συνάψεις γάμο ποὺ ἦταν ἀπαγορευμένος;' Τί θὰ ποῦμε καὶ τί θὰ ἀπαντήσουμε;

Γιατὶ δὲν πρέπει νὰ προβάλουμε ἐκεῖ τοὺς νόμους ποὺ ἰσχύουν στοὺς μὴ χριστιανούς, ἀλλὰ ἀναγκαστικὰ σιωπώντας καὶ δεμένοι θὰ ὁδηγηθοῦμε στὸ πῦρ τῆς γέεννας μαζὶ μὲ τοὺς μοιχοὺς καὶ ἐκείνους ποὺ ἀτίμασαν τοὺς ξένους γάμους· γιατὶ καὶ αὐτὸς ποὺ χώρισε τὴ γυναίκα του χωρὶς τὴν αἰτία τῆς πορνείας, καὶ αὐτὸς ποὺ παντρεύεται χωρισμένη, ὅταν ζεῖ ὁ ἄνδρας της, τιμωροῦνται τὸ ἴδιο μαζὶ μὲ τὴ χωρισμένη. Γι' αὐτὸ σᾶς παρακαλῶ καὶ σᾶς τὸ ζητῶ ἐπιμονα αὐτὸ καὶ σᾶς ἱκετεύω, οὔτε οἱ ἄνδρες νὰ χωρίζουν τὶς γυναῖκες τους, οὔτε οἱ γυναῖκες νὰ ἐγκαταλείπουν τοὺς ἄνδρες τους, ἀλλὰ νὰ ἀκοῦν τὸν Παῦλο ποὺ λέγει· «μιὰ γυναίκα, σύμφωνα μὲ τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ ζεῖ αὐτός· ἂν ὅμως ὁ ἄνδρας πεθάνει, εἶναι ἐλεύθερη νὰ παντρευτεῖ μὲ ὅποιον θέλει, μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου».

Ὅταν λοιπὸν ὁ Παῦλος ἐπιτρέπει καὶ δεύτερο γάμο μετὰ τὸ θάνατο τοῦ συζύγου καὶ παρέχει τόσο μεγάλη ἄνεση, ποιά συγγνώμη θὰ ἔχουν ἐκεῖνοι ποὺ τολμοῦν νὰ τὸ κάνουν αὐτὸ πρὶν ἀπὸ τὸ θάνατό του; ποιά δικαιολογία θὰ βροῦν ἢ αὐτοὶ ποὺ παίρνουν τὶς γυναῖκες ὅταν ζοῦν οἱ ἄνδρες τους ἢ ἐκεῖνοι ποὺ πηγαίνουν στὶς κοινὲς πόρνες; Γιατὶ βέβαια καὶ αὐτὸ εἶναι ἄλλο εἶδος μοιχείας, τὸ νὰ συνευρίσκεται μὲ γυναῖκες πόρνες ἐκεῖνος ποὺ ἔχει σπίτι του γυναίκα. Ὅπως δηλαδὴ ἡ γυναίκα ποὺ ἔχει ἄνδρα, εἴτε παραδώσει τὸν ἑαυτό της σὲ ὑπηρέτη εἴτε σὲ κάποιον ἐλεύθερο ποὺ δὲν ἔχει γυναίκα, κηρύσσεται ἔνοχη γιὰ

σκεται νόμοις, οὕτω καὶ ὁ ἀνήρ, κἂν εἰς πάνδημον πόρνην, κἂν εἰς ἑτέραν γυναῖκα ἄνδρα οὐκ ἔχουσαν ἁμάρτοι, γυναῖκα ἔχων, μοιχεία τὸ πρᾶγμα νενόμισται.

Φεύγωμεν τοίνυν καὶ τοῦτον τὸν τρόπον τῆς μοιχείας. Τί γὰρ ἕξομεν εἰπεῖν, τί δὲ προβαλέσθαι τοιαῦτα τολμῶντες; ποίαν εὐπρόσωπον παρεξόμεθα πρόφασιν; Τὴν τῆς φύσεως ἐπιθυμίαν; Ἀλλ' ἐφέστηκεν ἡ κληρωθεῖσα γυνή, τῆς ἀπολογίας ἡμᾶς ταύτης ἀποστεροῦσα. Διὰ τοῦτο γάμος εἰσενήνεκται, ἵνα μὴ πορνεύσῃς· μᾶλλον δὲ οὐχ ἡ γυνὴ μόνον, ἀλλὰ καὶ ἕτεροι πολλοὶ τῆς αὐτῆς ἡμῖν μετασχόντες φύσεως ταύτης ἡμᾶς ἀποστεροῦσι τῆς συγγνώμης. Ὅταν γὰρ ὁ σύνδουλός σου, τὸ αὐτὸ σῶμα ἔχων, τὴν αὐτὴν ἐπιθυμίαν κεκτημένος, ὑπὸ τῆς αὐτῆς ἀνάγκης ὠθούμενος, μηδεμίαν ἑτέραν ἴδῃ γυναῖκα, ἀλλὰ μένῃ τὴν αὐτοῦ στέργων μόνην, ποίαν ἕξεις ἀπολογίαν σὺ τὴν ἐπιθυμίαν προβαλλόμενος; Καὶ τί λέγω τοὺς ἔχοντας γυναῖκας; Ἐννόησόν μοι τοὺς διαπαντὸς ἐν παρθενίᾳ ζῶντας καὶ μηδ' ὅλως ὁμιλήσαντας γάμῳ καὶ πολλὴν ἐπιδειξαμένους σωφροσύνην. Ὅταν οὖν ἄλλοι χωρὶς γάμου σωφρονῶσι, ποίας σὺ τεύξῃ συγγνώμης μετὰ γάμον πορνεύων;

Ταῦτα καὶ ἄνδρες καὶ γυναῖκες ἀκουέτωσαν καὶ χῆραι καὶ γεγαμηκυῖα· πᾶσι γὰρ ὁ Παῦλος διαλέγεται καὶ ὁ νόμος οὗτος ὁ λέγων· «γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ». Καὶ ταῖς ἐχούσαις ἄνδρας καὶ ταῖς μὴ ἐχούσαις καὶ ταῖς χηρευούσαις καὶ ταῖς δεύτερον εἰσαγούσαις νυμφίον καὶ πάσαις ἁπλῶς ὁ λόγος οὗτος χρήσιμος. Ἡ μὲν γὰρ ἔχουσα ἄνδρα οὐχ αἱρήσεται, ζῶντος ἐκείνου, ἔσεσθαι ἑτέρου, ἀκούσασα ὅτι ζῶντος αὐτοῦ δέδεται· ἡ δὲ ἀποβαλοῦσα πάλιν, ἂν μὲν βουληθῇ δευτέροις ὁμιλῆσαι γάμοις, οὐχ ἁπλῶς οὐδὲ ὡς ἔτυχε τοῦτο ἐργάζεται, ἀλλὰ μετὰ τῶν κειμένων παρὰ τοῦ Παύλου νόμων, εἰ-

πορνεία, ἔτσι καὶ ὁ ἄνδρας, εἴτε ἁμαρτήσει σὲ κοινὴ πόρνη εἴτε σὲ ἄλλη γυναίκα ποὺ δὲν ἔχει ἄνδρα, ἐνῶ ἔχει γυναίκα, θεωρεῖται μοιχεία τὸ πράγμα.

Ἂς ἀποφεύγουμε λοιπὸν καὶ αὐτὸν τὸν τρόπο τῆς μοιχείας. Γιατὶ τί θὰ ἔχουμε νὰ ποῦμε καὶ τί νὰ προβάλουμε ὅταν ἐπιχειροῦμε τέτοια πράγματα; ποιά εὔσχημη πρόφαση θὰ ἔχουμε; Τὴν ἐπιθυμία τῆς φύσης; Ἀλλὰ θὰ εἶναι παρούσα ἡ γυναίκα ποὺ μᾶς ἔλαχε, στερώντας ἀπὸ μᾶς τὴ δικαιολογία αὐτή. Γι' αὐτὸ θεσπίσθηκε ὁ γάμος, γιὰ νὰ μὴ διαπράξεις πορνεία· ἢ καλύτερα ὄχι μόνο ἡ γυναίκα μας, ἀλλὰ καὶ πολλοὶ ἄλλοι ποὺ ἔχουν τὴν ἴδια μὲ μᾶς φύση θὰ μᾶς στερήσουν τὴ συγγνώμη αὐτή. Γιατὶ ὅταν ὁ συνάνθρωπός σου, ἔχοντας τὸ ἴδιο σῶμα, ἔχοντας τὴν ἴδια ἐπιθυμία, ὠθούμενος ἀπὸ τὴν ἴδια ἀνάγκη, δὲ βλέπει καμιὰ ἄλλη γυναίκα, ἀλλὰ περιορίζεται μόνο στὴ δική του, ποιά δικαιολογία θὰ ἔχεις ἐσὺ προβάλλοντας τὴν ἐπιθυμία; Καὶ γιατί λέγω τοὺς ἄνδρες ποὺ ἔχουν γυναῖκες; Σκέψου, σὲ παρακαλῶ, αὐτοὺς ποὺ ζοῦν διαρκῶς μὲ παρθενία καὶ δὲ γνώρισαν ποτὲ γάμο καὶ ἔδειξαν πολλὴ ἐγκράτεια. Ὅταν λοιπὸν ἄλλοι χωρὶς γάμο εἶναι ἐγκρατεῖς, ποιά συγγνώμη θὰ ἐπιτύχεις ἐσύ, ποὺ διαπράττεις πορνεία μετὰ τὸ γάμο;

Αὐτὰ ἂς τὰ ἀκοῦν καὶ οἱ ἄνδρες καὶ οἱ γυναῖκες, τόσο οἱ χῆρες ὅσο καὶ οἱ παντρεμένες. Γιατὶ σὲ ὅλους ἀπευθύνεται ὁ Παῦλος καὶ αὐτὴ ἡ ἐντολὴ ποὺ λέγει, «ἡ γυναίκα, σύμφωνα μὲ τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ αὐτὸς ζεῖ· ἂν ὅμως ὁ ἄνδρας πεθάνει, εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει, μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ», ἀπευθύνεται καὶ γι' αὐτὲς ποὺ ἔχουν ἄνδρες καὶ γι' αὐτὲς ποὺ δὲν ἔχουν, καὶ γιὰ τὶς χῆρες καὶ γι' αὐτὲς ποὺ παντρεύτηκαν δεύτερο ἄνδρα, καὶ γενικὰ γιὰ ὅλες εἶναι χρήσιμος αὐτὸς ὁ λόγος. Γιατὶ ἐκείνη ποὺ ἔχει ἄνδρα δὲ θὰ προτιμήσει, ἐνῶ ζεῖ αὐτός, νὰ γίνει γυναίκα ἄλλου, ἀφοῦ ἀκούσει ὅτι εἶναι δεμένη μαζί του, ὅταν αὐτὸς ζεῖ. Καὶ ἐκείνη πάλι ποὺ τὸν ἔχασε, ἂν βέβαια θελήσει νὰ συνάψει δεύτερο γάμο, δὲν τὸ κάνει αὐτὸ ἔτσι ἁπλὰ καὶ τυχαῖα, ἀλλὰ σύμφωνα μὲ τοὺς νόμους ποὺ ὅρισε ὁ Παῦλος,

πόντος, «ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ», τουτέστι, μετὰ σωφροσύνης, μετὰ σεμνότητος. Ἂν δ' ἄρα ἕληται πρὸς τὸν ἀπελθόντα τὰς συνθήκας φυλάξαι, ἀκούσεται τοὺς ἀποκειμένους αὐτῇ στεφάνους καὶ μείζονα λήψεται προθυμίαν. «Μακαριωτέρα γάρ ἐστι» φησίν, «ἐὰν οὕτω μείνῃ».

4. Ὁρᾷς πῶς ἅπασιν ὁ λόγος χρήσιμος, τῇ τε ἐκείνων ἀσθενείᾳ συγκαταβαίνων καὶ ταύτας οὐκ ἀποστερῶν τῶν οἰκείων ἐπαίνων; Ὅπερ γὰρ ἐπὶ τοῦ γάμου καὶ ἐπὶ τῆς παρθενίας ἐποίησε, τοῦτο καὶ ἐπὶ τοῦ προτέρου γάμου καὶ τοῦ δευτέρου. Καθάπερ γὰρ ἐκεῖ οὐκ ἀπέκλεισε τὸν γάμον, ἵνα μὴ βαρήσῃ τοὺς ἀσθενεστέρους, οὔτε ἀνάγκην ἐπέθηκεν, ἵνα μὴ τοὺς βουλομένους παρθενεύειν ἀποστερήσῃ τῶν κειμένων στεφάνων, ἀλλ' ἔδειξε μὲν ὅτι καλὸς ὁ γάμος, ἐδήλωσε δὲ ὅτι κρείττων ἡ παρθενία, οὕτω δὴ καὶ ἐνταῦθα πάλιν ἡμῖν ἑτέρους τίθησι βαθμούς, δεικνὺς ὅτι μεῖζον μὲν καὶ ὑψηλότερον τὸ τῆς χηρείας, δεύτερον δὲ καὶ κατώτερον τὸ τῶν δευτέρων γάμων, τούς τε ἰσχυροτέρους καὶ μὴ μεταπηδᾶν βουλομένους ἀλείφων καὶ τοὺς ἀσθενεστέρους οὐκ ἀφιεὶς πεσεῖν. Εἰπὼν γάρ, «μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ», ἵνα μὴ νομίσῃς ἀνθρώπινον εἶναι τὸν νόμον, ἀκούων, «κατὰ τὴν ἐμὴν γνώμην», ἐπήγαγε· «δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν». Οὐκ ἔχεις τοίνυν εἰπεῖν, ὅτι ἀνθρωπίνη ἐστὶν ἡ γνώμη, ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος ἡ ἀπόφασις καὶ θεῖος ὁ νόμος.

Μὴ τοίνυν Παύλου νομίζωμεν εἶναι ταῦτα λέγοντος, ἀλλὰ τοῦ Παρακλήτου ταῦτα νομοθετοῦντος ἡμῖν. Εἰ δὲ λέγει, «δοκῶ», οὐχ ὡς οὐκ ἔχων λέγει, ἀλλὰ μετριάζων καὶ συστέλλων ἑαυτόν. Ὅτι μὲν οὖν μακαριωτέρα ἐστὶν εἶπε, πῶς δὲ μακαριωτέρα οὐκ ἔτι προσέθηκεν, ἀρκοῦσαν ἀπόδειξιν δοὺς τὸ παρὰ τοῦ Πνεύματος κομίζειν τὴν ἀπόφασιν. Εἰ δὲ βούλει καὶ λογισμοῖς ἐξετάσαι, πολλὴν ἀποδείξεων εὐπορίαν ἐνταῦθα εὐ-

λέγοντας, «εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει, μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου», δηλαδή, μὲ σωφροσύνη, μὲ σεμνότητα. Ἂν ὅμως προτιμήσει νὰ διατηρήσει τὴ σχέση της μὲ τὸ νεκρὸ σύζυγό της, θ' ἀκούσει τὰ στεφάνια ποὺ φυλάγονται γι' αὐτὴν καὶ θ' ἀποκτήσει μεγαλύτερο ζῆλο. Γιατὶ λέγει· «μακαριότερη ὅμως εἶναι, ἂν μείνει ὅπως εἶναι».

4. Βλέπεις πῶς ὁ λόγος εἶναι χρήσιμος γιὰ ὅλους καὶ δείχνοντας συγκατάβαση στὴν ἀδυναμία ἐκείνων, καὶ μὴ στερώντας ἀπ' αὐτὲς τοὺς ἐπαίνους τους; Γιατὶ ἐκεῖνο ποὺ ἔκανε στὴν περίπτωση τοῦ γάμου καὶ τῆς παρθενίας, τὸ ἴδιο ἔκανε καὶ γιὰ τὸν πρῶτο καὶ τὸ δεύτερο γάμο· γιὰ νὰ μὴν πιέσει δηλαδὴ τοὺς ἀσθενέστερους στὴν πίστη δὲν τὸν θέσπισε ἀναγκαστικά, ἐνῶ γιὰ νὰ μὴ στερήσει τὰ στεφάνια ποὺ ἐπιφυλάσσονται γι' αὐτοὺς ποὺ θέλουν νὰ ζοῦν μὲ παρθενία, ἔδειξε βέβαια ὅτι ὁ γάμος εἶναι καλός, δήλωσε ὅμως ὅτι ἡ παρθενία εἶναι καλύτερη. Ἔτσι ἀκριβῶς καὶ ἐδῶ πάλι μᾶς ορίζει ἄλλους βαθμούς, δείχνοντας ὅτι μεγαλύτερο καὶ ἀνώτερο πράγμα εἶναι ἡ χηρεία καὶ δεύτερο καὶ κατώτερο ὁ δεύτερος γάμος, ἐνισχύοντας ἔτσι τοὺς ἰσχυρότερους καὶ ποὺ δὲ θέλουν νὰ ἀλλάξουν ζωή, ἀλλὰ καὶ μὴν ἀφήνοντας τοὺς ἀσθενέστερους νὰ πέσουν. Γιατί, ἀφοῦ εἶπε, «εἶναι ὅμως μακαριότερη, ἂν μείνει ὅπως εἶναι», γιὰ νὰ μὴ νομίσεις ὅτι εἶναι ἀνθρώπινη ἡ ἐντολὴ ἀκούοντας, «κατὰ τὴ γνώμη μου», πρόσθεσε· «ἀλλὰ νομίζω πὼς ἔχω καὶ ἐγὼ Πνεῦμα Θεοῦ». Δὲν μπορεῖς λοιπὸν νὰ πεῖς ὅτι εἶναι ἀνθρώπινη ἡ γνώμη, ἀλλὰ ἡ ἀπόφαση εἶναι τῆς χάριτος τοῦ Πνεύματος καὶ ὁ νόμος εἶναι θεῖος.

Ἂς μὴ νομίζουμε λοιπὸν πὼς αὐτὰ τὰ λέγει ὁ Παῦλος, ἀλλὰ πὼς μᾶς τὰ ὁρίζει τὸ ἅγιο Πνεῦμα. Καὶ ἂν λέγει, «μοῦ φαίνεται», τὸ λέγει ὄχι ἐπειδὴ δὲν ἔχει, ἀλλὰ μιλώντας μὲ μετριοφροσύνη καὶ συστολή. Ὅτι λοιπὸν εἶναι μακαριότερη, τὸ εἶπε, πῶς ὅμως εἶναι μακαριότερη δὲν τὸ πρόσθεσε στὴ συνέχεια, παρουσιάζοντας ἱκανοποιητικὴ ἀπόδειξη τὸ ὅτι φέρνει τὴν ἀπόφαση ἀπὸ τὸ ἅγιο Πνεῦμα. Ἂν ὅμως θέλεις νὰ τὸ ἐξετάσεις καὶ μὲ τοὺς λογισμούς, θὰ βρεῖς ἐδῶ πάρα πολλὲς ἀπο-

ρήσεις· καὶ ὄψει τὴν χήραν μακαριωτέραν οὖσαν, οὐ κατὰ τὸν μέλλοντα αἰῶνα μόνον, ἀλλὰ καὶ κατὰ τὸν παρόντα βίον. Καὶ τοῦτο αὐτὸ μάλιστα οἶδεν ὁ Παῦλος, ὃ καὶ περὶ τῶν παρθένων ᾐνίξατο λέγων. Παραινῶν γὰρ καὶ συμβουλεύων παρθενίαν αἱρεῖσθαι, οὕτω πως ἔλεγε· «νομίζω ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι διὰ τὴν ἐνεστῶσαν ἀνάγκην»· καὶ πάλιν, «καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε», παρθένον ἐνταῦθα λέγων οὐ τὴν ἀποταξαμένην, ἀλλὰ τὴν ἀπειρόγαμον μόνον καὶ μὴ γενομένην ὑπεύθυνον τῇ τῆς διηνεκοῦς παρθενίας ὑποσχέσει. «Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι ἐγὼ δὲ ὑμῶν φείδομαι». Ἐνὶ γὰρ καὶ ψιλῷ ρήματι τούτῳ κατέλιπε τῷ συνειδότι τῶν ἀκροατῶν ἅπαντα ἀναλέξασθαι, τὰς ὠδῖνας, τὰς παιδοτροφίας, τὴν φροντίδα, τὰς ἀρρωστίας, τοὺς θανάτους τοὺς ἀώρους, τὰς ἀπεχθείας, τὰς φιλονεικίας, τὸ γνώμαις μυρίαις δουλεύειν, τὸ τῶν ἀλλοτρίων κακῶν ὑπεύθυνον εἶναι, τὸ μυρίας ἀναδέχεσθαι λύπας μίαν ἔχουσαν ψυχήν. Ἀπάντων δὲ τούτων ἀπαλλάττεται τῶν κακῶν ἡ τὴν ἐγκράτειαν ἑλομένη, καὶ μετὰ τῆς τῶν ἀνιαρῶν ἀπαλλαγῆς κατὰ τὴν μέλλουσαν ζωὴν πολὺν ἔχει κείμενον τὸν μισθόν.

Ταῦτ' οὖν ἅπαντα εἰδότες, σπουδάζωμεν τοῖς προτέροις ἀρκεῖσθαι γάμοις. Ἂν δὲ καὶ ἐπὶ δευτέρους παρασκευαζώμεθα εἰσέρχεσθαι, μετὰ τοῦ προσήκοντος τρόπου καὶ σχήματος, μετὰ τῶν τοῦ Θεοῦ νόμων. Διὰ τοῦτο γὰρ εἶπεν· «ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι», καὶ ἐπήγαγε, «μόνον ἐν Κυρίῳ», ὁμοῦ καὶ ἄδειαν διδοὺς καὶ τειχίζων τὴν ἄδειαν καὶ ἐξουσίαν παρέχων καὶ τῇ ἐξουσίᾳ πάλιν ταύτῃ ὅρους καὶ νόμους τιθεὶς πανταχόθεν· οἷον, ἵνα μὴ μιαροὺς καὶ διεφθαρμένους ἄνδρας εἰς τὴν οἰκίαν εἰσαγάγῃ ἡ γυνὴ ἢ τοὺς ἀπὸ τῆς σκηνῆς ἢ τοὺς πορνείας προσέχοντας· ἀλλὰ μετὰ σεμνότητος, μετὰ σωφροσύνης, μετὰ εὐλαβείας, ἵνα πάντα εἰς δόξαν Θεοῦ γένηται. Ἐπειδὴ γὰρ πολ-

---

15. Α' Κορ. 7,26.
16. Α' Κορ. 7,28.

δείξεις· καὶ θὰ δεῖς πὼς ἡ χήρα εἶναι μακαριότερη ὄχι μόνο κατὰ τὴ μελλοντικὴ ζωή, ἀλλὰ καὶ κατὰ τὴν παροῦσα. Καὶ αὐτὸ ἀκριβῶς τὸ γνωρίζει ὅλως ἰδιαίτερα ὁ Παῦλος, πράγμα ποὺ τὸ ὑπαινίχθηκε μιλώντας περὶ τῶν παρθένων. Γιατὶ προτρέποντας καὶ συμβουλεύοντας νὰ προτιμοῦμε τὴν παρθενία ἔλεγε τὰ ἑξῆς· «νομίζω ὅτι γιὰ τοὺς σημερινοὺς δύσκολους καιροὺς εἶναι καλὸ στὸν ἄνθρωπο νὰ μείνει ὅπως εἶναι»[15]· καὶ πάλι, «καὶ ἂν ἡ παρθένος παντρευτεῖ, δὲν ἁμάρτησε». Παρθένο ἐδῶ ἐννοεῖ ὄχι ἐκείνη ποὺ ἀπαρνήθηκε τὸν κόσμο, ἀλλὰ τὴν ἀνύπανδρη μόνο καὶ ποὺ δὲν εὐθυνόταν ἡ ἴδια γιὰ τὴν ὑπόσχεση τῆς παντοτινῆς παρθενίας. «Ἀλλὰ ὅσοι παντρεύονται θὰ ὑποφέρουν στὴ ζωή, ἐγὼ ὅμως σᾶς λυπᾶμαι»[16]. Μὲ τὸν ἕνα λοιπὸν καὶ τὸν ἁπλὸ αὐτὸν λόγο ἄφησε στὴ συνείδηση τῶν ἀκροατῶν νὰ τὰ σκεφθοῦν ὅλα, τοὺς πόνους δηλαδὴ τοῦ τοκετοῦ, τὴν ἀνατροφὴ τῶν παιδιῶν, τὴ φροντίδα, τὶς ἀρρώστιες, τοὺς πρόωρους θανάτους, τὰ μίση, τὶς φιλονεικίες, τὸ νὰ εἶναι κανεὶς δοῦλος σὲ ἄπειρες γνῶμες, τὸ νὰ εἶναι ὑπεύθυνος γιὰ τὰ ξένα κακά, τὸ νὰ ὑποφέρει ἀμέτρητες λύπες ἐνῶ ἔχει μία ψυχή. Ἀπ' ὅλα αὐτὰ τὰ κακὰ ἀπαλλάσσεται ἐκείνη ποὺ προτίμησε τὴν ἐγκράτεια καὶ μαζὶ μὲ τὴν ἀπαλλαγὴ ἀπὸ τὶς δυσκολίες ἔχει θησαυρισμένο πολὺ μισθὸ στὴ μέλλουσα ζωή.

Γνωρίζοντας λοιπὸν ὅλα αὐτὰ ἂς φροντίζουμε νὰ ἀρκούμαστε στὸν πρῶτο γάμο. Ἂν ὅμως ἔχουμε διάθεση νὰ κάνουμε καὶ δεύτερο, ἂς τὸν κάνουμε μὲ τὸ σωστὸ τρόπο καὶ σχῆμα, σύμφωνα μὲ τοὺς νόμους τοῦ Θεοῦ. Γιατὶ γι' αὐτὸ εἶπε, «εἶναι ἐλεύθερη νὰ παντρευτεῖ ὅποιον θέλει», καὶ πρόσθεσε, «μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ», συγχρόνως καὶ ἄδεια δίνοντας καὶ τειχίζοντας τὴν ἄδεια· καὶ δικαίωμα παρέχοντας, καὶ στὸ δικαίωμα πάλι αὐτὸ θέτοντας ἀπὸ παντοῦ ὅρια καὶ νόμους· ὅπως νὰ μὴ βάλει μέσα στὸ σπίτι της ἡ γυναίκα μιαροὺς καὶ ἀνήθικους ἄνδρες ἢ ἐκείνους ποὺ προέρχονται ἀπὸ τὸ θέατρο ἢ ἐκείνους ποὺ προσέχουν τὶς πορνεῖες, ἀλλὰ μὲ σεμνότητα, μὲ σωφροσύνη, μὲ εὐλάβεια, γιὰ νὰ γίνουν ὅλα γιὰ τὴ δόξα τοῦ Θεοῦ. Ἐπειδὴ δηλαδὴ πολλὲς γυναῖκες πολλὲς φορές, ἀφοῦ πέ-

λαὶ πολλάκις γυναῖκες, τῶν πρώτων τελευτησάντων ἀνδρῶν, μοιχευθεῖσαι πρότερον, οὕτω τοὺς ὑστέρους εἰσήγαγον καὶ τρόπους ἑτέρους μιαροὺς ἐπενόησαν, διὰ τοῦτο ἐπήγαγε, «μόνον ἐν Κυρίῳ»· ἵνα μηδὲν τούτων ὁ δεύτερος ἔχῃ γάμος· οὕτως γὰρ δυνήσεται ἐγκλημάτων ἀπηλλάχθαι. Πάντων μὲν γὰρ βέλτιον ἀναμένειν τὸν τετελευτηκότα καὶ τὰς πρὸς ἐκεῖνον συνθήκας διατηρεῖν καὶ ἐγκράτειαν αἱρεῖσθαι καὶ τοῖς καταλειφθεῖσιν ἐπιμένειν παιδίοις καὶ παρὰ τοῦ Θεοῦ πλείονα τὴν εὔνοιαν ἐπισπάσασθαι. Ἂν δ' ἄρα τις βουληθῇ δεύτερον ἐπεισαγαγεῖν νυμφίον, μετὰ σωφροσύνης, μετὰ σεμνότητος, μετὰ τῶν προσηκόντων νόμων· καὶ γὰρ καὶ τοῦτο ἐφεῖται, πορνεία δὲ κεκώλυται μόνον καὶ μοιχεία.

Ταύτην τοίνυν φεύγωμεν καὶ οἱ γυναῖκες ἔχοντες καὶ οἱ μὴ ἔχοντες· καὶ μὴ καταισχύνωμεν ἡμῶν τὸν βίον μηδὲ καταγέλαστον ζῶμεν ζωήν, μηδὲ μολύνωμεν τὸ σῶμα, μηδὲ πονηρὸν συνειδὸς εἰς τὴν διάνοιαν εἰσαγάγωμεν. Πῶς γὰρ εἰς ἐκκλησίαν ἐλθεῖν δυνήσῃ μετὰ τὴν πρὸς τὰς πόρνας ὁμιλίαν; πῶς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, αἷς τὴν πόρνην περιελάμβανες; πῶς κινῆσαι γλῶτταν καὶ τῷ στόματι καλέσαι τούτῳ, ᾧ τὴν πόρνην ἐφίλησας; ποίοις ὀφθαλμοῖς ὄψει τῶν φίλων τοὺς σεμνοτέρους; Καὶ τί λέγω τοὺς φίλους; Κἂν γὰρ μηδεὶς ὁ συνειδὼς ᾖ, σὺ σαυτὸν ἀναγκασθήσῃ πρὸ πάντων ἐρυθριᾶν καὶ αἰσχύνεσθαι καὶ πάντων μᾶλλον τὸ ἑαυτοῦ βδελύττεσθαι σῶμα. Εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ἐπὶ βαλανεῖον μετὰ τὴν ἁμαρτίαν τρέχεις ἐκείνην; οὐκ ἐπειδὴ βορβόρου παντὸς ἀκαθαρτότερον ἑαυτὸν εἶναι νομίζεις; Ποίαν ἑτέραν ζητεῖς μείζονα ἀπόδειξιν τῆς τῶν γεγενημένων ἀκαθαρσίας, ἢ τίνα τὸν Θεὸν προσδοκᾷς ψῆφον οἴσειν, ὅταν ὁ πεπλημμεληκὼς σὺ τοιαύτην περὶ τῶν γεγενημένων γνώμην ἔχῃς;

Ὅτι μὲν οὖν ἀκαθάρτους ἑαυτοὺς εἶναι νομίζουσι, σφόδρα ἐπαινῶ καὶ ἀποδέχομαι· ὅτι δὲ οὐκ ἐπὶ τὸν προσήκοντα τῶν

θαναν οἱ πρῶτοι τους ἄνδρες καὶ ἀφοῦ ἔγιναν προηγουμένως μοιχαλίδες, ἔτσι παντρεύτηκαν τοὺς δεύτερους καὶ ἐπινόησαν ἄλλους τρόπους μιαρούς, γι' αὐτὸ πρόσθεσε, «μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου», γιὰ νὰ μὴν ἔχει τίποτε ἀπ' αὐτὰ ὁ δεύτερος γάμος· γιατὶ ἔτσι θὰ μπορέσει ν' ἀπαλλαγεῖ ἀπὸ τὶς κατηγορίες. Τὸ καλύτερο βέβαια ἀπ' ὅλα εἶναι νὰ μένει πιστὴ στὸν πεθαμένο καὶ νὰ διατηρεῖ τὴ σχέση της πρὸς ἐκεῖνον, νὰ προτιμάει τὴν ἐγκράτεια καὶ νὰ εἶναι ἀφοσιωμένη στὰ παιδιὰ ποὺ τῆς ἔμειναν, ὥστε νὰ ἀποσπάσει περισσότερη τὴν εὔνοια τοῦ Θεοῦ. Ἂν λοιπὸν κάποια θελήσει νὰ πάρει δεύτερο ἄνδρα, ἂς τὸ κάνει αὐτὸ μὲ σωφροσύνη, μὲ σεμνότητα, σύμφωνα μὲ τοὺς νόμους ποὺ πρέπει. Γιατὶ βέβαια καὶ αὐτὸ ἐπιτρέπεται, καὶ μόνο ἡ πορνεία καὶ ἡ μοιχεία δὲν ἐπιτρέπεται.

Αὐτὴ λοιπὸν ἂς τὴν ἀποφεύγουμε, καὶ ἐκεῖνοι ποὺ ἔχουν γυναῖκες καὶ ἐκεῖνοι ποὺ δὲν ἔχουν. Καὶ ἂς μὴν ντροπιάζουμε τὴ ζωή μας, οὔτε νὰ ζοῦμε καταγέλαστη ζωή, οὔτε νὰ μολύνουμε τὸ σῶμα, οὔτε νὰ εἰσαγάγουμε πονηρὴ συνείδηση μέσα μας. Γιατὶ πῶς θὰ μπορέσεις νὰ ἔρθεις στὴν ἐκκλησία μετὰ τὴ συνεύρεση μὲ τὶς πόρνες; πῶς θὰ ὑψώσεις στὸν οὐρανὸ τὰ χέρια μὲ τὰ ὁποῖα ἀγκάλιαζες τὴν πόρνη; πῶς θὰ κινήσεις τὴ γλῶσσα καὶ θὰ προσκαλέσεις τὸ Θεὸ μ' αὐτὸ τὸ στόμα, μὲ τὸ ὁποῖο φίλησες τὴν πόρνη; μὲ ποιά μάτια θὰ δεῖς τοὺς σεμνότερους φίλους σου; Καὶ γιατί λέγω τοὺς φίλους; Γιατὶ καὶ ἂν ἀκόμη κανεὶς δὲ γνωρίζει, ἐσὺ μόνος σου θ' ἀναγκασθεῖς μπροστὰ σὲ ὅλους νὰ κοκκινίζεις καὶ νὰ ντρέπεσαι καὶ νὰ βδελύσσεσαι περισσότερο ἀπ' ὅλους τὸ δικό σου σῶμα. Γιατὶ ἂν δὲν ἦταν αὐτό, γιὰ ποιό λόγο τρέχεις σὲ λουτρὸ ὕστερα ἀπὸ τὴν ἁμαρτία αὐτή; Ὄχι ἐπειδὴ θεωρεῖς τὸν ἑαυτό σου πιὸ ἀκάθαρτο ἀπὸ κάθε βόρβορο; Ποιά ἄλλη μεγαλύτερη ἀπόδειξη ζητᾶς γιὰ τὴν ἀκαθαρσία αὐτῶν ποὺ ἔγιναν, ἢ ποιά ἀπόφαση περιμένεις νὰ βγάλει ὁ Θεός, ὅταν ἐσὺ ποὺ ἔσφαλες ἔχεις τέτοια γνώμη γιὰ τὶς πράξεις αὐτές;

Τὸ ὅτι λοιπὸν θεωροῦν τὸν ἑαυτό τους ἀκάθαρτο, πάρα πολὺ τὸ ἐπαινῶ καὶ τὸ ἐπιδοκιμάζω, τὸ ὅτι ὅμως δὲν ἀκολου-

καθαρσίων ἔρχονται τρόπον, ἐγκαλῶ διὰ τοῦτο καὶ μέμφομαι. Εἰ μὲν γὰρ σωματικὸς ὁ ρύπος ἦν, εἰκότως τοῖς τῶν βαλανείων καθαρμοῖς ἑαυτὸν ἀπέσμηχες, τὴν δὲ ψυχὴν καταρρυπάνας καὶ ποιήσας ἀκάθαρτον, τοιοῦτον ζήτει καθάρσιον, ὃ τὴν ἐκείνης κηλῖδα ἀποσμῆξαι δυνήσεται. Ποῖον δέ ἐστι τῆς τοιαύτης ἁμαρτίας τὸ βαλανεῖον; Θερμαὶ δακρύων πηγαί, στεναγμοὶ κάτωθεν ἀπὸ καρδίαν ἀνιόντες, κατάνυξις διηνεκής, εὐχαὶ ἐκτενεῖς, ἐλεημοσύναι, καὶ ἐλεημοσύναι δαψιλεῖς, τὸ καταγνῶναι τῶν γεγενημένων, τὸ μηκέτι τοῖς αὐτοῖς ἐπιχειρῆσαι πράγμασιν· οὕτως ἁμαρτίας ἀποσμήχεται φύσις, οὕτως ἐκκαθαίρεται τῆς ψυχῆς ὁ ρύπος· ὥστε ἐὰν μὴ τοιαῦτα ποιῶμεν, κἂν ἀπάσας τῶν ποταμῶν διέλθωμεν τὰς πηγάς, οὐδὲ μικρὸν τῆς ἁμαρτίας ταύτης ὑφελέσθαι δυνησόμεθα μέρος. Τὸ μὲν οὖν ἄμεινον, μηκέτι πεῖραν λαβεῖν τῆς μυσαρᾶς ταύτης ἁμαρτίας. Εἰ δ' ἄρα τις ὑποσκελίσθη ποτέ, ταῦτα ἐπιτιθέτω τὰ φάρμακα, πρότερον ὑποσχόμενος μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. Ὡς ἐὰν ἁμαρτάνοντες καταγινώσκωμεν τῶν ἤδη γεγενημένων, πάλιν δὲ τοῖς αὐτοῖς ἐπιχειρῶμεν, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῶν καθαρσίων. Ὁ γὰρ ἀπολουόμενος καὶ τῷ αὐτῷ πάλιν ἐγκυλινδούμενος βορβόρῳ, καὶ ὁ καθαιρῶν πάλιν ὅπερ ᾠκοδόμησε καὶ οἰκοδομῶν πάλιν ἵνα καθέλῃ, οὐδὲν κερδαίνει πλέον, ἢ τὸ περιττὰ ποιεῖσθαι καὶ ταλαιπωρεῖν.

Καὶ ἡμεῖς τοίνυν, ἵνα μὴ μάτην μηδὲ εἰκῇ τὴν ζωὴν ἀναλώσωμεν, τὰ πρότερα ἁμαρτήματα ἐκκαθάρωμεν καὶ τὸν ἐπίλοιπον ἅπαντα βίον ἐν σωφροσύνῃ καὶ κοσμιότητι καὶ τῇ λοιπῇ διαγάγωμεν ἀρετῇ ἵνα, καὶ τὸν Θεὸν ἔχοντες ἵλεων, τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

θοῦν τὸν κατάλληλο τρόπο νὰ καθαρισθοῦν γι' αὐτὸ τοὺς κατηγορῶ καὶ τοὺς κατακρίνω. Γιατὶ ἂν ἦταν σωματικὴ ἡ ἀκαθαρσία, εὔλογα θὰ καθάριζες τὸν ἑαυτό σου στὰ λουτρά, τώρα ὅμως ποὺ κηλίδωσες τὴν ψυχή σου καὶ τὴν ἔκανες ἀκάθαρτη, ζήτα τέτοιο καθαρτικὸ ποὺ θὰ μπορέσει νὰ καθαρίσει τὴν κηλίδα της. Καὶ ποιό εἶναι τὸ λουτρὸ αὐτῆς τῆς ἁμαρτίας; Πηγὲς ἀπὸ θερμὰ δάκρυα, στεναγμοὶ ποὺ ἀνεβαίνουν ἀπὸ τὰ βάθη τῆς καρδιᾶς, συνεχὴς κατάνυξη, ἐκτεταμένες προσευχές, ἐλεημοσύνες, καὶ μάλιστα ἐλεημοσύνες γενναιόδωρες, τὸ νὰ καταδικάζει κανεὶς αὐτὲς τὶς πράξεις καὶ νὰ μὴν ἐπιχειρεῖ πιὰ τὰ ἴδια πράγματα. Ἔτσι ἀπαλλάσσεται ἡ φύση ἀπὸ τὴν ἁμαρτία, ἔτσι καθαρίζεται ὁ ρύπος τῆς ψυχῆς. Ἑπομένως, ἂν δὲν κάνουμε τέτοια πράγματα, καὶ ἂν ἀκόμη περάσουμε ὅλες τὶς πηγὲς τῶν ποταμῶν, δὲ θὰ μπορέσουμε οὔτε ἕνα μικρὸ μέρος αὐτῆς τῆς ἁμαρτίας νὰ ἀφαιρέσουμε. Τὸ καλύτερο λοιπὸν εἶναι νὰ μὴ γνωρίσει ποτὲ κανεὶς αὐτὴ τὴ βρωμερὴ ἁμαρτία. Ἂν ὅμως κάποιος ἔπεσε κάποτε, ἂς ἐπιθέσει αὐτὰ τὰ φάρμακα, ἀφοῦ πρῶτα ὑποσχεθεῖ, πὼς δὲ θὰ περιπέσει πιὰ στὰ ἴδια. Ὥστε, ἂν ἁμαρτάνοντας καταδικάζουμε αὐτὰ ποὺ ἤδη ἔγιναν καὶ ἐπιχειροῦμε πάλι τὰ ἴδια, δὲ θὰ μᾶς ὠφελήσουν καθόλου τὰ καθαρτικὰ φάρμακα. Γιατὶ αὐτὸς ποὺ λούζεται καὶ κυλιέται πάλι στὸν ἴδιο βοῦρκο, καὶ αὐτὸς ποὺ γκρεμίζει πάλι ἐκεῖνο ποὺ ἔκτισε, καὶ αὐτὸς ποὺ κτίζει πάλι γιὰ νὰ τὸ γκρεμίσει, τίποτε δὲν κερδίζει περισσότερο, παρὰ νὰ κάνει περιττὰ πράγματα καὶ νὰ ταλαιπωρεῖται.

Καὶ ἐμεῖς λοιπόν, γιὰ νὰ μὴν ξοδέψουμε μάταια καὶ ἄσκοπα τὴ ζωή μας, ἂς καθαρίσουμε τὰ προηγούμενα ἁμαρτήματά μας καὶ ἂς περάσουμε ὅλη τὴν ὑπόλοιπη ζωή μας μὲ σωφροσύνη καὶ σεμνότητα καὶ μὲ κάθε ἀρετή, ὥστε, ἔχοντας καὶ τὸ Θεὸ εὐμενὴ ἀπέναντι μας, νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΜΑΞΙΜΟΝ

ΚΑΙ ΠΕΡΙ

ΤΟΥ ΠΟΙΑΣ ΔΕΙ ΑΓΕΣΘΑΙ ΓΥΝΑΙΚΑΣ



ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΜΑΞΙΜΟΝ

ΚΑΙ ΠΕΡΙ ΤΟΥ ΠΟΙΑΣ ΔΕΙ ΑΓΕΣΘΑΙ ΓΥΝΑΙΚΑΣ

1. Ὅτι μὲν ἀπελείφθην ὑμῶν τῇ παρελθούσῃ συνάξει ἤλγησα, ὅτι δὲ πλουσιωτέρας ἀπελαύσατε τραπέζης ἥσθην. Ὁ γὰρ μετ' ἐμοῦ τὸν ζυγὸν ἕλκων, τήν τε αὔλακα πρώτην ἡμῖν ἀνέτεμε καὶ τὰ σπέρματα κατέβαλε δαψιλεῖ γλώττῃ καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας ἐγεώργησε τὰς ὑμετέρας ψυχάς. Εἴδετε γλῶτταν ἐκκεκαθαρμένην, ἠκούσατε λόγον ἀποτετορνευμένον, ἀπελαύσατε ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον, εἴδετε πηγὴν ποταμοὺς ἀφιεῖσαν χρυσίου καθαροῦ. Λέγεταί τις ποταμὸς χρυσίου ψήγματα φέρειν τοῖς περιοικοῦσιν αὐτὸν ἀνθρώποις, οὐ τῆς φύσεως τῶν ὑδάτων τὸ χρυσίον τικτούσης, ἀλλ' ἐπειδὴ τοῦ ποταμοῦ τὰς πηγὰς ἐν μεταλλικοῖς ὄρεσι διέρχεσθαι συνέβη, δι' ἐκείνων τῶν ὀρέων ὁ ποταμὸς ῥέων καὶ τὴν χρυσῖτιν παρασύρων γῆν, θησαυρὸς τοῖς παροικοῦσι γίνεται, ἐσχεδιασμένον παρέχων τὸν πλοῦτον. Τοῦτον καὶ ὁ διδάσκαλος οὗτος ἐμιμήσατο πρῴην τὸν ποταμόν, ὥσπερ διὰ μεταλλικῶν ὀρέων, τῶν Γραφῶν ῥέων, καὶ τὰ χρυσίου παντὸς τιμιώτερα νοήματα ταῖς ὑμετέραις κομίζων ψυχαῖς.

Καὶ οἶδα μὲν ὅτι πτωχότερα τὰ ἡμέτερα ὑμῖν φαίνεται σήμερον. Ὁ γὰρ πενιχρᾶς ἀπολαύων τραπέζης διηνεκῶς, ἂν εὐπορωτέρας μεταξύ πού τινος ἐπιτύχῃ εἶτα πρὸς τὴν ἑαυτοῦ πάλιν ἐπανέλθῃ, μᾶλλον αὐτῆς κατόψεται τὴν πενίαν. Οὐ μὴν διὰ τοῦτο ὀκνηρότερον ἀποδύσομαι. Ἴστε γάρ, Παύλῳ μαθητευθέν-



ΕΓΚΩΜΙΟ ΣΤΟ ΜΑΞΙΜΟ

ΚΑΙ ΓΙΑ ΤΟ ΠΟΙΕΣ ΓΥΝΑΙΚΕΣ ΠΡΕΠΕΙ ΝΑ ΠΑΙΡΝΟΥΝ ΟΙ ΑΝΔΡΕΣ

1. Λυπήθηκα ποὺ ἀπουσίασα ἀπὸ τὴν προηγούμενη σύναξή σας, εὐχαριστήθηκα ὅμως ποὺ ἀπολαύσατε πλουσιότερο τραπέζι. Γιατὶ αὐτὸς ποὺ σύρει μαζί μου τὸ ζυγό, καὶ τὸ πρῶτο αὐλάκι μᾶς ἄνοιξε καὶ τοὺς σπόρους ἔρριξε ἄφθονους μὲ τὴ γλῶσσα καὶ μὲ πολλὴ φροντίδα καλλιέργησε τὶς ψυχές σας. Εἴδατε γλῶσσα καθαρή, ἀκούσατε λόγο τορνευμένο, ἀπολαύσατε νερὸ ποὺ πηδάει σὲ ζωὴ αἰώνια, εἴδατε πηγὴ ποὺ ἀφήνει ποταμοὺς μὲ καθαρὸ χρυσάφι. Λέγεται ὅτι ἕνας ποταμὸς φέρνει ψήγματα χρυσοῦ στοὺς ἀνθρώπους ποὺ κατοικοῦν κοντά του, ὄχι γιατὶ ἡ φύση τοῦ νεροῦ γεννάει τὸ χρυσάφι, ἀλλὰ γιατὶ συμβαίνει οἱ πηγὲς τοῦ ποταμοῦ νὰ περνοῦν μέσα ἀπὸ μεταλλικὰ βουνά, καὶ ἔτσι καὶ ὁ ποταμὸς ρέοντας μέσα ἀπὸ τὰ βουνὰ αὐτὰ καὶ παρασύροντας τὸ χρυσοφόρο χῶμα γίνεται θησαυρὸς γι' αὐτοὺς ποὺ κατοικοῦν κοντά του, παρέχοντας ἕτοιμο τὸν πλοῦτο. Αὐτὸν τὸν ποταμὸ μιμήθηκε στὴν προηγούμενη σύναξη καὶ ὁ διδάσκαλος αὐτός, ρέοντας μέσα ἀπὸ τὶς Γραφὲς σὰν μέσα ἀπὸ μεταλλικὰ βουνὰ καὶ φέρνοντας στὶς ψυχές σας τὰ πολυτιμότερα ἀπὸ κάθε χρυσάφι νοήματα.

Καὶ γνωρίζω βέβαια πὼς τὰ δικά μου σᾶς φαίνονται φτωχότερα σήμερα. Γιατί, ἐκεῖνος ποὺ συνεχῶς ἀπολαμβάνει φτωχὸ τραπέζι, ἂν στὸ μεταξὺ συναντήσει κάπου πλουσιότερο καὶ ὕστερα ξαναγυρίσει στὸ δικό του πάλι, θὰ διαπιστώσει καλύτερα τὴ φτώχεια τοῦ τρεπεζιοῦ του. Ἀλλ' ὅμως δὲ θὰ φανῶ γι' αὐτὸ πιὸ διστακτικὸς στὴν ὁμιλία μου. Γιατὶ γνωρίζετε,

τες, καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι, καὶ τοὺς πλουσίους θαυμάζειν καὶ τοὺς πένητας μὴ διαπτύειν. Καὶ καθάπερ οἱ φίλοινοι καὶ οἱ φιλοπόται ἀσπάζονται μὲν τὸν ἀμείνω οἶνον, οὐ μὴν δὲ τοῦ καταδεεστέρου καταφρονοῦσιν, οὕτω δὴ καὶ ὑμεῖς περὶ τὴν τῶν θείν λογίων ἀκρόασιν μεμηνότες, ἀποδέχεσθε μὲν τοὺς σοφωτέρους τῶν διδασκάλων, καὶ τοῖς εὐτελεστέροις δὲ οὐ τὴν τυχοῦσαν παρέχετε σπουδὴν καὶ προθυμίαν. Οἱ μὲν γὰρ χαῦνοι καὶ διαλελυμένοι καὶ πρὸς τὴν πολυτελεστέραν ναυτιῶσι τράπεζαν, οἱ δὲ διεγηγερμένοι καὶ νήφοντες καὶ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην καὶ πρὸς τὴν πενεστέραν μετὰ πολλῆς τρέχουσι προθυμίας.

Καὶ ὅτι οὐ κολακεία τὰ ρήματα, ἀπὸ τῆς πρῴην ὑμῖν διαλέξεως γενομένης τοῦτο ἐδείξατε μάλιστα. Ἐπειδὴ γὰρ πολλοὺς περὶ γάμων λόγους ἐποιούμεθα πρὸς ὑμᾶς, δεικνύντες ὅτι μοιχεία τις ἀπηρτισμένη τὸ ἐκβάλλειν γυναῖκας ἢ ἐκβεβλημένας λαμβάνειν, ζώντων ἔτι τῶν προτέρων ἀνδρῶν, καὶ τὸν τοῦ Χριστοῦ νόμον ἀναγινώσκοντες τὸν λέγοντα, ὅτι, «ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται, καὶ ὁ ἀπολύων γυναῖκα, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι», πολλοὺς εἶδον κάτω κύπτοντας, τὸ πρόσωπον τύπτοντας καὶ οὐδὲ ἀνανεῦσαι δυναμένους, τότε δὴ καὶ εἰς τὸν οὐρανὸν ἀναβλέψας εἶπον· 'εὐλογητὸς ὁ Θεός, ὅτι οὐκ εἰς νεκρὰς ἀκοὰς ἐνηχοῦμεν, ἀλλ' ἐπιλαμβάνεται τῆς διανοίας τῶν ἀκουόντων τὰ λεγόμενα μετὰ πολλῆς τῆς σφοδρότητος. Ἄμεινον μὲν γὰρ μηδ' ὅλως ἁμαρτεῖν, οὐ μικρὸν δὲ εἰς σωτηρίας λόγον κατοδυνηθῆναι καὶ καταγνῶναι τὸν ἁμαρτάνοντα τῆς ἑαυτοῦ ψυχῆς καὶ μαστίξαι τὸ συνειδὸς μετὰ πολλῆς τῆς ἀκριβείας· ἡ γὰρ τοιαύτη κατάγνωσις δικαιοσύνης ἐστὶ μέρος καὶ ὅλως ἐπὶ τὸ μηκέτι ἁμαρτάνειν ἄγουσα.

Διὰ τοῦτο καὶ ὁ Παῦλος λυπήσας τοὺς ἡμαρτηκότας ἔχαιρεν, οὐχ ὅτι ἐλύπησεν ἀλλ' ὅτι τῇ λύπῃ διώρθωσεν. «Ἐχάρην» γάρ, φησίν, «οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετά-

1. Ματθ. 5,32.

ἀφοῦ ὑπήρξατε μαθητὲς τοῦ Παύλου, καὶ νὰ χορταίνετε καὶ νὰ πεινᾶτε, καὶ νὰ περισσεύετε καὶ νὰ ὑστερεῖτε, καὶ τοὺς πλούσιους νὰ θαυμάζετε καὶ τοὺς φτωχοὺς νὰ μὴν περιφρονεῖτε. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἀγαποῦν τὸ κρασὶ καὶ τὸ ποτὸ ἐπιζητοῦν τὸ καλύτερο κρασὶ ἀλλὰ δὲν περιφρονοῦν τὸ κατώτερο, ἔτσι καὶ σεῖς, ἐπιθυμῶντας ὑπερβολικὰ τὴν ἀκρόαση τῶν θείων λόγων, δέχεστε βέβαια τοὺς πιὸ σοφοὺς διδασκάλους, ἀλλὰ καὶ στοὺς πιὸ ἀσήμαντους δὲ δείχνετε μικρότερο ἐνδιαφέρον καὶ προθυμία. Γιατὶ οἱ χαῦνοι καὶ παραλυμένοι ἀηδιάζουν καὶ στὸ πολυτελέστερο τραπέζι, ἐνῶ ἐκεῖνοι ποὺ εἶναι διεγερμένοι καὶ μὲ νηφάλια διάθεση καὶ πεινοῦν καὶ διψοῦν τὴ δικαιοσύνη τρέχουν μὲ πολλὴ προθυμία καὶ στὸ φτωχότερο τραπέζι.

Καὶ ὅτι δὲν εἶναι κολακεία αὐτὰ τὰ λόγια, τὸ δείξατε πρὸ πάντων κατὰ τὴν προηγούμενη ὁμιλία μου σὲ σᾶς. Γιατὶ μιλῶντας καὶ λέγοντάς σας πολλὰ γιὰ τὸ γάμο, καὶ δείχνοντας ὅτι εἶναι πραγματικὴ μοιχεία τὸ νὰ χωρίζουν οἱ ἄνδρες τὶς γυναῖκες ἢ νὰ παίρνουν ἄλλοι τὶς χωρισμένες ἐνῶ ζοῦν ἀκόμη οἱ πρῶτοι τους ἄνδρες, καὶ διαβάζοντας τὸ νόμο τοῦ Χριστοῦ ποὺ λέγει, «ὅποιος παντρευθεῖ χωρισμένη γυναίκα διαπράττει μοιχεία, καὶ ὅποιος χωρίζει τὴ γυναίκα του, ἐκτὸς ἀπὸ τὴν αἰτία τῆς πορνείας, τὴν ὁδηγεῖ στὴ μοιχεία»[1], εἶδα πολλοὺς νὰ σκύβουν κάτω νὰ χτυποῦν τὸ πρόσωπο καὶ νὰ μὴν μποροῦν νὰ σηκώσουν τὸ κεφάλι τους πάνω. Τότε λοιπὸν βλέποντας στὸν οὐρανὸ εἶπα· 'εὐλογημένος ἂς εἶναι ὁ Θεός, γιατὶ δὲν κηρύττω σὲ νεκρὲς ἀκοές, ἀλλὰ τὰ λεγόμενα φθάνουν μὲ πολλὴ δύναμη στὸ νοῦ τῶν ἀκροατῶν'. Καλύτερα βέβαια εἶναι νὰ μὴν ἁμαρτήσει κανεὶς καθόλου, ἀλλὰ δὲν εἶναι μικρὸ πράγμα γιὰ τὴ σωτηρία του νὰ αἰσθανθεῖ ὀδύνη ὁ ἁμαρτωλός, νὰ καταδικάσει τὴν ψυχή του καὶ νὰ μαστιγώσει τὴ συνείδησή του μὲ πολλὴ ἀκρίβεια. Γιατὶ μιὰ τέτοια καταδίκη εἶναι μέρος τῆς δικαιοσύνης καὶ ὁδηγεῖ ὁπωσδήποτε στὸ νὰ μὴν ἁμαρτάνει πιὰ κανείς.

Γι' αὐτὸ καὶ ὁ Παῦλος ὅταν λύπησε ἐκείνους ποὺ ἁμάρτησαν χαιρόταν, ὄχι γιατὶ τοὺς λύπησε, ἀλλὰ γιατὶ μὲ τὴ λύπη τοὺς διόρθωσε. «Χάρηκα», λέγει, «ὄχι γιατὶ λυπηθήκατε, ἀλλὰ

νοιαν· ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται». Εἴτε γὰρ ὑπὲρ τῶν οἰκείων, εἴτε ὑπὲρ τῶν ἀλλοτρίων τότε ἁμαρτημάτων ἠλγήσατε, μυρίων εἴητε ἐπαίνων ἄξιοι. Ὅτε γὰρ ὑπὲρ τῶν ἀλλοτρίων ἀλγήσει τις, ἀποστολικὰ ἀποδείκνυται σπλάγχνα καὶ τὸν ἅγιον ἐκεῖνον μιμεῖται τὸν λέγοντα· «τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι;» Ὅτε δὲ ὑπὲρ τῶν οἰκείων δηχθῇ, τήν τε ἐπὶ τοῖς ἤδη τολμηθεῖσι κόλασιν ἔσβεσε καὶ πρὸς τὰ μέλλοντα ἑαυτὸν ἀσφαλέστερον διὰ τῆς λύπης ταύτης ἐποίησε. Διὰ ταῦτα κἀγὼ κύπτοντας ὁρῶν καὶ στενάζοντας καὶ τὸ πρόσωπον τύπτοντας, ἔχαιρον τὸν ἀπὸ τῆς λύπης ταύτης ἐννοῶν καρπόν. Διὰ τοῦτο καὶ σήμερον περὶ τῆς αὐτῆς ὑμῖν ὑποθέσεως διαλέξομαι, ὥστε τοὺς βουλομένους εἰς γάμον ἐλθεῖν πολλὴν ὑπὲρ τοῦ πράγματος τούτου ποιεῖσθαι πρόνοιαν.

Εἰ γὰρ οἰκίας ὠνεῖσθαι μέλλοντες καὶ οἰκέτας περιεργαζόμεθα καὶ πολυπραγμονοῦμεν τούς τε πωλοῦντας, τούς τε ἔμπροσθεν κτησαμένους, αὐτῶν τῶν πωλουμένων τῶν μὲν τὴν κατασκευήν, τῶν δὲ καὶ τὴν τοῦ σώματος ἕξιν καὶ τὴν τῆς ψυχῆς προαίρεσιν, πολλῷ μᾶλλον γυναῖκας μέλλοντες ἄγεσθαι, πρόνοιαν τοσαύτην καὶ πολλῷ πλείονα ἐπιδείκνυσθαι χρή. Οἰκίαν μὲν γὰρ φαύλην οὖσαν ἀποδόσθαι πάλιν ἔξεστι, καὶ οἰκέτην σκαιὸν φανέντα ἀποδοῦναι τῷ πεπρακότι πάλιν ἀφίεται, γυναῖκα δὲ λαμβάνοντα ἀποδοῦναι πάλιν τοῖς ἐκδεδωκόσιν οὐκ ἔνι, ἀλλὰ ἀνάγκη πᾶσα διὰ τέλους ἔνδον ἔχειν, ἢ πονηρὰν οὖσαν ἐκβάλλοντα, μοιχείᾳ ἁλίσκεσθαι κατὰ τοὺς τοῦ Θεοῦ νόμους. Ὅταν οὖν μέλλῃς λαμβάνειν γυναῖκα μὴ τοὺς ἔξωθεν ἀναγίνωσκε νόμους μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνων τοὺς παρ' ἡμῖν κειμένους· κατὰ γὰρ τούτους οὐ κατ' ἐκείνους σοι μέλλει κρίνειν κατὰ τὴν ἡμέραν ἐκείνην ὁ Θεός· κἀκεῖνοι μὲν παροφθέντες εἰς

2. Β' Κορ. 7,9–10.
3. Β' Κορ. 11,29.

γιατὶ ἡ λύπη ἐκείνη σᾶς ὁδήγησε στὴ μετάνοια. Γιατὶ ἡ λύπη ποὺ ἀντιμετωπίζεται σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ ὁδηγεῖ στὴ μετάνοια, καὶ αὐτὴ καταλήγει στὴ σωτηρία, γιὰ τὴν ὁποία κανεὶς δὲ μετανιώνει»[2]. Εἴτε λοιπὸν πονέσατε τότε γιὰ τὰ δικά σας εἴτε γιὰ τὰ ξένα ἁμαρτήματα, εἶστε ἄξιοι γιὰ ἄπειρους ἐπαίνους. Γιατί, ὅταν κανεὶς πονέσει γιὰ τὰ ξένα, φανερώνει ἀποστολικὴ καρδιὰ καὶ μιμεῖται τὸν ἅγιο ἐκεῖνον ποὺ λέγει, «ποιός δὲν ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ; ποιός σκανδαλίζεται καὶ ἐγὼ δὲ φλογίζομαι;»[3]. Ὅταν ὅμως πονέσει γιὰ τὰ δικά του, ἔσβησε καὶ τὴν τιμωρία γι' αὐτὰ ποὺ ἤδη τόλμησε καὶ μὲ τὴ λύπη αὐτὴ ἔκανε τὸν ἑαυτό του ἀσφαλέστερο γιὰ τὰ μελλοντικά. Γι' αὐτὸ καὶ ἐγώ, βλέποντας νὰ σκύβετε καὶ νὰ στενάζετε καὶ νὰ χτυπᾶτε τὸ πρόσωπο, χαιρόμουν, κατανοώντας τὸν καρπὸ ἀπὸ τὴ λύπη αὐτή. Γι' αὐτὸ καὶ σήμερα θὰ σᾶς μιλήσω γιὰ τὸ ἴδιο θέμα, ὥστε αὐτοὶ ποὺ θέλουν νὰ ἔρθουν σὲ γάμο νὰ φροντίζουν πολὺ γιὰ τὸ πράγμα αὐτό.

Ἂν λοιπὸν ὅταν πρόκειται ν' ἀγοράσουμε σπίτια καὶ ὑπηρέτες περιεργαζόμαστε καὶ ἐξετάζουμε προσεκτικὰ καὶ τοὺς πωλητὲς καὶ τοὺς προηγούμενους ἰδιοκτῆτες, καὶ ἀπὸ τὰ πωλούμενα ἐξετάζουμε καὶ τὴν κατασκευὴ τῶν σπιτιῶν καὶ τὸ παράστημα τοῦ σώματος καὶ τὴ διάθεση τῆς ψυχῆς τῶν ὑπηρετῶν, πολὺ περισσότερο ὅταν πρόκειται νὰ πάρουμε γυναῖκες πρέπει νὰ δείχνουμε τόση φροντίδα καὶ μάλιστα πολὺ μεγαλύτερη. Γιατὶ ἕνα σπίτι ποὺ εἶναι σὲ κακὴ κατάσταση μπορεῖ νὰ ἀκυρώσει κανεὶς τὴν ἀγορά του, καὶ ἕναν ὑπηρέτη ποὺ φάνηκε ἀδέξιος εἶναι δυνατὸ νὰ τὸν ἐπιστρέψει πάλι σ' αὐτὸν ποὺ τοῦ τὸν πούλησε, τὴ γυναίκα ὅμως ὅταν τὴν πάρει δὲν εἶναι δυνατὸ νὰ τὴν ἐπιστρέψει πάλι σ' ἐκείνους ποὺ τοῦ τὴν ἔδωσαν, ἀλλὰ ἀναγκαστικὰ τὴν ἔχει σπίτι του μέχρι τέλος ἢ τὴ χωρίζει ὅταν εἶναι κακή, ἂν δηλαδὴ συλληφθεῖ γιὰ μοιχεία σύμφωνα μὲ τοὺς νόμους τοῦ Θεοῦ. Ὅταν λοιπὸν πρόκειται νὰ πάρεις γυναίκα, νὰ μὴ διαβάζεις μόνο τοὺς νόμους τῆς πολιτείας, ἀλλὰ πρὶν ἀπὸ ἐκείνους, τοὺς νόμους αὐτοὺς ποὺ ἰσχύουν σὲ μᾶς. Γιατὶ σύμφωνα μ' αὐτοὺς καὶ ὄχι σύμφωνα μ' ἐκείνους πρόκειται νὰ σὲ

χρήματα τὴν ζημίαν πολλάκις ἤνεγκαν, οὗτοι δὲ τοῦτο παθόντες τῇ ψυχῇ τὰς ἀπαραιτήτους ἐπάγουσι τιμωρίας καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον.

2. Σὺ δὲ ὅταν μέλλῃς ἄγεσθαι γυναῖκα, πρὸς μὲν τοὺς ἔξω νομικοὺς μετὰ πολλῆς τρέχεις τῆς σπουδῆς καὶ παρακαθήμενος αὐτοῖς μετὰ πάσης ἀκριβείας ἐξετάζεις, τί μὲν ἔσται ἐὰν ἄπαις τελευτήσῃ ἡ γυνή, τί δὲ ἐὰν ἔχουσα παῖδα, τί δὲ ἐὰν δύο καὶ τρεῖς, καὶ πῶς μὲν ἔχουσα πατέρα, πῶς δὲ οὐκ ἔχουσα τοῖς ἑαυτῆς χρήσεται πράγμασι, καὶ τί μὲν εἰς τοὺς ἀδελφοὺς ἥξει τοῦ κλήρου, τί δὲ εἰς τὸν συνοικοῦντα, καὶ πότε κύριος ἔσται τοῦ παντός, μηδένα μηδὲν ἀφεῖναι τῶν ἐκείνης παρασπάσασθαι μέρος, καὶ πότε τοῦ παντὸς ἐκπεσεῖται· καὶ πολλὰ ἕτερα τοιαῦτα πολυπραγμονεῖς παρ' ἐκείνων καὶ ζητεῖς, πάντα περιιὼν καὶ περισκοπῶν, ὅπως ἐκ μηδενὸς γένηται τρόπου τι τῶν γυναικὸς πραγμάτων εἴς τινα τῶν ἐκείνῃ προσηκόντων ἐλθεῖν· καίτοι, ὅπερ ἔφθην εἰπών, εἰ καί τι συμβαίη τῶν ἀδοκήτων, ἐν χρήμασιν ἔσται τὰ τῆς ζημίας, ἀλλ' ὅμως οὐκ ἀνέχῃ τούτων οὐδὲν παριδεῖν. Πῶς οὖν οὐκ ἄτοπον χρημάτων μὲν ἡμῖν ἀπόλλυσθαι μελλόντων τοσαύτην σπουδὴν ἐπιδείκνυσθαι, ὑπὲρ δὲ ψυχῆς ὄντος ἡμῖν τοῦ κινδύνου καὶ τῶν εὐθυνῶν τῶν ἐκεῖ μηδένα ποιεῖσθαι λόγον, δέον πρὸ τῶν ἄλλων πάντων ταῦτα ζητεῖν καὶ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν;

Διὸ παραινῶ καὶ συμβουλεύω τοὺς μέλλοντας ἄγεσθαι γυναῖκας, πρὸς τὸν μακάριον Παῦλον ἀπαντᾶν καὶ τοὺς παρ' αὐτῷ κειμένους περὶ γάμων ἀναγινώσκειν νόμους καὶ μαθόντας πρότερον τί κελεύει ποιεῖν, ὅταν πονηρὰ καὶ ὕπουλος καὶ μέθης ἐλάττων καὶ λοίδορος καὶ ἀνοίας γέμουσα καὶ ὁτιοῦν ἄλλο τοιοῦτον ἐλάττωμα ἔχουσα τύχῃ γυνή, οὕτω διαλέγεσθαι περὶ γάμου. Ἂν μὲν γὰρ ἴδῃς ὅτι σοι δίδωσιν ἐξουσίαν ἓν τούτων εὑρόντα τῶν ἐλαττωμάτων ἐκβάλλειν μὲν ἐκείνην, εἰσάγειν δὲ ἑτέραν, ὡς παντὸς ἀπηλλαγμένος κινδύνου θάρρει· ἂν δὲ τοῦτο

κρίνει ὁ Θεὸς κατὰ τὴν ἡμέρα ἐκείνη. Καὶ ἐκεῖνοι ὅταν τοὺς παραβλέψει κανεὶς προξενοῦν πολλὲς φορὲς χρηματικὴ ζημία, ἐνῶ αὐτοὶ ἂν πάθουν τοῦτο φέρνουν στὴν ψυχὴ ἀναπόφευκτες τιμωρίες καὶ τὴ φωτιὰ ἐκείνη τὴν ἄσβεστη.

2. Ἐσὺ ὅμως ὅταν πρόκειται νὰ πάρεις γυναίκα τρέχεις μὲ πολλὴ προθυμία στοὺς μὴ χριστιανοὺς νομικούς, κάθεσαι κοντά τους καὶ μὲ κάθε ἀκρίβεια καὶ προσοχὴ ἐξετάζεις τί θὰ συμβεῖ ἂν ἡ γυναίκα πεθάνει ἄτεκνη καὶ τί ἂν ἔχει ἕνα παιδί, τί ἂν ἔχει δύο καὶ τρία παιδιά, καὶ πῶς θὰ χρησιμοποιήσει τὰ πράγματά της ἂν ἔχει πατέρα καὶ πῶς ἂν δὲν ἔχει, τί θὰ πάει στοὺς ἀδελφούς της ἀπὸ τὴν κληρονομιὰ καὶ τί στὸ σύζυγο, πότε θὰ εἶναι κύριος ὅλης τῆς περιουσίας γιὰ νὰ μὴν ἀφήνει σὲ κανένα νὰ ἀποσπάσει κάποιο μέρος ἀπὸ τὴ δική της περιουσία, καὶ πότε θὰ συμβεῖ νὰ τὰ χάσει ὅλα. Καὶ πολλὰ ἄλλα τέτοια ἐξετάζεις καὶ ζητᾶς ἀπὸ ἐκείνους, περιεργαζόμενος καὶ ἐρευνώντας μὲ προσοχὴ ὅλα, ὥστε μὲ κανένα τρόπο νὰ μὴν περιέλθει κάτι ἀπὸ τὰ πράγματα τῆς γυναίκας σὲ κάποιον ἀπὸ τοὺς συγγενεῖς της. Μολονότι, ὅπως εἶπα προηγουμένως, ἂν συμβεῖ καὶ κάτι ἀπροσδόκητο ἡ ζημία θὰ εἶναι χρηματική, ἀλλ' ὅμως δὲ δέχεσαι νὰ παραβλέψεις τίποτε ἀπ' αὐτά. Πῶς λοιπὸν δὲν εἶναι παράλογο ὅταν πρόκειται νὰ χάσουμε χρήματα νὰ δείχνουμε τόσο ἐνδιαφέρον, ὅταν ὅμως ὁ κίνδυνος εἶναι γιὰ τὴν ψυχή μας καὶ γιὰ τὶς εὐθύνες μας ἐκεῖ νὰ μὴν κάνουμε κανένα λόγο, ἐνῶ ἔπρεπε πρὶν ἀπ' ὅλα τὰ ἄλλα αὐτὰ νὰ ζητᾶμε καὶ νὰ ἐξετάζουμε καὶ νὰ ἐρευνᾶμε;

Γι' αὐτὸ προτρέπω καὶ συμβουλεύω αὐτοὺς ποὺ πρόκειται νὰ παντρευθοῦν, νὰ καταφεύγουν στὸ μακάριο Παῦλο καὶ νὰ διαβάζουν τὶς εἰδικὲς γιὰ τὸ γάμο ἐντολὲς ποὺ βρίσκονται στὶς ἐπιστολές του καί, ἀφοῦ μάθουν πρῶτα τί προστάζει νὰ κάνουν ὅταν ἡ γυναίκα εἶναι πονηρὴ καὶ ὕπουλη καὶ μέθυση καὶ λοίδορη καὶ ἀνόητη καὶ τύχει νὰ ἔχει ὁποιοδήποτε ἄλλο τέτοιο ἐλάττωμα, τότε νὰ συζητοῦν γιὰ γάμο. Ἂν λοιπὸν δεῖς ὅτι σοῦ δίνει τὸ δικαίωμα, ὅταν βρεῖς ἕνα ἀπ' αὐτὰ τὰ ἐλαττώματα, νὰ τὴ χωρίζεις ἐκείνη καὶ νὰ παίρνεις ἄλλη, μὴ φοβᾶσαι, γιατὶ εἶσαι

μὲν οὐκ ἐπιτρέπῃ, κελεύῃ δὲ πλὴν πορνείας πάντα τὰ ἄλλα ἐλαττώματα ἔχουσαν στέργειν καὶ ἔνδον κατέχειν, οὕτως ἀσφάλισαι ἑαυτόν, ὡς μέλλων ἅπασαν φέρειν τῆς γυναικὸς τὴν πονηρίαν. Εἰ δὲ βαρὺ τοῦτο καὶ φορτικόν, πάντα ποίει καὶ πραγματεύου, ὥστε χρηστὴν καὶ ἐπιεικῆ καὶ πειθήνιον γυναῖκα λαβεῖν, εἰδὼς ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ πονηρὰν λαβόντα γυναῖκα φέρειν αὐτῆς τὴν ἐπάχθειαν, ἢ τοῦτο μὴ βουλόμενον ἐκβαλόντα μοιχείᾳ ἁλίσκεσθαι. «Ὁ γὰρ ἐκβάλλων γυναῖκα», φησί, «παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι· καὶ ὁ ἀπολελυμένην γαμῶν μοιχᾶται».

Ἂν ταῦτα πρὸ τοῦ γάμου καλῶς ὦμεν διεσκεμμένοι καὶ τοὺς νόμους τούτους εἰδότες, πολλὴν ποιησόμεθα σπουδήν, ὥστε ἐξ ἀρχῆς εὔρυθμόν τινα καὶ συμβαίνουσαν τοῖς ἡμετέροις τρόποις γυναῖκα λαβεῖν· τοιαύτην δὲ λαβόντες οὐ τοῦτο καρπωσόμεθα μόνον, ὅτι οὐδέποτε αὐτὴν ἐκβαλοῦμεν, ἀλλ' ὅτι καὶ μετὰ πολλῆς αὐτὴν ἀγαπήσομεν τῆς σφοδρότητος καὶ μεθ' ὅσης ὁ Παῦλος ἐκέλευσεν. Εἰπὼν γάρ, «οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας», οὐκ ἔστη μέχρι τούτου μόνον, ἀλλὰ καὶ μέτρον ἡμῖν ἔδωκεν ἀγάπης, «καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν». Καὶ πῶς ἠγάπησεν ὁ Χριστός; εἰπέ μοι. «Ὅτι παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς». Ὥστε κἂν ἀποθανεῖν ὑπὲρ τῶν γυναικῶν δέῃ, μὴ παραιτήσῃ. Εἰ γὰρ ὁ Δεσπότης τὴν δούλην οὕτως ἠγάπησεν, ὡς καὶ ἑαυτὸν ἐπιδοῦναι ὑπὲρ αὐτῆς, πολλῷ μᾶλλον σὲ τὴν ὁμόδουλον οὕτως ἀγαπᾶν χρή.

Ἀλλ' ἴδωμεν μή ποτε τὸ κάλλος τῆς νύμφης ἐπεσπάσατο τὸν νυμφίον καὶ ἡ ἀρετὴ τῆς ψυχῆς. Οὐκ ἔστι τοῦτο εἰπεῖν. Ὅτι γὰρ δυσειδὴς ἦν καὶ ἀκάθαρτος ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γάρ, «παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς», ἐπήγαγεν, «ἵνα ἁγιάσῃ αὐτὴν καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος». Εἰπὼν δέ, «καθαρίσας αὐτήν», ἔδειξεν ἀκάθαρτον οὖσαν ἔμπροσθεν καὶ ἐναγῆ καὶ οὐχ

---

4. Ματθ. 5,32. 5. Ἐφ. 5,25.

ἀπαλλαγμένος ἀπὸ κάθε κίνδυνο. Ἂν ὅμως δὲν τὸ ἐπιτρέπει αὐτό, ἀλλὰ προστάζει ὅλα τὰ ἄλλα ἐλαττώματα ποὺ ἔχει, ἐκτὸς ἀπὸ τὴν πορνεία, νὰ τὰ ὑπομένεις καὶ νὰ τὴν κρατᾶς στὸ σπίτι σου, ἔτσι νὰ προφυλάξεις τὸν ἑαυτό σου, σὰν νὰ πρόκειται νὰ ὑποφέρεις ὅλη τὴ κακία τῆς γυναίκας. Καὶ ἂν αὐτὸ εἶναι βαρὺ καὶ ἐνοχλητικό, νὰ κάνεις τὰ πάντα καὶ νὰ προσπαθεῖς ὥστε νὰ πάρεις γυναίκα καλὴ καὶ ἀγαθὴ καὶ ὑπάκουη, γνωρίζοντας ὅτι εἶναι ἀνάγκη νὰ γίνει ἕνα ἀπὸ τὰ δύο, ἢ ὅταν πάρεις γυναίκα κακὴ νὰ ὑποφέρεις τὸ βάρος της ἤ, ἂν αὐτὸ δὲν τὸ θέλεις, νὰ γίνεις μοιχὸς ἀφοῦ τὴ χωρίσεις. Γιατὶ λέγει, «ὅποιος χωρίζει τὴ γυναίκα του, ἐκτὸς ἀπὸ πορνεία, τὴν ὁδηγεῖ στὴ μοιχεία· ἀλλὰ καὶ ὅποιος παντρευθεῖ χωρισμένη γυναίκα διαπράττει μοιχεία»[4].

Ἂν αὐτὰ τὰ σκεφθοῦμε καλὰ πρὶν ἀπὸ τὸ γάμο καὶ γνωρίζουμε αὐτοὺς τοὺς νόμους, θὰ φροντίσουμε πολύ, ὥστε ἀπὸ τὴν ἀρχὴ νὰ πάρουμε κάποια γυναίκα ποὺ νὰ μπορεῖ εὔκολα νὰ προσαρμοστεῖ κοντά μας καὶ νὰ ζήσει σύμφωνα μὲ τοὺς δικούς μας τρόπους. Καὶ παίρνοντας τέτοια γυναίκα ὄχι μόνο θὰ κερδίσουμε αὐτό, ὅτι δηλαδὴ δὲ θὰ τὴ χωρίσουμε ποτέ, ἀλλὰ καὶ ὅτι θὰ τὴν ἀγαπήσουμε μὲ τὴ σφοδρότητα ἐκείνη ποὺ πρόσταξε ὁ Παῦλος. Γιατὶ ἀφοῦ εἶπε, «οἱ ἄνδρες νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας»[5], δὲ σταμάτησε ὣς ἐδῶ μόνο, ἀλλὰ μᾶς ἔδωσε καὶ τὸ μέτρο τῆς ἀγάπης, «ὅπως ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία». Καὶ πῶς, πές μου, ἀγάπησε ὁ Χριστὸς αὐτήν; «Παρέδωσε τὸν ἑαυτό του γι' αὐτήν». Ὥστε καὶ ἂν ἀκόμη πρέπει νὰ πεθάνουμε γιὰ χάρη τῶν γυναικῶν, μὴν ἀρνηθεῖς. Γιατί, ἂν ὁ Κύριος ἀγάπησε τόσο τὴ δούλη του, ὥστε καὶ τὴ ζωή του νὰ προσφέρει γι' αὐτήν, πολὺ περισσότερο πρέπει ἐσὺ νὰ ἀγαπᾶς ἔτσι τὴν ὁμόδουλη σου.

Ἀλλὰ ἂς δοῦμε μήπως ἡ ὀμορφιὰ τῆς νύφης καὶ ἡ ἀρετὴ τῆς ψυχῆς προσέλκυσε τὸ νυμφίο. Δὲν μποροῦμε νὰ τὸ ποῦμε αὐτό. Γιατὶ ὅτι ἦταν ἄσχημη καὶ ἀκάθαρτη ἄκουσε τὰ ἑπόμενα. Ἀφοῦ δηλαδὴ εἶπε, «παρέδωσε τὸν ἑαυτό του γι' αὐτήν», πρόσθεσε, «γιὰ νὰ τὴν ἁγιάσει, ἀφοῦ τὴν καθάρισε μὲ τὸ λουτρὸ

ὡς ἔτυχεν, ἀλλὰ τὴν ἐσχάτην ἀκαθαρσίαν· κνίσῃ γὰρ καὶ καπνῷ καὶ λύθρῳ καὶ αἵμασι καὶ μυρίαις ἑτέραις τοιαύταις κατερρυποῦτο κηλῖσιν. Ἀλλ' ὅμως οὐκ ἐβδελύξατο τὴν ἀμορφίαν, ἀλλὰ μετέβαλε τὴν ἀηδίαν, μετέπλασε, μετερρύθμισεν, ἀφῆκε τὰ ἡμαρτημένα. Τοῦτον καὶ σὺ μίμησαι. Κἂν μυρία ἁμάρτῃ ἡ συνοικοῦσα εἰς σὲ ἁμαρτήματα, πάντα ἄφες καὶ συγχώρησον, κἂν λάβῃς δύστροπον, μεταρρύθμισον ἐπιεικείᾳ καὶ πρᾳότητι, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν. Οὐ γὰρ τὴν ἀκαθαρσίαν αὐτῆς μόνον ἀπέσμηξεν, ἀλλὰ καὶ τὸ γῆρας ἀπέξυσε, τὸν παλαιὸν ἀποδύσας ἄνθρωπον, τὸν ἐκ τῶν ἁμαρτημάτων συγκείμενον. Καὶ τοῦτο αὐτὸς αἰνιττόμενος πάλιν ὁ Παῦλος ἔλεγεν· «ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον ἢ ρυτίδα»· οὐ γὰρ καλὴν μόνον ἐποίησεν, ἀλλὰ καὶ νέαν, οὐ κατὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ κατὰ τὴν τῆς προαιρέσεως ἕξιν.

Καὶ οὐ τοῦτο μόνον ἐστὶ θαυμαστόν, ὅτι λαβὼν ἄμορφον καὶ δυσειδῆ καὶ αἰσχρὰν καὶ γεγηρακυῖαν οὔτε ἐβδελύξατο τὴν ἀμορφίαν, ἀλλὰ καὶ εἰς θάνατον ἑαυτὸν παρέδωκε καὶ μετερρύθμισεν αὐτὴν εἰς κάλλος ἀμήχανον· ἀλλ' ὅτι καὶ μετὰ τοῦτο πολλάκις ρυπουμένην, κηλιδουμένην ὁρῶν, οὐκ ἐκβάλλει, οὐδ' ἀπορρήγνυσιν ἑαυτοῦ, ἀλλὰ καὶ μένει θεραπεύων καὶ διορθούμενος. Πόσοι γάρ, εἰπέ μοι, μετὰ τὸ πιστεῦσαι ἥμαρτον; ἀλλ' ὅμως αὐτοὺς οὐκ ἐβδελύξατο· οἷον, ὁ παρὰ Κορινθίοις πεπορνευκὼς μέλος τῆς Ἐκκλησίας ἦν· ἀλλ' οὐκ ἐξέκοψε τὸ μέλος, ἀλλὰ διώρθωσεν. Ἡ Γαλατῶν Ἐκκλησία ἅπασα ἀπεσκίρτησε καὶ πρὸς ἰουδαϊσμὸν κατέπεσεν· ἀλλ' ὅμως οὐδὲ ἐκείνην ἐξέβαλεν, ἀλλὰ διὰ του Παύλου θεραπεύσας αὐτήν, ἐπὶ τὴν προτέραν ἐπανήγαγε συγγένειαν. Ὥσπερ οὖν ἐν τοῖς σώμασι τοῖς ἡμετέροις, ἐπειδὰν γένηται νόσημα, οὐ τὸ μέλος ἐκκόπτομεν ἀλλὰ τὸ νόσημα ἀπελαύνομεν, οὕτω καὶ ἐπὶ τῆς γυναικὸς ποιῶμεν. Ἐὰν

6. Ἐφ. 5,26. 7. Ἐφ. 5,27.

τοῦ βαπτίσματος»[6]. Λέγοντας ὅμως, «ἀφοῦ τὴν καθάρισε», ἔδειξε πὼς ἦταν προηγουμένως ἀκάθαρτη καὶ μολυσμένη, ἔχοντας ὄχι κάποια ἀσήμαντη ἀκαθαρσία, ἀλλὰ τὴ χειρότερη· γιατὶ ἦταν καταρυπωμένη μὲ κνίσσα καὶ καπνό, μὲ καθαρὰ καὶ ἀκάθαρτα αἵματα καὶ μὲ ἄπειρες ἄλλες τέτοιες κηλίδες. Ἀλλ' ὅμως δὲ συχάθηκε τὴν ἀσχήμια, ἀλλὰ μετέβαλε τὴν ἀηδία, τὴ μεταμόρφωσε, τὴ διόρθωσε, συγχώρησε τὰ ἁμαρτήματά της. Αὐτὸν καὶ σὺ μιμήσου. Καὶ ἂν ἀκόμη ἡ σύζυγός σου διαπράξει ἄπειρα σὲ σένα ἁμαρτήματα, ὅλα νὰ τὰ παραβλέπψεις καὶ νὰ τὰ συγχωρήσεις· καὶ ἂν πάρεις δύστροπη γυναίκα, νὰ τὴν ἀλλάξεις μὲ τὴν ἐπιείκεια καὶ τὴν πραότητα, ὅπως καὶ ὁ Χριστὸς τὴν Ἐκκλησία. Γιατὶ ὄχι μόνο τὴν ἀκαθαρσία της καθάρισε, ἀλλὰ καὶ τὰ γηρατειά της ἀξάλειψε, ξεντύνοντας τὸν παλαιὸ ἄνθρωπο, ποὺ περιβάλλεται ἀπὸ τὰ ἁμαρτήματα. Καὶ αὐτὸ πάλι ὑπονοώντας ὁ Παῦλος ἔλεγε· «γιὰ νὰ παρουσιάσει στὸν ἑαυτό του ἔνδοξη τὴν Ἐκκλησία, χωρὶς νὰ ἔχει κηλίδα ἢ ρυτίδα»[7]. Δὲν τὴν ἔκανε δηλαδὴ μόνο καλή, ἀλλὰ καὶ νέα, ὄχι στὸ σῶμα ἀλλὰ στὴ διάθεση.

Καὶ δὲν εἶναι μόνο αὐτὸ θαυμαστό, ὅτι παίρνοντάς την ἄσχημη καὶ δύσμορφη καὶ αἰσχρὴ καὶ γερασμένη δὲ συχάθηκε τὴν ἀσχήμια της, ἀλλὰ καὶ σὲ θάνατο παρέδωσε τὸν ἑαυτό του, καὶ τὴ μεταμόρφωσε σὲ ὀμορφιὰ ἀνυπέρβλητη· ἀλλ' ὅτι καὶ ὕστερα ἀπ' αὐτὸ ἂν καὶ τὴ βλέπει πολλὲς φορὲς νὰ ρυπαίνεται καὶ νὰ κηλιδώνεται, δὲν τὴ χωρίζει οὔτε τὴν ἀποκόπτει ἀπὸ τὸν ἑαυτό του, ἀλλὰ καὶ ἐπιμένει νὰ τὴν περιποιεῖται καὶ νὰ τὴ διορθώνει. Γιατὶ πόσοι, πές μου, ἁμάρτησαν μετὰ τὴν πίστη τους σ' αὐτόν; Καὶ ὅμως δὲν αἰσθάνθηκε ἀποστροφὴ γι' αὐτούς. Γιὰ παράδειγμα, ἐκεῖνος ποὺ στὴν Κόρινθο διέπραξε πορνεία ἦταν μέλος τῆς ἐκκλησίας· ὅμως δὲν ἀπέκοψε τὸ μέλος ἀλλὰ τὸ διόρθωσε. Ἡ ἐκκλησία τῶν Γαλατῶν ὅλη ἀποσκίρτησε καὶ ἔπεσε στὸν Ἰουδαϊσμό· ὅμως οὔτε αὐτὴν ἔδιωξε, ἀλλὰ ἀφοῦ τὴ θεράπευσε μέσω τοῦ Παύλου τὴν ἐπανέφερε στὴν προηγούμενη συγγένεια. Ὅπως δηλαδὴ στὴν περίπτωση τῶν σωμάτων μας, ὅταν συμβεῖ κάποια ἀρρώστια δὲν ἀποκόπτουμε τὸ μέλος, ἀλλ'

γένηταί τις ἐν αὐτῇ πονηρία, μὴ τὴν γυναῖκα ἐκβάλῃς, ἀλλὰ τὴν κακίαν ἀπέλασον.

Καίτοι γυναῖκα μὲν διορθώσασθαι δυνατόν, μέλος δὲ πολλάκις πεπηρωμένον θεραπεῦσαι οὐκ ἔνι· ἀλλ' ὅμως εἰδότες αὐτοῦ τὴν πήρωσιν οὖσαν ἀνίατον, οὐδὲ οὕτως ἐκκόπτομεν· ἀλλὰ καὶ πόδα διεστραμμένον ἔχοντες πολλοὶ πολλάκις καὶ σκέλος χωλὸν καὶ χεῖρα ξηρὰν καὶ νενεκρωμένην καὶ ὀφθαλμὸν ἐσβεσμένον, οὔτε τὸν ὀφθαλμὸν ἐξορύττουσιν οὔτε τὸ σκέλος ἐκκόπτουσιν οὔτε τὴν χεῖρα ἀποτέμνουσιν, ἀλλ' ὁρῶντες οὔτε κέρδος ἐγγινόμενον ἐξ αὐτῶν τι τῷ σώματι καὶ πολλὴν τοῖς λοιποῖς μέλεσιν αἰσχύνην, μένουσιν αὐτὰ ἔχοντες διὰ τὴν πρὸς τὰ λοιπὰ συμπάθειαν. Πῶς οὖν οὐκ ἄτοπον ἔνθα μὲν ἀνίατος ἡ διόρθωσις καὶ κέρδος οὐδὲν τοσαύτην ποιεῖσθαι πρόνοιαν, ἔνθα δε χρησταὶ ἐλπίδες καὶ πολλὴ ἡ μεταβολὴ ἀπαγορεύειν τὴν θεραπείαν; Τὰ μὲν γὰρ τῇ φύσει πηρωθέντα ἀδύνατον ἀνακτήσασθαι πάλιν, τὴν δὲ προαίρεσιν διεστραμμένην δυνατὸν μεταρρυθμίσαι.

3. Εἰ δὲ καὶ αὐτὴν λέγοις ἀνίατα νοσεῖν καὶ πολλῆς ἐπιμελείας τυχοῦσαν τῷ οἰκείῳ κεχρῆσθαι τρόπῳ, οὐδὲ οὕτως αὐτὴν ἐκβλητέον· οὔτε γὰρ τὸ μέλος ἀνίατα νοσοῦν ἐκκόπτεται. Μέλος δὲ καὶ αὕτη σόν· «ἔσονται», γάρ, φησίν, «οἱ δύο εἰς σάρκα μίαν». Καὶ ἐπὶ μὲν τοῦ μέλους οὐδὲν ἔσται κέρδος ἡμῖν τῆς θεραπείας, ἐπειδὰν ὑπὸ τῆς ἀρρωστίας ἀδιόρθωτον φθάσῃ γενέσθαι, ἐπὶ δὲ τῆς γυναικὸς κἂν ἀνίατα μένῃ νοσοῦσα πολὺς ἡμῖν ὁ μισθὸς ἀποκείσεται διδάσκουσι, παιδαγωγοῦσι. Κἂν μηδὲν ἐκείνη παρὰ τῆς ἡμετέρας διδασκαλίας κερδαίνῃ, τῆς γοῦν ὑπομονῆς πολὺν παρὰ τοῦ Θεοῦ ληψόμεθα τὸν μισθόν, ὅτι διὰ τὸν ἐκείνου φόβον τοσαύτην ὑπομονὴν ἐπεδειξάμεθα καὶ τὴν κακίαν αὐτῆς πρᾴως ἠνέγκαμεν καὶ τὸ μέλος ἡμῶν ἐκρατήσαμεν. Μέλος γὰρ ἡμῶν ἀναγκαῖον ἡ γυνή· καὶ διὰ τοῦτο αὐτὴν μάλιστα

8. Γεν. 2,24.

ἀπομακρύνουμε τὴν ἀρρώστια, ἔτσι ἂς κάνουμε καὶ σχετικὰ μὲ τὴ γυναίκα. Ἂν συμβεῖ σ' αὐτὴν κάποια κακία, μὴ διώξεις τὴ γυναίκα σου, ἀλλὰ ἐξαφάνισε τὴν κακία.

Ἂν καὶ βέβαια μιὰ γυναίκα εἶναι δυνατὸ νὰ τὴ διορθώσουμε, ἀλλὰ πολλὲς φορὲς δὲν μποροῦμε νὰ θεραπεύσουμε ἕνα ἀνάπηρο μέλος. Ἀλλ' ὅμως ἂν καὶ γνωρίζουμε ὅτι ἡ ἀναπηρία του εἶναι ἀθεράπευτη, οὔτε ἔτσι τὸ ἀποκόπτουμε. Καὶ πολλοὶ ἄνθρωποι πολλὲς φορὲς ἔχοντας πόδι διεστραμμένο καὶ χωλό, καὶ χέρι παράλυτο καὶ νεκρωμένο, καὶ μάτι τυφλό, οὔτε τὸ μάτι βγάζουν οὔτε τὸ πόδι κόβουν οὔτε τὸ χέρι ἀφαιροῦν, καὶ ἂν καὶ βλέπουν ὅτι ἀπ' αὐτὰ δὲν προέρχεται κανένα ὄφελος στὸ σῶμα, ἀλλὰ μεγάλη ντροπὴ στὰ ὑπόλοιπα μέλη, ἐξακολουθοῦν νὰ τὰ ἔχουν ἐξ αἰτίας τῆς συμπάθειας πρὸς τὰ ὑπόλοιπα. Πῶς λοιπὸν δὲν εἶναι παράλογο ὅπου εἶναι ἀδύνατη ἡ διόρθωση καὶ δὲν ὑπάρχει κανένα κέρδος νὰ δείχνουμε τόση φροντίδα, ἐνῶ ὅπου εἶναι ἀγαθὲς οἱ ἐλπίδες καὶ μεγάλη ἡ μεταβολὴ νὰ ἐμποδίζουμε τὴ θεραπεία; Γιατὶ ἐκεῖνα ποὺ εἶναι ἀνάπηρα στὴ φύση εἶναι ἀδύνατο νὰ τὰ διορθώσουμε πάλι, ἐνῶ τὴ διαστρεμμένη διάθεση εἶναι δυνατὸ νὰ τὴ μεταβάλουμε.

3. Ἂν ὅμως λέγεις ὅτι καὶ αὐτὴ πάσχει ἀπὸ ἀθεράπευτη ἀρρώστια καὶ ὅτι παρ' ὅλο ποὺ τὴ φρόντισες πολὺ ἐξακολουθεῖ νὰ ἔχει τὶς δικές της συνήθειες, οὔτε ἔτσι πρέπει νὰ τὴ διώξεις· γιατὶ οὔτε τὸ μέλος ποὺ πάσχει ἀπὸ ἀθεράπευτο νόσημα κόβεται. Καὶ εἶναι δικό σου μέλος αὐτή, γιατὶ λέγει, «οἱ δύο θὰ γίνουν μία σάρκα»[8]. Καὶ στὴν περίπτωση βέβαια τοῦ μέλους δὲ θὰ ἔχουμε κανένα κέρδος ἀπὸ τὴ θεραπεία, ὅταν ἀπὸ τὴν ἀρρώστια του καταντήσει νὰ γίνει ἀθεράπευτο, στὴν περίπτωση ὅμως τῆς γυναίκας, ἔστω καὶ ἂν ἐξακολουθεῖ νὰ νοσεῖ ἀθεράπευτα, θὰ μᾶς φυλαχθεῖ μεγάλη ἀμοιβὴ διδάσκοντάς την καὶ παιδαγωγώντας την. Καὶ ἂν ἐκείνη δὲν κερδίσει τίποτε ἀπὸ τὴ διδασκαλία μας, γιὰ τὴν ὑπομονή μας θὰ λάβουμε μεγάλη ἀμοιβὴ ἀπὸ τὸ Θεό, γιατὶ ἐξ αἰτίας τοῦ φόβου του δείξαμε τόσο μεγάλη ὑπομονὴ καὶ ὑποφέραμε μὲ πραότητα τὴν κακία της καὶ κρατήσαμε τὸ μέλος μας. Γιατὶ ἡ γυναίκα εἶναι ἀναγκαῖο μέ-

δεῖ φιλεῖν. Ὅπερ οὖν καὶ αὐτὸ τοῦτο διδάσκων πάλιν ὁ Παῦλος ἔλεγεν· «οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. Οὐδείς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ». Καθάπερ γὰρ ἡ Εὔα, φησίν, ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ γέγονεν, οὕτω καὶ ἡμεῖς ἐκ τῆς πλευρᾶς τοῦ Χριστοῦ. Τοῦτο γάρ ἐστιν, «ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ».

Ἀλλ' ὅτι μὲν ἡ Εὔα ἐκ τῆς πλευρᾶς αὐτοῦ τοῦ Ἀδὰμ γέγονεν ἅπαντες ἴσμεν καὶ σαφῶς ἡ Γραφὴ τοῦτο εἴρηκεν, ὅτι ἐπέβαλε ἔκστασιν ἐπ' αὐτὸν καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ᾠκοδόμησε τὴν γυναῖκα, ὅτι δὲ καὶ ἡ Ἐκκλησία ἀπὸ τῆς πλευρᾶς τοῦ Χριστοῦ συνέστη πόθεν ἔχοι τις ἂν ἀποδεῖξαι; Καὶ τοῦτο ἡ Γραφὴ δείκνυσι. Ἐπειδὴ γὰρ ὁ Χριστὸς εἰς τὸν σταυρὸν ἀνηνέχθη καὶ προσηλώθη καὶ ἀπέθανε, «προσελθὼν εἷς τῶν στρατιωτῶν ἔνυξεν αὐτοῦ τὴν πλευρὰν καὶ ἐξῆλθεν αἷμα καὶ ὕδωρ»· καὶ ἐξ ἐκείνου τοῦ αἵματος καὶ τοῦ ὕδατος ἡ Ἐκκλησία ἅπασα συνέστηκε. Καὶ μαρτυρεῖ αὐτὸς λέγων, ὅτι «ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». Τὸ δὲ αἷμα, πνεῦμα λέγει. Καὶ γεννώμεθα μὲν διὰ τοῦ ὕδατος τοῦ βαπτίσματος, τρεφόμεθα δὲ διὰ τοῦ αἵματος. Ὁρᾷς πῶς ἐκ τῆς σαρκὸς αὐτοῦ ἐσμεν καὶ ἐκ τῶν ὀστέων αὐτοῦ, ἀπὸ τοῦ αἵματος ἐκείνου καὶ τοῦ ὕδατος τικτόμενοι καὶ τρεφόμενοι; Καὶ καθάπερ τοῦ Ἀδὰμ καθεύδοντος ἡ γυνὴ κατεσκευάζετο, οὕτω τοῦ Χριστοῦ ἀποθανόντος ἡ Ἐκκλησία διεπλάττετο ἐκ τῆς πλευρᾶς αὐτοῦ.

Οὐ διὰ τοῦτο δὲ μόνον χρὴ φιλεῖν τὴν γυναῖκα, ὅτι μέλος ἡμῶν ἐστι καὶ ἐξ ἡμῶν ἔσχε τὴν τῆς δημιουργίας ἀρχήν, ἀλλ' ὅτι καὶ νόμον ὑπὲρ αὐτοῦ τούτου τέθεικεν ὁ Θεός, οὕτω λέγων· «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸ πατέρα αὐτοῦ καὶ τὴν

---

9. Ἐφ. 5,28–30.
10. Γεν. 2,21.
11. Βλ. Γεν. 2,21–22.
12. Ἰω. 19,34.
13. Ἰω. 3,5.

λος μας καὶ γι' αὐτὸ πρέπει νὰ τὴν ἀγαπᾶμε πάρα πολύ. Αὐτὸ τὸ πράγμα ἀκριβῶς διδάσκοντας πάλι ὁ Παῦλος ἔλεγε· «ἔτσι ὀφείλουν οἱ ἄνδρες νὰ ἀγαποῦν τὶς γυναῖκες τους, ὅπως ἀγαποῦν τὰ δικά τους σώματα. Γιατὶ ποτὲ κανεὶς δὲ μίσησε τὴ δική του σάρκα, ἀλλὰ τὴν τρέφει καὶ τὴ φροντίζει, ὅπως ὁ Χριστὸς τὴν Ἐκκλησία, γιατὶ ὅλοι εἴμαστε μέλη τοῦ σώματός του, ἀπὸ τὴ σάρκα καὶ ἀπὸ τὰ ὀστά του»[9]. Ὅπως δηλαδὴ ἡ Εὕα, λέγει, ἔγινε ἀπὸ τὴν πλευρὰ τοῦ Ἀδάμ, ἔτσι καὶ ἐμεῖς γίναμε ἀπὸ τὴν πλευρὰ τοῦ Χριστοῦ. Γιατὶ αὐτὸ σημαίνει, «ἀπὸ τὴ σάρκα του καὶ ἀπὸ τὰ ὀστά του»[10].

Καὶ ὅτι βέβαια ἡ Εὕα ἔγινε ἀπὸ τὴν πλευρὰ τοῦ Ἀδὰμ ὅλοι μας τὸ γνωρίζουμε καὶ μὲ σαφήνεια τὸ εἶπε ἡ Γραφή, ὅτι δηλαδὴ ὁ Θεὸς ἐπέβαλε ἔκσταση σ' αὐτὸν καὶ ἔλαβε μία ἀπὸ τὶς πλευρές του καὶ κατασκεύασε τὴν γυναίκα[11], ἀλλὰ τὸ ὅτι καὶ ἡ Ἐκκλησία συγκροτήθηκε ἀπὸ τὴν πλευρὰ τοῦ Χριστοῦ ἀπὸ ποῦ μπορεῖ νὰ τὸ ἀποδείξει κανείς; Καὶ αὐτὸ τὸ ἀποδεικνύει ἡ Γραφή. Ὅταν δηλαδὴ ὁ Χριστὸς ἀνεβάστηκε στὸ σταυρὸ καὶ καρφώθηκε καὶ πέθανε, «πλησίασε ἕνας ἀπὸ τοὺς στρατιῶτες καὶ τοῦ τρύπησε τὴν πλευρά, καὶ ἀμέσως βγῆκε αἷμα καὶ νερό»[12]. Καὶ ἀπὸ ἐκεῖνο τὸ αἷμα καὶ τὸ νερὸ συγκροτήθηκε ὁλόκληρη ἡ Ἐκκλησία. Καὶ τὸ βεβαιώνει ὁ ἴδιος λέγοντας, «ἂν κανεὶς δὲ γεννηθεῖ ἀπὸ τὸ νερὸ καὶ τὸ Πνεῦμα, δὲν μπορεῖ νὰ μπεῖ στὴ βασιλεία τῶν οὐρανῶν»[13]. Τὸ αἷμα τὸ λέγει Πνεῦμα. Γεννιόμαστε λοιπὸν μὲ τὸ νερὸ τοῦ βαπτίσματος, ἐνῶ τρεφόμαστε μὲ τὸ αἷμα. Βλέπεις πῶς εἴμαστε ἀπὸ τὴ σαρκα του καὶ ἀπὸ τὰ ὀστά του, ἀφοῦ ἀπὸ τὸ αἷμα ἐκείνου καὶ τὸ νερὸ γεννιόμαστε καὶ τρεφόμαστε; Καὶ ὅπως ἐνῶ κοιμόταν ὁ Ἀδὰμ κατασκευαζόταν ἡ γυναίκα, ἔτσι μὲ τὸ θάνατο τοῦ Χριστοῦ σχηματιζόταν ἡ Ἐκκλησία ἀπὸ τὴν πλευρά του.

Καὶ ὄχι μόνο γι' αὐτὸ πρέπει νὰ ἀγαπᾶμε τὴ γυναίκα μας, ἐπειδὴ δηλαδὴ εἶναι μέλος μας καὶ δημιουργήθηκε ἀπὸ μᾶς, ἀλλὰ καὶ ἐπειδὴ ὁ Θεὸς ὅρισε νόμο γι' αὐτὸ ἀκριβῶς τὸ πράγμα, λέγοντας τὸ ἑξῆς· «ἀντὶ γι' αὐτὸ κάθε ἄνδρας θὰ ἐγκαταλείψει τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ συνδεθεῖ στενὰ μὲ

μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Διὰ γὰρ τοῦτο καὶ τοῦτον ἡμῖν ὁ Παῦλος ἀνέγνω τὸν νόμον, ἵνα πανταχόθεν ἡμᾶς πρὸς τὸν ἔρωτα συνελάσῃ τοῦτον. Καὶ σκόπει σοφίαν ἀποστολικήν· οὔτε γὰρ ἀπὸ τῶν θείων νόμων οὔτε ἀπὸ τῶν ἀνθρωπίνων μόνον εἰς τὴν ἀγάπην ἡμᾶς ἐνάγει τῶν γυναικῶν, ἀλλὰ καὶ ἀπὸ τούτων καὶ ἀπ' ἐκείνων ἐναλλάξας ἀμφότερα ταῦτα τίθησιν· ἵνα ὁ μὲν ὑψηλότερος καὶ φιλοσοφώτερος ἀπὸ τῶν ἄνωθεν, ὁ δὲ ἀσθενὴς ἀπὸ τῶν κάτωθεν καὶ τῶν τῆς φύσεως εἰς φίλτρον ἐνάγηται.

Διὰ τοῦτο ἀρχόμενος μὲν ἀπὸ τῶν τοῦ Χριστοῦ κατορθωμάτων τὴν παραίνεσιν εἰσάγει οὕτω λέγων, «ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν»· εἶτα πάλιν ἀπὸ τῶν ἀνθρωπίνων· «οὕτως ὀφείλουσιν οἱ ἄνδρας ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα»· εἶτα πάλιν ἀπὸ τοῦ Χριστοῦ· «ὅτι μέλη ἐσμὲν ἐκ τοῦ σώματος αὐτοῦ καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ»· εἶτα πάλιν ἀπὸ τῶν ἀνθρωπίνων· «ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκοληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ»· καὶ τὸν νόμον ἀναγνοὺς τοῦτόν φησι· «τὸ μυστήριον τοῦτο μέγα ἐστί».

Πῶς μέγα ἐστίν; εἰπέ μοι. Ὅτι τὸν ἅπαντα θαλαμευομένη ἡ κόρη χρόνον, μηδέποτε τὸν νυμφίον ἑωρακυῖα, ἀπὸ τῆς πρώτης ἡμέρας οὕτω ποθεῖ καὶ στέργει ὡς σῶμα οἰκεῖον· πάλιν ὁ ἀνήρ, ἣν οὐδέποτε εἶδεν, ἧς οὐδέποτε τῆς ἐν λόγῳ ἐκοινώνησε συνουσίας, ταύτην κἀκεῖνος ἀπὸ τῆς πρώτης ἡμέρας ἁπάντων προτίθησι, καὶ τῶν φίλων καὶ τῶν οἰκείων καὶ τῶν γεννησαμένων αὐτῶν. Οἱ γονεῖς πάλιν, ἂν μὲν ἐξ ἑτέρας ὑποθέσεως ἀφαιρεθῶσι χρήματα, δάκνονται, ἀλγοῦσιν, εἰς δικαστήριον τοὺς ἀφελομένους ἕλκουσιν, ἀνθρώπῳ δὲ πολλάκις μηδέποτε ὀφθέντι, μηδὲ γνωρισθέντι, καὶ τὴν θυγατέρα τὴν ἑαυτῶν καὶ προῖκα χρημάτων πολλῶν ἐγχειρίζουσι. Καὶ χαίρουσι τοῦτο ποιοῦντες καὶ οὐχ ἡγοῦνται ζημίαν εἶναι τὸ γινόμενον· ἀλλ' ὁρῶντες τὴν

14. Γεν. 2,24.
15. Ἐφ. 5,25.
16. Ἐφ. 5,28.
17. Ἐφ. 5,30.
18. Ἐφ. 5,31.
19. Ἐφ. 5,32.

τὴ γυναίκα του, καὶ θὰ γίνουν οἱ δυό τους μία σάρκα»[14]. Γι' αὐτὸν ἀκριβῶς τὸ λόγο καὶ ὁ Παῦλος μᾶς διάβασε αὐτὸν τὸ νόμο, γιὰ νὰ μᾶς παρακινήσει ἀπὸ παντοῦ πρὸς τὴν ἀγάπη αὐτή. Καὶ πρόσεχε τί σοφία ἀποστολική. Γιατὶ οὔτε ἀπὸ τοὺς θείους νόμους οὔτε ἀπὸ τοὺς ἀνθρώπινους μόνο μᾶς προτρέπει πρὸς τὴν ἀγάπη τῶν γυναικῶν, ἀλλὰ τὰ ὁρίζει αὐτὰ τὰ δυὸ παίρνοντας καὶ ἀπὸ τοὺς πρώτους καὶ ἀπὸ τοὺς δεύτερους, ὥστε αὐτὸς ποὺ εἶναι ἀνώτερος καὶ ἔχει περισσότερη πίστη νὰ ὠθεῖται στὴν ἀγάπη αὐτὴ ἀπὸ τοὺς νόμους τοῦ Θεοῦ, ἐνῶ ὁ ἀδύνατος ἀπὸ τοὺς νόμους τῶν ἀνθρώπων καὶ τῆς φύσης.

Γι' αὐτὸ ἀρχίζοντας ἀπὸ τὰ κατορθώματα τοῦ Χριστοῦ παρουσιάζει τὴν προτροπὴ λέγοντας αὐτά· «νὰ ἀγαπᾶτε τὶς γυναῖκες σας, ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τὴν Ἐκκλησία»[15]. Ἔπειτα πάλι ἀπὸ τὰ ἀνθρώπινα· «ἔτσι ὀφείλουν οἱ ἄνδρες νὰ ἀγαποῦν τὶς γυναῖκες τους, ὅπως ἀγαποῦν τὰ δικά τους σώματα»[16]. Στὴ συνέχεια πάλι ἀπὸ τὸ Χριστό· «γιατὶ εἴμαστε μέλη τοῦ σώματός του, ἀπὸ τὴ σάρκα του καὶ ἀπὸ τὰ ὀστά του»[17]. Ὕστερα πάλι ἀπὸ τὰ ἀνθρώπινα· «ἀντὶ γι' αὐτὸ θὰ ἐγκαταλείψει ὁ ἄνδρας τὸν πατέρα του καὶ τὴ μητέρα του καὶ θὰ συνδεθεῖ στενὰ μὲ τὴ γυναίκα του»[18]. Καὶ ἀφοῦ διάβασε αὐτὸν τὸ νόμο λέγει· «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο»[19].

Πές ὅμως πῶς εἶναι μεγάλο; Γιατὶ ἡ κόρη, ἐνῶ περνοῦσε ὅλον τὸν καιρό της στὸ δωμάτιο καὶ δὲν εἶδε ποτὲ τὸ γαμπρό, ἀπὸ τὴν πρώτη ἡμέρα τόσο πολὺ τὸν ποθεῖ καὶ τὸν δέχεται σὰν δικό της σῶμα· ἐπίσης ὁ ἄνδρας ἐκείνην ποὺ ποτὲ δὲν εἶδε, ποὺ ποτὲ δὲ συζήτησε μαζί της, αὐτὴν καὶ αὐτὸς ἀπὸ τὴν πρώτη ἡμέρα θέτει πάνω ἀπ' ὅλους, καὶ ἀπὸ τοὺς φίλους καὶ ἀπὸ τοὺς συγγενεῖς καὶ ἀπὸ τοὺς ἴδιους τοὺς γονεῖς του. Οἱ γονεῖς πάλι, ἂν τοὺς ἀφαιρεθοῦν χρήματα γιὰ κάποια ἄλλη ὑπόθεση, στενοχωριοῦνται, λυποῦνται, σύρουν στὸ δικαστήριο ἐκείνους ποὺ τοὺς τὰ ἀφαίρεσαν, ἐνῶ σὲ ἄνθρωπο ποὺ πολλὲς φορὲς δὲν τὸν εἶδαν οὔτε τὸν γνώρισαν ποτὲ ἐμπιστεύονται σ' αὐτὸν καὶ τὴ θυγατέρα τους καὶ προίκα ἀπὸ πολλὰ χρήματα. Καὶ χαίρονται γι' αὐτὸ ποὺ κάνουν καὶ δὲ θεωροῦν ζημιὰ αὐτὸ ποὺ γίνεται,

θυγατέρα ἀπαγομένην, οὐ συνηθείας μέμνηνται, οὐκ ἀλγοῦσιν, οὐ δάκνονται, ἀλλὰ καὶ εὐχαριστοῦσι καὶ εὐχῆς ἔργον εἶναι νομίζουσι τὸ καὶ τὴν θυγατέρα ἰδεῖν τῆς οἰκίας ἐξαγομένην καὶ πολλὰ μετ' ἐκείνης χρήματα. Ταῦτα οὖν ἅπαντα ἐννοήσας ὁ Παῦλος, ὅτι τοὺς γονεῖς ἀφέντες ἀμφότεροι ἀλλήλοις συνδεσμοῦνται, καὶ χρόνου τοσούτου συνηθείας ἡ τότε συντυχία τυραννικωτέρα γίνεται, καὶ συνιδών, ὅτι οὐκ ἔστι τοῦτο ἀνθρώπινον, ἀλλ' ὁ Θεὸς τοὺς ἔρωτας τούτους ἐγκατέσπειρε καὶ τοὺς ἐκδιδόντας καὶ τοὺς ἐκδιδομένους μετὰ χαρᾶς τοῦτο ποιεῖν παρεσκεύασε, φησίν· «τὸ μυστήριον τοῦτο μέγα ἐστί».

Καὶ καθάπερ ἐπὶ τῶν παίδων, τὸ παιδίον τεχθὲν ἀπὸ τῆς ὄψεως εὐθέως ἐπίσταται τοὺς γονεῖς οὐ φθεγγόμενον, οὕτω δὴ καὶ νυμφίος καὶ νύμφη, οὐδενὸς συνάγοντος, οὐδενὸς παραινοῦντος καὶ συμβουλεύοντος, ἀπὸ τῆς ὄψεως ἀλλήλοις συμπλέκονται. Εἶτα ἰδὼν ὅτι καὶ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἐγένετο καὶ ἐπὶ τῆς Ἐκκλησίας μάλιστα, ἐξεπλάγη καὶ ἐθαύμασε. Πῶς οὖν ἐπὶ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας τοῦτο ἐγένετο; Καθάπερ ὁ νυμφίος τὸν πατέρα ἀφεὶς πρὸς τὴν νύμφην ἔρχεται, οὕτω καὶ ὁ Χριστὸς τὸν πατρικὸν θρόνον ἀφεὶς πρὸς τὴν νύμφην ἦλθεν· οὐχ ἡμᾶς ἄνω ἐκάλεσεν, ἀλλ' αὐτὸς πρὸς ἡμᾶς παρεγένετο. Ὅταν δὲ ἀκούσῃς ὅτι 'ἀφῆκεν, μὴ μετάστασιν νοήσῃς, ἀλλὰ συγκατάβασιν· καὶ γὰρ καὶ μεθ' ἡμῶν ὤν, μετὰ τοῦ Πατρὸς ἦν. Διὰ τοῦτό φησι· «τὸ μυστήριον τοῦτο μέγα ἐστί». Μέγα μέν ἐστι καὶ ἐπὶ ἀνθρώπων γινόμενον, ὅταν δὲ ἴδω εἰς τὸν Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν αὐτὸ συμβαῖνον, τότε ἐκπλήττομαι, τότε θαυμάζω. Διὰ τοῦτο εἰπών, «τὸ μυστήριον τοῦτο μέγα ἐστίν», ἐπήγαγεν· «ἐγὼ δὲ λέγω εἰς τὸν Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν». Εἰδὼς τοίνυν ἡλίκον μυστήριόν ἐστιν ὁ γάμος καὶ ἡλίκου πράγματος τύπος, μὴ ἁπλῶς μηδὲ ὡς ἔτυχε περὶ τούτου βουλεύου μηδὲ

ἀλλὰ βλέποντας τὴ θυγατέρα τους νὰ ὁδηγεῖται μακριά τους, δὲ θυμοῦνται τὴν οἰκογενειακὴ σχέση, δὲ λυποῦνται, δὲ στενοχωριοῦνται, ἀλλὰ καὶ εὐχαριστοῦν καὶ θεωροῦν πὼς εἶναι εὐχῆς ἔργο τὸ νὰ δοῦν καὶ τὴ θυγατέρα τους νὰ ὁδηγεῖται ἔξω ἀπὸ σπίτι καὶ μαζὶ μ' αὐτὴν καὶ πολλὰ χρήματα. Αὐτὰ λοιπὸν ὅλα ἔχοντας στὸ νοῦ του ὁ Παῦλος, ὅτι δηλαδὴ καὶ οἱ δύο ἐγκαταλείποντας τοὺς γονεῖς ἑνώνονται μεταξύ τους καὶ ὅτι ἡ συνένωσή τους αὐτὴ γίνεται πιὸ δυνατὴ ἀπὸ τὴ συνήθεια τόσο μεγάλου χρόνου, καὶ κατανοώντας ὅτι αὐτὸ δὲν εἶναι ἀνθρώπινο, ἀλλ' ὅτι ὁ Θεὸς ἔσπειρε αὐτοὺς τοὺς ἔρωτες καὶ ἔκανε αὐτοὺς ποὺ παραδίνουν καὶ αὐτοὺς ποὺ παραδίνονται νὰ τὸ πράξουν μὲ χαρὰ αὐτό, λέγει· «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο».

Καὶ ὅπως συμβαίνει μὲ τὰ παιδιά, τὸ μικρὸ παιδὶ ὅταν γεννηθεῖ ἀναγνωρίζει ἀμέσως τοὺς γονεῖς του μόλις τοὺς δεῖ χωρὶς νὰ μιλάει, ἔτσι ἀκριβῶς καὶ ὁ γαμπρὸς καὶ ἡ νύφη, χωρὶς κανεὶς νὰ τοὺς ἑνώνει, χωρὶς κανεὶς νὰ τοὺς προτρέπει καὶ νὰ τοὺς συμβουλεύει, μόλις ἰδωθοῦν συμπλέκονται μεταξύ τους. Ἔπειτα ὅταν εἶδε πὼς αὐτὸ ἔγινε ὅλως ἰδιαίτερα στὸ Χριστὸ καὶ στὴν Ἐκκλησία, ἔνιωσε ἔκπληξη καὶ θαυμασμό. Πῶς λοιπὸν ἔγινε αὐτὸ στὸ Χριστὸ καὶ τὴν Ἐκκλησία; Ὅπως ὁ γαμπρὸς ἐγκαταλείποντας τὸν πατέρα του ἔρχεται πρὸς τὴ νύφη, ἔτσι καὶ ὁ Χριστὸς ἀφήνοντας τὸν πατρικὸ θρόνο ἦρθε πρὸς τὴ νύφη. Δὲ μᾶς κάλεσε στὸν οὐρανό, ἀλλὰ ὁ ἴδιος ἦρθε σ' ἐμᾶς. Καὶ ὅταν ἀκούσεις ὅτι 'ἄφησε', μὴ σκεφθεῖς μετακίνηση ἀλλὰ συγκατάβαση. Γιατὶ πραγματικὰ καὶ ὅταν ἦταν μαζί μας βρισκόταν μὲ τὸν Πατέρα του. Γι' αὐτὸ λέγει· «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο». Μεγάλο βέβαια εἶναι καὶ ὅταν γίνεται στοὺς ἀνθρώπους, ὅταν ὅμως τὸ δῶ νὰ συμβαίνει στὸ Χριστὸ καὶ στὴν Ἐκκλησία τότε ἐκπλήσσομαι, τότε θαυμάζω. Γι' αὐτὸ ἀφοῦ εἶπε, «τὸ μυστήριο αὐτὸ εἶναι μεγάλο», πρόσθεσε· «ἐγὼ νομίζω ὅτι ἀναφέρεται στὸ Χριστὸ καὶ στὴν Ἐκκλησία». Ἀφοῦ λοιπὸν γνώρισες πόσο μεγάλο μυστήριο εἶναι ὁ γάμος καὶ ποιοῦ μεγάλου πράγματος εἶναι τύπος, νὰ μὴ σκέπτεσαι γι' αὐτὸν ἐπιπόλαια καὶ τυχαῖα, οὔτε νὰ ζητᾶς πολλὰ χρήματα ὅταν πρόκειται

χρημάτων εὐπορίαν ζήτει μέλλων ἄγεσθαι νύμφην. Οὐ γὰρ καπηλείαν, ἀλλὰ βίου κοινωνίαν εἶναι τὸν γάμον δεῖ νομίζειν.

4. Καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων, ὁ δεῖνα εὐπορώτερος γέγονεν ἀπὸ τοῦ γάμου, πένης ὤν· ἐπειδὴ γυναῖκα εὔπορον ἔλαβε, πλουτεῖ καὶ τρυφᾷ νῦν. Τί λέγεις, ἄνθρωπε; ἀπὸ γυναικὸς κερδαίνειν ἐπιθυμεῖς καὶ οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς; οὐδὲ εἰς τὴν γῆν καταδύῃ τοιούτους κερδῶν ἐπιζητῶν τρόπους; καὶ ποῦ ταῦτα ἀνδρὸς τὰ ῥήματα; Γυναικὸς ἕν ἐστι μόνον, τὰ συλλεγόμενα διαφυλάττειν, τὰς προσόδους διατηρεῖν, τῆς οἰκίας ἐπιμελεῖσθαι· καὶ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἵνα ἐν τούτοις ἡμῖν βοηθῇ μετὰ τῶν ἄλλων ἁπάντων. Ἐπειδὴ γὰρ τὸν βίον τὸν ἡμέτερον δύο ταῦτα συγκροτεῖν εἴωθε, τὰ πολιτικὰ καὶ ἰδιωτικὰ πράγματα, διελὼν ἀμφότερα ταῦτα ὁ Θεός, ταύτῃ μὲν τὴν τῆς οἰκίας προστασίαν ἀπένειμε, τοῖς δὲ ἀνδράσι τὰ τῆς πόλεως ἅπαντα πράγματα, τά τε ἐπὶ τῆς ἀγορᾶς, δικαστήρια, βουλευτήρια, στρατηγίας, τὰ ἄλλα πάντα.

Οὐ δύναται ἀκοντίσαι δόρυ, οὐδὲ ἀφεῖναι βέλος ἡ γυνή· ἀλλ' ἠλακάτην δύναται λαβεῖν καὶ ἱστὸν ὑφᾶναι καὶ τὰ ἄλλα πάντα τὰ κατὰ τὴν οἰκίαν διαθεῖναι καλῶς. Οὐ δύναται γνώμην εἰσηγήσασθαι ἐν βουλευτηρίῳ, ἀλλὰ δύναται γνώμην εἰσηγήσασθαι ἐν οἰκίᾳ, καὶ πολλάκις ἅπερ συνεῖδεν ὁ ἀνὴρ τῶν κατὰ τὴν οἰκίαν, βέλτιον αὕτη συνεῖδεν. Οὐ δύναται τὰ δημόσια διαθεῖναι καλῶς, ἀλλὰ δύναται θεραπαινίδων κακουργίας συνιδεῖν, καὶ σωφροσύνης ἐπιμεληθῆναι τῶν διακονουμένων, τὴν ἄλλην ἅπασαν τῷ συνοικοῦντι παρέχειν ἄδειαν, καὶ πάσης αὐτὸν τοιαύτης ἀπαλλάξαι φροντίδος ἐν οἴκοις, ταμιείων, ἐριουργίας, ἀρίστου παρασκευῆς, ἱματίων εὐσχημοσύνης, τῶν ἄλλων ἁπάντων ἐπιμελουμένη, ἅπερ ἀνδρὶ οὔτε εὐπρεπές, οὔτε εὔκολον μεταχειρίσασθαί ποτε, κἂν μυρία φιλονεικῇ. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλοτιμίας καὶ σοφίας ἔργον, τὸν ἐν τοῖς μείζοσι

νὰ παντρευθεῖς. Γιατὶ τὸ γάμο δὲν πρέπει νὰ τὸν θεωρεῖς ἐμπορικὴ συμφωνία ἀλλὰ κοινωνία ζωῆς.

4. Γιατὶ πολλοὺς ἄκουσα νὰ λέγουν, ὁ τάδε ἔγινε πλουσιότερος ἀπὸ τὸ γάμο ἐνῶ ἦταν φτωχός· ἐπειδὴ πῆρε γυναίκα πλούσια, τώρα εἶναι πλούσιος καὶ ζεῖ μὲ ἀνέσεις. Τί λέγεις, ἄνθρωπε; ἐπιθυμεῖς νὰ κερδίζεις ἀπὸ γυναίκα καὶ δὲν ντρέπεσαι οὔτε κοκκινίζεις; δὲν ἀφανίζεσαι μέσα στὴ γῆ ἐπιζητώντας τέτοιους τρόπους κερδῶν; καὶ ποῦ ἀκούστηκε τέτοια λόγια νὰ λέγει ἕνας ἄνδρας; Στὴ γυναίκα ἕνα μόνο ἀνήκει, νὰ προσέχει αὐτὰ ποὺ μαζεύονται, νὰ διατηρεῖ τὰ ἔσοδα, νὰ φροντίζει τὸ σπίτι. Γιατὶ πραγματικὰ γι' αὐτὸ τὴν ἔδωσε ὁ Θεός, γιὰ νὰ μᾶς βοηθάει σ' αὐτὰ μαζὶ μὲ ὅλα τὰ ἄλλα. Ἐπειδὴ λοιπὸν τὴ ζωή μας συνήθως τὴ συγκροτοῦν δύο πράγματα, τὰ δημόσια καὶ τὰ ἰδιωτικά, χωρίζοντας αὐτὰ τὰ δύο ὁ Θεός, στὴ γυναίκα ἔδωσε τὴν προστασία τοῦ σπιτιοῦ καὶ στοὺς ἄνδρες ὅλα τὰ ζητήματα τῆς πόλης, ποὺ ἔχουν σχέση μὲ τὴν ἀγορά, μὲ τὰ δικαστήρια, μὲ τὰ κοινοβούλια, μὲ τὶς στρατηγίες καὶ ὅλα τὰ ἄλλα.

Δὲν μπορεῖ ἡ γυναίκα νὰ ρίξει τὸ ἀκόντιο οὔτε νὰ ἐκτοξεύσει τὸ βέλος, μπορεῖ ὅμως νὰ πάρει τὴ ρόκα καὶ νὰ ὑφάνει στὸν ἀργαλειὸ καὶ νὰ διαχειριστεῖ καλῶς ὅλα τὰ ἄλλα ζητήματα τοῦ σπιτιοῦ. Δὲν μπορεῖ νὰ εἰσηγηθει κάποια γνώμη στὸ κοινοβούλιο, ἀλλὰ μπορεῖ νὰ εἰσηγηθεῖ γνώμη στὸ σπίτι καὶ πολλὲς φορὲς αὐτὴ γνωρίζει καλύτερα ἀπὸ τὸν ἄνδρα της τὰ πράγματα τοῦ σπιτιοῦ. Δὲν μπορεῖ νὰ διαχειρισθεῖ καλῶς τὰ δημόσια, ἀντίθετα μπορεῖ νὰ ἀναθρέψει καλῶς παιδιά, τὸ σπουδαιότερο ἀπὸ τὰ κτήματα. Μπορεῖ νὰ ἀντιληφθεῖ τὶς κακὲς πράξεις τῶν ὑπηρετριῶν καὶ νὰ φροντίσει γιὰ τὴ σωφροσύνη αὐτῶν ποὺ ὑπηρετοῦν, νὰ παρέχει ὅλη τὴν ἄλλη ἄνεση στὸ σύζυγο καὶ νὰ τὸν ἀπαλλάξει ἀπὸ κάθε τέτοια φροντίδα τοῦ σπιτιοῦ, τὴ διαχείριση, τὴν κατεργασία τοῦ μαλλιοῦ, τὴν ἑτοιμασία τοῦ φαγητοῦ, τὴν εὐπρέπεια στὸ ντύσιμο, φροντίζοντας ὅλα τὰ ἄλλα, τὰ ὁποῖα στὸν ἄνδρα οὔτε εὐπρεπὲς εἶναι οὔτε εὔκολο νὰ τὰ χειρισθεῖ ποτέ, ἔστω καὶ ἂν προσπαθήσει πάρα πολύ. Γιατὶ βέβαια καὶ αὐτὸ εἶναι ἔργο τῆς γενναιοδωρίας καὶ τῆς σοφίας τοῦ

χρήσιμον, ἐν τοῖς ἐλάττοσι καταδεέστερον καὶ ἄχρηστον εἶναι, ἵνα ἀναγκαία γένηται τῆς γυναικὸς ἡ χρεία.

Εἰ γὰρ ἐν ἀμφοτέροις ἐποίησεν τὸν ἄνδρα ἐπιτήδειον εἶναι, εὐκαταφρόνητον ἂν τὸ τῶν γυναικῶν ἐγένετο γένος· πάλιν, εἰ τὸ μεῖζον καὶ χρησιμώτερον ἐπέτρεψε τῇ γυναικί, πολλῆς ἂν ἐνέπλησε τὰς γυναῖκας τῆς ἀπονοίας. Διὰ τοῦτο οὔτε ἀμφότερα ἑνὶ ἔδωκεν, ἵνα μὴ τὸ ἕτερον ἐλαττωθῇ γένος καὶ περιττὸν εἶναι δοκῇ, οὔτε ἐξίσης ἀμφότερα ἑκατέρῳ διένειμεν, ἵνα μὴ πάλιν ἐκ τῆς ἰσοτιμίας μάχη τις γένηται καὶ φιλονεικία, τῆς αὐτῆς προεδρίας τοῖς ἀνδράσι φιλονεικουσῶν ἀξιοῦσθαι τῶν γυναικῶν· ἀλλ' ὁμοῦ καὶ τῆς εἰρήνης προνοῶν καὶ τὴν πρέπουσαν ἑκάστῳ τάξιν διατηρῶν, εἰς δύο ταῦτα διελὼν ἡμῶν τὴν ζωήν, τὸ μὲν ἀναγκαιότερον και χρησιμώτερον τῷ ἀνδρί, τὸ δὲ ἔλαττον καὶ καταδεέστερον δέδωκε τῇ γυναικί, ἵν' ὁ μὲν διὰ τὸ ἀναγκαῖον τῆς χρείας περισπούδαστος ἡμῖν ᾖ, ἡ δὲ διὰ τὸ καταδεέστερον τῆς διακονίας μὴ κατεξανιστᾶναι τοῦ συνοικοῦντος.

Ταῦτ' οὖν ἅπαντες εἰδότες, ἓν μόνον ζητῶμεν, ψυχῆς ἀρετὴν καὶ εὐγένειαν τρόπων, ἵνα εἰρήνης ἀπολαύωμεν, ἵνα ἐντρυφῶμεν ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ διηνεκεῖ. Ὁ μὲν γὰρ εὔπορον λαβὼν γυναῖκα, δέσποιναν μᾶλλον ἔλαβεν ἢ γυναῖκα. Εἰ γάρ, καὶ χωρὶς τούτου, φρονήματός εἰσιν αἱ γυναῖκες ἐμπεπλησμέναι καὶ πρὸς δόξης ἔρωτα εὐέμπτωτοι, ἂν καὶ ταύτην προσλάβωσι τὴν προσθήκην, πῶς ἔσονται φορηταὶ τοῖς συνοικοῦσιν αὐταῖς; Ὁ δὲ ὁμότιμον ἢ πενεστέραν λαβὼν γυναῖκα, βοηθὸν καὶ σύμμαχον ἔλαβε καὶ πάντα εἰς τὴν οἰκίαν εἰσήγαγε τὰ ἀγαθά. Ἡ γὰρ τῆς πενίας ἀνάγκη θεραπεύειν αὐτὴν μετὰ πολλῆς τῆς ἐπιμελείας ἀναπείθει τὸν ἄνδρα καὶ πάντα εἴκειν καὶ πείθεσθαι, καὶ ἔριδος μὲν καὶ μάχης καὶ ἀπονοίας καὶ ὕβρεως πᾶσαν ἀναιρεῖ πρόφασιν, εἰρήνης δὲ καὶ ὁμονοίας καὶ ἀγάπης καὶ συμφωνίας γίνεται σύνδεσμος.

Μὴ τοίνυν τοῦτο ζητῶμεν ὅπως χρήματα ἔχωμεν, ἀλλ'

Θεοῦ, αὐτὸς ποὺ εἶναι χρήσιμος γιὰ τὰ μεγαλύτερα νὰ εἶναι κατώτερος καὶ ἄχρηστος γιὰ τὰ μικρότερα, γιὰ νὰ γίνει ἀπαραίτητη ἡ χρησιμότητα τῆς γυναίκας.

Γιατὶ ἂν καὶ στὰ δύο ἔκανε τὸν ἄνδρα ἐπιτήδειο θὰ γινόταν εὐκαταφρόνητο τὸ γένος τῶν γυναικῶν. Πάλι, ἂν ἐπέτρεπε τὸ μεγαλύτερο καὶ χρησιμότερο στὴ γυναίκα, θὰ γέμιζε μὲ πολλὴ ἀλαζονεία τὶς γυναῖκες. Γι' αὐτὸ οὔτε καὶ τὰ δύο ἔδωσε στὸ ἕνα γένος, γιὰ νὰ μὴ μειωθεῖ τὸ ἄλλο καὶ φανεῖ πὼς εἶναι περιττό· οὔτε καὶ τὰ δύο μοίρασε ἐξίσου στὸ καθένα, γιὰ νὰ μὴ γίνει πάλι ἀπὸ τὴν ἰσοτιμία κάποια διαμάχη καὶ φιλονεικία, ἐπειδὴ οἱ γυναῖκες θὰ ἐπιδίωκαν νὰ ἔχουν τὴν ἴδια τιμητικὴ θέση μὲ τοὺς ἄνδρες. Ἀλλὰ προνοώντας γιὰ τὴν εἰρήνη καὶ συγχρόνως διατηρώντας τὴν πρέπουσα στὸ κάθε γένος θέση, χώρισε τὴ ζωή μας στὰ δύο αὐτὰ πράγματα καὶ ἔδωσε τὸ ἀναγκαιότερο καὶ χρησιμότερο στὸν ἄνδρα, ἐνῶ τὸ μικρότερο καὶ κατώτερο στὴ γυναίκα, γιὰ νὰ μᾶς εἶναι περιζήτητος ὁ ἄνδρας ἐξ αἰτίας τῆς ἀναγκαιότητας τοῦ ἔργου του, ἐνῶ ἡ γυναίκα ἐξ αἰτίας τῆς κατώτερης σὲ σημασία ὑπηρεσίας της νὰ μὴν ἐξεγείρεται ἐναντίον τοῦ συζύγου της.

Γνωρίζοντας λοιπὸν ὅλοι αὐτά, ἂς ζητοῦμε ἕνα μόνο πράγμα, ἀρετὴ ψυχῆς καὶ εὐγένεια τρόπων, γιὰ νὰ ἀπολαμβάνουμε εἰρήνη, γιὰ νὰ ζοῦμε μὲ ὁμόνοια καὶ ἀγάπη παντοτινή. Γιατὶ ἐκεῖνος ποὺ πῆρε γυναίκα πλούσια, πῆρε μᾶλλον κυρία τοῦ σπιτιοῦ παρὰ σύζυγο. Γιατί, ἂν καὶ χωρὶς αὐτὸ οἱ γυναῖκες εἶναι γεμάτες ὑπερηφάνεια καὶ εὔκολα πέφτουν στὴν ἀγάπη τῆς δόξας, ἂν προστεθεῖ καὶ αὐτὸ τὸ πράγμα, πῶς θὰ εἶναι ὑποφερτὲς στοὺς συζύγους τους; Ἀντίθετα ἐκεῖνος ποὺ πῆρε γυναίκα ἰσότιμη ἢ φτωχότερη, πῆρε βοηθὸ καὶ σύμμαχο καὶ ἔβαλε στὸ σπίτι του ὅλα τὰ ἀγαθά. Γιατὶ ἡ ἀνάγκη τῆς φτώχειας τὴν παρακινεῖ νὰ περιποιεῖται μὲ πολλὴ φροντίδα τὸν ἄνδρα της, σὲ ὅλα νὰ ὑποχωρεῖ καὶ νὰ ὑπακούει, ἐξαφανίζει κάθε πρόφαση γιὰ διχόνοια καὶ φιλονεικία καθὼς καὶ ἀλαζονεία καὶ ὕβρη, καὶ γίνεται σύνδεσμος εἰρήνης, ὁμόνοιας, ἀγάπης καὶ συμφωνίας.

Ἂς μὴν ἐπιζητοῦμε λοιπὸν νὰ ἔχουμε χρήματα, ἀλλὰ νὰ

ὅπως εἰρήνην, ὅπως ἡδονῆς ἀπολαύωμεν· διὰ τοῦτο γάμος, οὐχ ἵνα πολέμου καὶ μάχης τὰς οἰκίας ἐμπιπλῶμεν, οὐχ ἵνα ἔρεις καὶ φιλονεικίας ἔχωμεν, οὐχ ἵνα πρὸς ἀλλήλους διαστασιάζωμεν καὶ ἀβίωτον τὸν βίον ποιῶμεν, ἀλλὰ ἵνα βοηθείας ἀπολαύωμεν καὶ λιμένα ἔχωμεν καὶ καταφυγὴν καὶ παραμυθίαν τῶν ἐπικειμένων κακῶν, ἵνα μεθ' ἡδονῆς τῇ γυναικὶ διαλεγώμεθα. Πόσοι πλουτοῦντες, γυναῖκες λαβόντες εὐπόρους, τὴν οὐσίαν αὐξήσαντες, τὴν ἡδονὴν καὶ τὴν ὁμόνοιαν κατέλυσαν, καθημερινὰς μάχας ἐπὶ τῆς τραπέζης ποιούμενοι, φιλονεικίας ἔχοντες; πόσοι πένητες πενεστέρας λαβόντες, εἰρήνης ἀπολαύουσι καὶ μετ' εὐφροσύνης πολλῆς τὸν ἥλιον τοῦτον βλέπουσιν, οἱ δὲ εὔποροι, πανταχόθεν αὐτοῖς περικειμένης τρυφῆς, διὰ τὰς γυναῖκας ηὔξαντο πολλάκις ἀποθανεῖν καὶ τῆς παρούσης ἀπαλλαγῆναι ζωῆς; οὕτως οὐδὲν χρημάτων ὄφελος, ὅταν ψυχῆς μὴ ἐπιτυγχάνωμεν ἀγαθῆς.

Καὶ τί χρὴ λέγειν περὶ εἰρήνης καὶ ὁμονοίας; Καὶ γὰρ εἰς αὐτὴν τῶν χρημάτων τὴν κτῆσιν πολλάκις τὸ πλουσιωτέραν λαβεῖν ἡμᾶς παρέβλαψεν. Ὅταν γὰρ εἰς τὸν τῆς προικὸς λόγον ἅπασαν τὴν περιουσίαν ἐπιδούς, εἶτα ἀώρου συμβάντος θανάτου, καταβαλεῖν παρὰ τῶν κηδεστῶν ἀναγκάζηται τὴν προῖκα ἅπασαν, καθάπερ οἱ ναυάγιον ὑπομένοντες ἐπὶ τῆς θαλάσσης τὸ σῶμα διασώζουσι μόνον, οὕτω δὴ καὶ οὗτος μετὰ πολλὰς φιλονεικίας καὶ μάχας καὶ ὕβρεις καὶ δικαστήρια, μόλις τὸ σῶμα ἐλεύθερον ἔχων ἐξέρχεται. Καὶ καθάπερ οἱ τῶν ἐμπόρων ἄπληστοι, μυρίων τὴν ναῦν πλήσαντες φορτίων καὶ πλέον τῆς δυνάμεως τὸν ὄγκον ἐπιθέντες, κατέδυσαν τὸ σκάφος καὶ πάντα ἀπώλεσαν, οὕτω δὴ καὶ οὗτοι τοὺς ὑπερόγκους ἀγόμενοι γάμους, μείζονα πολλάκις δόξαντες περιβάλεσθαι οὐσίαν διὰ τῆς γυναικός, καὶ τῆς οὔσης ἐξέπεσον· καὶ ὥσπερ ἐκεῖ κύματος ἐμβολὴ βραχεῖα ἐμπεσοῦσα βαπτίζει τὸ σκάφος, οὕτω καὶ ἐνταῦθα θάνατος ἄωρος προσπεσὼν μετὰ τῆς γυναικὸς καὶ πάντα τὰ ὄντα αὐτοῦ ἀφείλετο.

ἔχουμε εἰρήνη, νὰ ἀπολαμβάνουμε εὐχαρίστηση. Γι' αὐτὸ εἶναι ὁ γάμος, ὄχι γιὰ νὰ γεμίζουμε τὰ σπίτια μὲ πόλεμο καὶ μάχη, ὄχι γιὰ νὰ ἔχουμε διχόνοιες καὶ φιλονεικίες, ὄχι γιὰ νὰ συγκρουόμαστε μεταξύ μας καὶ νὰ κάνουμε τὸ βίο μας ἀβίωτο, ἀλλὰ γιὰ νὰ ἀπολαμβάνουμε βοήθεια, νὰ ἔχουμε λιμάνι καὶ καταφύγιο καὶ παρηγοριὰ γιὰ τὰ ἐπικείμενα κακά, γιὰ νὰ συζητοῦμε εὐχάριστα μὲ τὴ γυναίκα μας. Πόσοι πλούσιοι, ποὺ πῆραν πλούσιες γυναῖκες καὶ αὔξησαν τὴν περιουσία τους, κατέστρεψαν τὴν ἡδονὴ καὶ τὴν ὁμόνοια, κάνοντας καθημερινὲς μάχες στὸ τραπέζι καὶ ἔχοντας φιλονεικίες; Πόσοι φτωχοί, ποὺ πῆραν φτωχότερες γυναῖκες, ἀπολαμβάνουν εἰρήνη καὶ βλέπουν μὲ πολλὴ χαρὰ αὐτὸν τὸν ἥλιο, ἐνῶ οἱ πλούσιοι, ἂν καὶ τοὺς περιστοιχίζουν ἀπὸ παντοῦ οἱ ἀπολαύσεις, ἐξ αἰτίας τῶν γυναικῶν τους εὐχήθηκαν πολλὲς φορὲς νὰ πεθάνουν καὶ ν' ἀπαλλαγοῦν ἀπὸ τὴν παροῦσα ζωή; Ἑπομένως δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὰ χρήματα, ὅταν δὲν ἐπιτύχουμε ἀγαθὴ ψυχή.

Καὶ γιατί πρέπει νὰ λέγω γιὰ εἰρήνη καὶ ὁμόνοια; Γιατὶ καὶ στὴν ἴδια τὴν ἀπόκτηση τῶν χρημάτων πολλὲς φορὲς μᾶς ἔβλαψε τὸ ὅτι πήραμε πλουσιότερη γυναίκα. Γιατὶ ὅταν κάποιος ξοδέψει ὅλη του τὴν περιουσία στὴν ἀπόκτηση τῆς προίκας καὶ ἔπειτα συμβεῖ πρόωρος θάνατος τῆς συζύγου του, ἀναγκάζεται ἀπὸ τοὺς συγγενεῖς της νὰ ἐπιστρέψει ὅλη τὴν προίκα. Ὅπως δηλαδὴ ἐκεῖνοι ποὺ παθαίνουν ναυάγιο στὴ θάλασσα διασώζουν μόνο τὸ σῶμα τους, ἔτσι ἀκιρβῶς καὶ αὐτός, ὕστερα ἀπὸ πολλὲς φιλονεικίες καὶ μάχες καὶ ὕβρεις καὶ δικαστήρια, βγαίνει ἔχοντας ἐλεύθερο μόνο τὸ σῶμα του. Καὶ ὅπως οἱ ἄπληστοι ἔμποροι, ἐπειδὴ γέμισαν τὸ πλοῖο μὲ ὑπερβολικὰ φορτία καὶ τὸ φόρτωσαν περισσότερο ἀπὸ τὴν ἀντοχή του, βύθισαν τὸ σκάφος καὶ τὰ ἔχασαν ὅλα, ἔτσι λοιπὸν καὶ αὐτοὶ ποὺ ἔκαναν ὑπέρμετρους γάμους, ἐπειδὴ πολλὲς φορὲς νόμισαν πὼς θ' ἀποκτήσουν μέσω τῆς γυναίκας μεγαλύτερη περιουσία, ἔχασαν καὶ αὐτὴν ποὺ εἶχαν. Καὶ ὅπως ἐκεῖ ὅταν ἐπιπέσει γιὰ λίγο ἕνα ὁρμητικὸ κύμα βυθίζει τὸ σκάφος, ἔτσι καὶ ἐδῶ ὅταν πέσει πρόωρος θάνατος τοῦ στέρησε μαζὶ μὲ τὴ γυναίκα ὅλα τὰ ὑπάρχοντά του.

5. Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, μὴ χρήματα περισκοπῶμεν, ἀλλὰ τρόπων ἐπιείκειαν καὶ σεμνότητα καὶ σωφροσύνην. Γυνὴ γὰρ σώφρων καὶ ἐπιεικὴς καὶ μετρία, κἂν πένης ᾖ τὴν πενίαν πλούτου βέλτιον διαθεῖναι δυνήσεται· ὥσπερ ἡ διεφθαρμένη καὶ ἀκόλαστος καὶ φίλερις κἂν μυρίους εὕρῃ θησαυροὺς ἔνδον κειμένους, ἀνέμου παντὸς τάχιον αὐτοὺς ἐκφυσήσασα καὶ συμφοραῖς μυρίαις μετὰ τῆς πενίας περιβάλλει τὸν ἄνδρα. Μὴ τοίνυν πλοῦτον ζητῶμεν, ἀλλὰ τὴν χρησομένην καλῶς τοῖς οὖσι.

Πρότερον μάθε τίς ἡ τοῦ γάμου αἰτία καὶ τίνος ἕνεκεν εἰς τὸν βίον εἰσενήνεκται τὸν ἡμέτερον καὶ μηδὲν πλέον ἀπαίτει. Τίς οὖν ἡ τοῦ γάμου πρόφασις καὶ τίνος ἕνεκεν ἔδωκεν αὐτὸν ὁ Θεός; Ἄκουσον τοῦ Παύλου λέγοντος· «διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω». Οὐκ εἶπε, 'διὰ δὲ τὴν τῆς πενίας ἀπαλλαγήν', ἢ 'διὰ τὴν τῆς εὐπορίας κτῆσιν'· ἀλλὰ τί; Ἵνα πορνείας φύγωμεν, ἵνα τὴν ἐπιθυμίαν καταστείλωμεν, ἵνα σωφροσύνῃ συζήσωμεν, ἵνα εὐαρεστήσωμεν Θεῷ, τῇ οἰκείᾳ ἀρκούμενοι γαμετῇ. Τοῦτο τοῦ γάμου τὸ δῶρον, οὗτος ὁ καρπός, τοῦτο τὸ κέρδος. Μὴ τοίνυν τὰ μείζονα ἀφείς, τὰ ἐλάττονα ζήτει· πολὺ γὰρ σωφροσύνης ἐλάττων ὁ πλοῦτος. Δι' ἓν γὰρ τοῦτο μόνον χρὴ λαμβάνειν γυναῖκα, ἵνα τὴν ἁμαρτίαν φύγωμεν, ἵνα πορνείας ἁπάσης ἀπαλλαγῶμεν· πρὸς τοῦτο χρὴ τὸν γάμον καθίστασθαι πάντα, ἵνα εἰς σωφροσύνην ἡμῖν συμπράττῃ· ἔσται δὲ τοῦτο, ἐὰν τοιαύτας ἀγώμεθα νύμφας, αἳ πολλὴν μὲν εὐλάβειαν, πολλὴν δὲ σωφροσύνην, πολλὴν δὲ ἐπιείκειαν ἡμῖν εἰσαγαγεῖν δύνανται.

Ἡ μὲν γὰρ τοῦ σώματος εὐμορφία, ὅταν μὴ συνεζευγμένην ἔχῃ τὴν τῆς ψυχῆς ἀρετήν, καὶ εἴκοσι καὶ τριάκοντα ἡμέρας δυνήσεται τὸν ἄνδρα ἑλεῖν, περαιτέρω δὲ οὐ προβήσεται, ἀλλὰ δείξασα τὴν κακίαν, ἅπαν καταλύσει τὸ φίλτρον· αἱ δὲ τῷ κάλ-

---

20. Α' Κορ. 7,2.

5. Ἔχοντας λοιπὸν στὸ νοῦ μας ὅλα αὐτά, ἂς μὴ σκεπτόμαστε γιὰ χρήματα, ἀλλὰ γιὰ καλοὺς τρόπους καὶ σεμνότητα καὶ σωφροσύνη. Γιατὶ μιὰ γυναίκα συνετὴ καὶ εὐγενὴς στοὺς τρόπους καὶ μετρημένη, ἔστω καὶ ἂν εἶναι φτωχή, θὰ μπορέσει νὰ χειρισθεῖ τὴ φτώχεια καλύτερα ἀπὸ τὸν πλοῦτο. Ὅπως πάλι ἡ διεφθαρμένη καὶ ἀκόλαστη καὶ φιλόνεικη, καὶ ἂν ἀκόμη βρεῖ ἄπειρους θησαυροὺς μέσα στὸ σπίτι, ἀφοῦ τοὺς διασκορπίσει γρηγορότερα ἀπὸ κάθε ἄνεμο, περιβάλλει τὸν ἄνδρα της μαζὶ μὲ τὴ φτώχεια καὶ μὲ ἄπειρες συμφορές. Ἂς μὴ ζητᾶμε λοιπὸν πλοῦτο, ἀλλὰ αὐτὴν ποὺ θὰ διαχειρισθεῖ καλὰ τὰ ὑπάρχοντά μας.

Πρῶτα μάθε ποιά εἶναι ἡ αἰτία τοῦ γάμου καὶ γιὰ ποιό λόγο ἔχει εἰσαχθεῖ στὴ ζωή μας καὶ μὴ ζητᾶς τίποτε περισσότερο. Ποιά λοιπὸν εἶναι ἡ αἰτία τοῦ γάμου καὶ γιὰ ποιό λόγο τὸν ἔδωσε ὁ Θεός; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «γιὰ ν' ἀποφεύγεται ἡ πορνεία κάθε ἄνδρας ἂς ἔχει τὴ δική του γυναίκα»[20]. Δὲν εἶπε, 'γιὰ τὴν ἀπαλλαγὴ τῆς φτώχειας ἢ γιὰ τὴν ἀπόκτηση πλούτου', ἀλλὰ τί; Γιὰ ν' ἀποφύγουμε τὶς πορνεῖες, γιὰ νὰ συγκρατήσουμε τὴν ἐπιθυμία, γιὰ νὰ συζήσουμε μὲ σωφροσύνη, γιὰ νὰ εὐαρεστήσουμε τὸ Θεό, ἀρκούμενοι στὴ δική μας σύζυγο. Αὐτὸ εἶναι τὸ δῶρο τοῦ γάμου, αὐτὸς ὁ καρπός, αὐτὸ τὸ κέρδος. Μὴ λοιπὸν ἀφήνοντὰς τὰ μεγαλύτερα ζητᾶς τὰ μικρότερα· γιατὶ ὁ πλοῦτος εἶναι πολὺ μικρότερος ἀπὸ τὴ σωφροσύνη. Γι' αὐτὸ λοιπὸν τὸ ἕνα μόνο πρέπει νὰ παντρευόμαστε, γιὰ ν' ἀποφύγουμε τὴν ἁμαρτία, γιὰ ν' ἀπαλλαγοῦμε ἀπὸ κάθε πορνεία. Γι' αὐτὸ πρέπει νὰ γίνεται κάθε γάμος, γιὰ νὰ μᾶς βοηθάει στὴν ἄσκηση σωφροσύνης. Καὶ θὰ γίνει αὐτό, ἂν παίρνουμε τέτοιες γυναῖκες, ποὺ μποροῦν νὰ μᾶς προσφέρουν πολλὴ εὐλάβεια, πολλὴ σωφροσύνη καθὼς καὶ εὐγένεια στὴ συμπεριφορά.

Γιατὶ ἡ ὀμορφιὰ τοῦ σώματος, ὅταν δὲν συνδυάζεται παράλληλα μὲ τὴν ἀρετὴ τῆς ψυχῆς, θὰ μπορέσει νὰ σκλαβώσει τὸν ἄνδρα γιὰ εἴκοσι καὶ τριάντα ἡμέρες, παραπέρα ὅμως δὲ θὰ προχωρήσει, ἀλλ' ἀφοῦ δείξει τὴν κακία της θὰ διαλύσει ὅλη

λει τῆς ψυχῆς καταλάμπουσαι, ὅσῳπερ ἂν ὁ χρόνος προΐῃ, καὶ πεῖραν τῆς οἰκείας εὐγενείας παρέχωσι, τοσούτῳ μάλιστα θερμότερον τῆς οἰκείοις ἀνδράσι ποιοῦσι τὸν ἔρωτα καὶ τὴν πρὸς αὐτὸν ἐξάπτουσιν ἀγάπην. Τούτου δὲ ὄντος καὶ φιλίας μεταξὺ κειμένης θερμῆς καὶ γνησίας, ἅπαν ἐλαύνεται πορνείας εἶδος καὶ οὐδὲ ἔννοιά τις ἀκολασίας τῷ φιλοῦντι τὴν ἑαυτοῦ γυναῖκά ποτε ἐμπεσεῖται, ἀλλὰ μένει διηνεκῶς τὴν ἑαυτοῦ στέργων καὶ διὰ τῆς σωφροσύνης τὸν Θεὸν ἐπισπώμενος εἰς τὴν τῆς οἰκίας ἁπάσης εὔνοιάν τε καὶ προστασίαν. Οὕτως ἐλάμβανον οἱ γενναῖοι τῶν παλαιῶν ἀνδρῶν γυναῖκας, ψυχῆς εὐγένειαν ἐπιζητοῦντες καὶ οὐκ εὐπορίαν χρημάτων. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, παραδείγματος ἕνεκεν, ἑνὸς ἐπιμνησθήσομαι γάμου.

«Καὶ Ἀβραὰμ πρεσβύτερος ἦν καὶ προβεβηκὼς ἡμερῶν», φησί, «καὶ εἶπε τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ, τῷ ἄρχοντι τῶν αὐτοῦ πάντων· 'Θὲς τὴ χεῖρά σου ὑπὸ τὸν μηρόν μου καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ μετ' αὐτῶν, ἀλλ' εἰς τὴν γῆν μου οὗ ἐγεννήθην πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν». Εἶδες τοῦ δικαίου τὴν ἀρετήν, πόσην ὑπὲρ γάμου πρόνοιαν ἐποιήσατο; Οὐ γὰρ δὴ μαστροποὺς καλέσας γυναῖκας, καθάπερ οἱ νῦν, οὐδὲ προμνηστρίας, οὐδὲ γραΐδια μυθεύοντα, ἀλλὰ τὸν οἰκέτην τὸν ἑαυτοῦ τούτῳ τὸ πρᾶγμα ἐνεχείρισεν· ὃ καὶ αὐτὸ τῆς εὐλαβείας τοῦ πατριάρχου μέγιστόν ἐστι σημεῖον, ὅτι τοιοῦτον κατεσκεύασε τὸν οἰκέτην, ὡς καὶ τοιούτου πράγματος νομίσαι ἀξιόπιστον εἶναι διάκονον. Εἶτα γυναῖκα ζητεῖ οὐκ εὔπορον οὐδὲ εὔμορφον, ἀλλ' εὐγενῆ τοῖς τρόποις καὶ διὰ τοῦτο τοσαύτην ὁδὸν ἀποδημίας προπέμπει.

Ὅρα δὲ καὶ τοῦ οἰκέτου τὴν εὐγνωμοσύνην· οὐδὲ γὰρ εἶπε, 'τί ποτε τοῦτό ἐστιν; ἔθνη τοσαῦτα πλησίον ἡμῶν, εὐπόρων ἀνδρῶν θυγατέρες τοσαῦται, ἐπισήμων καὶ περιφανῶν, σὺ δὲ εἰς

---

21. Γεν. 24,1–4.

τὴν ἀγάπη. Ἐκεῖνες ὅμως ποὺ λάμπουν ἀπὸ τὸ κάλλος τῆς ψυχῆς, ὅσο προχωράει ὁ καιρὸς καὶ κάνουν γνωστὴ τὴν εὐγένειά τους, τόσο περισσότερο θερμότερο κάνουν τὸν ἔρωτα στοὺς ἄνδρες τους καὶ ἀνάβουν τὴν ἀγάπη τους γι' αὐτόν. Καὶ ὅταν ὑπάρχει αὐτὸ καὶ ἀνάμεσά τους ὑπάρχει φιλία θερμὴ καὶ γνήσια, ἀπομακρύνεται κάθε εἶδος πορνείας, καὶ οὔτε θὰ εἰσχωρήσει ποτὲ κάποια σκέψη ἀκολασίας σ' αὐτὸν ποὺ ἀγαπάει τὴ γυναίκα του, ἀλλ' ἀρκεῖται πάντοτε στὴ δική του ἀποσπώντας μὲ τὴ σωφροσύνη του ἀπὸ τὸ Θεὸ κάθε εὔνοια καὶ προστασία γιὰ ὅλο τὸ σπίτι του. Ἔτσι ἔπαιρναν γυναῖκες οἱ γενναῖοι ἀπὸ τοὺς παλαιοὺς ἄνδρες, ἐπιζητώντας εὐγένεια ψυχῆς καὶ ὄχι πλοῦτο χρημάτων. Καὶ ὅτι αὐτὸ εἶναι ἀλήθεια, γιὰ παράδειγμα, θὰ σᾶς θυμίσω ἕνα γάμο.

«Ὁ Ἀβραὰμ ἦταν γέρος καὶ προχωρημένος πολὺ στὴν ἡλικία», λέγει ἡ Γραφή, «καὶ εἶπε στὸ μεγαλύτερο δοῦλο τοῦ σπιτιοῦ του, τὸν ἐπιστάτη ὅλων τῶν ἄλλων δούλων· βάλε τὸ χέρι σου κάτω ἀπὸ τὸ μηρό μου καὶ θὰ σὲ ἐξορκίσω στὸν Κύριο, τὸ Θεὸ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, γιὰ νὰ μὴν πάρεις γιὰ τὸν υἱό μου Ἰσαὰκ σύζυγο ἀπὸ τὶς θυγατέρες τῶν Χαναναίων, μεταξὺ τῶν ὁποίων ἐγὼ ζῶ μέχρι σήμερα, ἀλλὰ θὰ πᾶς στὴ χώρα μου, ὅπου γεννήθηκα, καὶ στὴ φυλή μου καὶ θὰ πάρεις ἀπὸ ἐκεῖ γυναίκα γιὰ τὸ γιό μου»[21]. Εἶδες τὴν ἀρετὴ τοῦ δικαίου, πόσο φρόντισε γιὰ τὸ γάμο; Γιατὶ δὲν κάλεσε γυναῖκες μαστροπούς, ὅπως οἱ σημερινοί, οὔτε προξενῆτρες, οὔτε γριὲς ποὺ λέγουν παραμύθια, ἀλλὰ τὸ δικό του ὑπηρέτη καὶ σ' αὐτὸν ἐμπιστεύθηκε τὸ πράγμα, ποὺ καὶ αὐτὸ εἶναι πολὺ μεγάλο δεῖγμα τῆς εὐλάβειας τοῦ πατριάρχη, ὅτι δηλαδὴ ἔκανε τέτοιον τὸ δοῦλο του, ὥστε νὰ τὸν θεωρήσει ἀξιόπιστο ὑπηρέτη καὶ γιὰ ἕνα τέτοιο πράγμα. Στὴ συνέχεια ζητάει γυναίκα ὄχι πλούσια οὔτε ὄμορφη, ἀλλὰ εὐγενικὴ στοὺς τρόπους καὶ γι' αὐτὸ τὸν στέλνει σὲ τόσο μακρινὸ ταξίδι.

Πρόσεχε ὅμως καὶ τὴν εὐγνωμοσύνη τοῦ ὑπηρέτη. Γιατὶ δὲν εἶπε, 'τί λοιπὸν σημαίνει αὐτό; Τόσα ἔθνη εἶναι κοντά μας, τόσες θυγατέρες πλούσιων ἀνθρώπων, ἐπίσημων καὶ διάσημων

μακρὰν οὕτω πέμπεις γῆν, πρὸς ἀνθρώπους ἀγνῶτας· τίνι διαλέξομαι; τίς με εἴσεται; τί δέ, ἂν δόλον μοι ράψωσιν, ἂν ἀπάτην ἐργάσωνται;' οὐδὲν γὰρ οὕτως εὐεπιχείρητον, ὡς ξένος. Οὐδὲν τούτων εἶπεν, ἀλλὰ ταῦτα ἅπαντα παριδών, ὃ μάλιστά ἐστιν ὑπιδέσθαι, τοῦτο ὑπείδετο, ἀπὸ μὲν τοῦ μηδὲν ἐκείνῳ ἀντειπεῖν τὴν ὑπακοὴν ἐπιδεικνύμενος, ἀπὸ δὲ τοῦ μόνον ἐκεῖνο ἐρέσθαι, ὃ μάλιστα πάντων ζητῆσαι ἔδει, τὴν σύνεσιν τὴν αὐτοῦ καὶ πρόνοιαν δηλῶν. Τί ποτ' οὖν ἐστι τοῦτο; καὶ τί τὸν δεσπότην ἤρετο τὸν ἑαυτοῦ; «Ἐὰν δὲ μὴ βουληθῇ», φησίν, «ἡ γυνὴ πορευθῆναι μετ' ἐμοῦ, ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες;». Εἶτα ὁ Ἀβραάμ· «μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ. Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι καὶ ὤμοσέ μοι λέγων, 'σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου', αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου καὶ κατευοδώσει τὴν ὁδόν σου».

Ὁρᾷς πίστιν ἀνδρός; Οὐ παρεκάλεσε φίλους ἢ συγγενεῖς, οὐκ ἄλλον οὐδένα, ἀλλὰ τὸν Θεὸν ἔδωκεν αὐτῷ μεσίτην καὶ συνοδοιπόρον. Εἶτα βουλόμενος παραθαρσῦναι τὸν οἰκέτην, οὐχ ἁπλῶς εἶπε, «Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς», ἀλλὰ προστίθησιν, «ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου». Ἀναμνήσθητι, φησί, πῶς τοσαύτην ἤλθομεν ἀποδημίαν, πῶς τὴν οἰκείαν ἀφέντες ἐπὶ τῆς ἀλλοτρίας πλείονος ἀπελαύσαμεν εὐημερίας, πῶς τὰ ἀδύνατα γέγονε δυνατά. Οὐ τοῦτο δὲ μόνον βουλόμενος δηλῶσαι ἔλεγεν, «ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου», ἀλλ' ὅτι καὶ ὀφειλέτην ἔχει τὸν Θεόν. Χρεώστης, φησίν, ἡμῖν ἐστιν· αὐτὸς εἶπε, «σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου». Ὥστε εἰ καὶ ἡμεῖς ἀνάξιοι, διὰ γοῦν τὴν ὑπόσχεσιν αὐτὸς τὴν ἑαυτοῦ, καὶ ἵνα αὐτὴν εἰς τέλος ἀγάγῃ, συμπαρέσται

---

22. Γεν. 24,5–7.

καὶ σὺ μὲ στέλνεις σὲ χώρα τόσο μακριά, σὲ ἀνθρώπους ἄγνωστους. Μὲ ποιόν θὰ μιλήσω; ποιός θὰ μὲ γνωρίσει; Καὶ τί θὰ γίνει, ἂν μοῦ πλέξουν δόλο, ἂν μὲ ἐξαπατήσουν;' γιατὶ τίποτε δὲν εἶναι τόσο εὐπρόσβλητο ὅσο ἕνας ξένος. Δὲν εἶπε τίποτε ἀπ' αὐτά, ἀλλὰ παραβλέποντας ὅλα αὐτά, ἐκεῖνο ποὺ κυρίως μπορεῖ νὰ ὑποψιασθεῖ κανείς, αὐτὸ ὑποψιάσθηκε, δείχνοντας τὴν ὑπακοή του ἀπὸ τὸ ὅτι δὲν ἔφερε καμιὰ ἀντίρρηση σ' ἐκεῖνον καὶ φανερώνοντας τὴ σύνεσή του καὶ τὴν πρόνοια ἀπὸ τὸ ὅτι ἐρώτησε ἐκεῖνο μόνο, ποὺ ἔπρεπε πιὸ πολὺ ἀπ' ὅλα νὰ ζητήσει. Ποιό λοιπὸν εἶναι αὐτό; καὶ τί ἐρώτησε στὸν κύριό του; «Ἂν ὅμως δὲ θελήσει», λέγει, «ἡ γυναίκα νὰ μὲ ἀκολουθήσει, θὰ ὁδηγήσω τὸ γιό σου στὸν τόπο, ἀπὸ τὸν ὁποῖο ἐσὺ ἔφυγες;». Καὶ ὁ Ἀβραὰμ ἀπάντησε· «μὴν ἐπαναφέρεις τὸ γιό μου ἐκεῖ. Ὁ Κύριος, ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ποὺ μὲ πῆρε ἀπὸ τὸ πατρικό μου σπίτι καὶ ἀπὸ τὴ γῆ, στὴν ὁποία γεννήθηκα, αὐτὸς μοῦ μίλησε καὶ μοῦ ὁρκίσθηκε λέγοντας· σὲ σένα καὶ στοὺς ἀπογόνους σου θὰ δώσω αὐτὴ τὴ γῆ. Αὐτὸς θὰ στείλει τὸν ἄγγελό του μπροστά σου καὶ θὰ κατευοδώσει τὸ δρόμο σου»[22].

Βλέπεις τὴν πίστη τοῦ ἄνδρα; Δὲν παρακάλεσε φίλους ἢ συγγενεῖς, οὔτε κανέναν ἄλλο, ἀλλὰ τὸ Θεὸ τοῦ ἔδωσε μεσίτη καὶ συνοδοιπόρο. Στὴ συνέχεια θέλοντας νὰ ἐμψυχώσει τὸν ὑπηρέτη, δὲν εἶπε ἁπλῶς, «ὁ Κύριος, ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς», ἀλλὰ προσθέτει, «ὁ ὁποῖος μὲ πῆρε ἀπὸ τὸ πατρικό μου σπίτι». Θυμήσου, λέγει, πῶς κάναμε τόσο μεγάλο ταξίδι, πῶς ἐγκαταλείποντας τὴ δική μας χώρα ἀπολαύσαμε περισσότερη εὐημερία στὴν ξένη χώρα, πῶς τὰ ἀδύνατα ἔγιναν δυνατά. Καὶ ὄχι μόνο αὐτὸ θέλοντας νὰ φανερώσει ἔλεγε, «ὁ ὁποῖος μὲ πῆρε ἀπὸ τὸ πατρικό μου σπίτι», ἀλλὰ καὶ ὅτι ἔχει ὀφειλέτη τὸ Θεό. Χρεώστης, λέγει, μᾶς εἶναι· αὐτὸς εἶπε, «σὲ σένα καὶ στοὺς ἀπογόνους σου θὰ δώσω αὐτὴ τὴ χώρα». Ὥστε, ἔστω καὶ ἂν ἐμεῖς εἴμαστε ἀνάξιοι, αὐτὸς λοιπὸν ἐξ αἰτίας τῆς ὑπόσχεσής του καὶ θέλοντας νὰ τὴν πραγματοποιήσει θὰ μᾶς συμπαρασταθεῖ καὶ θὰ κάνει εὔκολα ὅλα αὐτὰ ποὺ εἶναι μροστά

καὶ ἐξευμαριεῖ τὰ προκείμενα ἅπαντα καὶ τέλος ἐπιθήσει τούτου οὗπερ εὐχόμεθα. Ταῦτα εἰπὼν ἔπεμψε τὸν παῖδα.

Εἶτα ἐλθὼν ἐκεῖνος εἰς τὴν χώραν ἐκείνην, οὐ προσῆλθέ τινι τῶν τὴν πόλιν οἰκούντων, οὐ διελέχθη ἀνθρώποις, οὐκ ἐκάλεσε γυναῖκας· ἀλλ' ὅρα πῶς ἐκεῖνος πιστὸς ὤν, τὸν μεσίτην, ὃν ἔλαβεν, αὐτὸν κατεῖχεν, αὐτῷ διελέγετο μόνῳ, καὶ στὰς ηὔξατο, φησί, «καὶ εἶπε, Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον μου σήμερον»· καὶ οὐκ εἶπε, 'Κύριε ὁ Θεός μου', ἀλλὰ τί; «Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ». Εἰ καὶ ἐγὼ εὐτελὴς καὶ ἀπερριμμένος, φησίν, ἀλλὰ τὸν δεσπότην προβάλλομαι τὸν ἐμόν· οὐ γὰρ ἐμαυτῷ, ἀλλ' ἐκείνῳ διακονῶν ἥκω· ἐκείνου τοίνυν αἰδεσθεὶς τὴν ἀρετήν, συγκατάπραξόν μοι τὸ προκείμενον ἅπαν.

6. *Εἶτα, ἵνα μὴ νομίσῃς ὅτι ὡς χρέος ἀπαιτεῖ, ἄκουσον καὶ τῶν ἑξῆς· «καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ». Κἂν μυρία ὦμεν, φησί, κατωρθωκότες, ἀξιοῦμεν χάριτι σωθῆναι καὶ ἀπὸ φιλανθρωπίας τοῦτο λαβεῖν, οὐκ ἐξ ὀφειλῆς τινος καὶ χρέους. Τί τοίνυν βούλει; «Ἰδοὺ ἕστηκα», φησίν, «ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος· αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ· καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, 'ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα πίω', καὶ εἴπῃ, 'πίε καὶ σύ, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι', ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας ἔλεος τῷ Κυρίῳ μου Ἀβραάμ». Ὅρα σοφίαν οἰκέτου, οἷον τίθησι σημεῖον. Οὐκ εἶπεν, 'ἐάν τινα ἴδω ἐπὶ ἡμιόνων φερομένην, ἐπὶ ὀχήματος ὀχουμένην, εὐνούχων δὲ ἐσμὸν ἐπισυρομένην, πολλὴν ἔχουσαν θεραπείαν, εὔμορφον καὶ ἀπολάμπουσαν κατὰ τὴν τοῦ σώματος ὥραν, ταύτην ἡτοίμασας τῷ παιδί σου'· ἀλλὰ τί; «Ἧι ἂν ἐγὼ εἴπω, 'ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα πίω'».*

Τί ποιεῖς, ἄνθρωπε; οὕτως εὐτελῆ γυναῖκα τῷ δεσπότῃ

23. Γεν. 24,12.
24. Γεν. 24,13–14.

μας, πραγματοποιώντας ἔτσι αὐτὸ ποὺ εὐχόμαστε. Ἀφοῦ εἶπε αὐτά, ἔστειλε τὸν ὑπηρέτη.

Ἔπειτα, ὅταν αὐτὸς πῆγε στὴ χώρα ἐκείνη, δὲν πῆγε σὲ κάποιον ἀπὸ τοὺς κατοίκους τῆς πόλης, δὲ μίλησε μὲ ἀνθρώπους, δὲν κάλεσε γυναῖκες. Ἀλλὰ πρόσεχε πῶς καὶ αὐτός, ποὺ ἦταν πιστός, κρατοῦσε τὸ μεσίτη ποὺ πῆρε, μ' αὐτὸν μιλοῦσε μόνο, καὶ ἀφοῦ στάθηκε προσευχήθηκε λέγοντας· «καὶ εἶπε, Κύριε, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, δῶσε μου καλὴ ἐπιτυχία σήμερα»[23]. Καὶ δὲν εἶπε, 'Κύριε, ὁ Θεός μου', ἀλλὰ τί; «Κύριε, ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ». Ἂν καὶ ἐγὼ εἶμαι ἀσήμαντος καὶ παραπεταμένος, λέγει, ὅμως προβάλλω τὸ δικό μου κύριο. Γιατὶ δὲν ἔχω ἔρθει νὰ ὑπηρετήσω τὸν ἑαυτό μου ἀλλὰ ἐκεῖνον. Ἐκείνου λοιπὸν τὴν ἀρετὴ ἐκτιμώντας, βοήθησέ με σ' αὐτὸ ποὺ ἔχω νὰ κάνω.

6. Ἔπειτα, γιὰ νὰ μὴ νομίσεις πὼς τὸ ἀπαιτεῖ σὰν χρέος, ἄκουσε καὶ τὰ ἑπόμενα· «καὶ γίνε εὐσπλαχνικὸς στὸν κύριό μου τὸν Ἀβραάμ». Καὶ ἂν ἀκόμη ἔχουμε κατορθώσει ἄπειρα, λέγει, ζητοῦμε νὰ σωθοῦμε κατὰ χάρη καὶ ἀπὸ φιλανθρωπία νὰ τὸ λάβουμε αὐτό, ὄχι ἀπὸ κάποια ὀφειλὴ καὶ χρέος. Τί λοιπὸν θέλεις; «Νά, ἐγὼ στάθηκα», λέγει, «κοντὰ στὴν πηγὴ τοῦ νεροῦ. Οἱ θυγατέρες τῶν κατοίκων τῆς πόλης ἔρχονται πρὸς τὰ ἐδῶ νὰ ἀντλήσουν νερό. Καὶ ἡ νέα ποὺ θὰ τῆς πῶ, γύρε τὴ στάμνα σου γιὰ νὰ πιῶ, καὶ θὰ πεῖ, 'πιὲς καὶ σὺ καὶ τὶς καμῆλες σου θὰ ποτίσω ὥσπου νὰ χορτάσουν ὅλες καὶ σταματήσουν νὰ πίνουν', δῶσε νὰ εἶναι αὐτὴ ποὺ ἑτοίμασες γιὰ τὸ δοῦλο σου Ἰσαάκ, καὶ μὲ τὸν τρόπο αὐτὸν θὰ γνωρίσω ὅτι ἔδειξες εὐσπλαχνία στὸν κύριό μου Ἀβραάμ»[24]. Κοίταζε τὴ σοφία τοῦ ὑπηρέτη, ποιό σημάδι θέτει. Δὲν εἶπε, 'ἂν δῶ κάποια νὰ ἔρχεται πάνω σὲ ἡμιόνους, νὰ ἐπιβαίνει σὲ ἅμαξα, νὰ σέρνει πίσω της πλῆθος εὐνούχων, νὰ ἔχει πολλοὺς ὑπηρέτες, νὰ εἶναι ὄμορφη καὶ νὰ λάμπει ἡ ὡραιότητα τοῦ σώματός της, αὐτὴν ἑτοίμασες στὸ δοῦλο σου'· ἀλλὰ τί εἶπε; «Σ' αὐτὴ ποὺ θὰ πῶ, 'γύρε τὴ στάμνα σου γιὰ νὰ πιῶ'».

Τί κάνεις ἄνθρωπε; τόσο ἀσήμαντη γυναίκα ζητᾶς γιὰ τὸν

σου ζητεῖς, ὑδροφοροῦσαν καί σοι διαλεχθῆναι δυναμένην; Ναί, φησίν· οὐ γὰρ ἔμπεμψέ με χρημάτων εὐπορίαν, οὐδὲ γένους λαμπρότητα, ἀλλὰ ψυχῆς εὐγένειαν ἐπιζητήσοντα. Πολλαὶ πολλάκις τῶν ὑδροφορουσῶν τούτων ὁλόκληρον ἔχουσιν ἀρετήν, ἄλλαι δὲ ἐν οἴκοις λαμπροῖς καθήμεναι πάντων εἰσὶ χείρους καὶ φαυλότεραι. Εἶτα καὶ πόθεν τοῦτο, ὅτι ἐνάρετός ἐστιν ἡ γυνή; Ἀπὸ τοῦ σημείου, φησίν, οὗ εἶπε. Καὶ ποῖον τοῦτο τὸ σημεῖον ἀρετῆς; Μέγιστον καὶ ἀναμφισβήτητον. Φιλοξενίας γὰρ τοῦτο μέγα σημεῖόν ἐστιν, ὥστε πᾶσαν παρασχεῖν ἀπόδειξιν. Ὃ τοίνυν λέγει τοιοῦτόν ἐστιν, εἰ καὶ μὴ ταῦτα φθέγγεται τὰ ρήματα. 'Ἐκείνην ζητῶ τὴν παρθένον, ἥτις οὕτω φιλόξενός ἐστιν, ὡς πᾶσαν παρασχεῖν ἐν οἷς ἂν δύνηται θεραπείαν'.

Καὶ οὐχ ἁπλῶς τοῦτο ἐζήτει, ἀλλ' ἐπειδὴ τοιαύτης οἰκίας ἦν, ἐν ᾗ μάλιστα τὰ τῆς φιλοξενίας ἤνθει κατορθώματα, τοῦτο πρὸ τῶν ἄλλων ἐζήτησεν, ὁμότροπον τοῖς ἑαυτοῦ δεσπόταις λαβεῖν. Εἰς οἰκίαν αὐτὴν μέλλομεν, φησίν, εἰσαγαγεῖν, ξένοις ἀνεῳγμένην· ἵνα μὴ πόλεμος ᾖ καὶ μάχη, τοῦ ἀνδρὸς προϊέμενου τὰ ὄντα καὶ τὸν πατέρα μιμουμένου καὶ τοὺς ξένους ὑποδεχομένου, ταύτης δὲ σμικρολογουμένης τε καὶ μὴ ἀνεχούσης καὶ κωλυούσης, ὃ πολλάκις ἐν πολλαῖς ὀκίαις εἴωθε γίνεσθαι, ἐντεῦθεν ἤδη βούλομαι μαθεῖν εἰ φιλόξενός ἐστι· καὶ γὰρ ἐντεῦθεν ἡμῖν ἅπαντα γέγονε τὰ ἀγαθά. Οὕτω τὸν νυμφίον ἐκτήσατο ὁ δεσπότης ὁ ἐμός, οὕτω πατὴρ ἐγένετο, μόσχον ἔθυσε, καὶ παιδίον ἔλαβεν, ἄλευρα ἔφυρε, καὶ κατὰ τὸ πλῆθος τῶν ἄστρων τοὺς ἐκγόνους αὐτῷ ὑπέσχετο δώσειν ὁ Θεός. Ἐπεὶ οὖν ἐντεῦθεν ἡμῖν καὶ τῇ οἰκίᾳ ἅπαντα γέγονε τὰ ἀγαθά, τοῦτο πρὸ τῶν ἄλλων ἐπιζητῶ.

Μὴ γὰρ τοῦτο ἴδωμεν, ὅτι ὕδωρ ἐπεζήτησεν, ἀλλ' ἐκεῖνο σκοπήσωμεν, ὅτι σφόδρα φιλοξένου ψυχῆς, μὴ μόνον δοῦναι τὸ αἰτηθέν, ἀλλὰ καὶ πλέον ὧν ᾔτησε παρασχεῖν. «Καὶ ἐγένετο», φησί, «πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα, ἰδοὺ Ρεβέκκα ἐξε-

---

25. Δηλαδὴ τὸν Ἰσαάκ.
26. Βλ. Γεν. 18,1–15.

κύριό σου, ποὺ μεταφέρει νερὸ καὶ μπορεῖ νὰ μιλάει μὲ σένα; Ναί, λέγει. Γιατὶ δὲ μὲ ἔστειλε νὰ ἐπιζητήσω πλοῦτο χρημάτων οὔτε λαμπρότητα γένους, ἀλλὰ εὐγένεια ψυχῆς. Πολλὲς φορὲς πολλὲς γυναῖκες ἀπ' αὐτὲς ποὺ μεταφέρουν νερὸ ἔχουν ὅλη τὴν ἀρετή, ἐνῶ ἄλλες ποὺ κάθονται σὲ πολυτελὴ σπίτια εἶναι χειρότερες καὶ αἰσχρότερες ἀπὸ ὅλες. Ἔπειτα, καὶ ἀπὸ ποῦ φαίνεται αὐτό, ὅτι εἶναι ἐνάρετη ἡ γυναίκα; Ἀπὸ τὸ σημάδι, λέγει, ποὺ εἶπε. Καὶ ποιό εἶναι αὐτὸ τὸ σημάδι τῆς ἀρετῆς; Πάρα πολὺ μεγάλο καὶ ἀναμφισβήτητο. Γιατὶ αὐτὸ εἶναι μεγάλο σημάδι φιλοξενίας, δίνοντας κάθε ἀπόδειξη γι' αὐτήν. Αὐτὸ λοιπὸν ποὺ λέγει σημαίνει τὸ ἑξῆς, ἂν καὶ δὲ λέγει αὐτὰ τὰ λόγια. Ζητῶ ἐκείνη τὴ νέα, ποὺ εἶναι τόσο φιλόξενη, ὥστε νὰ προσφέρει κάθε ἐξυπηρέτηση σ' ἐκεῖνα ποὺ μπορεῖ.

Καὶ δὲ ζητοῦσε τυχαῖα αὐτὸ τὸ πράγμα, ἀλλ' ἐπειδὴ ἀνῆκε σὲ τέτοιο σπίτι, στὸ ὁποῖο ἄνθιζαν πάρα πολὺ τὰ κατορθώματα τῆς φιλοξενίας, αὐτὸ πρὶν ἀπὸ τὰ ἄλλα ζήτησε, νὰ πάρει γυναίκα ὅμοια μὲ τοὺς κυρίους του. Πρόκειται, λέγει, νὰ τὴ βάλουμε σὲ σπίτι ποὺ εἶναι ἀνοιχτὸ στοὺς ξένους. Γιὰ νὰ μὴν ὑπάρχει πόλεμος καὶ διαμάχη, ὅταν ὁ ἄνδρας θὰ χαρίζει τὰ ὑπάρχοντά τους, μιμούμενος τὸν πατέρα του καὶ φιλοξενώντας τοὺς ξένους, ἐνῶ αὐτὴ ἐξετάζοντας λεπτομερῶς τὸ πράγμα, δὲ θὰ τὸ ἀνέχεται καὶ θὰ τὸ ἐμποδίζει, πράγμα ποὺ πολλὲς φορὲς συμβαίνει νὰ γίνεται σὲ πολλὰ σπίτια, ἀπὸ ἐδῶ τώρα θέλω νὰ μάθω ἂν εἶναι φιλόξενη. Γιατὶ ἀπὸ ἐδῶ συνέβηκαν ὅλα τὰ ἀγαθὰ σὲ μᾶς. Ἔτσι ὁ κύριός μου ἀπέκτησε τὸ γαμπρό[25], ἔτσι ἔγινε πατέρας, θυσίασε μοσχάρι καὶ ἔλαβε παιδί, ζύμωσε ἀλεύρι καὶ τοῦ ὑποσχέθηκε ὁ Θεὸς νὰ τοῦ δώσει ἀπογόνους σὰν τὸ πλῆθος τῶν ἄστρων. Ἀφοῦ λοιπὸν ἀπὸ ἐδῶ συνέβηκαν σὲ μᾶς καὶ στὸ σπίτι ὅλα τὰ ἀγαθά, αὐτὸ ζητῶ πρὶν ἀπὸ τὰ ἄλλα[26].

Ἂς μὴ δοῦμε λοιπὸν αὐτό, ὅτι ζήτησε νερό, ἀλλὰ ἂς ἐξετάσουμε τὸ ἄλλο, ὅτι ἀπόδειξη φιλόξενης ψυχῆς ἦταν νὰ μὴ δώσει μόνο αὐτὸ ποὺ τῆς ζητήθηκε, ἀλλὰ νὰ δώσει καὶ περισσότερα ἀπ' αὐτὰ ποὺ ζήτησε ἐκεῖνος. «Καὶ πρὶν ἀκόμη», λέγει, «τελειώσει αὐτὰ τὰ λόγια, νὰ ἡ Ρεβέκκα ἔβγαινε ἀπὸ τὴν

πορεύετο», καὶ τὸ προφητικὸν ἐκεῖνο ἐκπληροῦτο· «ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι». Τοιαῦται τῶν γενναίων ἀνδρῶν αἱ εὐχαί· πρὸ τοῦ τέλους πείθουσι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις. Καὶ σὺ τοίνυν, ἐπειδὰν μέλλῃς γυναῖκα ἄγεσθαι, μὴ πρὸς ἀνθρώπους καταφύγῃς, μηδὲ πρὸς γυναῖκας ἐμπορευομένας τὰς ἀλλοτρίας συμφορὰς καὶ ζητούσας ἓν μόνον, ὅπως αὐταὶ μισθὸν λάβωσιν, ἀλλὰ κατάφυγε ἐπὶ τὸν Θεόν. Οὐκ ἐπαισχύνεταί σου γενέσθαι νυμφαγωγός. Αὐτὸς ὑπέσχετο καὶ εἶπε· «ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Καὶ μὴ λέγε, 'πῶς δύναμαι τὸν Θεὸν ἰδεῖν; μὴ γὰρ ἀφεῖναί μοι φωνὴν ἔχει καὶ διαλεχθῆναι φανερῶς, ἵνα προσελθὼν ἐρωτήσω;' Ἀπίστου ταῦτα ψυχῆς. Καὶ γὰρ ὀξέως καὶ χωρὶς φωνῆς πάντα, ὅσα ἂν θέλῃ, δύναται κατασκευάζειν ὁ Θεός· ὃ δὴ καὶ ἐπὶ τούτου γέγονεν. Οὐδὲ γὰρ φωνὴν ἤκουσεν, οὐδὲ ὄψιν τινὰ εἶδεν, ἀλλ' ἐπὶ πηγῇ ἑστὼς ηὔξατο καὶ ταχέως ἐπέτυχεν.

«Ἐγένετο γὰρ πρὶν ἢ συντελέσαι λαλοῦντα αὐτόν», φησί, «Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουὴλ τῷ υἱῷ Μελχᾶς, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων· ἡ δὲ παρθένος ἦν καλὴ τῇ ὄψει σφόδρα, παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν». Τί μοι λέγεις τὴν εὐμορφίαν τοῦ σώματος; Ἵνα μάθῃς τὴν ὑπερβολὴν τῆς σωφροσύνης, ἵνα μάθῃς τὸ κάλλος τὸ ἐν τῇ ψυχῇ. Θαυμαστὸν μὲν γὰρ τὸ σωφρονεῖν, πολλῷ δὲ θαυμαστότερον, ὅταν μετ' εὐμορφίας τοῦτο γίνηται. Διὰ τοῦτο καὶ περὶ τοῦ Ἰωσὴφ μέλλων ἡμῖν διηγεῖσθαι καὶ τῆς ἐκείνου σωφροσύνης, πρότερον τὴν εὐμορφίαν τοῦ σώματος τέθεικεν, εἰπών, «καλὸς ἦν τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα», καὶ τότε τὴν σωφροσύνην αὐτοῦ διηγήσατο δεικνύς, ὅτι τὸ κάλλος αὐτὸν εἰς ἀσέλγειαν οὐ προήγαγεν. Οὔτε γὰρ τὸ κάλλος πορνείας αἴτιον, οὔτε ἡ ἀμορφία σωφροσύνης πάντως. Πολλαὶ γὰρ κατὰ τὴν ὥραν τοῦ σώματος λάμψασαι, μειζόνως κατὰ τὴν σωφροσύνην ἔλαμψαν· ἄλλαι πάλιν αἰσχραὶ καὶ δυσειδεῖς οὖσαι, αἰσχρότεροι κατὰ τὴν ψυχὴν

---

27. Γεν. 24,15.
28. Ἡσ. 58,9.
29. Ματθ. 6,33.
30. Γεν. 24,15–16.
31. Γεν. 39,6.

πόλη»[27], καὶ ἐκπληρωνόταν ἐκεῖνο τὸ προφητικό· «ἐνῶ ἀκόμη θὰ μιλᾶς, θὰ πῶ, νὰ εἶμαι παρών»[28]. Τέτοιες εἶναι οἱ προσευχὲς τῶν ἀγαθῶν ἀνθρώπων· πρὶν τελειώσουν, πείθουν τὸ Θεὸ νὰ συγκατατεθεῖ στὰ λεγόμενά τους. Καὶ σὺ λοιπὸν ὅταν πρόκειται νὰ παντρευτεῖς νὰ μὴν καταφύγεις σὲ ἀνθρώπους, οὔτε σὲ γυναῖκες ποὺ ἐμπορεύονται τὶς ξένες συμφορὲς καὶ ζητοῦν ἕνα μόνο, πῶς οἱ ἴδιες νὰ λάβουν ἀμοιβή, ἀλλὰ νὰ καταφύγεις στὸ Θεό. Δὲν ντρέπεται νὰ γίνει προξενητής σου. Αὐτὸς ὑποσχέθηκε καὶ εἶπε· «ζητᾶτε τὴ βασιλεία τῶν οὐρανῶν, καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν σὲ σᾶς»[29]. Καὶ νὰ μὴ λέγεις, 'πῶς μπορῶ νὰ δῶ τὸ Θεό; μήπως ἔχει φωνὴ νὰ μοῦ μιλήσει καὶ νὰ συζητήσει φανερά, γιὰ νὰ τὸν πλησιάσω καὶ νὰ τὸν ἐρωτήσω;' Αὐτὰ εἶναι ἀπόδειξη ἄπιστης ψυχῆς. Γιατὶ γρήγορα καὶ χωρὶς φωνὴ ὅλα ὅσα θέλει μπορεῖ ὁ Θεὸς νὰ τὰ πραγματοποιήσει, πράγμα λοιπὸν ποὺ ἔγινε καὶ σ' αὐτόν. Γιατὶ δὲν ἄκουσε φωνή, οὔτε εἶδε κάποιο ὅραμα, ἀλλὰ κοντὰ σὲ πηγὴ στάθηκε καὶ προσευχήθηκε, καὶ ἀμέσως ἐπέτυχε.

«Καὶ πρὶν τελειώσει αὐτὰ τὰ λόγια», λέγει, «ἔβγαινε ἀπὸ τὴν πόλη ἡ Ρεβέκκα, ἡ κόρη τοῦ Βαθουήλ, υἱοῦ τῆς Μελχᾶς, ἔχοντας τὴ στάμνα στὸν ὦμο της. Καὶ ἡ νέα ἦταν πάρα πολὺ ὡραία, ἦταν παρθένος καὶ κανεὶς ἄνδρας δὲν ἦρθε σὲ ἐπαφὴ μαζί της»[30]. Τί μοῦ ἀναφέρεις τὴν ὀμορφιὰ τοῦ σώματος; Γιὰ νὰ μάθεις τὴν ὑπερβολική της σωφροσύνη, γιὰ νὰ μάθεις τὴν ψυχική της ὀμορφιά. Γιατὶ ἡ σωφροσύνη εἶναι θαυμαστὸ πράγμα, γίνεται ὅμως πολὺ θαυμαστότερο ὅταν ὑπάρχει μαζὶ μὲ τὴ σωματικὴ ὀμορφιά. Γι' αὐτὸ καὶ ὅταν ἐπρόκειτο νὰ μᾶς μιλήσει γιὰ τὸν Ἰωσὴφ καὶ γιὰ τὴ σωφροσύνη του, πρῶτα ἀνέφερε τὴν ὀμορφιὰ τοῦ σώματος, λέγοντας, «ἦταν καλὸς στὴν ἐμφάνιση καὶ πάρα πολὺ ὄμορφος στὸ πρόσωπο»[31], καὶ ὕστερα ἐξιστόρησε τὴ σωφροσύνη του, δείχνοντας ὅτι ἡ ὀμορφιά του δὲν τὸν ὤθησε στὴν ἀσέλγεια. Γιατὶ οὔτε ἡ ὀμορφιὰ εἶναι αἰτία πορνείας, οὔτε ἡ ἀσχήμια εἶναι ὁποσδήποτε αἰτία σωφροσύνης. Γιατὶ πολλὲς γυναῖκες ποὺ ἔλαμψαν στὴν ὀμορφιὰ τοῦ σώματος, ἔλαμψαν περισσότερο στὴ σωφροσύνη· ἄλλες πάλι ποὺ

ἐγένοντο, μυρίαις ῥυπωθεῖσαν πορνείαις. Οὐ γὰρ ἡ φύσις τοῦ σώματος, ἀλλ' ἡ προαίρεσις τῆς ψυχῆς καὶ τούτου κἀκείνου αἰτία.

7. Οὐχ ἁπλῶς δὲ δεύτερον αὐτὸν παρθένον εἶπεν. Εἰπὼν γὰρ «παρθένος ἦν», ἐπήγαγε· «παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν». Ἐπειδὴ γὰρ πολλαὶ παρθένων τὸ σῶμα ἀδιάφθορον τηροῦσαι, τὴν ψυχὴν πολλῆς ἀκολασίας πληροῦσι, καλλωπιζόμεναι, μυρίους πανταχόθεν ἐπισπώμεναι ἐραστὰς καὶ τοὺς τῶν νέων ὀφθαλμοὺς ἀναπτεροῦσιν, ἐνέδρας τιθεῖσαι καὶ βάραθρα, δεικνὺς ὁ Μωϋσῆς ὅτι οὐκ αὐτὴ τοιαύτη, ἀλλ' ἑκατέρωθεν ἦν παρθένος, ἀπό τε σώματος, ἀπό τε ψυχῆς, φησί, «παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν». Καίτοι γε πολλὰς εἶχεν ἀφορμὰς τοῦ γνωρισθῆναι ἀνδράσι· πρῶτον μὲν τὸ κάλλος τοῦ σώματος· δεύτερον δὲ ὁ τῆς διακονίας τρόπος. Εἰ μὲν γὰρ ἐν θαλάμῳ διηνεκῶς ἐκάθητο, καθάπερ αἱ νῦν παρθένοι, καὶ μηδέποτε εἰς ἀγορὰν ἐνέβαλεν μηδὲ ἐξῄει τὴν οἰκίαν τὴν πατρῴαν, οὐδὲν τοσοῦτον ἦν εἰς ἐγκώμιον λέγεσθαι περὶ αὐτῆς, «ὅτι ἀνὴρ οὐκ ἔγνω αὐτήν». Ὅταν δὲ ἴδῃς αὐτὴν εἰς ἀγορὰν ἐξιοῦσαν, καθ' ἑκάστην ἡμέραν ὑδροφορεῖν ἀναγκαζομένην, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, εἶτα μηδενὶ γνώριμον οὖσαν ἀνδρί, τότε μάλιστα αὐτῆς συνήσῃ κατιδεῖν τὸ ἐγκώμιον.

Εἰ γὰρ ὀλιγάκις εἰς ἀγορὰν παραβάλλουσα παρθένος καὶ δυσειδὴς οὖσα καὶ ἄμορφος, πολλῶν ἑπομένων θεραπαινίδων, ἀπὸ τῶν ἐξόδων τούτων διεφθάρη τὸ ἦθος πολλάκις, ἡ καθ' ἑκάστην ἡμέραν ἐκ τῆς πατρῴας οἰκίας ἐξιοῦσα μόνη καὶ οὐκ εἰς ἀγορὰν ἁπλῶς, ἀλλ' εἰς τὴν πηγὴν ἀπαντῶσα καὶ ὑδρευομένη, ἔνθα πολλοὺς καὶ ἑτέρους συνιέναι ἀνάγκη, πῶς οὐκ ἂν εἴη μυρίων ἀξία θαυμάτων, οὔτε ἀπὸ τῶν ἐξόδων τῶν συνεχῶν, οὔτε ἀπὸ τῆς κατὰ τὴν ὄψιν εὐμορφίας, οὔτε ἀπὸ τοῦ πλήθους

ἦταν ἄσχημες καὶ ἀποκρουστικὲς στὴν ὄψη, ἔγιναν πιὸ ἄσχημες στὴν ψυχή, ἀφοῦ λερώθηκαν μὲ ἄπειρες πορνεῖες. Ἑπομένως ὄχι ἡ φύση τοῦ σώματος, ἀλλὰ ἡ προαίρεση τῆς ψυχῆς εἶναι ἡ αἰτία καὶ τοῦ ἑνὸς καὶ τοῦ ἄλλου.

7. Καὶ δὲν τὴν εἶπε τυχαῖα δυὸ φορὲς παρθένο. Γιατὶ ἀφοῦ εἶπε, «ἦταν παρθένος», πρόσθεσε· «ἦταν παρθένος καὶ κανένας ἄνδρας δὲν ἦρθε σὲ ἐπαφὴ μαζί της». Ἐπειδὴ λοιπὸν πολλὲς ἀπὸ τὶς παρθένους ποὺ διατηροῦν τὸ σῶμα τους ἀδιάφθορο γεμίζουν τὴν ψυχή τους μὲ πολλὴ ἀκολασία, καλλωπιζόμενες, προσελκύοντας ἀπὸ παντοῦ ἀμέτρητους ἐραστές, καὶ προκαλοῦν τὰ μάτια τῶν νέων, στήνοντας ἐνέδρες καὶ παγίδες, δείχνοντας ὁ Μωϋσῆς πὼς αὐτὴ δὲν εἶναι τέτοια, ἀλλὰ καὶ ἀπὸ τὰ δύο μέρη ἦταν παρθένος, καὶ ἀπὸ τὸ σῶμα καὶ ἀπὸ τὴν ψυχή, λέγει, «ἦταν παρθένος καὶ κανεὶς ἄνδρας δὲν ἦρθε σὲ ἐπαφὴ μαζί της». Ἂν καὶ εἶχε πολλὲς ἀφορμὲς νὰ ἔρθει σὲ ἐπαφὴ μὲ ἄνδρες· πρῶτα ἡ ὀμορφιὰ τοῦ σώματος καὶ ὕστερα ὁ τρόπος τῆς ὑπηρεσίας της. Γιατὶ ἂν καθόταν συνέχεια στὸ δωμάτιό της, ὅπως οἱ σημερινὲς νέες, καὶ δὲν κατέβαινεν ποτὲ στὴν ἀγορὰ οὔτε ἔβγαινε ἀπὸ τὸ πατρικό της σπίτι, δὲ θὰ ἦταν τόσος μεγάλος ἔπαινος γι' αὐτὴν τὸ νὰ λέγεται ὅτι κανένας ἄνδρας δὲν ἦρθε σὲ ἐπαφὴ μαζί της. Ὅταν ὅμως τὴ βλέπεις νὰ βγαίνει στὴν ἀγορά, νὰ ἀναγκάζεται κάθε ἡμέρα νὰ μεταφέρει νερό, καὶ μιὰ καὶ δύο καὶ πολλὲς φορές, καὶ παρ' ὅλα αὐτὰ νὰ μὴν ἔχει γνωρίσει κανέναν ἄνδρα, τότε κυρίως θὰ μπορέσεις νὰ κατανοήσεις τὸν ἔπαινό της.

Γιατὶ ἂν μιὰ νέα ποὺ ἔρχεται λίγες φορὲς στὴν ἀγορά, ἔστω καὶ ἂν εἶναι ἀποκρουστικὴ καὶ ἄσχημη καὶ τὴν ἀκολουθοῦν πολλὲς ὑπηρέτριες, ἀπὸ τὶς ἐξόδους αὐτὲς διαφθείρεται πολλὲς φορὲς στὸ χαρακτήρα, ἐκείνη ποὺ κάθε ἡμέρα ἔβγαινε μόνη της ἀπὸ τὸ πατρικὸ σπίτι, καὶ ὄχι ἁπλῶς στὴν ἀγορά, ἀλλὰ πήγαινε στὴν πηγὴ καὶ μετέφερε νερό, ὅπου ἀναγκαστικὰ καὶ πολλοὶ ἄλλοι πήγαιναν ἐκεῖ, πῶς δὲ θὰ εἶναι ἄξια γιὰ ἄπειρο θαυμασμό, ἀφοῦ δὲ χάλασε στὸ ἦθος οὔτε ἀπὸ τὶς συνεχὲς ἐξόδους, οὔτε ἀπὸ τὴν ὀμορφιὰ τοῦ προσώπου της, οὔτε ἀπὸ τὸ

τῶν παραγινομένων, οὔτε ἄλλοθεν οὐδαμόθεν διαφθαρεῖσα τὸ ἦθος, ἀλλὰ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀδιάφθορος μείνασα, καὶ τὴν σωφροσύνην τῶν ἐν γυναικωνίτιδι καθημένων ἀκριβέστερον διατηρήσασα, καὶ τοιαύτη φανεῖσα, οἵαν ὁ Παῦλος ἐπιζητεῖ λέγων· «ἵνα ᾖ ἁγία σώματι καὶ πνεύματι».

«Καταβᾶσα τοίνυν ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν τοῦ ὕδατος καὶ ἀνέβη· καὶ ἔδραμεν ὁ παῖς εἰς συνάντησιν αὐτῆς καὶ εἶπε· 'πότισόν με μικρὸν ἐκ τῆς ὑδρίας σου'. Ἡ δὲ εἶπε· 'πίε, κύριε', καὶ ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν αὐτὸν ἕως ἐπαύσατο πίνων· καὶ εἶπε· 'καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσι'. Καὶ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι καὶ ὑδρεύσασθαι πάσαις ταῖς καμήλοις». Πολλὴ μὲν τῆς γυναικὸς ἡ φιλοξενία, πολλὴ δὲ ἡ σωφροσύνη, καὶ ἀμφότερα ταῦτα καὶ ἀφ' ὧν ἐποίησε, καὶ ἀφ' ὧν εἶπε, μάλιστα ἔστι καταμαθεῖν. Εἶδες πῶς οὔτε ἡ σωφροσύνη τὴν φιλοξενίαν ἐλυμήνατο, οὔτε ἡ φιλοξενία τὴν σωφροσύνην διέφθειρε; Τὸ μὲν γὰρ μὴ πρότεραν ἐπιδραμεῖν μηδὲ προσειπεῖν τὸν ἄνδρα σωφροσύνης ἦν, τὸ δὲ αἰτηθεῖσαν μὴ ἀνανεῦσαι μηδὲ ἀρνήσασθαι φιλοξενίας καὶ φιλανθρωπίας πολλῆς. Ὥσπερ γὰρ εἰ προτέρα προσέδραμε καὶ μηδὲν εἰπόνι διελέχθη, ἰταμότητος ἦν καὶ ἀναισχυντίας, οὕτως, εἰ παρακαλέσαντα διεκρούσατο, ὠμότητος ἦν καὶ ἀπανθρωπίας.

Νῦν δὲ οὐδέτερον τούτων ἐποίησεν· οὔτε διὰ τὴν σωφροσύνην τὴν φιλοξενίαν ἐλυμήνατο, οὐδ' αὖ πάλιν διὰ τὴν φιλοξενίαν τὸ τῆς σωφροσύνης ἐγκώμιον ὑπετέμετο, ἀλλ' ὁλόκληρον ἑκατέραν ἐπεδείξατο τὴν ἀρετήν, τῷ μὲν ἀναμεῖναι τὴν αἴτησιν τὴν σωφροσύνην ἐπιδεικνυμένη, τῷ δὲ παρασχεῖν μετὰ τὴν αἴτησιν τὴν φιλοξενίαν τὴν ἄφατον. Καὶ γὰρ ἀφάτου φιλοξενίας ἦν, τὸ μὴ μόνον ὅπερ ᾔτησε δοῦναι, ἀλλὰ καὶ πλέον τι παρα-

32. Α' Κορ. 7,34.
33. Γεν. 24,16–20.

πλῆθος αὐτῶν ποὺ πήγαιναν ἐκεῖ, οὔτε ἀπὸ πουθενὰ ἀλλοῦ, ἀλλ' ἔμεινε ἀδιάφθορη στὸ σῶμα καὶ στὴν ψυχὴ καὶ διατήρησε τὴ σωφροσύνη καλύτερα ἀπὸ τὶς γυναῖκες ποὺ κάθονται στὸ γυναικωνίτη τοῦ σπιτιοῦ τους, καὶ ἀποδείχθηκε τέτοια γυναίκα, ὅπως τὴ θέλει ὁ Παῦλος, λέγοντας, «γιὰ νὰ εἶναι ἁγία στὸ σῶμα καὶ στὸ πνεῦμα»[32];

«Ἀφοῦ κατέβηκε λοιπὸν στὴν πηγὴ γέμισε τὴ στάμνα τοῦ νεροῦ καὶ ἀνέβηκε. Τότε ἔτρεξε ὁ δοῦλος σὲ συνάντησή της καὶ εἶπε, 'δός μου νὰ πιῶ λίγο ἀπὸ τὴ στάμνα σου'. Ἐκείνη εἶπε, 'πιές, κύριε'· καὶ ἀμέσως κατέβασε τὴ στάμνα στὸ βραχίονά της καὶ τὸν πότισε, μέχρι ποὺ χόρτασε αὐτὸς καὶ σταμάτησε νὰ πίνει. Καὶ εἶπε· 'θὰ ποτίσω καὶ τὶς καμῆλες σου μέχρι ποὺ νὰ πιοῦν ὅλες'. Καὶ ἔτρεξε, ἄδειασε τὴ στάμνα στὴν ποτίστρα καὶ ἔτρεξε στὸ πηγάδι νὰ ἀντλήσει νερὸ καὶ νὰ ποτίσει ὅλες τὶς καμῆλες»[33]. Εἶναι μεγάλη ἡ φιλοξενία τῆς γυναίκας, καὶ μεγάλη ἡ σωφροσύνη της, καὶ μπορεῖ νὰ τὰ μάθει πολὺ καλὰ κανεὶς καὶ τὰ δύο αὐτὰ καὶ ἀπ' αὐτὰ ποὺ ἔκανε καὶ ἀπ' αὐτὰ ποὺ εἶπε. Εἶδες πῶς οὔτε ἡ σωφροσύνη ἔβλαψε τὴ φιλοξενία οὔτε ἡ φιλοξενία κατέστρεψε τὴ σωφροσύνη; Γιατὶ τὸ νὰ μὴν τρέξει πρώτη καὶ νὰ μὴ μιλήσει στὸν ἄνδρα ἦταν ἀπόδειξη σωφροσύνης, ἐνῶ τὸ νὰ μὴν ἀρνηθεῖ, ὅταν τῆς ζητήθηκε, οὔτε νὰ ἀπορρίψει τὴν ἐξυπηρέτηση ἦταν ἀπόδειξη φιλοξενίας καὶ φιλανθρωπίας. Ὅπως δηλαδή, ἂν ἔτρεχε πρώτη καὶ τοῦ μιλοῦσε χωρὶς νὰ τῆς πεῖ τίποτε, θὰ ἦταν δεῖγμα θρασύτητας καὶ ἀναισχυντίας, ἔτσι, ἂν τὸν ἀπέκρουε ὅταν τὴν παρακαλοῦσε, θὰ ἦταν δεῖγμα σκληρότητας καὶ ἀπανθρωπιᾶς.

Τώρα ὅμως δὲν ἔκανε οὔτε τὸ ἕνα οὔτε τὸ ἄλλο. Οὔτε γιὰ χάρη τῆς σωφροσύνης ἔβλαψε τὴ φιλοξενία, οὔτε πάλι γιὰ χάρη τῆς φιλοξενίας μείωσε τὸν ἔπαινο τῆς σωφροσύνης, ἀλλὰ φανέρωσε ὁλόκληρη τὴν κάθε μιὰ ἀρετή· μὲ τὸ νὰ περιμένει νὰ τοῦ ζητήσει νερὸ φανέρωσε τὴ σωφροσύνη της καὶ μὲ τὸ νὰ τοῦ δώσει νερὸ νὰ πιεῖ, ὕστερα ἀπὸ τὴν αἴτησή του, φανέρωσε τὴν ἀπερίγραπτη φιλοξενία της. Γιατὶ πραγματικὰ ἀπόδειξη ἀπερίγραπτης φιλοξενίας ἦταν τὸ νὰ μὴ δώσει μόνο αὐτὸ ποὺ

σχεῖν τῶν αἰτηθέντων. Εἰ δὲ ὕδωρ ἦν τὸ διδόμενον, τούτου κυρία ἦν τότε. Τοὺς δὲ φιλοξένους οὐκ ἀπὸ τῆς πολυτελείας τῶν διδομένων, ἀλλ' ἀπὸ τῆς δυνάμεως, ἧς παρέχουσι, κρίνειν εἰώθασιν· ἐπεὶ καὶ τὸν ποτήριον δόντα ψυχροῦ ὁ Θεὸς ἐπήνεσε, καὶ τὴν δύο λεπτὰ καταβαλοῦσαν πάντων πλέον καταβεβληκέναι ἔφη, ἐπειδὴ πάντα, ἅπερ εἶχε, τότε κατέβαλεν. Οὕτω καὶ αὕτη τούτοις τὸν γενναῖον ἐκεῖνον ἐξένισεν, ὧν οὐδὲν εἶχε πλέον αὐτῷ παρασχεῖν. Οὐχ ἁπλῶς δὲ πρόσκειται τό, «ἔσπευσε καὶ ἔδραμε» καὶ ὅσα τοιαῦτα, ἀλλ' ἵνα μάθῃς τὴν προθυμίαν, μεθ' ἧς ἐποίει τὸ πρᾶγμα, οὐκ ἄκουσα οὐδὲ ἀναγκαζομένη, οὐδὲ δυσχεραίνουσα, οὐδὲ ἀγανακτοῦσα.

Καὶ ὅτι οὐ μικρὸν τοῦτό ἐστι, πολλάκις παριόντα τινὰ στῆναι μικρὸν ᾐτήσαμεν δᾷδα κατέχοντα, ἵνα ἅψωμεν, ἢ ὕδωρ βαστάζοντα, ὥστε ἀποπιεῖν, καὶ οὐκ ἠνέσχετο, ἀλλ' ἐδυσχέρανεν· ἐκείνη δὲ οὐ μόνον ἀπέκλινεν αὐτῷ τὴν ὑδρίαν, ἀλλὰ καὶ ταῖς καμήλοις πάσαις ὑδρεύσατο, πόνον τοσοῦτον ἀνασχομένη, καὶ τὴν ἀπὸ τοῦ σώματος λειτουργίαν εἰς τὴν φιλοξενίαν εἰσενεγκοῦσα μετὰ πολλῆς προσηνείας· οὐ γὰρ τὸ ποιῆσαι μόνον, ἀλλὰ καὶ τὸ προθύμως, δείκνυσιν αὐτῆς τὴν ἀρετήν· κύριον καλεῖ ἄνθρωπον ἀγνῶτα καὶ τότε φανέντα πρῶτον. Καὶ καθάπερ ὁ κηδεστὴς αὐτῆς Ἀβραὰμ οὐκ ἠρώτα τοὺς παριόντας, 'τίνες δέ ἐστε καὶ πόθεν; καὶ ποῦ πορεύεσθε; καὶ πόθεν ἥκατε;' ἀλλ' ἁπλῶς τὴν φιλοξενίαν ἐκαρποῦτο, οὕτω καὶ αὕτη οὐκ εἶπε, 'τίς εἶ καὶ πόθεν καὶ τίνος ἕνεκεν παραγέγονας;' ἀλλὰ καρπωσαμένη τὴν εὐπορίαν τῆς φιλοξενίας τὰ περιττὰ πάντα ἀφῆκε. Καὶ γὰρ οἱ μαργαρίτας ὠνούμενοι καὶ χρυσίον λαμβάνοντες, ἓν τοῦτο ζητοῦσι μόνον, ὅπως κερδαίνοιεν ἀπὸ τῶν ἐχόντων τὰ χρήματα, οὐχ ὅπως αὐτοὺς περιεργάσοιντο· καὶ αὕτη τοῦτο μόνον ζητεῖ, ὅπως δέξηται τὸν τῆς φιλοξενίας καρπόν, ὅπως λάβοι τὸν μι-

34. Βλ. Ματθ. 10,42.
35. Βλ. Λουκᾶ. 21,2-4.

ζήτησε, ἀλλὰ νὰ προσφέρει καὶ κάτι περισσότερο ἀπ' αὐτὰ ποὺ τῆς ζητήθηκαν. Ἂν τώρα ἦταν νερὸ αὐτὸ ποὺ ἔδωσε, αὐτὸ εἶχε τότε στὴ διάθεσή της. Καὶ τοὺς φιλόξενους συνήθως δὲν τοὺς κρίνουμε ἀπὸ τὴν πολυτέλεια τῶν προσφερόμενων ἀγαθῶν, ἀλλὰ ἀπὸ τὴ δυνατότητα μὲ τὴν ὁποία τὰ προσφέρουν. Γιατὶ ὁ Θεὸς ἐπαίνεσε καὶ ἐκεῖνον ποὺ πρόσφερε ἕνα ποτήρι κρύο νερό[34], καὶ γιὰ ἐκείνη ποὺ πρόσφερε τὰ δύο λεπτὰ εἶπε ὅτι πρόσφερε περισσότερα ἀπ' ὅλους, ἐπειδὴ πρόσφερε τότε ὅλη τὴν περιουσία της[35]. Ἔτσι καὶ αὐτὴ φιλοξένισε τὸν ἀγαθὸ ἐκεῖνον ἄνδρα μὲ αὐτά, ἀφοῦ δὲν εἶχε τίποτε περισσότερο νὰ τοῦ δώσει. Καὶ δὲν προστίθεται τυχαῖα τὸ «ἔσπευσε καὶ ἔτρεξε» καὶ τὰ ἄλλα τὰ σχετικά, ἀλλὰ γιὰ νὰ μάθεις τὴν προθυμία μὲ τὴν ὁποία ἐνεργοῦσε τότε, ὄχι χωρὶς τὴ θέλησή της, οὔτε ἀπὸ ἀνάγκη, οὔτε μὲ δυσανασχέτηση οὔτε μὲ ἀγανάκτηση.

Καὶ ὅτι δὲν εἶναι μικρὸ αὐτό, σκέψου πὼς πολλὲς φορὲς παρακαλέσαμε κάποιον περαστικὸ ποὺ κρατοῦσε δαδὶ νὰ σταθεῖ λιγάκι γιὰ νὰ ἀνάψουμε, ἢ κάποιον ποὺ μετέφερε νερὸ νὰ μᾶς δώσει νὰ πιοῦμε, καὶ δὲ δέχθηκε ἀλλὰ δυσανασχέτησε. Ἐκείνη ὅμως ὄχι μόνο ἔγειρε σ' αὐτὸν τὴ στάμνα, ἀλλὰ καὶ ὅλες τὶς καμῆλες του πότισε, ὑποφέροντας τόσο κόπο καὶ προσφέροντας μὲ πολλὴ προθυμία τὴ σωματική της ὑπηρεσία στὴ φιλοξενία. Γιατὶ ὄχι μόνο τὸ ὅτι ἔκανε αὐτό, ἀλλὰ καὶ τὸ ὅτι τὸ ἔκανε μὲ προθυμία, δείχνει τὴν ἀρετή της. Ὀνομάζει κύριο κάποιον ἄνθρωπο ἄγνωστο καὶ ποὺ τὸν εἶδε γιὰ πρώτη φορὰ τότε. Καὶ ὅπως ὁ πεθερός της Ἀβραὰμ δὲν ἐρωτοῦσε τοὺς περαστικούς, 'ποιοί εἶστε καὶ ἀπὸ ποῦ κατάγεσθε; καὶ ποῦ πηγαίνετε; καὶ ἀπὸ ποῦ ἤρθατε;' ἀλλὰ μόνο πρόσφερε τὴ φιλοξενία, ἔτσι καὶ αὐτὴ δὲν εἶπε, 'ποιός εἶσαι καὶ ἀπὸ ποῦ καὶ γιὰ ποιό λόγο ἦρθες ἐδῶ;' ἀλλὰ προσφέροντας τὸν πλοῦτο τῆς φιλοξενίας ἄφησε κατὰ μέρος ὅλα τὰ περιττά. Γιατὶ καὶ αὐτοὶ ποὺ ἀγοράζουν μαργαριτάρια καὶ παίρνουν χρυσάφι ἕνα μόνο ἐπιδιώκουν, πῶς νὰ κερδίσουν ἀπ' αὐτοὺς ποὺ ἔχουν τὰ χρήματα, καὶ ὄχι νὰ ἐξετάσουν αὐτούς· καὶ αὐτὴ αὐτὸ μόνο ἐπιδιώκει, πῶς νὰ κερδίσει τὸν καρπὸ τῆς φιλοξενίας, πῶς νὰ πάρει ὁλόκληρο τὸ μι-

σθὸν ἀπηρτισμένον. Ἤιδει τοῦτο σαφῶς, ὅτι ὁ ξένος μάλιστα πάντων αἰσχύνεται· διὰ τοῦτο δεῖται πολλῆς τῆς φιλοφροσύνης καὶ ἀπεριεργάστου τῆς σωφροσύνης· ἂν τοίνυν μέλλωμεν αὐτὸν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, ὀκνεῖ καὶ ἀναδύεται καὶ ἀηδῶς προσέρχεται. Διὰ τοῦτο οὐδὲ αὕτη τοῦτο ἐποίησεν ἐπὶ τούτου, οὐδὲ ἐπὶ τῶν ξένων ὁ κηδεστὴς ὁ ταύτης, ἵνα μὴ τὴν θήραν ἀποσοβήσῃ· ἀλλ' ἐθεράπευσε τοὺς παριόντας μόνον, καὶ καρπούμενος δι' αὐτῶν ὅπερ ἐβούλετο, οὕτως αὐτοὺς ἐξέπεμπε.

8. Διὰ τοῦτο καὶ ἀγγέλους ποτὲ ὑπεδέξατο· ὡς, εἴ γε περιειργάζετο, ἠλαττώθη ἂν αὐτῷ ὁ ἐπικείμενος μισθός. Καὶ γὰρ θαυμάζομεν αὐτὸν οὐχ ὅτι ἀγγέλους ὑπεδέξατο, ἀλλ' ὅτι ἀγνοῶν ὑπεδέξατο. Εἰ μὲν γὰρ εἰδὼς ἐθεράπευσεν, οὐδὲν θαυμαστὸν ἐποίει, τῆς ἀξίας τῶν ὑποδεχθέντων καὶ τὸν σφόδρα λίθινον καὶ ἀπηνῆ καταναγκαζούσης φιλάνθρωπον γενέσθαι καὶ ἥμερον· τὸ δὲ θαυμαστὸν τοῦτο ἦν, ὅτι ὁδίτας τινὰς αὐτοὺς εἶναι νομίζων, τοσαύτην ἐπ' αὐτοῖς ἐπεδείξατο τὴν θεραπείαν. Τοσαύτη καὶ αὕτη ἦν· οὐκ οἶδεν τίς ἦν, οὐδὲ ἐπὶ τί παρεγένετο, οὐδὲ ὅτι αὐτὴν μνηστευσόμενος ἦλθεν, ἀλλὰ ξένον τινὰ καὶ ὁδοιπόρον ἐνόμισε. Διὰ τοῦτο μείζων αὐτῇ ὁ μισθὸς τῆς φιλοξενίας ἐγίνετο, ὅτι τὸν οὐδαμόθεν ὄντα γνώριμον μετὰ τοσαύτης ὑπεδέξατο εὐνοίας, ὁμοῦ καὶ τὴν σωφροσύνην διατηροῦσα. Οὐδὲ γὰρ ἀναισχύντως, οὐδὲ ἰταμῶς, οὔτε ἀναγκάζουσα, οὔτε ὀργιζομένη, ἀλλὰ μετὰ τῆς προσηκούσης σεμνότητος τοῦτο ἐποίει.

Τοῦτο γὰρ αὐτὸ ἠνίξατο ὁ Μωϋσῆς λέγων· «ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτὴν καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωσε Κύριος τὴν ὁδὸν αὐτοῦ». Τί ἐστι, «κατεμάνθανεν αὐτήν»; Καὶ σχῆμα καὶ βάδισμα καὶ βλέμμα καὶ ῥῆμα καὶ πάντα ἀκριβῶς ἐξήταζεν, ἀπὸ τῶν τοῦ σώματος κινημάτων τὴν ἕξιν τῆς ψυχῆς καταμανθάνων. Καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ δευτέραν προσάγει πεῖραν. Ἐπειδὴ γὰρ ἐπότισεν αὐτόν, οὐκ

---

36. Βλ. Γεν. 18,1-8.

37. Γεν. 24,21.

σθό. Γνώριζε τοῦτο καλά, ὅτι δηλαδὴ ὁ ξένος ντρέπεται πιὸ πολὺ ἀπ' ὅλους· γι' αὐτὸ καὶ χρειάζεται πολλὴ εὐγένεια καὶ σωφροσύνη χωρὶς περιέργεια. Ἂν λοιπὸν πρόκειται νὰ τὸν ἐξετάσουμε καὶ νὰ τὸν περιεργασθοῦμε, διστάζει καὶ δειλιάζει καὶ πλησιάζει μὲ δυσαρέσκεια. Γι' αὐτὸ οὔτε αὐτὴ τὸ ἔκανε αὐτὸ σ' αὐτόν, οὔτε ὁ πεθερός της στοὺς ξένους, γιὰ νὰ μὴ διώξει τὸ θήραμα· ἀλλὰ περιποιήθηκε τοὺς περαστικοὺς μόνο, καὶ κερδίζοντας μέσω αὐτῶν ὅ,τι ἤθελε, τοὺς ἄφησε μετὰ νὰ φύγουν.

8. Γι' αὐτὸ καὶ ἀγγέλους φιλοξένησε κάποτε[36]· ἂν ὅμως τοὺς ἐξέταζε μὲ περιέργεια, θὰ τοῦ μειωνόταν ὁ μισθὸς ποὺ τοῦ ἐπιφυλασσόταν. Γιατὶ πραγματικὰ θαυμάζουμε τὸν Ἀβραὰμ ὄχι γιατὶ φιλοξένησε ἀγγέλους, ἀλλὰ γιατὶ τοὺς φιλοξένησε χωρὶς νὰ τοὺς ξέρει. Ἂν τοὺς ἤξερε καὶ τοὺς περιποιόταν, δὲ θὰ ἔκανε τίποτε τὸ θαυμαστό, ἀφοῦ ἡ ἀξία τῶν φιλοξενημένων ἐξαναγκάζει καὶ τὸν ὑπερβολικὰ σκληρὸ καὶ ἄγριο νὰ γίνει φιλάνθρωπος καὶ ἥμερος. Τὸ θαυμαστὸ ὅμως ἦταν αὐτό, ὅτι, παρ' ὅλο ποὺ τοὺς θεώρησε γιὰ κάποιους ὁδοιπόρους, τοὺς περιποιήθηκε πάρα πολύ. Τόσο σπουδαία ἦταν καὶ αὐτή. Δὲ γνωρίζει ποιός ἦταν οὔτε γιατὶ ἦρθε οὔτε ὅτι ἦρθε γιὰ νὰ τὴν ἀρραβωνιάσει, ἀλλὰ τὸν πέρασε γιὰ κάποιον ξένο καὶ ὁδοιπόρο. Γι' αὐτὸ ὁ μισθός της γιὰ τὴ φιλοξενία γινόταν μεγαλύτερος, ἐπειδὴ ἐκεῖνον ποὺ ἀπὸ πουθενὰ δὲν τῆς ἦταν γνωστὸς τὸν ὑποδέχθηκε μὲ τόση φιλικὴ διάθεση, διατηρώντας συγχρόνως καὶ τὴ σωφροσύνη της. Γιατὶ τὸ ἔκανε αὐτὸ ὄχι μὲ ἀδιαντροπιὰ οὔτε μὲ θρασύτητα οὔτε μὲ τὴ βία οὔτε ὀργισμένη, ἀλλὰ μὲ τὴν ἀνάλογη σεμνότητα.

Αὐτὸ ἀκριβῶς ὑπαινίχθηκε ὁ Μωϋσῆς λέγοντας· «καὶ ὁ ἄνθρωπος τὴν παρακολουθοῦσε μὲ προσοχὴ χωρὶς νὰ πεῖ λέξη, γιὰ νὰ καταλάβει ἂν ὁ Κύριος τὸν βοήθησε νὰ ἐπιτύχει στὸ σκοπό του»[37]. Τί σημαίνει, «τὴν παρακολουθοῦσε μὲ προσοχή»; Ἐξέταζε προσεκτικὰ καὶ τὴν ἐμφάνιση καὶ τὸ βάδισμα καὶ τὸ βλέμμα καὶ τὰ λόγια της καὶ ὅλα γενικά, προσπαθώντας νὰ μάθει ἀπὸ τὶς κινήσεις τοῦ σώματος τὴ διάθεση τῆς ψυχῆς. Καὶ

ἔστη μέχρι τούτου ἀλλ' εἶπεν αὐτῇ, «τίνος θυγάτηρ εἶ, ἀνάγγειλόν μοι, καὶ εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος τοῦ καταλῦσαι». Τί οὖν ἐκείνη; Ἀνεξικάκως καὶ πρᾴως καὶ τὸν πατέρα εἶπε καὶ οὐκ ἠγανάκτησε, λέγουσα· 'σὺ δὲ τίς εἶ ὁ πολυπραγμονῶν καὶ ζητῶν καὶ τὴν οἰκίαν περιεργαζόμενος;' ἀλλὰ τί; «Θυγάτηρ Βαθουὴλ εἰμι ἐγὼ υἱοῦ Μελχᾶς, ὃν ἔτεκεν τῷ Ναχώρ· καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ' ἡμῖν καὶ τόπος τοῦ καταλῦσαι».

Ὥσπερ ἐπὶ τοῦ ὕδατος πλέον ὧν ᾔτησεν ἔδωκεν (ὁ μὲν γὰρ πιεῖν ᾔτησε μόνον, ἡ δὲ καὶ τὰς καμήλους ὑπέσχετο ποτίζειν, καὶ ἐπότισεν), οὕτω καὶ ἐνταῦθα· αὐτὸς τόπον ᾔτησε μόνον, ἡ δὲ καὶ ἄχυρα καὶ χορτάσματα καὶ ἄλλα πολλά, διὰ τούτων πάντων αὐτὸν ἐκκαλουμένη καὶ πρὸς τὴν οἰκίαν ἕλκουσα, ἵνα τὸν τῆς φιλοξενίας καρπώσηται μισθόν. Ταῦτα δὲ μὴ παρέργως μηδὲ ἁπλῶς ἀκούωμεν, ἀλλ' ἡμᾶς αὐτοὺς καθ' ἑαυτοὺς ἐννοοῦντες καὶ τούτοις παραβάλλοντες, οὕτως εἰσόμεθα τὴν ἀρετὴν τῆς γυναικός. Πολλάκις γοῦν γνωρίμους τινὰς καὶ ἐπιτηδείους ὑποδεχόμενοι δυσχεραίνομεν, κἂν μίαν ἢ δευτέραν ἡμέραν ἐνδιατρίψωσι βαρυνόμεθα· αὕτη δὲ τὸν ἀγνῶτα καὶ ξένον μετὰ πολλῆς εἰς τὴν οἰκίαν εἷλκε τῆς προθυμίας, καὶ ταῦτα οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ καμήλοις τοσαύταις μέλλουσα παρέξειν τὴν θεραπείαν. Ἐπειδὴ δὲ εἰσῆλθε, σκόπει ἐντεῦθεν μᾶλλον αὐτοῦ τὴν σύνεσιν. Ὡς γὰρ παρέθηκε φαγεῖν αὐτῷ ἄρτους, φησίν· «οὐ μὴ φάγω, ἕως ὅτου λαλήσω τὰ ῥήματά μου».

Εἶδες πῶς ἦν ἐγρηγορὼς καὶ νήφων; Εἶτα, ἐπειδὴ εἰπεῖν ἐπέτρεψαν, ἴδωμεν πῶς αὐτοῖς διαλέγεται. Ἆρα ταῦτα εἶπε πρὸς αὐτοὺς τὰ ῥήματα, ὅτι δεσπότην ἔχει περιφανῆ καὶ λαμπρόν, παρὰ πάντων τιμώμενον, πολλῆς παρὰ τῶν ἐγχωρίων προεδρίας ἀπολαύοντα; καίτοι γε εἴπερ ἐβούλετο ταῦτα εἰπεῖν, οὐκ ἂν ἠπόρησε· καὶ γὰρ ἐν τάξει βασιλέως αὐτὸν οἱ ἐπιχώριοι ἐτίμων. Ἀλλ' ὅμως οὐδὲν τούτων εἶπεν, ἀλλὰ τὰ ἀνθρώπινα

---

38. Γεν. 24,23.
39. Γεν. 24,24–25.
40. Γεν. 24,33.

οὔτε σ' αὐτὰ ἀρκέσθηκε μόνο, ἀλλὰ προσθέτει δεύτερη δοκιμασία. Γιατί, ἀφοῦ τοῦ ἔδωσε νὰ πιεῖ, δὲ σταμάτησε σ' αὐτό, ἀλλὰ τῆς εἶπε, «τίνος θυγατέρα εἶσαι; πές μου ἀκόμη ἂν ὑπάρχει τόπος κοντὰ στὸν πατέρα σου γιὰ νὰ καταλύσουμε»[38]. Τί ἔκανε τότε ἐκείνη; Μὲ ἀνεξικακία καὶ πραότητα καὶ τὸν πατέρα της εἶπε καὶ δὲν ἀγανάκτησε λέγοντας, 'καὶ σὺ ποιός εἶσαι ποὺ μὲ ἐξετάζεις καὶ ἐρωτᾶς καὶ ζητᾶς νὰ μάθεις γιὰ τὸ σπίτι μου;' ἀλλὰ τί εἶπε; «Εἶμαι θυγατέρα τοῦ Βαθουήλ, υἱοῦ τοῦ Ναχὼρ καὶ τῆς Μελχᾶς· καὶ ὑπάρχουν σὲ μᾶς καὶ ἄχυρα καὶ τροφὲς πολλὲς καὶ τόπος νὰ καταλύσετε»[39].

Ὅπως μὲ τὸ νερὸ τοῦ ἔδωσε περισσότερα ἀπ' αὐτὰ ποὺ ζήτησε (γιατὶ αὐτὸς ζήτησε νὰ πιεῖ μόνο, ἐνῶ ἐκείνη ὑποσχέθηκε νὰ ποτίσει καὶ τὶς καμῆλες, καὶ τὶς πότισε), ἔτσι καὶ ἐδῶ. Αὐτὸς τόπο μόνο ζήτησε, ἐνῶ ἐκείνη ὑποσχέθηκε καὶ ἄχυρα καὶ τροφὲς καὶ πολλὰ ἄλλα, προσκαλώντας τον μὲ ὅλα αὐτὰ καὶ προσεκλύοντάς τον στὸ σπίτι, γιὰ νὰ κερδίσει τὸ μισθὸ τῆς φιλοξενίας. Αὐτὰ ὅμως ἂς μὴν τὰ ἀκοῦμε ἔτσι ἁπλὰ μόνο καὶ ἐπιπόλαια, ἀλλὰ ἐξετάζοντας καλὰ μόνοι μας τὸν ἑαυτό μας καὶ συγκρίνοντάς τον μ' αὐτά, ἔτσι θὰ γνωρίσουμε τὴν ἀρετὴ τῆς γυναίκας. Πολλὲς φορὲς δηλαδὴ φιλοξενώντας κάποιους γνωστοὺς καὶ συγγενεῖς μας δυσανασχετοῦμε, καὶ ἂν μείνουν στὸ σπίτι μας μία ἢ δύο ἡμέρες αἰσθανόμαστε δυσφορία. Αὐτὴ ὅμως μὲ πολλὴ προθυμία ὁδηγοῦσε στὸ σπίτι τὸν ἄγνωστο καὶ ξένο, τὴ στιγμὴ μάλιστα ποὺ δὲν ἐπρόκειτο νὰ περιποιηθεῖ αὐτὸν μόνο ἀλλὰ καὶ τόσες καμῆλες. Καὶ ἀφοῦ μπῆκε στὸ σπίτι, πρόσεχε ἀπὸ ἐδῶ καλύτερα τὴ σύνεσή του. Γιατὶ ὅταν τοῦ παρέθεσε τραπέζι γιὰ νὰ φάει, λέγει· «δὲ θὰ βάλω τίποτε στὸ στόμα μου ἂν πρῶτα δὲν πῶ αὐτὰ ποὺ ἔχω νὰ σᾶς πῶ»[40].

Εἶδες πῶς ἦταν πολὺ προσεκτικὸς καὶ νηφάλιος; Ἔπειτα, ὅταν τὸν ἄφησαν νὰ μιλήσει, ἂς δοῦμε πῶς μιλάει σ' αὐτούς. Μήπως τοὺς εἶπε αὐτὰ τὰ λόγια, ὅτι δηλαδὴ ἔχει κύριο διάσημο καὶ ἔνδοξο, ποὺ τὸν τιμοῦν ὅλοι καὶ τὸν ἐκτιμοῦν οἱ συμπατριῶτες του; Ἂν καὶ βέβαια ἂν ἤθελε νὰ τὰ πεῖ αὐτά, δὲ θὰ εἶχε δυσκολία, γιατὶ πραγματικὰ οἱ συμπατριῶτες του τὸν τιμοῦσαν

ταῦτα ἀφείς, ἀπὸ τῆς ἄνωθεν αὐτὸν ῥοπῆς ἐκόσμησεν οὕτω λέγων· «παῖς Ἀβραὰμ ἐγώ εἰμι· Κύριος εὐλόγησε τὸν κύριόν μου σφόδρα καὶ ὑψώθη καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους καὶ χρυσίον καὶ ἀργύριον». Τὸν πλοῦτον εἶπεν, οὐχ ἵνα εὔπορον δείξῃ ὄντα, ἀλλ' ἵνα φιλόθεον· οὐ γὰρ ἀπὸ τοῦ κεκτῆσθαι, ἀλλ' ἀπὸ τοῦ παρὰ Θεοῦ ταῦτα αὐτὸν εἰληφέναι ἐγκωμιάσαι βούλεται· εἶτα περὶ τοῦ νυμφίου διαλεγόμενος· «καὶ ἔτεκε Σάρρα, ἡ γυνὴ τοῦ κυρίου μου, υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτόν».

Ἐνταῦθά μοι καὶ τὸν τρόπον τῶν ὠδίνων ᾐνίξατο, δεικνὺς ὅτι καὶ ὁ τόκος ἀπὸ τῆς τοῦ Θεοῦ γέγονε προνοίας τῆς πρὸς ἐκεῖνον, οὐ κατὰ φύσεως ἀκολουθίαν. Καὶ σὺ τοίνυν ἄν τε νυμφίον, ἄν τε νύμφην ἐπιζητῇς, ταῦτα πρὸ τῶν ἄλλων ζήτει, εἰ θεοφιλής ἐστιν, εἰ πολλῆς ἄνωθεν ἀπολαύει τῆς εὐνοίας. Ἂν γὰρ ἐκεῖνα ᾖ, καὶ τὰ ἄλλα ἕπεται· τούτων δὲ οὐκ ὄντων, κἂν μετὰ πολλῆς τῆς ἀδείας αὐτοῖς ὑπάρχῃ τὰ βιωτικά, κέρδος οὐδέν. Εἶτα, ἵνα μὴ λέγωσι, τίνος οὖν ἕνεκεν οὐδεμίαν τῶν ἐπιχωρίων ἔλαβε γυναικῶν; «ὥρκισέ με», φησί, «λέγων· οὐ λήψῃ τῷ υἱῷ μου γυναῖκα ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἀλλ' εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου». Ἀλλ' ἵνα μὴ πᾶσαν τὴν ἱστορίαν εἰς μέσον φέροντες παρενοχλεῖν δόξωμεν, ἐπὶ τὸ τέλος ἴωμεν. Ἐπειδὴ γὰρ εἶπε, πῶς ἐπὶ τῆς πηγῆς ἔστη, πῶς ᾔτησε τὴν κόρην, πῶς ἔδωκεν ἐκείνη πλέον τῆς αἰτήσεως, πῶς ὁ Θεὸς μεσίτης ἐγένετο καὶ πάντα μετὰ ἀκριβείας ἀπαγγείλας, κατέλυσεν ἐν τούτοις τὸν λόγον.

Ταῦτα ἅπαντα ἀκούσαντες ἐκεῖνοι, οὐκέτι λοιπὸν ἀμφέβαλον οὐδὲν ἠμέλησαν, ἀλλ' ὥσπερ τοῦ Θεοῦ τὴν ψυχὴν αὐτῶν εἰς τοῦτο κινήσαντος, εὐθέως αὐτῷ καθωμολόγησαν τὴν θυγατέρα. Καὶ ἀποκριθεὶς Λάβαν καὶ Βαθουὴλ εἶπον· «τὸ πρόσταγμα τοῦτο παρὰ Θεοῦ ἐξῆλθεν· οὐ δυνησόμεθα οὖν σοι ἀντειπεῖν

41. Γεν. 24,34–35.
42. Γεν. 24,36.
43. Γεν. 24,37–38.

σὰν βασιλιά. Ὅμως τίποτε ἀπ' αὐτὰ δὲν εἶπε, ἀλλ' ἀφήνοντας αὐτὰ τὰ ἀνθρώπινα, τὸν στόλισε ἀπὸ τὴν εὔνοια τοῦ Θεοῦ λέγοντας τὰ ἑξῆς· «ἐγὼ εἶμαι δοῦλος τοῦ Ἀβραάμ. Ὁ Κύριος εὐλόγησε πάρα πολὺ τὸν κύριό μου καὶ τὸν ἐξύψωσε καὶ τοῦ ἔδωσε πρόβατα, μοσχάρια, χρυσάφι καὶ ἀσήμι»[41]. Ἀνέφερε τὸν πλοῦτο, ὄχι γιὰ νὰ δείξει πὼς εἶναι πλούσιος, ἀλλὰ εὐσεβής. Γιατὶ θέλει νὰ τὸν ἐπαινέσει ὄχι ἀπὸ τὴν περιουσία του, ἀλλὰ ἀπὸ τὸ ὅτι τὴν ἔχει λάβει ἀπὸ τὸ Θεό. Στὴ συνέχεια μιλώντας γιὰ τὸ γαμπρὸ λέγει· «καὶ ἡ γυναίκα τοῦ κυρίου μου, ἡ Σάρρα, γέννησε ἕνα γιὸ στὸν κύριό μου ὅταν πιὰ γέρασε αὐτός»[42].

Ἐδῶ ὑπαινίχθηκε καὶ τὸν τρόπο τῆς γέννησής του, δείχνοντας πὼς καὶ ἡ γέννηση ἔγινε ἀπὸ τὴν πρόνοια τοῦ Θεοῦ πρὸς αὐτὸν καὶ ὄχι σύμφωνα μὲ τοὺς νόμους τῆς φύσης. Καὶ σὺ λοιπὸν εἴτε γαμπρὸ εἴτε νύφη ζητᾶς, πρὶν ἀπὸ τὰ ἄλλα νὰ ζητᾶς αὐτά, ἂν εἶναι θεοσεβής, ἂν ἀπολαμβάνει τὴν εὔνοια τοῦ Θεοῦ. Γιατὶ ἂν ὑπάρχουν αὐτά, ἀκολουθοῦν καὶ τὰ ἄλλα· ἂν ὅμως δὲν ὑπάρχουν αὐτά, καὶ ἂν ἀκόμη μὲ μεγάλη ἄνεση ὑπάρχουν σ' αὐτοὺς τὰ ὑλικὰ ἀγαθά, δὲν ὑπάρχει κανένα κέρδος. Ἔπειτα, γιὰ νὰ μὴ λέγουν γιὰ ποιό λόγο δὲν πῆρε καμιὰ γυναίκα ἀπὸ τὸν τόπο του, προσθέτει· «μὲ ὅρκισε λέγοντας, δὲ θὰ πάρεις γιὰ τὸ γιό μου γυναίκα ἀπὸ τὶς θυγατέρες τῶν κατοίκων τῆς Χαναάν, ἀλλὰ θὰ πᾶς στὸ σπίτι τοῦ πατέρα μου καὶ στὴ φυλή μου καὶ θὰ πάρεις ἀπὸ ἐκεῖ γυναίκα γιὰ τὸ γιό μου»[43]. Ἀλλὰ γιὰ νὰ μὴ σᾶς φανῶ ἐνοχλητικὸς ἀναφέροντάς σας ὅλη τὴν ἱστορία, ἂς ἔρθω στὸ τέλος. Ἀφοῦ λοιπὸν εἶπε πῶς στάθηκε στὴν πηγή, πῶς ζήτησε ἀπὸ τὴν κόρη νερό, πῶς ἐκείνη τοῦ ἔδωσε περισσότερα ἀπὸ ὅσα τῆς ζήτησε, πῶς ὁ Θεὸς ἔγινε μεσολαβητής, καὶ ἀφοῦ τὰ ἀνέφερε μὲ λεπτομέρεια ὅλα, τέλειωσε μ' αὐτὰ τὸ λόγο.

Ὅταν ἐκεῖνοι τὰ ἄκουσαν ὅλα αὐτὰ δὲν ἀμφέβαλαν πιὰ καθόλου, δὲν ὀλιγώρησαν καθόλου, ἀλλὰ σὰν νὰ κίνησε ὁ Θεὸς τὴν ψυχή τους σ' αὐτὸ ἀμέσως ὑποσχέθηκαν νὰ τοῦ δώσουν τὴ θυγατέρα. Καὶ ἀπαντώντας ὁ Λάβαν καὶ ὁ Βαθουὴλ εἶπαν· «ἡ διαταγὴ αὐτὴ βγῆκε ἀπὸ τὸ Θεὸ καὶ ἔτσι δὲν μποροῦμε νὰ ἀρνηθοῦμε καὶ νὰ σοῦ ποῦμε τίποτε κακό. Νὰ ἡ Ρεβέκκα· πάρε

κακόν· ἰδοὺ Ρεβέκκα, λαβὼν ἀπότρεχε, καὶ ἔσται γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθάπερ ἐλάλησε Κύριος». Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειεν, ὅσα καὶ ἡλίκα κωλύματα ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἀνῃρεῖτο; Καὶ γὰρ τὸ ξένον εἶναι καὶ οἰκέτην καὶ ἀγνῶτα καὶ πολὺ τῆς ὁδοῦ τὸ διάστημα καὶ τὸ μηδὲ τὸν κηδεστὴν μηδὲ τὸν νυμφίον μήτε ἄλλον τινὰ τῶν ἐκείνῳ προσηκόντων γνωρίζεσθαι, καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἦν κωλῦσαι τὸν γάμον· ἀλλ' ὅμως οὐδὲν ἐκώλυσεν, ἀλλὰ πάντα ταῦτα ἐξηυμαρίζετο καὶ καθάπερ γνωρίμῳ καὶ πλησίον οἰκοῦντι καὶ ἐκ πρώτης ἡμέρας συναναστραφέντι, οὕτως αὐτῷ θαρροῦντες ἐνεχείριζον τὴν νύμφην· τὸ δὲ αἴτιον, ὁ Θεὸς ἦν ἐν μέσῳ. Ὥσπερ γὰρ ὅταν χωρὶς αὐτοῦ τι ποιῶμεν, κἂν ἅπαντα ᾖ λεῖα καὶ ῥᾴδια, βάραθρα καὶ κρημνοὺς καὶ μυρίας ἐν αὐτοῖς ἀποτυχίας εὑρίσκομεν, οὕτως ὅταν παρῇ καὶ συνεφάπτηται, κἂν ἁπάντων ἀπορώτερα ᾖ τὰ προκείμενα, ἅπαντα λεῖα καὶ ῥᾴδια γίνεται. Μηδὲν οὖν μήτε ποιῶμεν μήτε λέγωμεν, πρὶν ἢ τὸν Θεὸν καλέσαι καὶ παρακαλέσαι συνεφάψασθαι τῶν ἐν χερσὶν ἡμῖν ἁπάντων, καθάπερ οὖν καὶ οὗτος ἐποίησεν.

9. Ἀλλ' ἴδωμεν, ἐπειδὴ αὐτὴν ἔλαβε, ποίῳ τρόπῳ τὸν γάμον ἐπετέλεσεν. Ἆρα κύμβαλα καὶ σύριγγας καὶ χοροὺς καὶ τύμπανα καὶ αὐλοὺς καὶ τὴν ἄλλην ἐπεσύρατο φαντασίαν; Οὐδὲν τούτων, ἀλλὰ μόνην λαβὼν οὕτως ἀπῄει, τὸν ἄγγελον ἔχων μεθ' ἑαυτοῦ παραπέμποντα αὐτὴν καὶ συνοδοιποροῦντα, ὃν ὁ δεσπότης αὐτοῦ τὸν Θεὸν ἱκέτευσεν αὐτῷ συναποστεῖλαι ἐκ τῆς οἰκίας ἐξερχομένῳ. Καὶ ἤγετο λοιπὸν ἡ νύμφη αὐλῶν μὲν καὶ κιθάρας καὶ τῶν ἄλλων τῶν τοιούτων οὐδενὸς ἀκούσασα, μυρίας δὲ παρὰ τοῦ Θεοῦ ἐπὶ τὴν κεφαλὴν τὰς εὐλογίας ἔχουσα, στέφανον διαδήματος παντὸς λαμπρότερον. Ἤγετο οὐ χρυσᾶ περιβεβλημένη ἱμάτια, ἀλλὰ σωφροσύνην καὶ εὐλάβειαν καὶ φιλοξενίαν καὶ τὴν ἄλλην ἅπασαν ἀρετήν. Ἤγετο οὐκ ἐπὶ ὀχήματος καταστέγου, οὐδὲ ἐπὶ ἄλλης τινὸς φαντασίας τοιαύτης, ἀλλ' ἐπὶ τῆς καμήλου καθημένη. Μετὰ γὰρ τῆς ἀρετῆς τῆς ἐν τῇ ψυχῇ,

44. Γεν. 24,50–51.

την μαζί σου καὶ ἂς γίνει σύζυγος τοῦ γιοῦ τοῦ κυρίου σου, ὅπως διέταξε ὁ Θεός»[44]. Ποιός δὲ θὰ ἐκπλαγεῖ; ποιός δὲ θὰ θαυμάσει ποὺ τόσο πολλὰ καὶ τόσο μεγάλα ἐμπόδια ἐξαφανίζονταν μέσα σὲ λίγες στιγμές; Γιατὶ πραγματικὰ τὸ ὅτι ἦταν ξένος καὶ ὑπηρέτης καὶ ἄγνωστος καὶ μεγάλη ἡ ἀπόσταση τοῦ δρόμου, καὶ τὸ ὅτι δὲ ἦταν γνωστὸς οὔτε ὁ πεθερὸς οὔτε ὁ γαμπρὸς οὔτε κάποιος ἄλλος ἀπὸ τοὺς συγγενεῖς του, καὶ μόνο του τὸ καθένα ἀπ' αὐτὰ ἦταν ἀρκετὸ νὰ ἐμποδίσει τὸ γάμο. Ὅμως τίποτε δὲν τὸν ἐμπόδισε, ἀλλ' ὅλα αὐτὰ γίνονταν εὔκολα καὶ σὰν σὲ γνωστὸ καὶ γείτονα καὶ ποὺ συναναστρεφόταν μαζί τους ἀπὸ τὴν πρώτη ἡμέρα, ἔτσι τοῦ ἔδειξαν ἐμπιστοσύνη καὶ τοῦ παρέδωσαν τὴ νύφη· καὶ ἡ αἰτία ἦταν τὸ ὅτι ὁ Θεὸς ἦταν στὴ μέση. Γιατὶ ὅπως ὅταν κάνουμε κάτι χωρὶς αὐτόν, ἔστω καὶ ἂν ὅλα εἶναι ὁμαλὰ καὶ εὔκολα, συναντοῦμε σ' αὐτὰ βάραθρα καὶ γκρεμοὺς καὶ ἄπειρες ἀποτυχίες, ἔτσι ὅταν εἶναι παρὼν καὶ βοηθάει, ἔστω καὶ ἂν αὐτὰ ποὺ μᾶς ἀπασχολοῦν εἶναι τὰ πιὸ δύσκολα ἀπ' ὅλα, γίνονται ὅλα ὁμαλὰ καὶ εὔκολα. Ἂς μὴν κάνουμε λοιπὸν τίποτε οὔτε νὰ λέμε, πρὶν καλέσουμε καὶ παρακαλέσουμε τὸ Θεὸ νὰ μᾶς βοηθήσει σὲ ὅλες τὶς ὑποθέσεις μας, ὅπως ἀκριβῶς ἔκανε καὶ αὐτός.

9. Ἂς δοῦμε ὅμως, ἀφοῦ τὴν πῆρε, μὲ ποιόν τρόπο τέλεσε τὸ γάμο. Μήπως ἔσυρε μαζί του κύμβαλα καὶ φλογέρες καὶ χοροὺς καὶ τύμπανα καὶ τὴν ἄλλη ἐπίδειξη. Τίποτε ἀπ' αὐτά, ἀλλ' ἔφυγε παίρνοντας αὐτὴ μόνο, ἔχοντας μαζί του τὸν ἄγγελο συνοδὸ καὶ συνοδοιπόρο, ἐκεῖνον τὸν ἄγγελο ποὺ ὁ κύριός του παρακάλεσε τὸ Θεὸ νὰ τὸν στείλει μαζί του ὅταν ἔβγαινε ἀπὸ τὸ σπίτι. Καὶ ὁδηγοῦνταν στὴ συνέχεια ἡ νύφη χωρὶς ν' ἀκούσει αὐλοὺς καὶ κιθάρες καὶ τίποτε ἄλλο ἀπ' αὐτά, ἔχοντας ὅμως πάνω στὸ κεφάλι της τὶς ἄπειρες εὐλογίες ἀπὸ τὸ Θεὸ σὰν στεφάνι λαμπρότερο ἀπὸ κάθε στέμμα. Ὁδηγοῦνταν χωρὶς νὰ φοράει χρυσὰ ροῦχα, ἀλλὰ σωφροσύνη καὶ εὐσέβεια καὶ φιλοξενία καὶ κάθε ἄλλη ἀρετή. Ὁδηγοῦνταν ὄχι πάνω σὲ ὄχημα κλειστό, οὔτε πάνω σὲ κάποιο ἄλλο ἐπιδεικτικὸ μέσο, ἀλλὰ καθισμένη πάνω σὲ καμήλα. Γιατὶ μαζὶ μὲ τὴν ἀρετὴ τῆς ψυχῆς καὶ

καὶ τὰ σώματα ταῖς παρθένοις τὸ παλαιὸν πολλῆς μετεῖχε τῆς εὐεξίας. Οὐ γὰρ οὕτως αὐτὰς ἔτρεφον αἱ μητέρες, καθάπερ τὰς νῦν, βαλανείοις πυκνοῖς, μύρων ἀλοιφαῖς, ἐπιτρίμμασι σκιαγραφίας, μαλακοῖς ἱματίοις, ἑτέροις μυρίοις διαφθείρουσαι τρόποις καὶ τοῦ δέοντος μαλακωτέρας ποιοῦσαι, ἀλλ' εἰς ἅπασαν αὐτὰς ἦγαγον ἐκεῖναι σκληραγωγίαν. Διὰ τοῦτο αὐταῖς καὶ τοῦ σώματος ἡ ὥρα σφόδρα ἦν εὐανθὴς καὶ γνησία, ἅτε φυσική τις οὖσα, ἀλλ' οὐ χειροποίητος οὔτε ἐπιτηδευμένη. Διὰ τοῦτο καὶ ὑγείας ἀπέλαυον καθαρᾶς καὶ κάλλος αὐταῖς ἀμήχανον ἦν, οὐδεμιᾶς ἀρρωστίας ἐνοχλούσης τῷ σώματι, ἀλλὰ πάσης βλακείας ἐκβεβλημένης. Οἱ γὰρ πόνοι καὶ αἱ ταλαιπωρίαι καὶ τὸ ἐν ἅπασιν αὐτουργεῖν βλακείαν μὲν ἀπήλαυνε πᾶσαν, εὐρωστίαν δὲ καὶ ὑγείαν μετὰ πολλῆς παρεῖχε τῆς ἀσφαλείας. Διὸ δὴ καὶ ποθεινότεραι τοῖς ἀνδράσιν ἦσαν καὶ μᾶλλον ἐπέραστοι· οὐ γὰρ δὴ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν τούτοις βελτίω καὶ σωφρονεστέραν κατειργάσαντο.

Καθημένη τοίνυν ἐπὶ τῆς καμήλου καὶ φθάσασα εἰς τὴν χώραν, πρὶν αὐτὴν ἐλθεῖν ἐγγύς, ἀναβλέψασα εἶδε τοῖς ὀφθαλμοῖς τὸν Ἰσαὰκ καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου. Εἶδες ἰσχύν; εἶδες εὐεξίαν; Κατεπήδησεν ἀπὸ τῆς καμήλου. Οὕτως αὐταῖς ῥώμη πολλὴ μετὰ σωφροσύνης ἦν. «Καὶ εἶπε τῷ παιδί· 'τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ;' Εἶπε δὲ ὁ παῖς· 'ὁ κύριός μου'. Εἶτα λαβοῦσα τὸ θέριστρον περιεβάλετο». Ὅρα πανταχοῦ τὴν σωφροσύνην αὐτῆς μαρτυρουμένην, πῶς ἦν αἰσχυντηρά, πῶς ἦν αἰδέσιμος. «Καὶ ἔλαβεν αὐτὴν ὁ Ἰσαὰκ καὶ ἐγένετο αὐτῷ εἰς γυναῖκα καὶ ἠγάπησεν αὐτὴν καὶ παρεκλήθη περὶ Σάρρας τῆς μητρὸς αὐτοῦ». Οὐχ ἁπλῶς δὲ ταῦτα εἴρηται, ὅτι ἠγάπησεν αὐτήν, καὶ παρεκλήθη περὶ τῆς Σάρρας τῆς μητρὸς αὐτοῦ, ἀλλ' ἵνα μάθῃς τοῦ φίλτρου καὶ τῆς ἀγάπης τὰς ὑποθέσεις, ἃς οἴκοθεν ἔχουσα ἦλθεν ἡ γυνή. Τίς γὰρ τὴν τοιαύτην οὐκ ἂν ἠγάπησε, τὴν οὕτω σώφρονα, τὴν οὕτω κοσμίαν, τὴν οὕτω φιλόξενον καὶ φιλάνθρωπον καὶ ἥμερον, τὴν ἀνδρείαν μὲν κατὰ τὴν ψυχήν, ῥωμαλέαν δὲ κατὰ τὸ σῶμα;

---

45. Γεν. 24,65. 46. Γεν. 24,67.

τὰ σώματα τῶν παρθένων εἶχαν τὴν παλαιὰ ἐποχὴ πολλὴ εὐεξία. Γιατὶ δὲν τὶς ἀνέτρεφαν οἱ μητέρες ἔτσι, ὅπως τὶς σημερινές, μὲ συχνὰ λουτρά, μὲ ἀρώματα, μὲ καλλυντικὰ καὶ βαψίματα, μὲ ἁπαλὰ ροῦχα καὶ μὲ ἄπειρους ἄλλους τρόπους ποὺ τὶς διαφθείρουν καὶ τὶς κάνουν μαλθακότερες ἀπ' ὅ,τι πρέπει, ἀλλὰ τὶς ἀσκοῦσαν μὲ κάθε σκληραγωγία. Γι' αὐτὸ καὶ ἡ ὀμορφιὰ τοῦ σώματός τους ἦταν λαμπερὴ καὶ γνήσια, ἐπειδὴ ἦταν φυσικὴ καὶ ὄχι τεχνητὴ οὔτε πλαστή. Γι' αὐτὸ καὶ ὑγεία ἀπολάμβαναν καθαρὴ καὶ ὀμορφιὰ εἶχαν ἀκαταγώνιστη, ἀφοῦ καμιὰ ἀρρώστια δὲν ἐνοχλοῦσε τὸ σῶμα, ἀλλὰ κάθε νωθρότητα εἶχε ἐκδιωχθεῖ. Γιατὶ οἱ κόποι καὶ οἱ ταλαιπωρίες καὶ ἡ χειρωνακτική τους ἐργασία σὲ ὅλα ἀπομάκρυνε κάθε νωθρότητα καὶ παρεῖχε εὐρωστία καὶ ὑγεία μὲ πολὴ ἀσφάλεια. Γι' αὐτὸ ἀκριβῶς καὶ πιὸ ποθητὲς ἦταν στοὺς ἄνδρες καὶ περισσότερο ἀξιαγάπητες, γιατὶ ὄχι μόνο τὸ σῶμα ἀλλὰ καὶ τὴν ψυχή τους ἔκαναν μ' αὐτὰ καλύτερη καὶ σωφρονέστερη.

Καθισμένη λοιπὸν πάνω στὴν καμήλα καὶ φθάνοντας στὴ χώρα, πρὶν τὸν πλησιάσει, ὕψωσε τὰ μάτια της καὶ βλέποντας τὸν Ἰσαὰκ πήδησε κάτω ἀπὸ τὴν καμήλα. Εἶδες δύναμη; εἶδες εὐεξία; Πήδησε κάτω ἀπὸ τὴν καμήλα. Τόσο μεγάλη δύναμη ὑπῆρχε σ' αὐτὲς μαζὶ μὲ τὴ σωφροσύνη. «Καὶ εἶπε στὸν ὑπηρέτη· ποιός εἶναι ὁ ἄνθρωπος ἐκεῖνος ποὺ βαδίζει στὴν πεδιάδα; Καὶ εἶπε ὁ δοῦλος· ὁ κύριός μου. Ὕστερα πῆρα τὸ κάλυμμα καὶ σκέπασε τὸ κεφάλ της»[45]. Βλέπε ἀπὸ παντοῦ ἐπιβεβαιούμενη τὴ σωφροσύνη της, πῶς δηλαδὴ ἦταν ντροπαλή, πῶς ἦταν σεμνή. «Τὴν πῆρε ὁ Ἰσαάκ, τὴν ἔκανε γυναίκα του καὶ τὴν ἀγάπησε. Ἔτσι παρηγορήθηκε γιὰ τὸ θάνατο τῆς μητέρας του Σάρρας»[46]. Αὐτὰ δὲ λέχθηκαν τυχαῖα, ὅτι δηλαδὴ τὴν ἀγάπησε καὶ παρηγορήθηκε γιὰ τὸ θάνατο τῆς μητέρας του Σάρρας, ἀλλὰ γιὰ νὰ μάθεις τὶς αἰτίες τῆς στοργῆς καὶ τῆς ἀγάπης, μὲ τὶς ὁποῖες ἦρθε ἡ γυναίκα ἔχοντάς τες ἀπὸ τὸ σπίτι της. Ποιός λοιπὸν δὲ θ' ἀγαποῦσε μιὰ τέτοια γυναίκα, τὴν τόσο συνετή, τὴν τόσο σεμνή, τὴν τόσο φιλόξενη καὶ φιλάνθρωπη καὶ εὐγενική, τὴ γενναία στὴν ψυχὴ ἀλλὰ καὶ δυνατὴ στὸ σῶμα;

Ταῦτα εἶπον, οὐχ ἵνα ἀκούσητε, οὐδ' ἵνα ἀκούσαντες ἐπαινέσητε μόνον, ἀλλ' ἵνα καὶ ζηλώσητε. Καὶ πατέρες μὲν τὴν πρόνοιαν τοῦ πατριάρχου μιμεῖσθαι, ἣν ἐποιεῖτο περὶ τοῦ λαβεῖν γυναῖκα ἄπλαστον, οὐ χρήματα ἐπιζητήσας, οὐ γένους λαμπρότητα, οὐ σώματος κάλλος, οὐκ ἄλλο οὐδέν, ἀλλὰ ψυχῆς εὐγένειαν μόνον· μητέρες δέ, οὕτως τὰς ἑαυτῶν ἀνατρέφετε θυγατέρας. Οἱ δὲ ἄγεσθαι αὐτὰς μέλλοντες νυμφίοι, μετὰ τοσαύτης αὐτὰς ἄγετε κοσμιότητος, χορείας μὲν καὶ γέλωτας καὶ ῥήματα αἰσχρὰ καὶ σύριγγας καὶ αὐλοὺς καὶ τὴν διαβολικὴν φαντασίαν καὶ τὰ ἄλλα πάντα τὰ τοιαῦτα ἐξορίζοντες, τὸν Θεὸν δὲ ἀεὶ παρακαλοῦντες μεσίτην γενέσθαι τῶν πραττομένων ἁπάντων. Ἂν γὰρ οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομήσωμεν, οὐκ ἀποστάσιον ἔσται ποτέ, οὐ μοιχείας ὑποψία, οὐ ζηλοτυπίας πρόφασις, οὐ μάχη καὶ ἔρις, ἀλλὰ πολλῆς μὲν ἀπολαυσόμεθα τῆς εἰρήνης, πολλῆς δὲ τῆς ὁμονοίας· ταύτης δὲ οὔσης, καὶ αἱ ἄλλαι πάντως ἕψονται ἀρεταί. Ὥσπερ γάρ, γυναικὸς πρὸς ἄνδρα στασιαζούσης, οὐδὲν ὑγιὲς ἔσται ἐπὶ τῆς οἰκίας, κἂν ἅπαντα τὰ ἄλλα κατὰ ῥοῦν φέρηται πράγματα, οὕτως ὁμονοούσης καὶ εἰρηνευούσης, οὐδὲν ἔσται ἀηδές, κἂν μυρίοι χειμῶνες καθ' ἑκάστην τίκτωνται τὴν ἡμέραν.

Ἂν οὕτως οἱ γάμοι γένωνται, καὶ τὰ παιδία μετὰ πολλῆς τῆς εὐκολίας εἰς ἀρετὴν ἀγαγεῖν δυνησόμεθα. Ὅταν γὰρ ἡ μήτηρ οὕτως ᾖ κοσμία καὶ σώφρων καὶ πᾶσαν ἀρετὴν κεκτημένη, πάντως καὶ τὸν ἄνδρα ἑλεῖν δυνήσεται καὶ χειρώσασθαι τῷ περὶ αὐτὴν πόθῳ· ἑλοῦσα δὲ αὐτόν, μετὰ πολλῆς ἕξει τῆς προθυμίας βοηθοῦντα πρὸς τὴν τῶν παίδων ἐπιμέλειαν, καὶ τὸν Θεὸν οὕτως ἐπισπάσεται πρὸς τὴν αὐτὴν ταύτην πρόνοιαν· ἐκείνου δὲ συνεφαπτομένου τῆς καλῆς ταύτης οἰκονομίας καὶ τὰς ψυχὰς τῶν παίδων ἀσκοῦντος, οὐδὲν ἀηδὲς ἔσται λοιπόν, ἀλλὰ καὶ τὰ τῆς οἰκίας εὖ διακείσεται, τῶν ἀρχόντων οὕτω διακειμένων. Καὶ μετὰ τῆς οἰκίας οὕτως ἕκαστος δυνήσεται, τῆς ἑαυτοῦ

Τὰ εἶπα αὐτὰ ὄχι γιὰ νὰ τὰ ἀκούσετε οὔτε γιὰ νὰ τὰ ἀκούσετε καὶ νὰ τὰ ἐπαινέσετε μόνο, ἀλλὰ καὶ νὰ τὰ μιμηθεῖτε. Καὶ οἱ πατέρες βέβαια νὰ μιμεῖστε τὴν πρόνοια τοῦ πατριάρχη, ποὺ ἔδειξε γιὰ νὰ πάρει γυναίκα ἁπλή, χωρὶς νὰ ἐπιδιώξει χρήματα, οὔτε λαμπρὴ καταγωγὴ οὔτε ὀμορφιὰ σώματος οὔτε τίποτε ἄλλο, ἀλλὰ εὐγενικὴ ψυχὴ μόνο. Οἱ μητέρες πάλι ἔτσι νὰ ἀνατρέφετε τὶς θυγατέρες σας. Ἐπίσης οἱ γαμπροὶ ποὺ πρόκειται νὰ τὶς πάρετε, νὰ τὶς παίρνετε μὲ τόση σεμνότητα, ἀπορρίπτοντας χοροὺς καὶ γέλια καὶ αἰσχρὰ λόγια καὶ φλογέρες καὶ αὐλοὺς καὶ τὴ διαβολικὴ ἐπίδειξη καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια, καὶ παρακαλώντας πάντοτε τὸ Θεὸ νὰ γίνει μεσίτης σὲ ὅλες τὶς πράξεις σας. Γιατί, ἂν ἔτσι ρυθμίσουμε τὰ ζητήματά μας, δὲ θὰ ὑπάρξει ποτὲ διαζύγιο οὔτε ὑπόνοια μοιχείας οὔτε πρόφαση ζηλοτυπίας οὔτε διαμάχες καὶ ἔριδες, ἀλλὰ θὰ ἀπολαύσουμε πολλὴ εἰρήνη καὶ πολλὴ ὁμόνοια· καὶ ὅταν ὑπάρχει αὐτή, θὰ ἀκολουθήσουν ὁπωσδήποτε καὶ οἱ ἄλλες ἀρετές. Γιατί, ὅπως ὅταν ἡ γυναίκα διαφωνεῖ μὲ τὸν ἄνδρα της δὲν γίνεται τίποτε σωστὸ στὸ σπίτι, ἔστω καὶ ἂν τὰ ἄλλα πράγματα ἔρχονται εὐνοϊκά, ἔτσι ὅταν ἔχει ὁμόνοια καὶ εἰρήνη, δὲν συμβαίνει τίποτε δυσάρεστο, ἔστω καὶ ἂν προκαλοῦνται καθημερινὰ ἄπειρες τρικυμίες.

Ἂν ἔτσι γίνονται οἱ γάμοι θὰ μπορέσουμε μὲ πολλὴ εὐκολία νὰ ὁδηγήσουμε καὶ τὰ παιδιὰ στὴν ἀρετή. Γιατὶ ὅταν ἡ μητέρα εἶναι τόσο σεμνὴ καὶ συνετὴ καὶ ἔχει κάθε αρετή, ὁπωσδήποτε θὰ μπορέσει καὶ τὸν ἄνδρα της νὰ κατακτήσει καὶ νὰ τὸν αἰχμαλωτίσει στὴν ἀγάπη της. Καὶ ἀφοῦ τὸν κατακτήσει, θὰ τὸν ἔχει μὲ πολλὴ προθυμία βοηθὸ γιὰ τὴ φροντίδα τῶν παιδιῶν καὶ ἔτσι θὰ προσελκύσει καὶ τὸ Θεὸ στὴν ἴδια φροντίδα. Καὶ ὅταν ἐκεῖνος βοηθάει σ' αὐτὴ τὴν καλὴ προσπάθεια καὶ ἀσκεῖ τὶς ψυχὲς τῶν παιδιῶν, δὲ θὰ συμβεῖ τότε κανένα δυσάρεστο, ἀλλὰ καὶ τὰ πράγματα τοῦ σπιτιοῦ θὰ πηγαίνουν καλά, ἀφοῦ οἱ ἄρχοντές του θὰ αἰσθάνονται ἔτσι. Καὶ ἔτσι θὰ μπορέσει ὁ καθένας μαζὶ μὲ τὴν οἰκογένειά του, δηλαδὴ μαζὶ μὲ τὴ γυναίκα του καὶ τὰ παιδιά του καὶ τοὺς ὑπηρέτες του, καὶ τὴν

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

«ΟΥ ΘΕΛΩ ΥΜΑΣ ΑΓΝΟΕΙΝ, ΑΔΕΛΦΟΙ, ΟΤΙ ΟΙ ΠΑΤΕΡΕΣ ΗΜΩΝ ΠΑΝΤΕΣ ΥΠΟ ΤΗΝ ΝΕΦΕΛΗΝ ΗΣΑΝ ΚΑΙ ΠΑΝΤΕΣ ΔΙΑ ΤΗΣ ΘΑΛΑΣΣΗΣ ΔΙΗΛΘΟΝ»

οὕτω δὴ καὶ ἐγὼ ταύτην μάλιστα φιλῶ τὴν ὥραν, οὐκ ἐπειδὴ χειμῶνος ἀπηλλάγμεθα, οὐδὲ ἐπειδὴ θέρους ἀπολαύομεν, ζεφύρου λιγυρὰ πνέοντος, ἀλλ' ἐπειδὴ τοὺς πνευματικοὺς λιμένας ἔχομεν συνεχῶς διαδεχομένους ἡμᾶς, τῶν ἁγίων μαρτύρων λέγω τὰς πανηγύρεις. Οὐ γὰρ οὕτως οἱ λιμένες πλωτῆρας, ὡς αἱ τῶν ἁγίων τούτων ἑορταὶ τοὺς πιστοὺς ἀνακτᾶσθαι πεφύκασιν. Ἐκείνους μὲν γὰρ θαλαττίων κυμάτων ἐμβολῆς καὶ ἐρεσίας μακρᾶς ἀπαλλάττουσι λιμένες, τοὺς δ' εἰς πανήγυριν μαρτύρων ἀπαντῶντας πνευμάτων πονηρῶν καὶ ἀκαθάρτων, λογισμῶν ἀτόπων, πολλῆς τῆς ἐν ψυχῇ γινομένης ζάλης, ἡ τῶν ἁγίων μνήμη τούτων ἐξερπάζειν εἴωθε. Κἂν ἐκ τῶν πολιτικῶν, κἂν ἐκ τῶν οἰκιακῶν πραγμάτων ἀθυμίαν τινὰ ἐπισυρόμενος εἰσέλθῃ, πᾶσαν αὐτὴν ἀποθέμενος, οὕτως ἄπεισι, καὶ ῥᾴων γίνεται καὶ κουφότερος, οὐχὶ κώπην ἀποτιθέμενος, οὐδὲ οἰάκων ἐξανιστάμενος, ἀλλὰ τὸ δυσβάστακτον καὶ ποικίλον τῆς βιωτικῆς λύπης φορτίον διαλύων, καὶ πολλὴν τῇ ψυχῇ δεχόμενος τὴν εὐφροσύνην.

Καὶ τούτων ἁπάντων μάρτυρες ὑμεῖς, οἱ τοῖς ἄθλοις τοῦ μακαρίου Βαρλαὰμ χθὲς ἐντρυφήσαντες, καὶ μετὰ πολλῆς τῆς ἀδείας εἰς τὸν ἐκείνου σκιρτήσαντες λιμένα, καὶ τὴν ἅλμην τῶν βιωτικῶν φροντίδων ἀπολουσάμενοι, καὶ κοῦφοι οἴκαδε ἀπὸ τῶν ἐκείνου διηγημάτων ἀναχωρήσαντες. Ἀλλ' ἰδοὺ καὶ ἑτέρων μαρτύρων προσελαύνει πάλιν πανήγυρις. Ἕως ἂν οὖν εἰς τὸν ἐκείνων λιμένα φθάσωμεν, φέρε δὴ μιμησώμεθα τοὺς πλωτῆρας· καὶ καθάπερ ἐκεῖνοι τὸ πέλαγος πλέοντες ᾄδουσι, τῇ ᾠδῇ τὸν πόνον παραμυθούμενοι, οὕτω δὴ καὶ ἡμεῖς, ἕως εἰς τὸν ἐκείνων φθάσωμεν λιμένα, λόγους τινὰς πνευματικοὺς πρὸς ἀλλήλους κινήσωμεν, τὸν μακάριον Παῦλον τῆς καλῆς ταύτης ὁμιλίας ἡγεμόνα ποιησάμενοι, καὶ ἥνπερ ἂν αὐτὸς κελεύῃ, ταύτην ἑπόμενοι. Ποίαν οὖν ἕπεσθαι κελεύει; Τὴν διὰ τῆς ἐρήμου καὶ τῶν ἐκεῖ συμβάντων θαυμάτων ὁδόν. Καὶ γὰρ ἠκούσατε

ἔτσι ἀκριβῶς καὶ ἐγὼ ἀγαπῶ πάρα πολὺ αὐτὴ τὴν ἐποχή, ὄχι γιατὶ ἀπαλλαχθήκαμε ἀπὸ τὸ χειμώνα, οὔτε γιατὶ ἀπολαμβάνουμε τὸ καλοκαίρι, ἀφοῦ ὁ ζέφυρος φυσάει ἀπαλά, ἀλλὰ γιατὶ μᾶς ὑποδέχονται συνέχεια τὰ πνευματικὰ λιμάνια, δηλαδὴ οἱ πανηγύρεις τῶν ἁγίων μαρτύρων. Γιατὶ δὲν τονώνουν τοὺς ναυτικοὺς τόσο τὰ λιμάνια, ὅσο τοὺς πιστοὺς οἱ ἑορτὲς αὐτῶν τῶν ἁγίων. Καθόσον βέβαια ἐκείνους τοὺς γλυτώνουν τὰ λιμάνια ἀπὸ τὴν ἐπίθεση τῶν κυμάτων τῆς θάλασσας καὶ ἀπὸ τὴ μακρὰ κωπηλασία, αὐτοὺς ὅμως ποὺ συχνάζουν σὲ πανήγυρη μαρτύρων ἢ μνήμη αὐτῶν τῶν ἁγίων συνήθως τοὺς ἀπαλλάσσει ἀπὸ πονηρὰ καὶ ἀκάθαρτα πνεύματα, ἀπὸ κακὲς σκέψεις καὶ ἀπὸ τὴ μεγάλη ζάλη ποὺ γίνεται στὴν ψυχή τους. Καὶ ἂν ἀκόμη ἔρθει κανεὶς ἔχοντας κάποια στενοχώρια ἀπὸ τὰ δημόσια ἢ τὰ οἰκογενειακὰ ζητήματα, φεύγει ἀφοῦ τὴν ἀποβάλει καὶ γίνεται πιὸ εὔθυμος καὶ πιὸ ἐλαφρός, ὄχι γιατὶ ἄφησε τὰ κουπιά, οὔτε γιατὶ ἐγκατέλειψε τὸ τιμόνι, ἀλλὰ γιατὶ ἀπομάκρυνε τὸ δυσβάστακτο καὶ πολύμορφο φορτίο τῆς κοσμικῆς λύπης, δεχόμενος μέσα στὴν ψυχή του πολλὴ εὐφροσύνη.

Καὶ γι' αὐτὰ ὅλα μάρτυρες εἶστε ἐσεῖς ποὺ ἐντρυφήσατε χθὲς στοὺς ἄθλους τοῦ μακάριου Βαρλαὰμ καὶ σκιρτήσατε μὲ πολλὴ ἄνεση στὸ λιμάνι του, ποὺ καθαριστήκατε ἀπὸ τὴν ἁρμύρα τῶν βιοτικῶν φροντίδων καὶ ἀναχωρήσατε γιὰ τὸ σπίτι σας ἀνακουφισμένοι ἀπὸ τὶς διηγήσεις του. Ἀλλὰ νὰ πλησιάζει πάλι ἡ πανήγυρη καὶ ἄλλων μαρτύρων. Ὥσπου νὰ φθάσουμε λοιπὸν στὸ λιμάνι τους ἐμπρὸς ἂς μιμηθοῦμε τοὺς ναῦτες· καὶ ὅπως ἐκεῖνοι πλέοντας τὸ πέλαγος τραγουδοῦν, ἀνακουφίζοντας μὲ τὸ τραγούδι τὸν κόπο τους, ἔτσι καὶ ἐμεῖς, ὥσπου νὰ φθάσουμε στὸ λιμάνι ἐκείνων ἂς ἀναφέρουμε μεταξύ μας κάποια πνευματικὰ λόγια, κάνοντας ἀρχηγὸ τῆς καλῆς αὐτῆς συζήτησης τὸ μακάριο Παῦλο καὶ ἀκολουθώντας τὸ δρόμο ποὺ αὐτὸς μᾶς προστάζει. Ποιό δρόμο λοιπὸν προστάζει ν' ἀκολουθήσουμε; Τὸ δρόμο ποὺ περνάει μέσα ἀπὸ τὴν ἔρημο καὶ τὰ θαύματα ποὺ ἔγιναν ἐκεῖ. Γιατὶ τὸν ἀκούσατε σήμερα νὰ φωνά-

βλέπειν μόνον, ἀλλὰ καὶ τὸ τῶν πολλῶν, βουλόμενος αὐτοῖς ἐπιτεῖναι τὸν φόβον, παλαιῶν αὐτοὺς ἀναμιμνήσκει διηγημάτων. Ἐπειδὴ γὰρ ἐκεῖνοι μέγα ἐφρόνουν, ὡς πιστοὶ καὶ πλάνης ἀπαλλαγέντες καὶ γνώσεως καταξιωθέντες καὶ τῶν ἀπορρήτων κοινωνήσαντες μυστηρίων καὶ πρὸς βασιλείαν οὐρανῶν κληθέντες, δεῖξαι θέλων ὅτι τούτων ὄφελος οὐδὲν ἂν μὴ πολιτεία προσῇ συμφωνοῦσα τῇ τοσαύτῃ χάριτι, ἐκ παλαιᾶς αὐτοὺς παιδεύει ἱστορίας.

2. Ἀλλὰ καὶ τοῦτο αὐτὸ πάλιν πολλῆς γέμει ζητήσεως. Τίνος ἕνεκεν οὐκ ἀπὸ τῶν τοῦ Χριστοῦ ῥημάτων αὐτοῖς διαλέγεται τῶν ἐν Εὐαγγελίῳ κειμένων, οὐδὲ γεέννης αὐτοὺς ἀναμιμνήσκει καὶ σκότους ἐξωτέρου καὶ σκώληκος ἰοβόλου καὶ δεσμῶν ἀθανάτων καὶ πυρὸς τοῦ ἡτοιμασμένου τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ τῶν ἄλλων τῶν ἀπορρήτων κολάσεων; Εἰ γὰρ φοβῆσαι ἐβούλετο, ἀπὸ τῶν μειζόνων τοῦτο ποιῆσαι ἔδει οὐκ ἀπὸ τῶν ἐν τῇ ἐρήμῳ. Ἐκεῖνοι μὲν γάρ, εἰ καὶ ἐκολάσθησαν, ἀλλ' ἡμερώτερον καὶ προσκαίρως καὶ ἐν ἡμέρᾳ μιᾷ, οὗτοι δὲ ἀθάνατα μέλλουσι τιμωρεῖσθαι καὶ χαλεπώτερα. Τίνος οὖν ἕνεκεν ἐκεῖθεν αὐτοὺς ἐφόβησεν, οὐδὲ ἀνέμνησε τῶν τοῦ Χριστοῦ ῥημάτων; Καὶ γὰρ ἠδύνατο λέγειν πρὸς αὐτούς· 'οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, οἵους ὁ Χριστὸς ἔθηκε νόμους περὶ τῶν πίστιν μὲν ἐχόντων, βίον δὲ ἄριστον οὐκ ἐπιδεικνυμένων'. Καὶ γὰρ θαύματα ποιήσαντας ἀνθρώπους καὶ προφητείαν ἐπιδεικνυμένους ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν λέγων· «πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρα, Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν καὶ τῷ σῷ ὀνόματι προεφητεύσαμεν καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν;' Καὶ τότε ὁμολογήσω αὐτοῖς, 'ὑπάγετε ἀπ' ἐμοῦ, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν'». Καὶ τὰς παρθένους δὲ οὐχ ὑπὲρ πίστεως ἐγκαλῶν καὶ δογμάτων, ἀλλ' ὑπὲρ βίου διεφθαρμένου καὶ ἀπανθρωπίας καὶ ὠμότητος, ἀπέκλεισε τοῦ νυμφῶνος· καὶ τὸν τὰ ῥυπαρὰ ἐνδεδυμένον ἱμάτια διὰ τοῦτο δεδεμένον ἐξέβαλεν, οὐκ ἐπειδὴ δόγματα οὐκ εἶχε ὀρθά, ἀλλ' ἐπειδὴ βίον ῥυπα-

πιστὸς δὲν πρέπει νὰ βλέπει μόνο τὸ συμφέρον του ἀλλὰ καὶ τὸ συμφέρον τῶν πολλῶν, θέλοντας νὰ τοὺς αὐξήσει τὸ φόβο, τοὺς ὑπενθυμίζει παλιὲς ἱστορίες. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι ὑπερηφανεύονταν γιατὶ ἦταν πιστοὶ καὶ ἀπαλλάχθηκαν ἀπὸ τὴν πλάνη καὶ ἀξιώθηκαν τὴ γνώση καὶ ἔλαβαν μέρος στὰ ἀπόρρητα μυστήρια καὶ κλήθηκαν στὴ βασιλεία τῶν οὐρανῶν, θέλοντας νὰ δείξει ὅτι ἀπ' αὐτὰ δὲν ὑπάρχει κανένα ὄφελος ἂν δὲν ὑπάρχει μαζὶ καὶ διαγωγὴ τέτοια ποὺ νὰ συμφωνεῖ μὲ τὴν τόσο μεγάλη χάρη, τοὺς διδάσκει ἀπὸ μιὰ παλιὰ ἱστορία.

2. Ἀλλὰ καὶ αὐτὸ πάλι χρειάζεται πολλὴ ἔρευνα. Γιὰ ποιό λόγο δὲ μιλάει σ' αὐτοὺς ἀπὸ τὰ λόγια τοῦ Χριστοῦ· ποὺ βρίσκονται στὰ εὐαγγέλια, οὔτε τοὺς θυμίζει τὴ γέεννα καὶ τὸ σκότος τὸ ἐξώτερο, τὸ φαρμακερὸ σκουλήκι καὶ τὰ αἰώνια δεσμά, τοὺς ἀγγέλους του καὶ τὸ τρίξιμο τῶν δοντιῶν καθὼς καὶ τὶς ἄλλες ἀνέκφραστες τιμωρίες; Γιατί, ἂν ἤθελε νὰ τοὺς φοβίσει, ἔπρεπε νὰ τὸ κάνει αὐτὸ ἀπὸ τὰ μεγαλύτερα καὶ ὄχι ἀπ' ὅσα ἔγιναν στὴν ἔρημο. Γιατὶ ἐκεῖνοι, ἂν καὶ τιμωρήθηκαν, τιμωρήθηκαν ὅμως πιὸ μαλακὰ καὶ πρόσκαιρα καὶ μέσα σὲ μιὰ ἡμέρα, ἐνῶ αὐτοὶ πρόκειται νὰ τιμωρηθοῦν αἰώνια καὶ σκληρότερα. Γιὰ ποιό λόγο λοιπὸν τοὺς φόβισε ἀπὸ ἐκεῖ καὶ δὲν τοὺς θύμισε τὰ λόγια τοῦ Χριστοῦ; Γιατὶ βέβαια μποροῦσε νὰ τοὺς πεῖ· 'δὲ θέλω, ἀδελφοί, ν' ἀγνοεῖτε ποιούς νόμους ἔθεσε ὁ Χριστὸς γι' αὐτοὺς ποὺ ἔχουν πίστη ἀλλὰ δὲν παρουσιάζουν ἄριστη ζωή'. Γιατὶ ἀπομάκρυνε ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν ἀνθρώπους ποὺ ἔκαναν θαύματα καὶ φανέρωσαν προφητεία λέγοντας· «πολλοὶ θὰ μοῦ ποῦν τὴν ἡμέρα ἐκείνη, Κύριε, Κύριε, δὲ διώξαμε δαιμόνια στὸ ὄνομά σου καὶ δὲν προφητέψαμε στὸ ὄνομά σου καὶ δὲν κάναμε πολλὰ θαύματα; Καὶ τότε θὰ τοὺς ὁμολογήσω, φύγετε ἀπὸ μένα, δὲ σᾶς γνωρίζω ἐσᾶς ποὺ εἶστε οἱ ἐργάτες τῆς ἀνομίας»[2]. Καὶ τὶς παρθένες δὲν τὶς ἀπέκλεισε ἀπὸ τὸ νυμφώνα κατηγορώντας τες γιὰ τὴν πίστη τους καὶ τὰ δόγματα, ἀλλὰ γιὰ διεφθαρμένη ζωὴ καὶ ἀπανθρωπιὰ καὶ σκληρότητα. Ἐπίσης αὐτὸν ποὺ φοροῦσε βρώμικα ροῦχα γι' αὐτὸ τὸν ἔβγαλε ἔξω δεμένο, ὄχι γιατὶ δὲν πίστευε τὰ ὀρθὰ δόγματα, ἀλλὰ γιατὶ

καὶ κόλασιν, ἀλλ' ἁπλῶς τὸν Θεὸν ἠπειληκέναι, τὰ παρελθόντα ἀναλογισάμενος, καὶ τοῖς μέλλουσι πίστευε. Εἰ γὰρ αὐτός ἐστι Θεός, ὁ καὶ τὰ πρότερα καὶ τὰ νῦν οἰκονομῶν, καὶ τὰ ἐπὶ τῆς Παλαιᾶς καὶ τὰ ἐπὶ τῆς χάριτος, ὥσπερ οὖν καὶ ἔστιν ὁ αὐτός, ποῖον ἂν ἔχοι λόγον, ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι καὶ τιμωρήσασθαι, ἡμᾶς δὲ ταῦτα καὶ πολλῷ χαλεπώτερα ἐκείνων πταίοντας ἀτιμωρήτους ἀφεῖναι; Ἐρωτῶ τοίνυν· ἐπόρνευσαν οἱ Ἰουδαῖοι καὶ ἐκολάσθησαν; ἐγόγγυσαν καὶ ἐτιμωρήθησαν; Ἀνάγκη πᾶσα ὁμολογῆσαι. Πῶς οὖν ὁ τιμωρησάμενος ἐκείνους, σὲ τὰ αὐτὰ τολμῶντα παρόψεται; Οὐκ ἂν ἔχοι λόγον.

Ἀλλ' οὐκ ἔδωκας δίκην ἐνταῦθα; Διὰ τοῦτο μάλιστα πίστευε γέενναν εἶναι καὶ κόλασιν, ἐπειδὴ δίκην ἐνταῦθα οὐκ ἔδωκας. Εἰ γὰρ μὴ ἔμελλέ τις ἀποκεῖσθαι μετὰ ταῦτα τιμωρία, οὐκ ἂν τὰ αὐτὰ τοῖς προτέροις τολμήσας, ἀτιμώρητος ἔμεινας. Καὶ σὺ τοίνυν ὅταν λάβῃς τινὰ χαῦνον καὶ διαλελυμένον καὶ πολλὴν ἀσέλγειαν ἐπιδεικνύμενον καὶ λέγῃ πρός σε, ὅτι 'μῦθος ταῦτά ἐστιν, οὐκ ἔστι κόλασις οὔτε γέεννα, ἀλλ' ἁπλῶς ὁ Θεὸς ἠπείλησε φοβῆσαι βουλόμενος', λέγε πρὸς αὐτόν· 'ἄνθρωπε, τοῖς μέλλουσιν ἀπιστεῖς, ἐπειδὴ μὴ φαίνεται μηδὲ εἰς μέσον ἦλθε μηδὲ ὑπὸ τοῖς ὀφθαλμοῖς κεῖται τοῖς ἡμετέροις· μὴ ἐπὶ τοῖς γεγενημένοις καὶ τέλος εἰληφόσι δυνατὸν ἀπιστῆσαί τινα; Ἐννόησόν μοι τὰ Σόδομα καὶ Γόμορρα. Ἐκείνη δὲ χώρα δι' οὐδεμίαν ἑτέραν ἁμαρτίαν τοσαύτην ἔδωκε δίκην, ἢ ὅτι παρανόμους εἰσήγαγον μίξεις οἱ τὰς πόλεις οἰκήσαντες ἐκείνας καὶ ἀθέσμους ἔρωτας καὶ τοὺς τῆς φύσεως νόμους ἐκ βάθρων ἀνέτρεψαν. Πῶς οὖν ἂν ἔχοι λόγον, τὸν Θεόν, τὸν αὐτὸν ὄντα καὶ τότε καὶ νῦν, ἐκείνους μὲν ἁμαρτάνοντας κολάσαι χωρὶς συγγνώμης ἁπάσης, σὲ δὲ τὸν μετ' ἐκείνους ἁμαρτόντα, τὸν πολλῷ μείζονος ὄντα τιμωρίας ἄξιον καὶ κολάσεως, ὅσῳ καὶ χάριτος ἀπήλαυ-

νομίζεις ὅτι δὲν ὑπάρχει γέεννα οὔτε ποινὴ καὶ τιμωρία, ἀλλ' ὅτι ὁ Θεὸς ἁπλῶς καὶ μόνο τὰ ἀπείλησε αὐτά, ἀφοῦ ἀναλογισθεῖς τὰ περασμένα πίστευε καὶ τὰ μελλοντικά. Γιατὶ ἂν ὁ Θεὸς εἶναι ὁ ἴδιος ποὺ οἰκονομεῖ καὶ τὰ προηγούμενα καὶ τὰ τωρινά, καὶ ὅσα ἔγιναν στὴν Παλαιὰ Διαθήκη καὶ ὅσα γίνονται στὴν ἐποχὴ τῆς χάριτος, ὅπως καὶ πραγματικὰ εἶναι ὁ ἴδιος, ποιό λόγο μπορεῖ νὰ ἔχει ὥστε ἐκείνους ποὺ ἔσφαλαν νὰ τοὺς βασανίσει καὶ νὰ τοὺς τιμωρήσει, ἐνῶ ἐμᾶς ποὺ ἔχουμε κάνει τὰ ἴδια καὶ πολὺ χειρότερα σφάλματα ἀπὸ ἐκείνους νὰ μᾶς ἀφήσει ἀτιμώρητους; Ἐρωτῶ λοιπόν· διέπραξαν πορνεία οἱ Ἰουδαῖοι καὶ τιμωρήθηκαν; γόγγυσαν καὶ τιμωρήθηκαν; Ὁπωσδήποτε εἶναι ἀνάγκη νὰ τὸ ὁμολογήσουμε. Πῶς λοιπὸν αὐτὸς ποὺ τιμώρησε ἐκείνους θὰ παραβλέψει ἐσένα ποὺ τολμᾶς τὰ ἴδια; Δὲν μπορεῖ νὰ ἔχει δικαιολογία αὐτό.

Ἀλλὰ δὲν τιμωρήθηκες ἐδῶ; Γι' αὐτὸ κυρίως πίστευε πὼς ὑπάρχει γεέννα καὶ τιμωρία, ἐπειδὴ δὲν τιμωρήθηκες ἐδῶ. Γιατί, ἂν δὲν ἐπρόκειτο νὰ ὑπάρχει μετὰ ἀπ' αὐτὰ κάποια τιμωρία, δὲ θὰ ἔμεινες ἀτιμώρητος ἐδῶ ἀφοῦ τόλμησες τὰ ἴδια μὲ τοὺς προηγούμενους. Καὶ σὺ λοιπὸν ὅταν συναντήσεις κάποιον ἀδιάφορο καὶ ἀνόητο καὶ ἐντελῶς διεφθαρμένο καὶ σοῦ πεῖ ὅτι αὐτὰ εἶναι μύθος, δὲν ὑπάρχει κόλαση οὔτε γέεννα, ἀλλ' ἁπλῶς ὁ Θεὸς ἀπείλησε αὐτὰ θέλοντας νὰ μᾶς φοβίσει, πές του· 'ἄνθρωπε, δὲν πιστεύεις στὰ μελλοντικὰ ἐπειδὴ δὲ φαίνονται οὔτε πραγματοποιήθηκαν οὔτε βρίσκονται μπροστὰ στὰ μάτια μας· μήπως ὅμως εἶναι δυνατὸ ν' ἀπιστήσει κανεὶς γι' αὐτὰ ποὺ ἔγιναν καὶ πραγματοποιήθηκαν; Σκέψου, σὲ παρακαλῶ, τὰ Σόδομα καὶ τὰ Γόμορρα. Ἐκείνη ἡ χώρα δὲν τιμωρήθηκε τόσο πολὺ γαὶ καμιὰ ἄλλη ἁμαρτία παρὰ μόνο γιατὶ οἱ κάτοικοι τῶν πόλεων αὐτῶν εἰσήγαγαν τὶς παράνομες σχέσεις καὶ τοὺς ἀθέμιτους ἔρωτες καὶ ἀνέτρεψαν ἀπὸ τὰ θεμέλια τοὺς νόμους τῆς φύσης. Πῶς λοιπὸν μπορεῖ νὰ ἔχει δικαιολογία, ὁ Θεὸς ποὺ εἶναι ὁ ἴδιος καὶ τότε καὶ τώρα, νὰ τιμωρήσει χωρὶς καμιὰ συγγνώμη ἐκείνους ποὺ ἁμάρτησαν καὶ ν' ἀφήσει ἀτιμώρητο ἐσένα ποὺ ἁμάρτησες ὕστερα ἀπὸ ἐκείνους καὶ εἶσαι ἄξιος γιὰ πολὺ μεγα-

σας καὶ οὐδὲ ταῖς ἐκείνων ἐσωφρονθίσθης τιμωρίαις, ἀτιμώρητον ἀφεῖναι;

3. Διὰ δὴ ταῦτα καὶ Παῦλος οὐδὲν περὶ γεέννης τέως εἰπών, ἐπειδὴ πολλοῖς τὰ μέλλοντά ἐστιν ἄπιστα, ἀπὸ τῶν ἤδη συμβάντων καὶ ὧν ἱκανὴν εἶχον πίστιν, αὐτοὺς σωφρονίσαι βούλεται. Εἰ γὰρ καὶ φοβερώτερα τὰ μέλλοντα, ἀλλὰ τοῖς ἀτελεστέροις τῶν ἀνθρώπων τὰ παρελθόντα πιστότερα, καὶ ταῦτα μᾶλλον αὐτοὺς ἐκείνων φοβεῖν εἴωθε. Διὰ ταῦτα ἐντεῦθεν αὐτοῖς διαλέγεται, οἷς οὐδὲ τὸν σφόδρα ἀναισχυντοῦντα ἀπιστῆσαι δυνατὸν ἦν· ὁμοῦ δὲ καὶ Μαρκίωνι καὶ Μάνεντι καὶ πᾶσι τοῖς τὰ αὐτὰ ἐκείνοις νοσοῦσι καιρίαν δίδωσι τὴν πληγήν. Εἰ γὰρ μή ἐστιν ὁ αὐτὸς Θεὸς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς, ὁ καὶ ἐκεῖνα νουθετήσας καὶ ταῦτα μέλλων διατυποῦν, περιττῶς μοι ταῦτα λέγεις, ὦ Παῦλε, καὶ φόβον οὐδένα τοῖς ἀκροαταῖς ἐντίθης. Δύναται γὰρ ὁ ἀκούων λέγειν, ὅτι εἰ ἕτερος ἐκεῖνός ἐστι Θεὸς καὶ ἕτερος οὗτος, οὐ πάντως οὗτος κατὰ τὴν ἐκείνου κρινεῖ γνώμην οὐδὲ τοῖς αὐτοῖς πείθεται νόμοις. Τί γάρ, εἰ τῷ τῆς Παλαιᾶς Θεῷ πάντας ἔδοξε κολάσαι καὶ τιμωρήσαθσαι, τί μορμολύττεις καὶ ἐκφοβεῖς; Ἕτερον ἔχω Δεσπότην τὸν μέλλοντά με κρίνειν.

Ὥστε εἰ ἕτερος ἦν ὁ τῆς Παλαιᾶς καὶ ἕτερος ὁ τῆς Καινῆς, τοὐναντίον, ὅπερ ἐβούλετο, ὁ Παῦλος ἐποίησεν· οὐ γὰρ μόνον οὐκ ἐφόβησε τὸν ἀκούοντα, ἀλλὰ καὶ πάσης ἀγωνίας καὶ δέους ἐπήλλαξεν· ὅπερ οὐδὲ τῶν τυχόντων ἀνθρώπων καὶ σφόδρα ἀνοήτων τις ἔπαθεν ἄν, μήτι γε Παῦλος ὁ τοσαύτης γέμων σοφίας. Ὅθεν δῆλον, ὅτι εἷς καὶ ὁ αὐτός ἐστι Θεὸς ὁ καὶ τοὺς Ἰουδαίους ἐπὶ τῆς ἐρήμου καταστρώσας, καὶ ἡμῶν τοὺς ἁμαρτάνοντας κολάζειν μέλλων. Οὐ γὰρ εἰ μὴ ἦν (πάλιν γὰρ τὸ αὐτὸ ἐρῶ), ἀπὸ τῶν ἤδη γεγενημένων ὑπ' ἐκείνου καὶ περὶ τῶν μελλόντων ἡμᾶς ἐφόβει· ἐπειδὴ δὲ ὁ αὐτός ἐστιν, ἀναντίρρητον

λύτερη ποινὴ καὶ τιμωρία, τὴ στιγμὴ μάλιστα ποὺ ἀπόλαυσες καὶ τὴ χάρη καὶ δὲ συνετίσθηκες μὲ τὶς τιμωρίες ἐκείνων;

3. Γι' αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος, χωρὶς νὰ πεῖ τίποτε στὴν ἀρχὴ γιὰ τὴ γέεννα, ἐπειδὴ πολλοὶ δὲν πιστεύουν στὰ μελλοντικά, θέλει νὰ τοὺς συνετίσει ἀπ' αὐτὰ ποὺ ἤδη συνέβηκαν καὶ τὰ ὁποῖα εἶχαν ἀρκετὰ πιστέψει. Γιατὶ ἂν καὶ τὰ μελλοντικὰ εἶναι πιὸ φοβερά, ὅμως στοὺς ἀτελέστερους ἀπὸ τοὺς ἀνθρώπους περισσότερο πιστευτὰ εἶναι τὰ περασμένα καὶ συνήθως αὐτὰ τοὺς φοβίζουν περισσότερο ἀπὸ ἐκεῖνα. Γι' αὐτὸ τοὺς μιλάει ἀπ' αὐτά, ποὺ δὲν ἦταν δυνατὸ νὰ τὰ ἀμφισβητήσει οὔτε ὁ πιὸ ἀδιάντροπος. Καὶ συγχρόνως δίνει καίριο χτύπημα στὸ Μαρκίωνα καὶ στὸ Μάνεντα καὶ σὲ ὅλους αὐτοὺς ποὺ εἶχαν τὴν ἴδια ἀσθένεια μὲ ἐκείνους. Γιατὶ ἂν δὲν εἶναι ὁ ἴδιος ὁ Θεὸς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, ποὺ ἔδωσε καὶ ἐκεῖνες τὶς νουθεσίες καὶ ποὺ πρόκειται νὰ διατυπώσει αὐτά, εἶναι περιττὸ ποὺ μοῦ τὰ λέγεις αὐτά, Παῦλε, καὶ δὲν προκαλεῖς κανένα φόβο στοὺς ἀκροατές. Γιατὶ μπορεῖ ὁ ἀκροατὴς νὰ πεῖ, ὅτι ἂν ἄλλος εἶναι ἐκεῖνος ὁ Θεὸς καὶ ἄλλος αὐτός, ὁπωσδήποτε αὐτὸς δὲ θὰ κρίνει σύμφωνα μὲ τὴ γνώμη ἐκείνου οὔτε ὑπακούει στοὺς ἴδιους νόμους. Γιατί λοιπὸν ἂν στὸ Θεὸ τῆς Παλαιᾶς Διαθήκης φάνηκε καλὸ νὰ ἐπιβάλει ποινὲς καὶ τιμωρίες, μὲ τρομάζεις καὶ μὲ φοβίζεις; Ἐγὼ ἔχω ἄλλον Κύριο ποὺ πρόκειται νὰ μὲ κρίνει.

Ὥστε, ἂν ἄλλος ἦταν ὁ Θεὸς τῆς Παλαιᾶς καὶ ἄλλος ὁ Θεὸς τῆς Καινῆς Διαθήκης, ὁ Παῦλος ἔκανε τὸ ἀντίθετο ἀπ' αὐτὸ ποὺ ἤθελε νὰ κάνει. Γιατὶ ὄχι μόνο δὲ φόβισε τὸν ἀκροατή, ἀλλὰ τὸν ἀπάλλαξε καὶ ἀπὸ κάθε ἀγωνία καὶ φόβο. Αὐτὸ τὸ πράγμα δὲ θὰ μποροῦσε νὰ τὸ πάθει οὔτε κάποιος ἀπὸ τοὺς ἀσήμαντους καὶ πολὺ ἀνόητους ἀνθρώπους, καὶ ἀσφαλῶς οὔτε ὁ Παῦλος ποὺ ἦταν γεμάτος μὲ τόση σοφία. Ἐπομένως εἶναι φανερὸ ὅτι ὁ Θεὸς εἶναι ἕνας καὶ ὁ ἴδιος, ὁ ὁποῖος καὶ τοὺς Ἰουδαίους θανάτωσε στὴν ἔρημο καὶ ἐμᾶς ποὺ ἁμαρτάνουμε πρόκειται νὰ μᾶς τιμωρήσει. Γιατί, ἂν δὲν ἦταν (πάλι τὸ ἴδιο θὰ πῶ), δὲ θὰ μᾶς φόβιζε καὶ γιὰ τὰ μελλοντικὰ ἀπ' αὐτὰ ποὺ ἔκανε ἤδη ἐκεῖνος· ἐπειδὴ ὅμως εἶναι ὁ ἴδιος, παρουσίασε σ' αὐ-

εἰσήγαγεν αὐτοῖς τὴν περὶ τῆς τιμωρίας προσδοκίαν, δεικνὺς ὅτι δεδοικέναι χρὴ καὶ φοβεῖσθαι. Οὐ γὰρ ἂν ὁ τοὺς πατέρας ἡμῶν κολάσας ἁμαρτάνοντας, ἡμῶν φείσεται τὰ αὐτὰ πλημμελούντων. Ἄξιον δὲ ἐπ' αὐτὴν τὴν ἀρχὴν ἐλθεῖν τοῦ διηγήματος καὶ ἑκάστην διερευνήσασθαι ῥῆσιν μετ' ἀκριβείας ἁπάσης.

«Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί». Τοὺς μαθητὰς «ἀδελφοὺς» ἐκάλεσεν, οὐκ ἀπὸ τοῦ τῆς ἀξίας, ἀλλ' ἀπὸ τοῦ τῆς ἀγάπης αὐτοὺς προσαγορεύων ὀνόματος. Ἤιδει γάρ, ᾔδει σαφῶς, ὅτι ταύτης ἴσον οὐδέν, καὶ τὸ μέγιστον τῆς ἀξίας εἶδος, τὸ τῆς ἀγάπης εἶδός ἐστι. Τοῦτο δὲ πρῶτον καὶ ἡμεῖς ζηλώσωμεν. Κἂν σφόδρα καταδεέστεροί τινες ἡμῶν ὦσι, τοῖς τῆς θεραπείας αὐτοὺς καλῶμεν ὀνόμασι μὴ μόνον ἐλευθέρους ἀλλὰ καὶ δούλους, μὴ μόνον πλουσίους ἀλλὰ καὶ πένητας, ἐπεὶ καὶ Παῦλος οὐχὶ τοὺς πλουσίους τοὺς παρὰ Κορινθίοις οὐδὲ τοὺς ἐλευθέρους καὶ περιφανεῖς οὐδὲ τοὺς ἐπισήμους μόνον, ἀλλὰ καὶ ἰδιώτας καὶ οἰκέτας καὶ πάντας ἁπλῶς ταύτῃ τετίμηκε τῇ προσηγορίᾳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐ βάρβαρος, οὐ Σκύθης, οὐ σοφός, οὐκ ἄσοφος, ἀλλὰ πᾶσα ἀξίας ἀνωμαλία βιωτικῆς ἀνῄρηται. Καὶ τί θαυμαστόν, εἰ Παῦλος τοὺς ὁμοδούλους οὕτως ἐκάλεσεν, ὅπου γε καὶ ὁ Δεσπότης αὐτοῦ τὴν ἡμετέραν οὕτω ἐκάλεσε φύσιν, οὕτω λέγων, «ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε»; Οὐ μόνον δὲ ἐκάλεσεν ἡμᾶς ἀδελφούς, ἀλλὰ καὶ γενέσθαι ἀδελφὸς ἡμῶν ἠθέλησε, καὶ ἐγένετο τὴν σάρκα ὑποδὺς τὴν ἡμετέραν, καὶ τῆς φύσεως ἡμῶν κοινωνήσας τῆς αὐτῆς. Ὅπερ οὖν καὶ αὐτὸ θαυμάζων ὁ Παῦλος ἔλεγεν· «οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται ὁ Θεός, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται, ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι». Καὶ πάλιν· «ἐπεὶ οὖν καὶ τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν».

Πάντα δὲ ταῦτα ἀκούοντες, ἀλαζονείαν καὶ τῦφον καὶ ἀπό-

---

3. Ψαλμ. 21,23.
4. Ἑβρ. 2,16.17.
5. Ἑβρ. 2,14.

τοὺς ἀναπόφευκτη τὴν προσμονὴ τῆς τιμωρίας, γιὰ νὰ δείξει πῶς πρέπει νὰ φοβούμαστε καὶ νὰ τρομάζουμε. Γιατὶ αὐτὸς ποὺ τιμώρησε τοὺς πατέρες μας ὅταν ἁμάρτησαν, δὲ θὰ λυπηθεῖ ἐμᾶς ποὺ κάνουμε τὰ ἴδια ἁμαρτήματα. Ἀξίζει ὅμως νὰ ἔρθουμε στὴν ἴδια τὴν ἀρχὴ τῆς διήγησης καὶ μὲ κάθε λεπτομέρεια νὰ ἐξετάσουμε τὴν κάθε φράση της.

«Δὲ θέλω, ἀδελφοί, ν' ἀγνοεῖτε». Ὀνόμασε ἀδελφοὺς τοὺς μαθητές, προσφωνώντας αὐτοὺς ὄχι ἀπὸ τὸ ὄνομα τῆς ἀξίας τους ἀλλὰ ἀπὸ τὸ ὄνομα τῆς ἀγάπης. Γιατὶ γνώριζε, καὶ γνώριζε καλά, ὅτι τίποτε δὲν εἶναι ἴσο μ' αὐτὴ καὶ ὅτι τὸ μέγιστο εἶδος τῆς ἀξίας εἶναι τὸ εἶδος τῆς ἀγάπης. Αὐτὸ καὶ ἐμεῖς ἂς ποθήσουμε πρῶτα. Καὶ ἂν κάποιοι εἶναι πολὺ πιὸ κατώτεροι ἀπὸ μᾶς, ἂς τοὺς ἀποκαλοῦμε μὲ εὐγενικὰ ὀνόματα ὄχι μόνο τοὺς ἐλεύθερους ἀλλὰ καὶ τοὺς δούλους, ὄχι μόνο τοὺς πλούσιους ἀλλὰ καὶ τοὺς φτωχούς, ἀφοῦ καὶ ὁ Παῦλος ὄχι μόνο τοὺς πλούσιους Κορινθίους, οὔτε τοὺς ἐλεύθερους καὶ ξακουστούς, οὔτε τοὺς ἐπίσημους μόνο, ἀλλὰ καὶ τοὺς ἁπλοϊκοὺς καὶ τοὺς ὑπηρέτες καὶ ὅλους γενικὰ τοὺς τίμησε μ' αὐτὴ τὴν ὀνομασία. Γιατὶ γιὰ τὸν Ἰησοῦ Χριστὸ δὲν ὑπάρχει δοῦλος οὔτε ἐλεύθερος οὔτε βάρβαρος οὔτε Σκύθης οὔτε σοφὸς οὔτε ἄσοφος, ἀλλὰ ἔχει καταργηθεῖ κάθε διάκριση βιοτικῆς ἀξίας. Καὶ τί παράδοξο ἂν ὁ Παῦλος ἀποκάλεσε ἔτσι τοὺς ὁμοδούλους του, ἀφοῦ καὶ ὁ Κύριός του ἀποκάλεσε ἔτσι τὴ δική μας φύση λέγοντας, «θὰ διαλαλήσω τὸ ὄνομά σου στοὺς ἀδελφούς μου, μέσα στὴ σύναξη θὰ σὲ ὑμνήσω»[3]; Καὶ ὄχι μόνο μᾶς ὀνόμασε ἀδελφούς, ἀλλὰ θέλησε νὰ γίνει καὶ ἀδελφός μας, καὶ ἔγινε ἀφοῦ ἔλαβε τὴ δική μας σάρκα καὶ εἶχε τὴν ἴδια μὲ μᾶς φύση. Αὐτὸ ἀκριβῶς τὸ πράγμα θαυμάζοντας ὁ Παῦλος ἔλεγε· «γιατὶ ὁ Θεὸς δὲν ἐνδιαφέρεται νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ, καὶ γι' αὐτὸ ἔπρεπε νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του»[4]. Καὶ πάλι· «ἐπειδὴ λοιπὸν καὶ τὰ παιδιὰ τοῦ Θεοῦ ἔχουν σάρκα καὶ αἷμα, κατὰ παρόμοιο τρόπο πῆρε καὶ αὐτὸς σάρκα καὶ αἷμα»[5].

Ἀκούοντας ὅλα αὐτά, ἂς ἐκτοπίσουμε ἀπὸ τὴ ψυχή μας τὴν

νοιαν ἅπασαν τῆς ψυχῆς ἐξορίσωμεν τῆς ἡμετέρας καὶ μετὰ πολλῆς τοῦτο κατορθώσωμεν τῆς σπουδῆς, τὸ θεραπευτικοῖς ὀνόμασι καὶ τιμὴν ἔχουσι τοὺς πλησίον καλεῖν. Εἰ γὰρ καὶ μικρὸν καὶ ψιλὸν εἶναι δοκεῖ τὸ κατόρθωμα, ἀλλ' ὅμως μεγάλων ἀγαθῶν ἐστιν αἴτιον· ὥσπερ οὖν τὸ ἐναντίον πολλὰς πολλάκις ἔχθρας καὶ ἔρεις καὶ φιλονεικίας ἐποίησεν. Οὐ ταύτην δὲ μόνον τὴν ῥῆσιν, ἀλλὰ καὶ τὴν ἑξῆς μετὰ πολλῆς ἐξεταστέον τῆς ἀκριβείας· οὐδὲ γὰρ ταύτην ἁπλῶς τέθεικεν. Εἰπὼν γάρ· «οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί», ἐπήγαγεν· «ὅτι οἱ πατέρες ἡμῶν πάντες»· οὐκ εἶπεν, 'ὅτι οἱ Ἰουδαῖοι', οὐδὲ 'οἱ ἐξ Αἰγύπτου ἐξελθόντες', ἀλλὰ τί; «Οἱ πατέρες ἡμῶν πάντες», ὁμοῦ καὶ τὴν ταπεινοφροσύνην ἐπιδεικνύμενος τὴν ἑαυτοῦ, ὅτι οὐκ ἀπηξίωσε τὴν πρὸς ἐκείνους συγγένειαν, τοσοῦτον αὐτοὺς ἀναβεβηκὼς κατὰ τὸν τῆς ἀρετῆς λόγον καὶ τῶν τὴν Παλαιὰν διαβαλλόντων ἐπιστομίζων τὴν ἀναίσχυντον γλῶτταν. Οὐ γὰρ ἄν, εἰ πρὸς ἐκείνην ἀπεχθῶς διέκειτο, ἀπὸ τῶν εὐφημοτέρων ὀνομάτων ἂν ἐμνήσθη, τῶν τότε γενομένων ἁπάντων διαβολὴν ἐχόντων.

«Πάντες». Οὐδὲ τοῦτο ἁπλῶς τέθεικε τό, «πάντες», οὐδὲ παρέργως, ἀλλὰ μετὰ πολλῆς τῆς σοφίας. Οὐδὲ γὰρ ἅπαξ εἰπὼν ἐσίγησεν, ἀλλὰ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ἵνα μάθῃς, ὅτι οὐ παρέργως αὐτὰ προσέρριψεν. Εἰπὼν γάρ, «ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν», ἐπήγαγε· «καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον». Ἤκουσας πῶς πολλάκις τό, «πάντες», τέθεικεν; Οὐκ ἂν δὲ τοῦτο ἐποίησεν, εἰ μὴ μέγα τι καὶ θαυμαστὸν μυστήριον αἰνίξασθαι ἤθελεν. Εἰ γὰρ ἁπλῶς ἐτίθει, ἤρκει ἅπαξ εἰπόντα σιγῆσαι καὶ εἰπεῖν οὕτως· 'ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ διὰ τῆς θαλάσσης διῆλθον, καὶ εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, καὶ τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον'. Νῦν δὲ οὐχ οὕτως εἶπεν, ἀλλὰ καθ' ἕκαστον τῶν γενομέ-

ἀλαζονεία, τὴν ἔπαρση καὶ κάθε ἀνοησία, καὶ ἂς κατορθώσουμε μὲ πολλὴ προθυμία αὐτό, τὸ νὰ καλοῦμε τοὺς συνανθρώπους μας μὲ ὀνόματα εὐγενικὰ καὶ τιμητικά. Γιατὶ ἂν καὶ φαίνεται πὼς εἶναι μικρὸ καὶ ἁπλὸ τὸ κατόρθωμα, εἶναι ὅμως αἴτιο μεγάλων ἀγαθῶν, ὅπως πάλι τὸ ἀντίθετο πολλὲς φορὲς προκάλεσε πολλὲς ἔχθρες καὶ ἔριδες καὶ φιλονεικίες. Καὶ ὄχι μόνο αὐτὴ τὴ φράση, ἀλλὰ καὶ τὴν ἑπόμενη πρέπει νὰ ἐξετάσουμε μὲ πολλὴ ἀκρίβεια· καθόσον δὲν τὴν ἀνέφερε καὶ αὐτὴ ἔτσι τυχαῖα. Γιατὶ ἀφοῦ εἶπε, «δὲ θέλω, ἀδελφοί, ν' ἀγνοεῖτε», πρόσθεσε, «ὅτι οἱ πατέρες μας ὅλοι». Δὲν εἶπε, 'οἱ Ἰουδαῖοι', οὔτε 'ἐκεῖνοι ποὺ ἐξῆλθαν ἀπὸ τὴν Αἴγυπτο', ἀλλὰ τί; «οἱ πατέρες μας ὅλοι», δείχνοντας μαζὶ καὶ τὴ δική του ταπεινοφροσύνη, γιατὶ δὲν ἀπέρριψε τὴ συγγένειά του πρὸς ἐκείνους παρ' ὅλο ποὺ τοὺς ξεπέρασε κατὰ πολὺ στὴν ἀρχή, καὶ ἀποστομώνοντας τὴν ἀδιάντροπη γλώσσα αὐτῶν ποὺ διαβάλλουν τὴν Παλαιὰ Διαθήκη. Γιατί, ἂν αἰσθανόταν κάποια ἀπέχθεια πρὸς ἐκείνη, δὲ θὰ μνημόνευε μὲ τὰ πιὸ ἐπαινετικὰ ὀνόματα ὅλους ἐκείνους ποὺ ἔζησαν τότε καὶ εἶχαν μέσα τους τὴ διαβολή.

«Ὅλοι». Οὔτε αὐτό, δηλαδὴ τὸ «ὅλοι», τὸ ἀνέφερε ἁπλῶς καὶ στὴν τύχη, ἀλλὰ μὲ πολλὴ σοφία. Γιατὶ δὲν τὸ εἶπε μία φορὰ καὶ σιώπησε, ἀλλὰ καὶ δύο καὶ τρεῖς καὶ πολλὲς φορές, γιὰ νὰ μάθεις ὅτι δὲν τὰ ἀνέφερε αὐτὰ τυχαῖα. Γιατὶ ἀφοῦ εἶπε, «ὅτι οἱ πατέρες μας ἦταν ὅλοι κάτω ἀπὸ τὴ νεφέλη», πρόσθεσε, «καὶ ὅλοι πέρασαν μέσα ἀπὸ τὴ θάλασσα καὶ ὅλοι βαπτίσθηκαν στὸ Μωϋσῆ, ὅλοι ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφὴ καὶ ὅλοι ἤπιαν τὸ ἴδιο πνευματικὸ ποτό». Ἄκουσες πῶς πολλὲς φορὲς ἔβαλε τὸ «ὅλοι»; Καὶ δὲ θὰ τὸ ἔκανε αὐτό, ἂν δὲν ἤθελε νὰ ὑπαινιχθεῖ κάποιο μεγάλο καὶ θαυμαστὸ μυστήριο. Γιατί, ἂν τὸ ἀνέφερε τυχαῖα, ἀρκοῦσε νὰ τὸ πεῖ μία φορὰ καὶ ὕστερα νὰ σιωπήσει καὶ νὰ πεῖ ἔτσι· 'ὅτι οἱ πατέρες μας ἦταν ὅλοι κάτω ἀπὸ τὴ νεφέλη καὶ πέρασαν μέσα ἀπὸ τὴ θάλασσα καὶ βαπτίσθηκαν στὸ Μωϋσῆ καὶ ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφὴ καὶ ἤπιαν τὸ ἴδιο πνευματικό ποτό'. Τώρα ὅμως δὲν τὸ εἶπε ἔτσι, ἀλλὰ θέτοντας σὲ καθένα ἀπὸ τὰ γεγονότα αὐτὰ τὸ «ὅλοι» μᾶς

νων τό, «πάντες», τιθείς, θύραν ἡμῖν τῆς ἑαυτοῦ γνώμης παρήνοιξεν οὐ μικράν, ὥστε κατιδεῖν αὐτοῦ τὴν σοφίαν.

Τίνος οὖν ἕνεκεν συνεχῶς τῆς λέξεως ταύτης μέμνηται; Βούλεται δεῖξαι πολλὴν οὖσαν τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν τὴν συγγένειαν, καὶ ὅτι ταῦτα τύπος ἐκείνων ἦν καὶ σκιὰ τῶν μελλόντων. Καὶ πρῶτον ἀπὸ τούτου τὴν συμφωνίαν δείκνυσι. Βουλόμενος γὰρ δεῖξαι, ὅτι ὥσπερ ἐν τῇ Ἐκκλησίᾳ οὐκ ἔστι δούλου καὶ ἐλευθέρου διάκρισις, οὐδὲ ξένου καὶ πολίτου, οὐδὲ γέροντος καὶ νέου, οὐδὲ σοφοῦ καὶ ἀσόφου, οὐδ' ἰδιώτου καὶ ἄρχοντος, οὐδὲ γυναικὸς καὶ ἀνδρός, ἀλλὰ πᾶσα ἡλικία καὶ πᾶσα ἀξία καὶ ἑκατέρα ἡ φύσις ὁμοίως εἰς τὴν κολυμβήθραν ἐκείνην ἐμβαίνουσι τῶν ὑδάτων, κἂν βασιλεὺς ᾖ τις κἂν πτωχός, τῶν αὐτῶν ἀπολαύουσι καθαρσίων (καὶ τοῦτό ἐστι μάλιστα τὸ μέγιστον τῆς παρ' ἡμῖν εὐγενείας τεκμήριον, ὅτι ὁμοίως καὶ τὸν προσαίτην καὶ τὸν τὴν ἁλουργίδα ἔχοντα μυσταγωγοῦμεν, καὶ οὐδὲν πλέον οὗτος ἐκείνου κατὰ τὸν τῶν μυστηρίων ἔχει λόγον), οὕτω καὶ ἐν τῇ Παλαιᾷ συνεχῶς τό, «πάντες», τέθεικεν. Οὐδὲ γὰρ ἔχεις εἰπεῖν, ὅτι Μωϋσῆς μὲν διὰ ξηρᾶς, Ἰουδαῖοι δὲ διὰ τῆς θαλάσσης διῆλθον, οὐδ' ὅτι οἱ μὲν εὔποροι δι' ἑτέρας ὁδοῦ, οἱ δὲ πενέστεροι δι' ἑτέρας, οὐδὲ ὅτι αἱ γυναῖκες μὲν ὑπὸ τὸν ἀέρα, ἄνδρες δὲ ὑπὸ τὴν νεφέλην, ἀλλὰ καὶ διὰ τῆς θαλάσσης πάντες, καὶ ὑπὸ τὴν νεφέλην πάντες, καὶ εἰς τὸν Μωϋσῆν πάντες. Ἐπειδὴ γὰρ ἡ διάβασις ἐκείνη τοῦ μέλλοντος βαπτίσματος ἦν τύπος, ἔδει τοῦτο πρῶτον τῶν ὅλων διατυπωθῆναι, τὸ πάντας τῶν αὐτῶν ἀπολαῦσαι, ὥσπερ οὖν καὶ ἐνταῦθα πάντες τῶν αὐτῶν ἐξίσης μετέχουσι. Καὶ πῶς δύναται, φησίν, ἐκεῖνο τύπος εἶναι τῶν παρόντων; Ἂν μάθης πρότερον, τί μὲν ἔστι τύπος, τί δὲ ἀλήθεια, τότε σοι καὶ τούτου παρέξομαι τὰς εὐθύνας.

4. Τί ποτ' οὖν ἐστι σκιά, τί δὲ ἀλήθεια; Φέρε, τὸν λόγον ἐπὶ τὰς εἰκόνας ἀγάγωμεν, ἃς οἱ ζωγράφοι γράφουσι. Εἶδες πολλάκις εἰκόνα βασιλικὴν κυανῷ κατακεχρωσμένην χρώματι, εἶτα

ἄνοιξε μεγάλη εἴσοδο στὴ γνώμη του ὥστε νὰ κατανοήσουμε τὴ σοφία του.

Γιὰ ποιό λόγο λοιπὸν ἀναφέρει συνέχεια τὴ λέξη αὐτή; Θέλει νὰ δείξει ὅτι εἶναι μεγάλη ἡ συγγένεια τῆς Παλαιᾶς πρὸς τὴν Καινὴ Διαθήκη καὶ ὅτι ἐκεῖνα ἦταν τύπος αὐτῶν καὶ σκιὰ τῶν μελλοντικῶν. Καὶ πρῶτα ἀποδεικνύει τὴ συμφωνία ἀπ' αὐτό. Θέλοντας νὰ δείξει ὅτι ὅπως στὴν Ἐκκλησία δὲν ὑπάρχει διάκριση ἀνάμεσα σὲ δοῦλο καὶ ἐλεύθερο, οὔτε σὲ ξένο καὶ σὲ πολίτη, οὔτε σὲ γέρο καὶ σὲ νέο, οὔτε σὲ σοφὸ καὶ σὲ ἄσοφο, οὔτε σὲ ἁπλὸ πολίτη καὶ σὲ ἄρχοντα, οὔτε σὲ γυναίκα καὶ σὲ ἄνδρα, ἀλλὰ κάθε ἡλικία καὶ κάθε ἄτομο καὶ κάθε φύλο μὲ τὸν ἴδιο τρόπο μπαίνουν σ' ἐκείνη τὴν κολυμβήθρα τοῦ νεροῦ καὶ ἀπολαμβάνουν τὴν ἴδια ἀπαλλαγὴ ἀπὸ τὰ ἁμαρτήματα, εἴτε εἶναι κάποιος βασιλιὰς εἴτε εἶναι φτωχὸς (καὶ αὐτὴ μάλιστα εἶναι ἡ πιὸ μεγάλη ἀπόδειξη τῆς εὐγενικῆς μας καταγωγῆς, ὅτι δηλαδὴ μὲ τὸν ἴδιο τρόπο ὁδηγοῦμε στὰ μυστήρια καὶ τὸ φτωχὸ καὶ τὸ βασιλιὰ καὶ δὲν ἔχει αὐτὸς τίποτε περισσότερο ἀπὸ ἐκεῖνον κατὰ τὴ συμμετοχή τους στὰ μυστήρια), ἔτσι καὶ στὴν Παλαιὰ Διαθήκη ἀνέφερε συνέχεια τὸ «ὅλοι». Γιατὶ δὲν μπορεῖς νὰ πεῖς ὅτι ὁ Μωϋσῆς πέρασε ἀπὸ τὴν ξηρὰ ἐνῶ οἱ Ἰουδαῖοι μέσα ἀπὸ τὴ θάλασσα, οὔτε ὅτι οἱ πλούσιοι ἀπὸ ἄλλο δρόμο καὶ οἱ φτωχότεροι ἀπὸ ἄλλο, οὔτε ὅτι οἱ γυναῖκες ἦταν κάτω ἀπὸ τὸν ἀέρα καὶ οἱ ἄνδρες κάτω ἀπὸ τὴ νεφέλη, ἀλλὰ καὶ μέσα ἀπὸ τὴ θάλασσα πέρασαν ὅλοι, καὶ κάτω ἀπὸ τὴ νεφέλη ἦταν ὅλοι, καὶ στὸ Μωϋσῆ βαπτίσθηκαν ὅλοι. Ἐπειδὴ λοιπὸν ἡ διάβαση ἐκείνη ἦταν τύπος τοῦ μελλοντικοῦ βαπτίσματος, ἔπρεπε πρῶτα ἀπ' ὅλα νὰ διατυπωθεῖ αὐτό, τὸ ὅτι δηλαδὴ ὅλοι ἀπόλαυσαν τὰ ἴδια, ὅπως ἀκριβῶς καὶ ἐδῶ ὅλοι μετέχουν ἐξίσου στὰ ἴδια. Καὶ πῶς μπορεῖ, λέγει, νὰ εἶναι αὐτὸ τύπος τῶν παρόντων; Ἂν μάθεις πρῶτα τί εἶναι τύπος καὶ τί εἶναι ἀλήθεια, τότε θὰ σοῦ ἐξηγήσω καὶ αὐτό.

4. Τί λοιπὸν σημαίνει σκιὰ καὶ τί ἀλήθεια; Ἐμπρὸς ἂς φέρουμε τὸ λόγο στὶς εἰκόνες ποὺ ζωγραφίζουν οἱ ζωγράφοι. Εἶδες πολλὲς φορὲς μιὰ βασιλικὴ εἰκόνα βαμμένη μὲ γαλάζιο

τὸν ζωγράφον λευκὰς περιάγοντα γραμμὰς καὶ ποιοῦντα βασιλέα καὶ θρόνον βασιλικὸν καὶ ἵππους παρεστῶτας καὶ δορυφόρους καὶ πολεμίους δεδεμένους καὶ ὑποκειμένους. Ἀλλ' ὅμως ὁρῶν ταῦτα σκιαγραφούμενα, οὔτε οἶδας τὸ πᾶν οὔτε ἀγνοεῖς τὸ πᾶν, ἀλλ' ὅτι μὲν ἄνθρωπος γράφετεαι καὶ ἵππος ἀμυδρῶς ἐπίστασαι, ποῖος δέ ἐστιν ὁ βασιλεὺς καὶ ποῖος ὁ πολέμιος οὐ σφόδρα ἀκριβῶς οἶδας, ἕως ἂν ἐλθοῦσα τῶν χρωμάτων ἡ ἀλήθεια τρανώσῃ τὴν ὄψιν καὶ σαφεστέραν ποιήσῃ. Ὥσπερ οὖν ἐπὶ τῆς εἰκόνος ἐκείνης οὐκ ἀπαιτεῖς τὸ πᾶν πρὸ τῆς τῶν χρωμάτων ἀληθείας, ἀλλὰ κἂν ἀμυδράν τινα λάβῃς γνῶσιν τῶν γινομένων, ἱκανῶς τὴν σκιαγραφίαν ἀπηρτίσθαι νομίζεις, οὕτω μοι καὶ ἐπὶ τῆς Παλαιᾶς καὶ ἐπὶ τῆς Καινῆς λογίζου, καὶ μή με πᾶσαν ἀπαιτήσῃς τῆς ἀληθείας τὴν ἀκρίβειαν ἐπὶ τοῦ τύπου· καὶ δυνησόμεθά σε διδάξαι, πῶς εἶχέ τινα συγγένειαν ἡ Παλαιὰ πρὸς τὴν Καινήν, καὶ ἡ διάβασις ἐκείνη πρὸς τὸ ἡμέτερον βάπτισμα. Κἀκεῖ ὕδωρ, κἀνταῦθα ὕδωρ· κολυμβήθρα ἐνταῦθα, καὶ ἐκεῖ πέλαγος· πάντες ἐνταῦθα εἰς τὰ ὕδατα ἐμβαίνουσι, κἀκεῖ πάντες· κατὰ τοῦτο ἡ συγγένεια.

Λοιπὸν βούλει μαθεῖν τῶν χρωμάτων τὴν ἀλήθειαν; Ἐκεῖ μὲν Αἰγύπτου διὰ τῆς θαλάσσης ἀπηλλάττοντο, ἐνταῦθα δὲ εἰδωλολατρίας· κἀκεῖ μὲν ὁ Φαραὼ κατεποντίζετο, ἐνταῦθα δὲ ὁ διάβολος· ἐκεῖ Αἰγύπτιοι ἀπεπνίγοντο, ἐνταῦθα δὲ ὁ παλαιὸς ἄνθρωπος τῶν ἁμαρτημάτων κατορύττεται. Καὶ ἴδε συγγένειαν τύπου πρὸς ἀλήθειαν, καὶ ἀληθείας ὑπεροχὴν πρὸς τύπον. Οὔτε γὰρ ἀπηλλοτριῶσθαι πάντῃ χρὴ τὸν τύπον τῆς ἀληθείας· ἐπεὶ οὐκ ἂν εἴη τύπος· οὔτε πάλιν ἐξισάζειν πρὸς τὴν ἀλήθειαν, ἐπεὶ πάλιν καὶ αὐτὸς ἀλήθεια ἔσται· ἀλλὰ δεῖ μένειν ἐπὶ τῆς οἰκείας συμμετρίας καὶ μήτε τὸ πᾶν ἔχειν τῆς ἀληθείας μήτε τοῦ παντὸς ἐκπεπτωκέναι. Ἂν μὲν γὰρ τὸ πᾶν ἔχῃ, ἀλήθεια πάλιν ἐστὶ καὶ αὐτός, ἂν δὲ τοῦ παντὸς ἐκπέσῃ, τύπος εἶναι λοιπὸν οὐ δύναται·

χρῶμα, ἔπειτα τὸ ζωγράφο νὰ τραβάει λευκὲς γραμμὲς καὶ νὰ κάνει τὸ βασιλιά, τὸ βασιλικὸ θρόνο, καθὼς καὶ ἄλογα νὰ παραστέκουν καὶ σωματοφύλακες καὶ ἐχθροὺς δεμένους καὶ βρισκόμενους ἀπὸ κάτω. Ὅταν ὅμως βλέπεις νὰ σχεδιάζονται αὐτὰ οὔτε γνωρίζεις τὸ σύνολο αὐτῶν οὔτε τὸ ἀγνοεῖς, ἀλλὰ ξέρεις ἀμυδρὰ ὅτι ζωγραφίζεται ἄνθρωπος καὶ ἄλογο, δὲ γνωρίζεις ὅμως πολὺ καλὰ ποιός εἶναι ὁ βασιλιὰς καὶ ποιός ὁ ἐχθρός, μέχρι ποὺ νὰ ἔρθει ἡ ἀλήθεια τῶν χρημάτων καὶ νὰ ἀποδείξει τὸ πρόσωπο καὶ νὰ τὸ κάνει ὁλοφάνερο. Ὅπως λοιπὸν στὴν εἰκόνα ἐκείνη δὲ ζητᾶς νὰ γνωρίσεις τὸ σύνολο πρὶν ἀπὸ τὴν ἀλήθεια τῶν χρωμάτων, ἀλλὰ καὶ ἂν ἀκόμη λάβεις κάποια ἀμυδρὴ γνώση αὐτῶν ποὺ γίνονται, νομίζεις πὼς ὁλοκληρώθηκε ἀρκετὰ τὸ σχεδίασμα, ἔτσι σὲ παρακαλῶ νὰ σκέπτεσαι καὶ γιὰ τὴν Παλαιὰ καὶ γιὰ τὴν Καινὴ Διαθήκη καὶ νὰ μὴ ζητᾶς ὅλη τὴν ἀκρίβεια τῆς ἀλήθειας στὸν τύπο, καὶ τότε θὰ μπορέσω νὰ σὲ διδάξω πῶς ἔχει κάποια συγγένεια ἡ Παλαιὰ μὲ τὴν Καινὴ Διαθήκη καὶ ἡ διάβαση ἐκείνη μὲ τὸ δικό μας βάπτισμα. Καὶ ἐκεῖ νερό, καὶ ἐδῶ νερό· κολυμβήθρα ἐδῶ, καὶ ἐκεῖ πέλαγος· ὅλοι ἐδῶ μπαίνουν στὸ νερό, καὶ ἐκεῖ ὅλοι μπῆκαν· ὡς πρὸς αὐτὸ ὑπάρχει ἡ συγγένεια.

Θέλεις τώρα νὰ μάθεις καὶ τὴν ἀλήθεια τῶν χρωμάτων; Ἐκεῖ ἀπαλλάσονταν ἀπὸ τὴν Αἴγυπτο μέσα ἀπὸ τὴ θάλασσα, ἐνῶ ἐδῶ ἀπὸ τὴ εἰδωλολατρία· καὶ ἐκεῖ βυθιζόταν ὁ Φαραώ, ἐνῶ ἐδῶ ὁ διάβολος· ἐκεῖ πνίγονταν ὁ Αἰγύπτιοι, ἐνῶ ἐδῶ καταποντίζεται ὁ παλαιὸς ἄνθρωπος τῶν ἁμαρτημάτων. Καὶ πρόσεξε τὴ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθεια καὶ τὴν ὑπεροχὴ τῆς ἀλήθειας ἔναντι τοῦ τύπου. Γιατὶ δὲν πρέπει ν' ἀποξενωθεῖ ὁλοκληρωτικὰ ὁ τύπος ἀπὸ τὴν ἀλήθεια, γιατὶ ἀλλιῶς δὲ θὰ ἦταν τύπος· οὔτε πάλι πρέπει νὰ ἐξισώνεται μὲ τὴν ἀλήθεια, ἐπειδὴ ἔτσι πάλι καὶ αὐτὸς θὰ εἶναι ἀλήθεια, ἀλλὰ πρέπει νὰ μένει στὸ δικό του μέτρο, καὶ οὔτε νὰ ἔχει ὁλόληρη τὴν ἀλήθεια οὔτε νὰ τὴ στερεῖται ὅλη. Γιατὶ ἂν τὴν ἔχει ὁλόκληρη, θὰ εἶναι πάλι καὶ αὐτὸς ἀλήθεια, ἂν ὅμως τὴ στερηθεῖ ὅλη, δὲν μπορεῖ πιὰ νὰ εἶναι τύπος· πρέπει τὸ ἕνα μέρος νὰ ἔχει καὶ τὸ

ἀλλὰ δεῖ τὸ μὲν ἔχειν, τὸ δὲ τῇ ἀληθείᾳ τηρεῖν. Μὴ τοίνυν τὸ πᾶν με ἀπαιτήσῃς ἐπὶ τῆς Παλαιᾶς, ἀλλ' εἰ κἂν μικρά τινα καὶ ἀμυδρὰ λάβῃς αἰνίγματα, ἀγαπητὸν εἶναι νόμιζε τοῦτο. Ποῦ οὖν ἐστιν ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθειαν; Ὅτι πάντες ἐκεῖ, καὶ ἐνταῦθα πάντες· ὅτι δι' ὕδατος ἐκεῖ, καὶ ἐνταῦθα δι' ὕδατος· ὅτι δουλείας ἀπηλλάγησαν ἐκεῖνοι, καὶ ἡμεῖς δουλείας, ἀλλ' οὐ τῆς αὐτῆς· ἀλλ' οἱ μὲν τῆς Αἰγυπτίων, ἡμεῖς δὲ τῆς τῶν δαιμόνων· ἐκεῖνοι τῆς τῶν βαρβάρων, ἡμεῖς τῆς κατὰ τὴν ἁμαρτίαν. Πρὸς ἐλευθερίαν ἀνήχθησαν ἐκεῖνοι, καὶ ἡμεῖς, ἀλλ' οὐ πρὸς τὴν αὐτήν, ἀλλὰ πρὸς πολλῷ λαμπροτέραν ἡμεῖς. Εἰ δὲ μείζω τὰ ἡμέτερα καὶ ὑπερέχοντα ἐκείνων, μὴ θορυβοῦ. Τοῦτο γὰρ μάλιστά ἐστιν ἀληθείας, τὸ πολλὴν ἔχειν πρὸς τὸν τύπον τὴν ὑπεροχήν, οὐκ ἐναντίωσιν οὐδὲ μάχην.

Τί δέ ἐστι, «πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο»; Καὶ τάχα ἀσαφὲς τὸ λεγόμενον· οὐκοῦν σαφέστερον αὐτὸ ποιῆσαι πειράσομαι. Θάλασσα ἦν πρὸ τῶν ὀφθαλμῶν κεχυμένη τῶν ἐκείνων τότε, καὶ ἐκελεύοντο διαβαίνειν ξένην τινὰ καὶ παράδοξον ὁδόν, ἣν οὐδεὶς οὐδέποτε ἀνθρώπων διέβη. Ὤκνουν καὶ ἀνεδύοντο καὶ ἐδυσχέραινον. Διέβη πρῶτος Μωϋσῆς καὶ πᾶσι μετ' εὐκολίας ἔδωκεν ἀκολουθῆσαι λοιπόν. Τοῦτό ἐστιν, «εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο»· ἐκείνῳ πιστεύσαντες, οὕτως ἐθάρρησαν ἐπιβῆναι τῶν ὑδάτων, ἡγεμόνα τῆς ὁδοιπορίας λαβόντες. Τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν· ἐξαγαγὼν γὰρ ἡμᾶς τῆς πλάνης καὶ τῆς εἰδωλολατρίας ἀπαλλάξας καὶ πρὸς τὴν βασιλείαν χειραγωγῶν, αὐτὸς πρῶτος ταύτης ἡμῖν ἦρξε τῆς ὁδοῦ, πρῶτος εἰς τοὺς οὐρανοὺς ἀναβάς. Ὥσπερ οὖν ἐκεῖνοι Μωϋσῇ θαρρήσαντες κατετόλμησαν τῆς ὁδοιπορίας, οὕτως ἡμεῖς Χριστῷ θαρρήσαντες κατατολμῶμεν τῆς ἀποδημίας ταύτης. Καὶ ὅτι τοῦτό ἐστι τό, «εἰς Μωϋσῆν ἐβαπτίσαντο», δῆλον ἐκ τῆς ἱστορίας. Οὐ γὰρ εἰς τὸ ὄνομα Μωϋσέως ἐβαπτίσαντο. Εἰ

ἄλλο νὰ τὸ φυλάσσει γιὰ τὴν ἀλήθεια. Μὴ λοιπὸν μοῦ ζητήσεις ὅλη τὴν ἀλήθεια στὴν Παλαιά, ἀλλὰ καὶ ἂν ἀκόμη λάβεις κάποιους μικροὺς καὶ ἀσαφεῖς ὑπαινιγμοὺς νὰ τὸ θεωρεῖς αὐτὸ ἱκανοποιητικό. Ποῦ λοιπὸν εἶναι ἡ συγγένεια τοῦ τύπου πρὸς τὴν ἀλήθεια; Ὅτι ἐκεῖ ἦταν ὅλοι, καὶ ἐδῶ ὅλοι· ὅτι ἐκεῖ πέρασαν μέσα ἀπὸ τὸ νερό, καὶ ἐδῶ μπαίνουν μέσα στὸ νερό· ὅτι ἀπαλλάχθηκαν ἀπὸ δουλεία ἐκεῖνοι, καὶ ἐμεῖς ἀπαλλασσόμαστε ἀπὸ δουλεία, ἀλλ' ὄχι ἀπὸ τὴν ἴδια· ἐκεῖνοι ἀπὸ τῶν Αἰγυπτίων τὴ δουλεία, ἐνῶ ἐμεῖς ἀπὸ τῶν δαιμόνων τὴ δουλεία. Ἐκεῖνοι ἀπὸ τὴ δουλεία τῶν βαρβάρων, ἐνῶ ἐμεῖς ἀπὸ τὴ δουλεία τῆς ἁμαρτίας. Πρὸς τὴν ἐλευθερία βάδισαν ἐκεῖνοι, ὅπως καὶ ἐμεῖς βαδίζουμε, ὄχι ὅμως πρὸς τὴν ἴδια ἀλλὰ σὲ πολὺ λαμπρότερη ἐμεῖς. Ἂν ὅμως τὰ δικά μας εἶναι μεγαλύτερα καὶ ἀνώτερα ἀπὸ τὰ δικά τους, μὴν ἀνησυχεῖς. Γιατὶ αὐτὸ κυρίως εἶναι τὸ γνώρισμα τῆς ἀλήθειας, τὸ νὰ ἔχει δηλαδὴ μεγάλη ὑπεροχὴ ἔναντι τοῦ τύπου, ὄχι ὅμως ἀντίθεση οὔτε σύγκρουση.

Ἀλλὰ τί σημαίνει τὸ «ὅλοι στὸ Μωϋσῆ βαπτίσθηκαν»; Ἴσως εἶναι ἀσαφὲς τὸ λεγόμενο· θὰ προσπαθήσω λοιπὸν νὰ τὸ κάνω σαφέστερο. Θάλασσα ἦταν ἁπλωμένη μποστὰ στὰ μάτια τους τότε, καὶ εἶχαν ἐντολὴ νὰ περάσουν κάποιον ἄγνωστο καὶ παράδοξο δρόμο, ποὺ ποτὲ δὲν πέρασε κανεὶς ἀπὸ τοὺς ἀνθρώπους. Δίσταζαν καὶ ὑποχώρουσαν καὶ δυσανασχετοῦσαν. Πέρασε πρῶτος ὁ Μωϋσῆς καὶ ἔκανε ὥστε νὰ τὸν ἀκολουθήσουν στὴ συνέχεια ὅλοι μὲ εὐκολία. Αὐτὸ σημαίνει τὸ «βαπτίσθηκαν στὸ Μωϋσῆ». Ἀφοῦ πίστεψαν σ' ἐκεῖνον τότε πῆραν θάρρος νὰ περάσουν πάνω ἀπὸ τὸ νερό, ἔχοντας αὐτὸν ἀρχηγὸ τῆς πορείας. Αὐτὸ ἔγινε καὶ μὲ τὸ Χριστό· γιατί, ἀφοῦ μᾶς ἔβγαλε ἀπὸ τὴν πλάνη καὶ μᾶς ἀπάλλαξε ἀπὸ τὴν εἰδωλολατρία καὶ μᾶς ὁδήγησε πρὸς τὴ βασιλεία τῶν οὐρανῶν, αὐτὸς πρῶτος μᾶς ἄνοιξε τὸ δρόμο αὐτὸν ἀνεβαίνοντας πρῶτος στοὺς οὐρανούς. Ὅπως λοιπὸν ἐκεῖνοι ἔχοντας ἐμπιστοσύνη στὸ Μωϋσῆ τόλμησαν ἐκείνη τὴν ὁδοιπορία, ἔτσι καὶ ἐμεῖς ἔχοντας ἐμπιστοσύνη στὸ Χριστὸ τολμοῦμε αὐτὸ τὸ ταξίδι. Καὶ ὅτι αὐτὸ σημαίνει τὸ «βαπτίσθηκαν στὸ Μωϋσῆ», φαίνεται ἀπὸ τὴν ἱστορία. Γιατὶ

δὲ ἡμεῖς οὐ μόνον ἀρχηγὸν τὸν Ἰησοῦν ἔχομεν, ἀλλὰ καὶ εἰς τὸ ὄνομα αὐτοῦ βαπτιζόμεθα, ἐκείνων μὴ βαπτισθέντων εἰς τὸ ὄνομα Μωϋσέως, μηδὲ ἐνταῦθα ταράττου· εἶπον γάρ, ὅτι δεῖ τὴν ἀλήθειαν ἔχειν τινὰ ὑπεροχὴν πολλὴν καὶ ἄφατον.

Εἶδες ἐπὶ τοῦ βαπτίσματος τίς μὲν ὁ τύπος, τίς δὲ ἡ ἀλήθεια; Φέρε σοι δείξω καὶ τὴν τράπεζαν καὶ τὴν τῶν μυστηρίων κοινωνίαν ἐκεῖ σκιαγραφουμένην, ἂν μὴ τὸ πᾶν ἀπαιτῇς με πάλιν, ἀλλ' οὕτως ἐξετάσῃς τὰ γενόμενα, ὡς εἰκὸς ἐν σκιαγραφίᾳ καὶ τύποις ἰδεῖν. Ἐπειδὴ γὰρ εἶπε περὶ τῆς θαλάσσης καὶ τῆς νεφέλης καὶ τοῦ Μωϋσέως, ἐπήγαγε πάλιν· «καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον». Ὥσπερ σύ, φησίν, ἀπὸ τῆς κολυμβήθρας τῶν ὑδάτων ἀναβαίνων, ἐπὶ τὴν τράπεζαν τρέχεις, οὕτω κἀκεῖνοι ἀπὸ τῆς θαλάττης ἀναβάντες, ἐπὶ τράπεζαν ἦλθον καινὴν καὶ παραδόξον, τὸ μάννα λέγω. Καὶ πάλιν ὥσπερ σὺ παράδοξον ἔχεις πότον, τὸ αἷμα τὸ σωτήριον, οὕτω κἀκεῖνοι παράδοξον ἔσχον τοῦ πόματος τὴν φύσιν, οὐ πηγὰς εὑρόντες, οὐδὲ ποταμοὺς ῥέοντας, ἀλλ' ἀπὸ πέτρας σκληρᾶς καὶ ἀνύδρου πολλὴν δεξάμενοι ναμάτων δαψίλειαν. Διὰ τοῦτο αὐτὸ καὶ πνευματικὸν ἐκάλεσεν, οὐκ ἐπειδὴ τῇ φύσει τοιοῦτον ἦν, ἀλλὰ ἐπειδὴ τῷ τρόπῳ τῆς χορηγίας τοιοῦτον ἐγένετο. Οὐ γὰρ κατὰ φύσεως ἀκολουθίαν αὐτοῖς ἐδίδοτο, ἀλλὰ κατὰ τὴν ἐνέργειαν τοῦ στρατηγοῦντος αὐτῶν Θεοῦ. Ὅπερ οὖν καὶ αὐτὸ διορθούμενος ἔλεγεν. Ἐπειδὴ γὰρ εἶπε, «καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον», ὕδωρ δὲ ἦν τὸ πινόμενον, βουλόμενος δεῖξαι, ὅτι διὰ τοῦτο «πνευματικὸν» εἶπεν, οὐ διὰ τὴν φύσιν τοῦ ὕδατος, ἀλλὰ διὰ τὸν τῆς χορηγίας τρόπον, ἐπήγαγεν· «ἔπινον γὰρ ἐκ τῆς πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός». Οὐχὶ ἡ φύσις τοῦ λίθου, φησίν, ἀλλ' ἡ δύναμις τοῦ ἐνεργοῦντος Θεοῦ τὰς πηγὰς ἐκείνας ἠφίει.

5. Ἐνταῦθα καὶ τὴν Παύλου τοῦ Σαμοσατέως αἵρεσιν ἀνέσπασε πρόρριζον. Εἰ γὰρ ὁ Χριστὸς ἦν ὁ πάντα ἐνεργῶν ἐκεῖνα,

6. Ἐννοεῖται τῆς θείας κοινωνίας.

7. Παῦλος ὁ Σαμοσατεύς· αἱρετικὸς τοῦ 3ου αἰ., ἐπίσκοπος Ἀντιοχείας, υἱοθετιστὴς μοναρχιανός. Ἀρνοῦνταν τὸ δόγμα τῆς ἁγίας Τριάδος καὶ τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ.

δὲ βαπτίσθηκαν στὸ ὄνομα τοῦ Μωϋσῆ. Ἂν ὅμως ἐμεῖς δὲν ἔχουμε μόνο ἀρχηγὸ τὸν Ἰησοῦ ἀλλὰ βαπτιζόμαστε καὶ στὸ ὄνομά του, ἐνῶ ἐκεῖνοι δὲ βαπτίσθηκαν στὸ ὄνομα τοῦ Μωϋσῆ, οὔτε γι' αὐτὸ νὰ ταράζεσαι. Γιατὶ εἶπα ὅτι ἡ ἀλήθεια πρέπει νὰ ἔχει κάποια μεγάλη καὶ ἀπερίγραπτη ὑπεροχή.

Εἶδες στὸ βάπτισμα ποιός εἶναι ὁ τύπος καὶ ποιά εἶναι ἡ ἀλήθεια; Ἐμπρὸς νὰ σοῦ δείξω καὶ τὸ τραπέζι καὶ τὴ συμμετοχὴ στὰ μυστήρια ποὺ σκιαγραφοῦνται ἐκεῖ, ἂν δὲ ζητᾶς πάλι ἀπὸ μένα ὅλη τὴν ἀλήθεια, ἀλλὰ ἐξετάζεις ἔτσι τὰ πράγματα, ὅπως εἶναι φυσικὸ νὰ τὰ δεῖς σὲ σκιαγραφία καὶ σὲ τύπους. Ἀφοῦ λοιπὸν εἶπε γιὰ τὴ θάλασσα καὶ τὴ νεφέλη καὶ τὸ Μωϋσῆ, πρόσθεσε πάλι· «καὶ ὅλοι ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφή». Ὅπως ἀκριβῶς ἐσύ, λέγει, ὅταν βγαίνεις ἀπὸ τὸ νερὸ τῆς κολυμβήθρας τρέχεις στὸ τραπέζι[6], ἔτσι καὶ ἐκεῖνοι ὅταν βγῆκαν ἀπὸ τὴ θάλασσα βρέθηκαν σὲ τραπέζι καινούριο καὶ παράδοξο, ἐννοῶ τὸ μάννα. Καὶ ὅπως ἀκριβῶς πάλι ἐσὺ ἔχεις παράδοξο ποτό, τὸ αἷμα τοῦ Σωτήρα, ἔτσι καὶ ἐκεῖνοι βρῆκαν μὲ παράδοξο τρόπο νερό, ἀφοῦ δὲ βρῆκαν πηγὲς οὔτε ποταμοὺς νὰ τρέχουν, ἀλλὰ δέχθηκαν ἄφθονο νερὸ ἀπὸ μιὰ σκληρὴ καὶ ἄνυδρη πέτρα. Γι' αὐτὸ καὶ τὸ ὀνόμασε αὐτὸ πνευματικό, ὄχι γιατὶ ἦταν τέτοιο κατὰ τὴ φύση του, ἀλλὰ γιατὶ ἔγινε τέτοιο μὲ τὸν τρόπο τῆς χορηγίας του. Γιατὶ δὲ δινόταν σ' αὐτοὺς σύμφωνα μὲ τοὺς νόμους τῆς φύσης, ἀλλὰ μὲ τὴν ἐνέργεια τοῦ Θεοῦ ποὺ ἦταν ὁ ἀρχηγός τους. Αὐτὸ ἀκριβῶς ἐξηγώντας ἔλεγε. Γιατὶ ἀφοῦ εἶπε, «καὶ ὅλοι ἤπιαν τὸ ἴδιο πνευματικὸ ποτό», καὶ ἦταν νερὸ αὐτὸ ποὺ ἔπιναν, θέλοντας νὰ δείξει πὼς γι' αὐτὸ τὸ ὀνόμασε πνευματικό, ὄχι λόγω τῆς φύσης τοῦ νεροῦ, ἀλλ' ἐξαιτίας τοῦ τρόπου τῆς χορηγίας του, πρόσθεσε· «γιατὶ ἔπιναν ἀπὸ τὴν πνευματικὴ πέτρα ποὺ τοὺς ἀκολουθοῦσε, καὶ ἡ πέτρα αὐτὴ ἦταν ὁ Χριστός». Ὄχι ἡ φύση τῆς πέτρας, λέγει, ἀλλὰ ἡ δύναμη τῆς ἐνέργειας τοῦ Θεοῦ ἀνάβλυζε τὶς πηγὲς ἐκεῖνες.

5. Ἐδῶ ἔβγαλε σύρριζα καὶ τὴν αἵρεση τοῦ Παύλου τοῦ Σαμοσατέα[7]. Γιατί, ἂν ὁ Χριστὸς ἦταν αὐτὸς ποὺ ἐνεργοῦσε ὅλα ἐκεῖνα, πῶς λέγουν ὅτι αὐτὸς ὑπάρχει ἀπὸ τότε ποὺ τὸν γέννησε

πῶς αὐτὸν ἐκ τότε εἶναι λέγουσιν, ἐξ οὗ Μαρία αὐτὸν ἔτεκεν; Ὅταν γὰρ πρὸ μὲν τῆς Μαρίας τὰ κατὰ τὴν ἔρημον φαίνεται συμβάντα, ἐκεῖνα δὲ πάντα ὁ Χριστὸς ἦν πεποιηκὼς κατὰ τὴν τοῦ Παύλου φωνήν, ἀνάγκη καὶ πρὸ τοῦ τόκου τούτου καὶ πρὸ τῶν ὠδίνων αὐτὸν εἶναι τούτων· οὐ γὰρ δήπου ὁ μὴ ὢν ἐνεργεῖν ἔμελλεν οὕτω θαυμαστὰ καὶ παράδοξα πράγματα. Ὥσπερ δὲ εἰπών, ὅτι πάντες διὰ τῆς θαλάσσης διῆλθον, τὴν εὐγένειαν τῆς Ἐκκλησίας ἐδήλωσεν ἄνωθεν προδιατυπουμένην, οὕτως εἰπών, «τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον», τὸ αὐτὸ τοῦτο πάλιν ᾐνίξατο. Καθάπερ γὰρ ἐν τῇ Ἐκκλησίᾳ οὐχ ἑτέρου μὲν σώματος ὁ πλούσιος, ἑτέρου δὲ ὁ πένης, οὐδὲ ἑτέρου μὲν οὗτος αἵματος, ἑτέρου δὲ ἐκεῖνος, οὕτω καὶ τότε, οὐχ ἕτερον μὲν ὁ πλούσιος ἐλάμβανε μάννα, ἕτερον δὲ ὁ πένης· οὐδὲ ἑτέρας μὲν ἐκεῖνος μετέσχε πηγῆς, ἑτέρας δὲ οὗτος καταδεεστέρας· ἀλλὰ ὥσπερ νῦν ἡ αὐτὴ τράπεζα, τὸ αὐτὸ ποτήριον, ἡ αὐτὴ τροφὴ ἅπασι πρόκειται τοῖς ἐνταῦθα εἰσιοῦσιν, οὕτω καὶ τότε τὸ αὐτὸ μάννα, ἡ αὐτὴ πηγὴ ἅπασι προὔκειτο.

Καὶ τὸ δὴ θαυματὸν καὶ παράδοξον, ἐπεχείρησάν ποτέ τινες κατὰ τὸν καιρὸν ἐκεῖνον πλέον συλλέξαι τοῦ δέοντος καὶ οὐδὲν ἀπώναντο τῆς πλεονεξίας. Ἀλλ' ἕως μὲν τὴν ἰσότητα ἐτίμων, ἔμενε τὸ μάννα μάννα ὄν, ἐπειδὴ δὲ πλεονεκτεῖν ἐπεθύμησαν, ἡ πλεονεξία τὸ μάννα σκώληκα ἐποίησε· καίτοι γε οὐ μετὰ τῆς τῶν ἄλλων ζημίας τοῦτο ἐποίουν· οὐ γὰρ δὴ ἐκ τῆς τοῦ πλησίον ἁρπάζοντες τροφῆς, οὕτως αὐτοὶ πλέον συνέλεγον, ἀλλ' ὅμως ἐπειδὴ τοῦ πλείονος ἐπεθύμησαν, κατεγνώσθησαν. Εἰ γὰρ καὶ μηδὲν τὸν πλησίον ἠδίκουν, ἀλλ' ἑαυτοὺς τὰ μέγιστα κατέβλαπτον, πρὸς πλεονεξίαν τῷ τρόπῳ τῆς συλλογῆς ταύτης συνεθιζόμενοι. Ὥστε ὁμοῦ τὸ αὐτὸ καὶ τροφὴ ἦν καὶ θεογνωσίας διδασκαλία· ὁμοῦ καὶ τὰ σώματα ἔτρεφε καὶ τὴν ψυχὴν ἐπαίδευεν· οὐκ ἔτρεφε δὲ μόνον, ἀλλὰ καὶ πόνων ἀπήλαττεν. Οὐ γὰρ ἔδει ζεῦξαι βοῦς, οὔτε ἄροτρον ἑλκύσαι, οὐδὲ ἀνατεμεῖν αὔλα-

ἡ Μαρία; Γιατὶ ὅταν φαίνεται ὅτι πρὶν ἀπὸ τὴ Μαρία συνέβηκαν τὰ γεγονότα στὴν ἔρημο, καὶ ὅλα αὐτὰ τὰ εἶχε κάνει ὁ Χριστὸς σύμφωνα μὲ τὸ λόγο τοῦ Παύλου, εἶναι ἀνάγκη νὰ ὑπῆρχε καὶ πρὶν ἀπ' αὐτὴ τὴ γέννηση καὶ πρὶν ἀπὸ τοὺς πόνους τοῦ τοκετοῦ. Γιατὶ ἀσφαλῶς δὲν ἦταν δυνατὸ ἐκεῖνος ποὺ δὲν ὑπῆρχε νὰ κάνει τόσο θαυμαστὰ καὶ παράδοξα πράγματα. Καὶ ὅπως ὅταν εἶπε ὅτι ὅλοι πέρασαν μέσα ἀπὸ τὴ θάλασσα, φανέρωσε τὴν εὐγενικὴ καταγωγὴ τῆς Ἐκκλησίας ποὺ ἦταν προσχεδιασμένη ἀπὸ τὸ Θεό, ἔτσι λέγοντας, «ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφή», τὸ ἴδιο πάλι ὑπαινίχθηκε. Ὅπως δηλαδὴ στὴν Ἐκκλησία δὲν κοινωνεῖ ἀπὸ ἄλλο σῶμα ὁ πλούσιος καὶ ἀπὸ ἄλλο ὁ φτωχός, οὔτε ἀπὸ ἄλλο αἷμα αὐτὸς καὶ ἀπὸ ἄλλο ἐκεῖνος, ἔτσι καὶ τότε δὲν ἔπαιρνε ἄλλο μάννα ὁ πλούσιος καὶ ἄλλο ὁ φτωχός, οὔτε ἀπὸ ἄλλη πηγὴ ἔπινε ἐκεῖνος καὶ ἀπὸ ἄλλη κατώτερη αὐτός· ἀλλ' ὅπως τώρα τὸ ἴδιο τραπέζι, τὸ ἴδιο ποτήρι, ἡ ἴδια τροφὴ προσφέρεται σὲ ὅλους ποὺ μπαίνουν ἐδῶ, ἔτσι καὶ τότε τὸ ἴδιο μάννα, ἡ ἴδια πηγὴ προσφερόταν σὲ ὅλους.

Ἀλλὰ τὸ πιὸ θαυμαστὸ καὶ παράδοξο εἶναι ὅτι ἐπιχείρησαν κάποτε μερικοὶ ἐκεῖνον τὸν καιρὸ νὰ μαζέψουν περισσότερο ἀπ' ὅσο ἔπρεπε καὶ δὲν ὠφελήθηκαν καθόλου ἀπὸ τὴν πλεονεξία τους. Ἀλλ' ὅσο τιμοῦσαν τὴν ἰσότητα, τὸ μάννα ἐξακολουθοῦσε νὰ ὑπάρχει, ὅταν ὅμως ἐπιθύμησαν ν' ἀποκτήσουν περισσότερο, ἡ πλεονεξία ἔκανε σκουλήκι τὸ μάννα. Ἂν καὶ βέβαια δὲν τὸ ἔκαναν αὐτὸ ζημιώνοντας τοὺς ἄλλους, γιατὶ δὲ μάζευαν αὐτοὶ ἁρπάζοντας ἀπὸ τὴν τροφὴ τοῦ πλησίον τους, ἀλλ' ὅμως καταδικάσθηκαν ἐπειδὴ ἐπιθύμησαν τὸ περισσότερο. Γιατὶ ἂν καὶ δὲν ἀδικοῦσαν καθόλου τὸν πλησίον, ἔβλαπταν ὅμως πάρα πολὺ τὸν ἑαυτό τους, συνηθίζοντας μὲ τὸν τρόπο αὐτῆς τῆς συλλογῆς στὴν πλεονεξία. Ὥστε τὸ ἴδιο ἦταν μαζὶ καὶ τροφὴ καὶ διδασκαλία θεογνωσίας· συγχρόνως καὶ τὰ σώματα ἔτρεφε καὶ τὴν ψυχὴ δίδασκε· καὶ δὲν τὰ ἔτρεφε μόνο, ἀλλὰ καὶ τὰ ἀπάλλασσε ἀπὸ τοὺς κόπους. Γιατὶ δὲ χρειαζόταν νὰ ζέψουν βόδια, οὔτε νὰ σύρουν ἄροτρο, οὔτε νὰ ἀνοίξουν αὐλάκια, οὔτε νὰ περιμένουν ἕνα χρόνο, ἀλλὰ εἶχαν προετοιμασμένο τὸ τραπέζι,

κας, οὐδὲ ἐνιαυτὸν ἀναμεῖναι, ἀλλ' ἐσχεδιασμένην εἶχον τὴν τράπεζαν, πρόσφατον καὶ νεαρὰν καὶ ἐφήμερον· καὶ τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διὰ τῶν ἔργων αὐτοὺς ἐπαίδευε, τὸ μὴ μεριμνᾶν εἰς τὴν αὔριον· οὐδὲ γὰρ ὄφελος ἀπὸ τῆς μερίμνης ταύτης ἐγένετο. Εἰ γάρ τις πλέον συνέλεξε, διεφθείρετο καὶ ἀπώλλυτο καὶ πλεονεξίας ἔλεγχος τὸ γινόμενον μόνον ἦν. Εἶτα, ἵνα μὴ κατὰ φύσεως ἀκολουθίαν εἶναι νομίζωσιν ἐκεῖνοι τὸν ὄμβρον, ἐν ἡμέρᾳ σαββάτου οὐδὲν τοιοῦτον ἐγίνετο, τοῦ Θεοῦ ταῦτα ἀμφότερα αὐτοὺς διδάσκοντος, ὅτι ἐν ταῖς προτέραις ἡμέραις αὐτὸς ἐνήργει τὸν θαυμαστὸν τοῦτον καὶ παράδοξον ὑετόν, καὶ ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην διὰ τοῦτο ἐπεῖχεν, ἵνα καὶ ἄκοντες παιδεύωνται τοῦ σαββάτου τὴν ἡμέραν ἀργεῖν.

Οὐκ ἐπὶ τῆς τροφῆς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἐνδυμάτων καὶ ἐπὶ τῶν ὑποδημάτων καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων, δι' αὐτῶν τῶν ἔργων ἦν ἰδεῖν τὰ τῶν ἀποστόλων παραγγέλματα ἐκτελούμενα. Οὐδὲ γὰρ οἰκίαν εἶχον, οὐ τράπεζαν, οὐ κλίνην, οὐχ ἱμάτιον δεύτερον, οὐχ ὑποδήματα, τοῦ Θεοῦ οὕτως οἰκονομήσαντος. Ὅρα πόση τῆς Παλαιᾶς πρὸς τὴν Καινὴν συγγένεια. Ὥσπερ γὰρ τοὺς ἀποστόλους ἐσχημάτιζεν ὁ Χριστὸς ὕστερον τῶν ἀναγκαίων ἕνεκεν, οὕτω πως κἀκείνοις ὁ τῆς πολιτείας ἐρρυθμίζετο τρόπος, καὶ ἡ κτίσις ἅπασα πρὸς τὴν ὑπηρεσίαν ἐκείνων παρεσκευάζετο. Καὶ τίνος ἕνεκεν ταῦτα ἐγένετο, φησί; Ἔμελλεν αὐτοὺς εἰς ἕνα συγκλείειν τῆς οἰκουμένης τόπον καὶ κελεύειν ἐκεῖ διηνεκῶς αὐτὸν θεραπεύειν, καὶ μήτε ναὸν μήτε βωμὸν ἀλλαχοῦ που τῆς οἰκουμένης ἱδρῦσθαι, ἀλλὰ καὶ ἀναθήματα καὶ θυσίας ἐκεῖ φέρειν καὶ ἑορτὰς ἐπιτελεῖν καὶ τὸν νόμον ἀναγινώσκειν καὶ πάντα τὰ ἄλλα τὰ τῆς ἁγιαστίας ἐκπληροῦν ἐκείνης.

Ἵν' οὖν μὴ τῷ διωρισμένῳ τῆς θεραπείας τρόπῳ καὶ τὴν πρόνοιαν αὐτοῦ συγκεκλεῖσθαι ἐκεῖ νομίζωσι καὶ μερικὸν αὐτὸν εἶναι Θεόν, προλαβὼν τὴν αὐτοῦ δύναμιν ἐπὶ τῆς ἀλλοτρίας

πρόσφατο καὶ νέο καὶ καθημερινό. Καὶ τὸ εὐαγγελικὸ ἐκεῖνο παράγγελμα τοὺς δίδασκε μὲ τὰ ἔργα τὸ νὰ μὴ μεριμνοῦν γιὰ τὸ αὔριο, γιατὶ ἀπὸ τὴ μέριμνα αὐτὴ δὲν προέκυψε καμιὰ ὠφέλεια. Γιατὶ ἂν κανεὶς μάζευε περισσότερο, αὐτὸ καταστρεφόταν καὶ χανόταν, καὶ τὸ πράγμα καταντοῦσε μόνο ἔλεγχος τῆς πλεονεξίας. Ἔπειτα γιὰ νὰ μὴ νομίζουν ἐκεῖνοι ὅτι ἡ βροχὴ τοῦ μάννα γινόταν σύμφωνα μὲ τοὺς νόμους τῆς φύσης, τὴν ἡμέρα τοῦ Σαββάτου δὲ γινόταν τίποτε τέτοιο, γιατὶ ὁ Θεὸς τοὺς δίδασκε καὶ τὰ δύο αὐτά, ὅτι δηλαδὴ τὶς προηγούμενες ἡμέρες αὐτὸς ἔστελνε τὴ θαυμαστὴ καὶ παράδοξη αὐτὴ βροχὴ καὶ ὅτι τὴν ἡμέρα ἐκείνη γι' αὐτὸ τὴν κρατοῦσε, γιὰ νὰ μαθαίνουν καὶ χωρὶς νὰ τὸ θέλουν νὰ μὴν ἐργάζονται τὴν ἡμέρα τοῦ Σαββάτου.

Καὶ ὄχι μόνο ὡς πρὸς τὴν τροφή, ἀλλὰ καὶ ὡς πρὸς τὴν ἐνδυμασία καὶ τὰ ὑποδήματα καὶ ὅλα τὰ ἄλλα μποροῦσε νὰ δεῖ κανεὶς νὰ ἐκτελοῦνται μὲ τὰ ἴδια αὐτὰ τὰ ἔργα τὰ παραγγέλματα τῶν ἀποστόλων. Γιατὶ οὔτε σπίτι εἶχαν, οὔτε τραπέζι, οὔτε κρεβάτι, οὔτε δεύτερο ἔνδυμα, οὔτε ὑποδήματα, ἀφοῦ ὁ Θεὸς τὰ ρύθμισε ἔτσι. Πρόσεχε πόση εἶναι ἡ συγγένεια τῆς Παλαιᾶς μὲ τὴν Καινὴ Διαθήκη. Ὅπως λοιπὸν ὁ Χριστὸς δίδασκε καὶ μάθαινε ἀργότερα τοὺς ἀποστόλους νὰ ἀρκοῦνται στὰ ἀπαραίτητα, ἔτσι κάπως ρυθμιζόταν καὶ σ' ἐκείνους ὁ τρόπος τῆς ζωῆς τους καὶ ὅλη ἡ κτίση προετοιμαζόταν γιὰ νὰ τοὺς ὑπηρετήσει. Καὶ γιὰ ποιό λόγο, λέγει, ἔγιναν αὐτά; Ἐπρόκειτο νὰ τοὺς συγκεντρώσει σ' ἕνα τόπο τῆς οἰκουμένης καὶ νὰ τοὺς προστάξει νὰ τὸν λατρεύουν ἐκεῖ παντοτινὰ καὶ οὔτε ναὸ οὔτε βωμὸ νὰ κτίσουν σὲ κάποιο ἄλλο μέρος τῆς οἰκουμένης, ἀλλὰ καὶ τὰ ἀφιερώματα καὶ τὶς θυσίες ἐκεῖ νὰ τὰ προσφέρουν, καὶ ἑορτὲς νὰ κάνουν καὶ τὸ νόμο νὰ διαβάζουν καὶ ὅλα τὰ ἄλλα τὰ σχετικὰ μὲ τὴ λατρεία ἐκείνη νὰ τὰ κάμνουν.

Γιὰ νὰ μὴ νομίζουν λοιπὸν ἀπὸ τὸν καθορισμένο σ' αὐτοὺς τρόπο λατρείας ὅτι καὶ ἡ φροντίδα του ἔχει περιορισθεῖ ἐκεῖ καὶ ὅτι αὐτὸς εἶναι Θεὸς τοπικός, πρόφθασε καὶ φανέρωσε τὴ δύναμή του στὴν ξένη χώρα, στὴν Αἴγυπτο, στὴν ἔρημο, ὅπου

ἐπέδειξεν, ἐπὶ τῆς Αἰγύπτου, ἐπὶ τῆς ἐρήμου, ἔνθα οὐδεὶς ἦν ὁ θεραπεύων, ἔνθα οὐδεὶς ἦν ὁ προσκυνῶν· καὶ πρὸς τὰ ἐναντία ἡ κτίσις ὑπηρετεῖτο, δι' ὧν ἐποίει, τὴν ἐξ ἀρχῆς αὐτοῦ δημιουργίαν καὶ τοὺς ἀγνωμονοῦντας αὐτῷ λογίζεσθαι πείθουσα. Καὶ γὰρ ἡ θάλασσα τοὺς μὲν ἀπέπνιγε, τοὺς δὲ διέσωζε· καὶ ὁ ἀὴρ νῦν μὲν κατέφερε χάλαζαν καὶ τοὺς βαρβάρους ἀπώλλυ, νῦν δὲ κατέφερε μάννα καὶ τοὺς Ἰουδάους διέτρεφε. Πάλιν ἡ γῆ νῦν μὲν σκνῖπας ἐπὶ κολάσει τῶν πολεμίων, νῦν δὲ ὀρτυγομήτραν ἐπὶ σωτηρίᾳ τῶν οἰκείων ἐξέφερε. Κἀκείνοις μὲν ἐν ἡμέρᾳ σκότος, τούτοις δὲ ἐν νυκτὶ φῶς ἐγίνετο. Καὶ Αἰγύπτιοι μὲν τὸν Νεῖλον ἔχοντες παραρρέοντα δίψει καὶ αὐχμῷ διεφθείροντο, οὗτοι δὲ ἐν ἐρήμῳ ξηρᾷ καὶ αὐχμώδει στρατοπεδεύοντες πολλῆς ἀπέλαυον ὑδάτων δαψιλείας· καὶ τοὺς μὲν βάτραχοι κατηγωνίζοντο, τούτους δὲ οὐδὲ οἱ γίγαντες ἐκεῖ χειρώσασθαι ἴσχυον.

6. Ἀλλὰ τίνος ἕνεκεν τούτων ὑμᾶς ἀνέμνησεν ὁ μακάριος Παῦλος; Διὰ τὴν αἰτίαν, ἣν ἐξ ἀρχῆς εἶπον ὑμῖν, ἵνα μάθῃς ὅτι οὔτε βάπτισμα, οὔτε ἁμαρτημάτων ἄφεσις, οὐ γνῶσις, οὐ μυστηρίων κοινωνία, οὐ τράπεζα ἱερά, οὐχ ἡ ἀπόλαυσις τοῦ σώματος, οὐχ ἡ κοινωνία τοῦ αἵματος, οὐκ ἄλλο τούτων οὐδὲν ἡμᾶς ὠφελῆσαι δυνήσεται, ἐὰν μὴ βίον ὀρθὸν καὶ θαυμαστὸν καὶ πάσης ἁμαρτίας ἀπηλλαγμένον ἔχωμεν. Ὅτι γὰρ διὰ τοῦτο τούτων ἀνέμνησε, καταλέξας τὸν τύπον τοῦ βαπτίσματος, τὸν διὰ τῆς θαλάσσης καὶ τῆς νεφέλης, τὸν τύπον τῶν μυστηρίων, τὸν διὰ τοῦ μάννα καὶ τῆς πέτρας προδιέγραψεν ἐν τῇ Παλαιᾷ, καὶ εἰπών, ὅτι «πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον καὶ τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον», ἐπήγαγε λέγων· «ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός». Μετὰ τοσαῦτα καὶ τηλικαῦτα θαύματα, φησίν, οὐκ ἠγάπησεν αὐτοὺς ὁ Θεός. Ἀλλὰ τί; «κατεστρώθησαν ἐν τῇ ἐρήμῳ». Τίνος οὖν ἕνεκα ταῦτα λέγεις ἡμῖν, ὦ Παῦλε; «Ταῦτα δὲ τύπος ἡμῖν ἐγενήθησαν εἰς τὸ μὴ

δὲν τὸν λάτρευε κανείς, ὅπου δὲν τὸν προσκυνοῦσε κανείς· καὶ ἡ φύση μ' αὐτὰ ποὺ ἔκανε ὑπηρετοῦσε πρὸς τὰ ἀντίθετα, πείθοντας καὶ τοὺς ἀχάριστους νὰ τοῦ ἀναγνωρίσουν τὴν ἀρχική του δημιουργία. Γιατὶ καὶ ἡ θάλασσα ἄλλους ἔπνιγε καὶ ἄλλους ἔσωζε· καὶ ὁ ἀέρας ἄλλοτε ἔρριχνε χαλάζι καὶ ἀφάνιζε τοὺς βαρβάρους, καὶ ἄλλοτε ἔρριχνε τὸ μάννα καὶ ἔτρεφε τοὺς Ἰουδαίους. Ἐπίσης ἡ γῆ ἄλλοτε ἔβγαζε σκνίπες γιὰ τιμωρία τῶν ἐχθρῶν καὶ ἄλλοτε πλῆθος ἀπὸ ὀρτύκια γιὰ τὴ σωτηρία τῶν Ἰουδαίων. Καὶ γιὰ ἐκείνους ἔγινε σκοτάδι τὴν ἡμέρα, ἐνῶ γι' αὐτοὺς φῶς τὴ νύχτα. Καὶ οἱ Αἰγύπτιοι, παρ' ὅλο ποὺ δίπλα τους ἔτρεχε ὁ Νεῖλος, πέθαιναν ἀπὸ τὴ δίψα καὶ τὴν ξηρασία, ἐνῶ αὐτοὶ ἂν καὶ στρατοπέδευαν στὴ ξερὴ καὶ στεγνὴ ἔρημο ἀπολάμβαναν τὸ νερὸ μὲ πολλὴ ἀφθονία· καὶ ἐκείνους τοὺς νικοῦσαν οἱ βάτραχοι, ἐνῶ αὐτοὺς οὔτε οἱ γίγαντες μποροῦσαν νὰ τοὺς ὑποτάξουν ἐκεῖ.

6. Ἀλλὰ γιὰ ποιά αἰτία σᾶς ὑπενθύμησε αὐτὰ ὁ μακάριος Παῦλος; Γιὰ τὴν αἰτία, τὴν ὁποία σᾶς εἶπα ἀπὸ τὴν ἀρχή, γιὰ νὰ μάθεις ὅτι οὔτε τὸ βάπτισμα οὔτε ἡ ἄφεση τῶν ἁμαρτημάτων οὔτε ἡ γνώση οὔτε ἡ συμμετοχὴ στὰ μυστήρια οὔτε ἡ ἁγία τράπεζα οὔτε ἡ ἀπόλαυση τοῦ σώματος καὶ ἡ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ οὔτε τίποτε ἄλλο ἀπ' αὐτὰ θὰ μπορέσει νὰ μᾶς ὠφελήσει, ἂν δὲν κάνουμε ζωὴ σωστὴ καὶ θαυμαστὴ καὶ ἀπαλλαγμένη ἀπὸ κάθε ἁμαρτία. Ὅτι λοιπὸν γι' αὐτὸ τὰ ὑπενθύμισε αὐτά, ἀφοῦ ἐξιστόρησε λεπτομερῶς τὸν τύπο τοῦ βαπτίσματος, ποὺ εἰκονίζεται μὲ τὴ θάλασσα καὶ τὴ νεφέλη, προδιέγραψε τὸν τύπο τῶν μυστηρίων στὴν Παλαιὰ Διαθήκη ποὺ εἰκονίζεται μὲ τὸ μάννα καὶ τὴν πέτρα, καὶ ἀφοῦ εἶπε ὅτι «ὅλοι ἔφαγαν τὴν ἴδια πνευματικὴ τροφὴ καὶ ἔφαγαν τὸ ἴδιο πνευματικὸ ποτό», πρόσθεσε λέγοντας· «παρ' ὅλα αὐτὰ ὁ Θεὸς δὲν εὐαρεστήθηκε μὲ τοὺς περισσότερους ἀπ' αὐτούς». Ὕστερα ἀπὸ τόσο πολλὰ καὶ τόσο μεγάλα θαύματα, λέγει, ὁ Θεὸς δὲν τοὺς ἀγάπησε. Ἀλλὰ τί; «Πέθαναν στὴν ἔρημο». Γιὰ ποιό λοιπὸν λόγο μᾶς τὰ λέγεις αὐτά, Παῦλε; «Αὐτὰ τὰ γεγονότα ἔγιναν παραδείγματα γιὰ μᾶς, γιὰ νὰ μὴν ἐπιθυμοῦμε πράγματα κακά, ὅπως καὶ ἐκεῖ-

γενέσθαι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν, μηδὲ εἰδωλολάτρας γίνεσθαι, καθώς τινες αὐτῶν, ὥσπερ γέγραπται· 'ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν'».

Ὅρα τοῦ Παύλου τὴν σύνεσιν. Εἶπε τὴν ἁμαρτίαν, εἶπε τὴν αἰτίαν τῆς ἁμαρτίας, εἶπε τὴν κόλασιν τὴν ἐπὶ τῇ ἁμαρτίᾳ, διὰ πάντων ἡμᾶς παιδεύων φεύγειν τὴν ἐκείνων μίμησιν. Αἰτία τῆς ἁμαρτίας ἡ ἀδηφαγία· «ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν». Ἡ ἁμαρτία, αὐτὸ τὸ παίζειν. Εἶτα ἡ τιμωρία, ὅτι «κατεστρώθησαν ἐν τῇ ἐρήμῳ». Πάλιν, «μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν». Ἐνταῦθα τὴν αἰτίαν τῆς πορνείας οὐκ ἔθηκεν, ἀλλὰ τὴν τιμωρίαν. Ποίαν δὲ ταύτην; «Ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες». Τίνος δὲ ἕνεκα τὴν πρόφασιν οὐκ εἶπεν, ἀφ' ἧς ἡ πορνεία γέγονε; Τοῖς φιλοπόνοις διδοὺς ἐπὶ τὴν ἱστορίαν ἐλθεῖν καὶ μαθεῖν τοῦ κακοῦ τὴν ῥίζαν. Οὗτος γὰρ ἰατρείας τρόπος, τὸ λέγειν ἐξ ὧν τίκτεται τὰ νοσήματα καὶ φάρμακα ἐπιτιθέναι τοῖς τραύμασι. Διὰ τοῦτό φησι· «ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν». Ὥστε ὁ ποιήσας ἐκεῖνα καὶ κολάσας τοὺς ἀγνωμονήσαντας, οὕτως ἡμᾶς νουθετεῖ νῦν, οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν πραγμάτων, ὅπερ μέγιστός ἐστι νουθεσίας τρόπος.

Εἶδες πῶς τοῖς ἐν τῇ χάριτι τὸν ἐν τῇ Παλαιᾷ ταῦτα ποιήσαντα διδάσκαλον ἐπέστησε, δεικνὺς ὅτι εἷς ἐστι καὶ ὁ αὐτός, ὁ καὶ ἐκεῖνα ποιήσας καὶ ταῦτα δι' αὐτοῦ φθεγγόμενος; Εἰ γὰρ ἀλλότριος ἦν, οὐκ ἐκεῖνα τούτων τύπους ἐκάλεσεν, οὐκ ἂν εἰς νουθεσίαν ἡμῶν αὐτὰ γεγράφθαι εἶπεν, οὐκ ἂν διδάσκαλον ἡμῖν ἐπέστησεν, ὃν οὐκ ἐνόμιζεν εἶναι Θεόν, οὐκ ἂν ἀπὸ τῶν ὑπ' ἐκείνου γενομένων τότε ἡμᾶς ἐφόβησεν, ὡς εἰς τὰς ἐκείνου πάλιν μέλλοντας ἐμπίπτειν χεῖρας. Νῦν δὲ δεικνύς, ὅτι εἰς τὰς ἐκείνου μέλλομεν ἐμπίπτειν χεῖρας καὶ ἑκάτερος ὁ λαός, κἀκεῖνος

8. Α' Κορ. 10,11.

νοι ἐπιθύμησαν, οὔτε νὰ γινόμαστε εἰδωλολάτρες, ὅπως μερικοὶ ἀπ' ἐκείνους, καθὼς ἔχει γραφεῖ γι' αὐτούς· κάθισε ὁ λαός μου γιὰ νὰ φάει καὶ νὰ πιεῖ, καὶ ὕστερα σηκώθηκαν νὰ παίξουν καὶ νὰ χορέψουν».

Πρόσεχε τὴ σύνεση τοῦ Παύλου. Εἶπε τὴν ἁμαρτία, διδάσκοντας μὲ ὅλα ἐμᾶς νὰ ἀποφεύγουμε νὰ τοὺς μιμηθοῦμε. Αἰτία τῆς ἁμαρτίας ἦταν ἡ λαιμαργία, γιατὶ λέγει, «ὁ λαὸς κάθισε νὰ φάει καὶ νὰ πιεῖ». Ἡ ἁμαρτία ἦταν τὸ ὅτι ἔπαιζαν. Ἔπειτα ἡ τιμωρία· «πέθαναν στὴν ἔρημο». Πάλι λέγει, «οὔτε νὰ γινόμαστε πόρνοι, ὅπως μερικοὶ ἀπ' αὐτούς». Ἐδῶ δὲν ἀνέφερε τὴν αἰτία τῆς πορνείας ἀλλὰ τὴν τιμωρία. Καὶ ποιά ἦταν αὐτή; «Ἔπεσαν νεκροὶ μέσα σὲ μία ἡμέρα εἴκοσι τρεῖς χιλιάδες». Γιὰ ποιό λόγο δὲν ἀνέφερε τὴν αἰτία γιὰ τὴν ὁποία ἔγινε ἡ πορνεία; Γιὰ νὰ δώσει τὴν ἀφορμὴ στοὺς φιλόπονους ν' ἀνατρέξουν στὴν ἱστορία καὶ νὰ μάθουν τὴ ρίζα τοῦ κακοῦ. Γιατὶ αὐτὸς εἶναι ἕνας τρόπος θεραπείας, τὸ νὰ λέγει δηλαδὴ κανεὶς τὶς αἰτίες ἀπὸ τὶς ὁποῖες προέρχονται οἱ ἀσθένειες, καὶ ὕστερα νὰ ἐπιθέτει φάρμακα στὰ τραύματα. Γι' αὐτὸ λέγει· «ὅλα αὐτὰ συνέβαιναν σ' ἐκείνους ὡς προεικονίσεις, καὶ γράφτηκαν γιὰ νὰ νουθετήσουν ἐμᾶς»[8]. Ὥστε ἐκεῖνος ποὺ ἔκανε αὐτὰ καὶ τιμώρησε τοὺς ἀχάριστους, αὐτὸς νουθετεῖ τώρα ἐμᾶς, ὄχι μόνο μὲ λόγια, ἀλλὰ καὶ μὲ τὰ ἴδια τὰ γεγονότα, πράγμα ποὺ εἶναι ὁ καλύτερος τρόπος νουθεσίας.

Εἶδες πῶς σ' αὐτοὺς ποὺ ἔζησαν τὴν περίοδο τῆς χάριτος ὅρισε διδάσκαλο ἐκεῖνον ποὺ στὴν Παλαιὰ Διαθήκη ἔκανε αὐτά, δείχνοντας ὅτι ἕνας εἶναι καὶ ὁ ἴδιος ἐκεῖνος ποὺ τὰ ἔκανε αὐτὰ καὶ ποὺ τὰ ἔλεγε μέσω αὐτοῦ; Γιατί, ἂν ἦταν ἄλλος, δὲ θὰ ὀνόμαζε ἐκεῖνα προεικονίσεις αὐτῶν, δὲ θὰ ἔλεγε ὅτι γράφτηκαν αὐτὰ γιὰ νὰ νουθετήσουν ἐμᾶς, δὲ θὰ μᾶς ὅριζε διδάσκαλο αὐτὸν ποὺ δὲ τὸν θεωροῦσε Θεό, δὲ θὰ μᾶς φόβιζε ἀπὸ ἐκεῖνα ποὺ ἔγιναν τότε ἀπ' αὐτόν, σὰν νὰ πρόκειται νὰ πέσουμε πάλι στὰ χέρια του. Τώρα ὅμως δείχνοντάς μας πὼς πρόκειται νὰ πέσουμε στὰ χέρια του καὶ πὼς ὁ κάθε λαός, καὶ ἐκεῖνος καὶ αὐ-

καὶ οὗτος, τοῖς ἐκείνου διοικοῦνται νόμοις, ἀνέμνησε πάντων ἐκείνων καὶ εἶπεν, ὅτι «πρὸς νουθεσίαν ἡμῶν ἐγράφη».

Ταῦτα οὖν εἰδότες, τοῖς τε παρελθοῦσι τοῖς τε μέλλουσι πιστεύωμεν. Ἂν δέ τινες ὦσιν οἱ τοῖς μέλλουσι οὐ πιστεύοντες, ἀπὸ τῶν παρελθόντων αὐτοὺς ἐνάγωμεν εἰς τὴν τῆς ἀρετῆς ἐπιμέλειαν τὰ κατὰ τοὺς Σοδομίτας διηγούμενοι, τὰ κατὰ τὸν κατακλυσμὸν λέγοντες, τὰ κατὰ τὴν Αἴγυπτον ἀναμιμνήσκοντες, ἵνα ταῖς ἑτέρων σωφρονισθέντες κολάσεσι καὶ βίον ἄριστον ἐπιδειξάμενοι καὶ τὸν περὶ γεέννης καὶ τῆς ἀναστάσεως δέξωνται λόγον. Ἐπεὶ καὶ νῦν ὅσοι τῇ κρίσει διαπιστοῦσιν, οὐδαμόθεν ἑτέρωθεν ἀλλ' ἀπὸ βίου διεφθαρμένου καὶ πονηροῦ συνειδότος τοῦτο πάσχουσιν. Ὥστε ἐὰν ἐκκαθάρωμεν ἑαυτῶν τὰς ἁμαρτίας καὶ τῷ φόβῳ τῶν παρελθόντων παιδεύσωμεν καὶ περὶ τῶν μελλόντων πείσομεν δέξασθαι λόγον. Ὥσπερ γὰρ δόγματα πονηρὰ βίον ἀκάθαρτον εἰσάγειν εἴωθεν, οὕτω καὶ διεφθαρμένος βίος πονηρίαν δογμάτων πολλάκις ἔτεκεν. Ὅπερ ἵνα μὴ γένηται, καὶ ἡμῖν αὐτοῖς καὶ τοῖς ἄλλοις ταῦτα κατεπᾴδοντες τὰ ῥήματα, τήν τε ὀρθὴν πίστιν διαμένωμεν ἔχοντες καὶ πολιτείαν ἀρίστην ἐπιδειξώμεθα, ἐπειδὴ πανταχόθεν ἡμῖν ὁ λόγος ἀπέδειξεν, ὅτι ταύτης χωρὶς οὐδὲν ὄφελος ἡμῖν ὀρθῶν δογμάτων.

Γένοιτο δὲ εὐχαῖς τῶν ἁγίων καὶ τῶν προέδρων ἁπάντων, τήν τε ὀρθότητα τῶν δογμάτων, ἣν ἄνωθεν καὶ ἐκ προγόνων παρελάβομεν, ἀκέραιον διατηρῆσαι καὶ βίον αὐτῇ συμβαίνοντα προσθεῖναι, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τός, διοικοῦνται μὲ τοὺς δικούς του νόμους, μᾶς ὑπενθύμισε ὅλα ἐκεῖνα καὶ εἶπε, «γράφτηκαν γιὰ νὰ νουθετήσουν ἐμᾶς».

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς πιστεύουμε καὶ στὰ περασμένα καὶ στὰ μελλοντικά. Καὶ ἂν ὑπάρχουν μερικοὶ ποὺ δὲν πιστεύουν στὰ μελλοντικά, ἂς τοὺς ὁδηγήσουμε στὴ φροντίδα τῆς ἀρετῆς παρουσιάζοντάς τους τὰ σχετικὰ μὲ τοὺς Σοδομίτες, ἀναφέροντας τὰ σχετικὰ μὲ τὸν κατακλυσμό, ὑπενθυμίζοντας τὰ συμβάντα στὴν Αἴγυπτο, ὥστε, ἀφοῦ σωφρονισθοῦν μὲ τὶς τιμωριές τῶν ἄλλων καὶ ἐπιδείξουν ἄριστη ζωή, νὰ δεχθοῦν τὸ κήρυγμα καὶ γιὰ τὴ γέεννα καὶ γιὰ τὴν ἀνάσταση. Γιατὶ καὶ τώρα ὅσοι δὲν πιστεύουν στὴ μέλλουσα κρίση ἀπὸ πουθενὰ ἀλλοῦ δὲν τὸ παθαίνουν αὐτὸ παρὰ μόνο ἀπὸ τὴ διεφθαρμένη ζωὴ καὶ τὴν πονηρή τους συνείδηση. Ἐπομένως ἂν καθαρίσουμε τὶς ἁμαρτίες μας καὶ τοὺς διδάξουμε μὲ τὸ φόβο τῶν περασμένων, θὰ τοὺς πείσουμε νὰ δειχθοῦν καὶ τὸ κήρυγμα γιὰ τὰ μελλοντικά. Γιατὶ ὅπως οἱ κακὲς διδασκαλίες ὁδηγοῦν συνήθως σὲ ἀκάθαρτη ζωή, ἔτσι καὶ ἡ διεφθαρμένη ζωὴ γέννησε κακὲς διδασκαλίες. Γιὰ νὰ μὴ γίνει λοιπὸν αὐτό, ἐπαναλαμβάνοντας συνέχεια αὐτὰ τὰ λόγια καὶ σὲ μᾶς τοὺς ἴδιους καὶ στοὺς ἄλλους ἂς μείνουμε πάντοτε σταθεροὶ στὴν ὀρθὴ πίστη καὶ ἂς ἐπιδείξουμε ἄριστη συμπεριφορά, ἀφοῦ ἀπὸ παντοῦ μᾶς ἀπεδειξε ὁ λόγος πὼς χωρὶς αὐτὴν δὲν ἔχουμε κανένα ὄφελος ἀπὸ τὰ ὀρθὰ δόγματα.

Εἴθε μὲ τὶς εὐχὲς τῶν ἁγίων καὶ ὅλων τῶν ἐπισκόπων νὰ διατηρήσουμε ἀκέραιη τὴν ὀρθότητα τῶν δογμάτων, ποὺ ἀπὸ τὸ Θεὸ καὶ τοὺς προγόνους μας παραλάβαμε, καὶ νὰ προσθέσουμε ἀνάλογη μ' αὐτὴ ζωή, γιὰ νὰ ἐπιτύχουμε τὰ ὑπεσχημένα σὲ μᾶς ἀγαθὰ μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ

«ΔΕΙ ΔΕ ΚΑΙ ΑΙΡΕΣΕΙΣ ΕΙΝΑΙ ΕΝ ΥΜΙΝ, ΙΝΑ ΟΙ ΔΟΚΙΜΟΙ ΦΑΝΕΡΟΙ ΓΕΝΩΝΤΑΙ»



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ

«ΔΕΙ ΔΕ ΚΑΙ ΑΙΡΕΣΕΙΣ ΕΙΝΑΙ ΕΝ ΥΜΙΝ, ΙΝΑ ΟΙ ΔΟΚΙΜΟΙ φανεροὶ γένωνται»

1. Ἱκανῶς πρῴην ἡμῖν διεθερμάνθη τὸ πνευματικὸν τοῦτο θέατρον, ὅτε τὴν Ἱερουσαλὴμ εἰσήγαγον ὑμῖν τῷ λόγῳ θρηνοῦσαν καὶ τὰς οἰκείας ἐξαγγέλλουσαν συμφοράς. Καὶ γὰρ εἶδον ὑμῶν τοὺς ὀφθαλμοὺς τότε ὠδίνοντας πηγὰς ἀφιέναι δακρύων· εἶδον (ἐξ ὧν ἔπασχον), τὴν ἑκάστου διάνοιαν ὀλοφυρμῶν γέμουσαν καὶ συγκεχυμένην. Διὸ καὶ ταχέως αἰσθόμενος συνέστειλα τὴν τραγῳδίαν, ἥρπασα ἐκ τοῦ μέσου τὸν λόγον, ὥστε τὸν θρῆνον ἐκεῖνον τῆς ἑκάστου καρδίας ἐκρήγνυσθαι μέλλοντα προκατασχεῖν. Ψυχὴ γὰρ πένθει κατασχεθεῖσα, οὔτε εἰπεῖν οὔτε ἀκοῦσαί τι δύναιτ' ἂν ὑγιές.

Τίνος οὖν ἕνεκεν ἐκείνων ὑμᾶς ἀνέμνησα νῦν; Ὅτι καὶ τὰ σήμερον ῥηθήσεσθαι μέλλοντα συγγενῆ τῶν τότε εἰρημένων ἐστίν. Ὥσπερ γὰρ ἐκεῖνα τὴν ἐν τῷ βίῳ ῥᾳθυμίαν ἡμῶν ἀνέστελλε καὶ τὴν ὀλιγωρίαν τὴν περὶ τὰ πρακτέα διώρθου, οὕτω δὴ τὰ ῥηθησόμενα νῦν περὶ τὴν τῶν δογμάτων ἀκριβῆ παρατήρησιν ἀσφαλεστέρους ἡμᾶς ἐργάσασθαι δύναιτ' ἄν· ὥστε ἐξ ἁπάντων ἀπηρτισμένους εἶναι «εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας» φθάνοντας κατὰ τὸν θεῖον ἀπόστολον. Τότε τὸ σῶμα

1. Α΄ Κορ. 11,19.



ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΠΡΕΠΕΙ ΝΑ ΥΠΑΡΧΟΥΝ ΚΑΙ ΑΙΡΕΣΕΙΣ ΜΕΤΑΞΥ ΣΑΣ ΓΙΑ ΝΑ φαίνονται ἀνάμεσά σας αὐτοὶ ποὺ ἀληθινὰ πιστεύουν»[1]

1. Ἀρκετὰ συγκινήθηκε τὸ πνευματικὸ αὐτὸ θέατρο κατὰ τὴν προηγούμενη ὁμιλία μου, ὅταν σᾶς παρουσίασα τὴν Ἰερουσαλὴμ νὰ θρηνεῖ καὶ νὰ ἐξαγγέλλει τὶς δικές της συμφορές. Γιατὶ πραγματικὰ εἶδα τότε τὰ μάτια σας ἕτοιμα νὰ ἀφήσουν πηγὲς δακρύων· εἶδα –πράγμα ποὺ μ' ἔκανε νὰ ὑποφέρω– τὸ νοῦ τοῦ καθενὸς γεμάτο ὀδυρμοὺς καὶ ταραγμένο. Γι' αὐτὸ καὶ ὅταν τὸ ἀντιλήφθηκα γρήγορα διέκοψα τὴν τραγωδία, σταμάτησα στὴ μέση τὸ λόγο, ὥστε νὰ προλάβω τὸ θρῆνο ἐκεῖνον τῆς καρδιᾶς τοῦ καθενὸς ποὺ ἐπρόκειτο νὰ ξεσπάσει. Γιατὶ μιὰ ψυχή, ποὺ κυριεύθηκε ἀπὸ πένθος, δὲ θὰ μποροῦσε οὔτε νὰ πεῖ οὔτε ν' ἀκούσει κάτι τὸ ὑγιές.

Γιὰ ποιόν λόγο λοιπὸν σᾶς τὰ ὑπενθύμισα ἐκεῖνα τώρα; Γιατὶ καὶ αὐτὰ ποὺ πρόκειται νὰ λεχθοῦν σήμερα εἶναι παρόμοια μ' ἐκεῖνα ποὺ λέχθηκαν τότε. Ὅπως δηλαδὴ ἐκεῖνα ἐμπόδιζαν τὴ ραθυμία μας στὴ ζωὴ καὶ διόρθωναν τὴν ὀλιγωρία μας γιὰ ὅσα πρέπει νὰ πράττουμε, ἔτσι ἀκριβῶς αὐτὰ ποὺ θὰ λεχθοῦν τώρα μποροῦν νὰ μᾶς κάνουν ἀσφαλέστερους ὡς πρὸς τὴν ἀκριβὴ ἐξέταση τῶν δογμάτων, ὥστε ἀπ' ὅλα νὰ εἴμαστε καταρτισμένοι καταλήγοντας κατὰ τὸ θεῖο ἀπόστολο «σὲ ὥριμους ἄνδρες καὶ σὲ μέτρο τελειότητας»[2]. Τότε θεράπευσα τὸ

2. Ἐφ. 4,13.

ὑμῖν ἐθεραπεύσαμεν, νῦν τὴν κεφαλὴν ἰατρεύομεν· τότε διὰ τῶν Ἱερεμίου λόγων, νῦν διὰ τῶν τοῦ Παύλου ρημάτων,.

Τίνα οὖν ἐστι τὰ Παύλου ρήματα, ἃ σήμερον ἡμῖν ἐξεργάσασθαι πρόκειται; «Δεῖ δὲ καὶ αἱρέσεις εἶναι», φησίν, «ἐν ὑμῖν, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν». Οὐ μικρὸν τὸ ζητούμενον. Εἰ γὰρ συμβουλεύων τοῦτό φησιν ὁ Παῦλος καὶ δεῖ αἱρέσεις εἶναι, ἀναίτιοι οἱ τὰς αἱρέσεις εἰσάγοντες. Ἀλλ᾽ οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐ γὰρ συμβουλεύοντος τὸ ρῆμά ἐστιν, ἀλλὰ τὸ μέλλον προλέγοντος. Ὥσπερ γὰρ ἰατρός, ὁρῶν τὸν κάμνοντα ἀδηφαγίᾳ καὶ μέθῃ προσέχοντα καὶ ἑτέροις κεκωλυμένοις, φησὶν ὅτι τὴν ἀταξίαν ταύτην δεῖ πυρετὸν τεκεῖν, οὐχὶ νομοθετῶν οὐδὲ συμβουλεύων, ἀλλ᾽ ἐκ τῶν παρόντων τὸ μέλλον μετὰ σκέψεως προλέγων· καὶ γεωργὸς πάλιν ἢ κυβερνήτης ὁρῶν νεφῶν συνδρομὰς καὶ βροντὰς καταρρηγνυμένας μετὰ ἀστραπῶν, φησὶν ὅτι δεῖ τὰ νέφη ταῦτα τεκεῖν ὑετὸν καὶ ὄμβρον σφοδρόν, οὐδὲ οὗτος παραινῶν, ἀλλὰ τὸ ἐσόμενον προαναφωνῶν, οὕτω καὶ Παῦλος τό, «δεῖ», τέθεικε.

Πολλάκις γοῦν καὶ ἡμεῖς ὁρῶντες ἀνθρώπους ἀλλήλοις συρρηγνυμένους καὶ χαλεπαῖς ἑαυτοὺς πλύνοντας λοιδορίαις, λέγομεν, δεῖ συμπληγάδας γενέσθαι τούτους καὶ φυλακίζεσθαι, οὐ συμβουλεύοντες οὐδὲ ἡμεῖς, οὐδὲ παραινοῦντες ἐκείνοις (πῶς γάρ), ἀλλ᾽ ἀπὸ τοῦ παρόντος τὸ μέλλον στοχαζόμενοι. Οὕτω δὴ καὶ ὁ Παῦλος οὐχὶ συμβουλεύων ταῦτά φησιν, ὅτι δεῖ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἀλλὰ προαναφωνῶν καὶ προφητεύων τὸ μέλλον ἔσεσθαι. Ὅτι γὰρ οὐ συμβουλεύει αἱρέσεις εἶναι, αὐτός ἐστιν ὁ λέγων, ὅτι «κἂν ἄγγελος ὑμᾶς εὐαγγελίζηται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω». Αὐτός ἐστιν ὁ τὴν περιτομήν, ἐπειδὴ παρὰ καιρὸν παρελαμβάνετο καὶ ἐθόλου τὸ καθαρὸν τοῦ κηρύγματος, ἐκβάλλων καὶ λέγων, «ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς

3. Γαλ. 1,8.

σῶμα σας, τώρα θεραπεύω τὸ νοῦ σας· τότε μὲ τὰ λόγια τοῦ Ἰερεμία, τώρα μὲ τὰ λόγια τοῦ Παύλου.

Ποιά λοιπὸν εἶναι τὰ λόγια τοῦ Παύλου, τὰ ὁποῖα πρόκειται νὰ ἐπεξεργασθοῦμε σήμερα; «Πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις μεταξύ σας», λέγει, «γιὰ νὰ φαίνονται ἀνάμεσά σας αὐτοὶ ποὺ ἀληθινὰ πιστεύουν». Δὲν εἶναι μικρὸ τὸ ζητούμενο. Γιατί, ἂν ὁ Παῦλος συμβουλεύοντας λέγει ὅτι πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις, εἶναι ἀνεύθυνοι αὐτοὶ ποὺ εἰσάγουν τὶς αἱρέσεις. Ἀλλὰ δὲν εἶναι αὐτό, πραγματικὰ δὲν εἶναι. Γιατὶ ὁ λόγος αὐτὸς δὲ συμβουλεύει, ἀλλὰ προλέγει τὸ μέλλον. Ὅπως δηλαδὴ ὁ ἰατρός, ὅταν βλέπει τὸν ἄρρωστο νὰ στρέφεται πρὸς τὴν πολυφαγία καὶ τὴ μέθη καὶ σ' ἄλλα ἀπαγορευμένα γι' αὐτὸν λέγει ὅτι ἡ κτάχρηση αὐτὴ πρέπει νὰ προκαλέσει πυρετό, χωρὶς αὐτὸ ν' ἀποτελεῖ νομοθεσία οὔτε καὶ συμβουλή, ἀλλὰ γιατὶ ἀπὸ τὰ παρόντα προλέγει μετὰ ἀπὸ σκέψη τὸ μέλλον, καὶ ὅπως ὁ γεωργὸς πάλι ἢ ὁ κυβερνήτης, ὅταν βλέπει νὰ συγκεντρώνονται σύννεφα καὶ νὰ ξεσποῦν ἀπότομα βροντὲς μὲ ἀστραπές, λέγει ὅτι πρέπει τὰ σύννεφα αὐτὰ νὰ φέρουν βροχὴ καὶ μάλιστα δυνατή, καὶ γίνεται αὐτὸ ὄχι γιατὶ τὸ λέγει αὐτός, ἀλλὰ γιατὶ προλέγει αὐτὸ ποὺ θὰ γίνει, ἔτσι καὶ ὁ Παῦλος ἔθεσε τὸ «πρέπει».

Πολλὲς φορὲς λοιπὸν καὶ ἐμεῖς, ὅταν βλέπουμε ἀνθρώπους νὰ συγκρούονται μεταξύ τους καὶ νὰ περιλούει ὁ ἕνας τὸν ἄλλον μὲ φοβερὲς ὕβρεις, λέμε ὅτι ὁπωσδήποτε θὰ συμπλακοῦν καὶ θὰ φυλακισθοῦν, ὄχι συμβουλεύοντας καὶ ἐμεῖς οὔτε προτρέποντας αὐτοὺς (γιατὶ πῶς θὰ γινόταν κάτι τέτοιο), ἀλλὰ συμπεραίνουμε ἀπὸ τὸ παρὸν τὸ μέλλον. Ἔτσι ἀκριβῶς καὶ ὁ Παῦλος τὰ λέγει αὐτὰ ὄχι μὲ σκοπὸ νὰ συμβουλέψει, ὅτι δηλαδὴ «πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις μεταξύ σας», ἀλλὰ προλέγει καὶ προφητεύει αὐτὸ ποὺ πρόκειται νὰ γίνει. Καὶ ὅτι δὲ συμβουλεύει νὰ ὑπάρχουν αἱρέσεις ὁ ἴδιος εἶναι ποὺ λέγει, «καὶ ἂν ἀκόμη ἄγγελος σᾶς κηρύξει διαφορετικὸ εὐαγγέλιο ἀπὸ ἐκεῖνο ποὺ παραλάβατε, ἂς γίνει αὐτὸς ἀνάθεμα»[3]. Αὐτὸς εἶναι ποὺ ἀπέρριπτε τὴν περιτομή, ἐπειδὴ ἄκαιρα γινόταν ἀποδεκτὴ καὶ θόλωνε τὴν καθαρότητα τοῦ κηρύγματος, καὶ ἔλεγε· «ἂν περιτέμνεστε,

οὐδὲν ὠφελήσει». Πῶς οὖν, φησί, καὶ αἰτίαν προσέθηκεν εἰπών, «ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται»;

Τό, «ἵνα», πολλαχοῦ ἐν ταῖς Γραφαῖς οὐκ ἔστιν αἰτιολογίας, ἀλλὰ τῆς τῶν πραγμάτων ἐκβάσεως. Οἷον, ἦλθεν ὁ Χριστὸς καὶ τὸν τυφλὸν ἀναβλέψαι ἐποίησε· κἀκεῖνος μὲν αὐτὸν προσεκύνησεν, οἱ δὲ Ἰουδαῖοι, τούτου θεραπευθέντος, πάντα ἐποίουν, ὥστε συσκιάσαι τὸ θαῦμα καὶ τὸν Χριστὸν ἤλαυνον. Τότε τοίνυν φησίν· «εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται». Ἆρα οὖν διὰ τοῦτο ἦλθεν, ἵνα ἐκεῖνοι τυφλοὶ γένωνται; Οὐ διὰ τοῦτο ἦλθε, τοῦτο δὲ ἐξέβη, καὶ τὴν ἔκβασιν ἐν σχήματι αἰτιολογίας τέθεικε. Πάλιν, νόμος ἐδόθη, ἵνα κωλύσῃ τὴν τῶν ἁμαρτημάτων φοράν, ἵνα ἐπιεικεστέρους ποιήσῃ τοὺς δεχομένους. Ἀλλὰ τοὐναντίον ἐξέβη παρὰ τὴν ῥᾳθυμίαν ἐκείνων· ηὔξησαν γὰρ τὰ ἁμαρτήματα· καί φησιν ὁ Παῦλος, «νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα»· καὶ μὴν οὐ διὰ τοῦτο ἐπεισῆλθεν, ἀλλ' ἵνα ἐλαττώσῃ τὸ παράπτωμα. Τοῦτο δὲ ἐξέβη παρὰ τὴν ἀγνωμοσύνην τῶν δεξαμένων αὐτόν. Οὕτω δὴ καὶ ἐνταῦθα, τό, «ἵνα», οὐχὶ αἰτιολογίας ἐστίν, ἀλλὰ ἐκβάσεως.

Ὅτι γὰρ ἄλλη τίς ἐστιν αἰτία τῶν αἱρέσεων καὶ οὐ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλ' ἑτέρωθεν ἔλαβον τὰς προφάσεις, ἄκουσον τοῦ Χριστοῦ δῆλον τοῦτο ποιοῦντος ἡμῖν. «Ὡμοιώθη», φησίν, «ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· καὶ ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν ἐχθρὸς ἄνθρωπος καὶ ἔσπειρε τὰ ζιζάνια». Ὁρᾷς, ὅτι διὰ τοῦτο αἱρέσεις, ἐπειδὴ ἐκαθεύδησαν οἱ ἄνθρωποι, ἐπειδὴ ἐρρᾳθύμησαν; ἐπειδὴ οὐ προσέσχον μετὰ ἀκριβείας τοῖς λεγομένοις; Ἵν' οὖν μὴ λέγῃ τις, 'τίνος ἕνεκεν συνεχώρησεν ὁ Χριστός', φησὶν ὁ Παῦλος, ὅτι οὐδέν σε

4. Γαλ. 5,2.
5. Ἰω. 9,39.
6. Ρωμ. 5,20.
7. Ματθ. 13,24–25.

ὁ Χριστὸς δὲ θὰ σᾶς ὠφελήσει καθόλου»[4]. Πῶς λοιπόν, λέγει, πρόσθεσε καὶ τὴν αἰτία λέγοντας, «γιὰ νὰ φαίνονται αὐτοὶ ποὺ ἀληθινὰ πιστεύουν»;

Τὸ «γιὰ νὰ» σὲ πολλὰ σημεῖα στὶς Γραφὲς δὲ σημαίνει αἰτιολογία, ἀλλὰ τὴν ἔκβαση τῶν πραγμάτων. Γιὰ παράδειγμα· ἦρθε ὁ Χριστὸς καὶ ἔκανε νὰ βρεῖ τὸ φῶς του ὁ τυφλός. Καὶ ἐκεῖνος βέβαια τὸν προσκύνησε, οἱ Ἰουδαῖοι ὅμως, ἂν καὶ ὁ τυφλὸς θεραπεύθηκε, ἔκαναν τὰ πάντα, ὥστε νὰ καλύψουν τὸ θαῦμα καὶ ἔδιωχναν τὸ Χριστό. Τότε λοιπὸν λέγει· «ἐγὼ ἦρθα καὶ ἔφερα κρίση στὸν κόσμο αὐτόν, γιὰ νὰ ἀποκτήσουν τὸ φῶς ἐκεῖνοι ποὺ δὲ βλέπουν καὶ νὰ γίνουν τυφλοὶ ἐκεῖνοι ποὺ βλέπουν»[5]. Ἄρα λοιπὸν γι' αὐτὸ ἦρθε, γιὰ νὰ γίνουν ἐκεῖνοι τυφλοί; Δὲν ἦρθε γι' αὐτό, αὐτὸ ὅμως συνέβηκε καὶ τὸ ἀποτέλεσμα τὸ ἀνέφερε ὑπὸ μορφὴν αἰτιολογίας. Πάλι, δόθηκε ὁ νόμος γιὰ νὰ ἐμποδίσει τὴν ἔκταση τῶν ἁμαρτημάτων, γιὰ νὰ καταστήσει πιὸ ἐπιεικεῖς ἐκείνους ποὺ τον δέχονται. Τὸ ἀντίθετο ὅμως συνέβηκε ἐξ αἰτίας τῆς ραθυμίας τους, γιατὶ αὔξησαν τὰ ἁμαρτήματά τους. Καὶ λέγει ὁ Παῦλος· «ὁ νόμος δόθηκε γιὰ νὰ γίνουν περισσότερα τὰ ἁμαρτήματα»[6]. Καὶ ὅμως δὲ δόθηκε γι' αὐτό, ἀλλὰ γιὰ νὰ ἐλαττώσει τὰ ἁμαρτήματα. Καὶ αὐτὸ συνέβη ἐξ αἰτίας τῆς ἀχαριστίας ἐκείνων ποὺ τὸν δέχθηκαν. Ἔτσι ἀκριβῶς καὶ ἐδῶ τὸ «γιὰ νὰ» δὲ σημαίνει αἰτιολογία, ἀλλὰ ἀποτέλεσμα.

Ὅτι λοιπὸν κάποια ἄλλη εἶναι ἡ αἰτία τῶν αἱρέσεων καὶ ὅτι δὲν ἔγιναν γι' αὐτὸ οἱ αἱρέσεις, γιὰ νὰ φαίνονται ἐκεῖνοι ποὺ πιστεύουν ἀληθινά, ἀλλ' ὅτι ἔλαβαν ἀπὸ ἀλλοῦ τὶς προφάσεις, ἄκουσε τὸ Χριστὸ ποὺ μᾶς τὸ κάνει αὐτὸ φανερό. «Ἡ βασιλεία τῶν οὐρανῶν», λέγει, «μοιάζει μ' ἕναν ἄνθρωπο ποὺ ἔσπειρε καλὸ σπόρο στὸ χωράφι του. Ἐνῶ ὅμως οἱ ἄνθρωποι κοιμοῦνταν, πῆγε ὁ ἐχθρός του καὶ ἔσπειρε τὰ ζιζάνια»[7]. Βλέπεις ὅτι γι' αὐτὸ ἔγιναν οἱ αἱρέσεις, ἐπειδὴ κοιμήθηκαν οἱ ἄνθρωποι, ἐπειδὴ ἀδιαφόρησαν; ἐπειδὴ δὲν πρόσεχαν μὲ ἀκρίβεια στὰ λεγόμενα; Γιὰ νὰ μὴ λέγει λοιπὸν κανείς, 'γιὰ ποιό λόγο τὸ ἐπέτρεψε ὁ Χριστός', λέγει ὁ Παῦλος ὅτι δὲ σὲ βλάπτει καθόλου

βλάπτει ἡ συγχώρησις αὕτη· ἐὰν ᾖς δόκιμος, φανερώτερος ἔσῃ μᾶλλον. Οὐ γάρ ἐστιν ἴσον, μηδενὸς ὑποσκελίζοντος μηδὲ ἀπατῶντος, ἐπὶ τῆς ὀρθῆς στῆναι πίστεως, καὶ μυρίων προσρηγνυμένων κυμάτων, ἄσειστον καὶ ἀπερίτρεπτον μεῖναι.

Καθάπερ οὖν τὰ δένδρα αἱ τῶν ἀνέμων προσβολαὶ πάντοθεν ῥιπίζουσαι ἰσχυρότερα ποιοῦσιν, ἂν ᾖ καλῶς ἐρριζωμένα καὶ μετὰ ἀκριβείας, οὕτω δὴ καὶ τὰς ψυχὰς τὰς παπηγυίας ἐν τῷ θεμελίῳ τῆς ὀρθῆς πίστεως, ὅσαι ἂν προσβάλωσιν αἱρέσεις, οὐ περιτρέπουσιν, ἀλλὰ καὶ ἰσχυροτέρας ποιοῦσι. Τί οὖν πρὸς τοὺς ἀσθενοῦντας, φησί, καὶ περιτρεπομένους καὶ ὑποσκελιζομένους ῥᾳδίως; Οὐδὲ ἐκεῖνοι παρὰ τὴν τῆς αἱρέσεως προσβολήν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀσθένειαν τοῦτο πάσχουσιν. Ἀσθένειαν δὲ οὐ φυσικὴν λέγω, ἀλλὰ τὴν ἐκ προαιρέσεως, τὴν καὶ ἐγκλημάτων ἀξίαν καὶ ὑπὸ κόλασιν καὶ τιμωρίαν κειμένην, ἣν καὶ ἡμεῖς κύριοι διορθῶσαι. Διὸ κατορθοῦντές τε ἐπαινούμεθα, καὶ μὴ κατορθοῦντες κολαζόμεθα.

2. *Καὶ ἵνα μάθῃς, ὅτι τοὺς νήφοντας οὐδὲν δύναται παραβλάψαι, καὶ ἑτέρωθεν τοῦτο ἀποδεῖξαι πειράσομαι. Τί τοῦ διαβόλου γένοιτ' ἂν πονηρότερον, τί δὲ μιαρώτερον; Ἀλλ' ὅμως οὗτος ὁ πονηρὸς καὶ κακοῦργος καὶ πολλὴν ἔχων ἰσχύν, μετὰ πάντων αὐτοῦ τῶν μηχανημάτων προσβαλὼν τῷ Ἰὼβ καὶ πᾶσαν αὐτοῦ τὴν βελοθήκην εἰς τὴν οἰκίαν καὶ τὸ σῶμα τοῦ δικαίου κενώσας, οὐ μόνον αὐτὸν οὐ περιέτρεψεν, ἀλλὰ καὶ λαμπρότερον ἐποίησε. Καὶ οὗτος μὲν οὐδὲ παρὰ τοῦ διαβόλου τότε ἐβλάπτετο, ὁ δὲ Ἰούδας, ἐπειδὴ ἠμελημένος καὶ ῥᾴθυμος ἦν, οὐδὲν παρὰ τῆς τοῦ Χριστοῦ συνουσίας ἐκέρδανεν, ἀλλ' ἔμεινεν ὢν προδότης μετὰ τὰς πολλὰς παραινέσεις ἐκείνας καὶ συμβουλάς· τὸ δὲ αἴτιον, ὅτι μὴ βουλόμενόν τινα οὐκ ἀναγκάζει οὐδὲ βιάζεται ὁ Θεός, ὥσπερ οὖν οὐδὲ ἐκεῖνον.*

Οὕτως ἐὰν νήφωμεν καὶ ἡμεῖς, οὐδὲ ὁ διάβολος ἡμᾶς βλά-

αὐτὴ ἡ παραχώρηση· ἂν εἶσαι δόκιμος, θὰ φανεῖς περισσότερο. Γιατὶ δὲν εἶναι τὸ ἴδιο τὸ νὰ σταθεῖ κάποιος στὴν ὀρθὴ πίστη ὅταν δὲν τὸν ὑπονομεύει καὶ δὲν τὸ ἐξαπατάει κανείς, καὶ τὸ νὰ παραμείνει σταθερὸς καὶ ἀμετάβλητος ὅταν τὸν χτυποῦν ἄπειρα κύματα.

Ὅπως λοιπὸν τὰ δένδρα τὰ κάνουν ἰσχυρότερα οἱ ἐπιθέσεις τῶν ἀνέμων ποὺ φυσοῦν ἀπὸ παντοῦ, ἂν εἶναι ριζωμένα καλὰ καὶ βαθιά, ἔτσι ἀκριβῶς καὶ τὶς ψυχὲς ποὺ ἔχουν στερεωθεῖ στὸ θεμέλιο τῆς ὀρθῆς πίστης, ὅσες αἱρέσεις καὶ ἂν τὶς προσβάλουν δὲν τὶς ἀνατρέπουν ἀλλὰ τὶς κάνουν ἰσχυρότερες. Τί θὰ συμβεῖ ὅμως σ' ἐκείνους ποὺ εἶναι ἀδύνατοι στὴν πίστη καὶ μεταβάλλονται καὶ ἀνατρέπονται εὔκολα; Οὔτε ἐκεῖνοι τὸ παθαίνουν αὐτὸ ἀπὸ τὴν προσβολὴ τῆς αἵρεσης ἀλλὰ ἀπὸ τὴ δική τους ἀδυναμία. Καὶ ἀδυναμία δὲν ἐννοῶ τὴ φυσικὴ ἀλλὰ ἐκείνη ποὺ προέρχεται ἀπὸ τὴ διάθεση καὶ εἶναι ἄξια γιὰ κατηγορίες καὶ εἶναι ὑπεύθυνη γιὰ ποινὴ καὶ τιμωρία, τὴν ὁποία καὶ ἐμεῖς εἴμαστε ὑπεύθυνοι νὰ διορθώνουμε. Γι' αὐτὸ καὶ ἐπαινούμαστε ὅταν τὸ κατορθώνουμε αὐτὸ καὶ τιμωρούμαστε ὅταν δὲν τὸ κατορθώνουμε.

2. Καὶ γιὰ νὰ μάθεις ὅτι τίποτε δὲν μπορεῖ νὰ παραβλάψει τοὺς ἐπάγρυπνους, θὰ προσπαθήσω καὶ ἀπὸ ἀλλοῦ νὰ τὸ ἀποδείξω αὐτό. Τί μπορεῖ νὰ ὑπάρξει πιὸ πονηρὸ ἀπὸ τὸ διάβολο καὶ τί πιὸ μιαρό; Ἀλλ' ὅμως αὐτὸς ὁ πονηρὸς καὶ κακοῦργος καὶ πάρα πολὺ δυνατός, ἀφοῦ πρόσβαλε μὲ ὅλα τὰ τεχνάσματά του τὸν Ἰὼβ καὶ ἄδειασε ὅλα τὰ βέλη του στὸ σπίτι καὶ στὸ σῶμα τοῦ δικαίου, ὄχι μόνο δὲν τὸν κλόνισε ἀλλὰ καὶ λαμπρότερο τὸν ἔκανε. Καὶ αὐτὸς βέβαια οὔτε ἀπὸ τὸ διάβολο βλαπτόταν τότε, ὁ Ἰούδας ὅμως, ἐπειδὴ ἦταν ἀδιάφορος καὶ ράθυμος, δὲν κέρδισε τίποτε ἀπὸ τὴ συναναστροφή του μὲ τὸ Χριστό, ἀλλὰ παρέμεινε προδότης ὕστερα ἀπὸ τὶς πολλὲς ἐκεῖνες παραινέσεις καὶ συμβουλές. Καὶ ἡ αἰτία εἶναι ὅτι, ἂν κανεὶς δὲ θέλει, ὁ Θεὸς δὲν τὸν ἀναγκάζει οὔτε τὸν πιέζει, ὅπως ἀκριβῶς λοιπὸν οὔτε ἐκεῖνον τὸν ἀνάγκασε.

Ἔτσι, ἂν εἴμαστε προσεκτικοὶ καὶ ἐμεῖς, οὔτε ὁ διάβολος

ψαι δύναται, ἂν δὲ μὴ νήφωμεν ἀλλὰ ῥᾳθυμῶμεν, οὐδὲ παρὰ τῶν ὠφελούντων κερδανοῦμέν ποτε, ἀλλὰ καὶ ζημίαν ὑποστησόμεθα τὴν ἐσχάτην· τοσοῦτόν ἐστι ῥᾳθυμία κακόν. Οἱ γοῦν Ἰουδαῖοι οὐ μόνον οὐκ ὠφελήθησαν, τοῦ Χριστοῦ παραγενομένου, ἀλλὰ καὶ ἐβλάβησαν· ἀλλ' οὐ παρὰ τὸν Χριστόν, ἀλλὰ παρὰ τὴν οἰκείαν αὐτῶν ῥᾳθυμίαν καὶ ἀγνωμοσύνην. Καὶ τοῦτο ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· «εἰ μὴ ἦλθον», φησί, «καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν». Ὁρᾷς, ὅτι ἡ παρουσία αὐτοῦ καὶ συγγνώμης αὐτοὺς ἀπεστέρησε καὶ τὴν ἀπολογίαν αὐτῶν ἐξέκοψε; Τοσοῦτόν ἐστι κακὸν μὴ συγκροτεῖν ἑαυτόν, μηδὲ τὰ καθ' ἑαυτὸν οἰκονομεῖν ὡς χρή. Τοῦτο καὶ ἐπὶ σωμάτων συμβαῖνον ἴδοι τις ἄν· τὸν μὲν γὰρ νοσοῦντα τὰς ὄψεις καὶ αὐτὸς ὁ ἥλιος σκοτίζειν εἴωθε, τὸν δὲ ὑγιῆ οὐδὲ τὸ σκότος παραβλάψαι δύναται.

Καὶ τοῦτον οὐχ ἁπλῶς μηκύνω τὸν λόγον· ἀλλ' ἐπειδὴ πολλοὶ τὰς ἑαυτῶν ἀφέντες ῥᾳθυμίας αἰτιᾶσθαι καὶ τὴν ἀγνωμοσύνην αὐτῶν καὶ τὴν ἀναισθησίαν διορθοῦν, τοῦτο μὲν οὐ ποιοῦσι, περιέρχονται δὲ ζητοῦντες ἑαυτοῖς ψυχρὰς ἀπολογίας καὶ λέγοντες, 'εἰ μὴ ὁ διάβολος ἦν, οὐκ ἂν ἀπωλόμεθα', 'εἰ μὴ νόμος ἦν, οὐκ ἂν ἡμάρτομεν', 'εἰ μὴ αἱρέσεις ἦσαν, οὐκ ἂν ὑπεσκελίσθημεν'. Σκήψεις ταῦτα καὶ προφάσεις, ἄνθρωπε· τὸν γὰρ νήφοντα οὐδὲν βλάπτει ποτέ, ὥσπερ οὖν τὸν καθεύδοντα καὶ ῥᾳθυμοῦντα καὶ τὴν ἑαυτοῦ προδιδόντα σωτηρίαν οὐδὲν ὠφελεῖ. Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν, «ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν»· τουτέστι, μὴ θορυβεῖσθε μηδὲ ἀλύετε· οὐδὲν ὑμᾶς αἱ αἱρέσεις παραβλάψαι δύνανται.

Ὅτι μὲν οὖν, εἰ καὶ περὶ αἱρέσεων ἦν ὁ λόγος, οὐδὲ οὕτως ἔχει ζήτημα τὸ εἰρημένον, ἐκ τούτων δῆλον. Προφητεία γάρ ἐστιν, οὐ συμβουλή· πρόρρησις, οὐ παραίνεσις· καὶ τό, «ἵνα», ἐκβάσεως, οὐκ αἰτιολογίας. Ὅτι δὲ οὐδὲ περὶ δογμάτων ἐστὶν ὁ

8. Ἰω. 15,22.

μπορεῖ νὰ μᾶς βλάψει· ἂν ὅμως δὲν εἴμαστε προσεκτικοὶ ἀλλὰ ἀδιάφοροι, οὔτε ἀπὸ αὐτοὺς ποὺ ὠφελοῦν θὰ κερδίσουμε, ἀλλὰ θὰ ὑποστοῦμε καὶ τὴ χειρότερη ζημία. Τόσο μεγάλο κακὸ εἶναι ἡ ἀδιαφορία. Οἱ Ἰουδαῖοι λοιπὸν ὄχι μόνο δὲν ὠφελήθηκαν, ὅταν ἦρθε ὁ Χριστός, ἀλλὰ καὶ ζημιώθηκαν· ὄχι ὅμως ἐξαιτίας τοῦ Χριστοῦ, ἀλλ' ἐξαιτίας τῆς δικῆς τους ἀδιαφορίας καὶ ἀχαριστίας. Καὶ ἄκουσε τὸν ἴδιο τὸν Χριστὸ ποὺ τὸ λέγει αὐτό· «ἂν δὲν εἶχα ἔρθει», λέγει, «καὶ ἂν δὲν τοὺς εἶχα κηρύξει, ἁμαρτία δὲ θὰ εἶχαν· τώρα ὅμως δὲν ἔχουν καμιὰ δικαιολογία γιὰ τὴν ἁμαρτία τους»[8]. Βλέπεις ὅτι ἡ παρουσία του καὶ τὴ συγγνώμη τοὺς στέρησε καὶ τὴν ἀπολογία τοὺς ἀφαίρεσε; Τόσο μεγάλο κακὸ εἶναι τὸ νὰ μὴ φροντίζει κανεὶς τὸν ἑαυτό του οὔτε νὰ ρυθμίζει τὰ δικά του ὅπως πρέπει. Αὐτὸ καὶ στὰ σώματα μπορεῖ νὰ τὸ δεῖ κανεὶς νὰ συμβαίνει. Γιατὶ τὸν ἄρρωστο στὰ μάτια συνήθως καὶ αὐτὸς ἀκόμη ὁ ἥλιος τὸν ἐπισκοτίζει, ἐνῶ τὸν ὑγιὴ οὔτε τὸ σκοτάδι μπορεῖ νὰ τὸν παραβλάψει.

Καὶ δὲν μακραίνω τυχαῖα αὐτὸν τὸ λόγο, ἀλλ' ἐπειδὴ πολλοὶ σταμάτησαν νὰ κατηγοροῦν τὴ δική τους ραθυμία καὶ νὰ διορθώνουν τὴν ἀχαριστία καὶ τὴν ἀναισθησία τους· αὐτὸ δὲν τὸ κάνουν, ἀλλὰ περιφέρονται ἀναζητώντας γιὰ τὸν ἑαυτό τους ψυχρὲς δικαιολογίες καὶ λέγοντας· 'ἂν δὲν ὑπῆρχε διάβολος δὲ θὰ χανόμασταν'· 'ἂν δὲν ὑπῆρχε νόμος δὲ θὰ ἁμαρτάναμε'· 'ἂν δὲν ὑπῆρχαν αἱρέσεις δὲ θὰ παρασυρόμασταν'. Προφάσεις καὶ δικαιολογίες εἶναι αὐτά, ἄνθρωπε. Γιατὶ ἐκεῖνον ποὺ εἶναι προσεκτικὸς ποτὲ δὲν τὸν βλάπτει τίποτε, ὅπως ἀκριβῶς καὶ ἐκεῖνον ποὺ κοιμᾶται καὶ εἶναι ἀδιάφορος καὶ δὲ φρόντισε γιὰ τὴ σωτηρία του δὲν τὸν ὠφελεῖ τίποτε. Αὐτὸ λοιπὸν ἐννοώντας καὶ ὁ Παῦλος ἔλεγε, «γιὰ νὰ γίνουν φανεροὶ ἀνάμεσά σας οἱ ἀληθινὰ πιστοί». Δηλαδή, μὴ ἀνησυχεῖτε, μὴν ἀγωνιᾶτε· καθόλου δὲν μποροῦν νὰ σᾶς βλάψουν οἱ αἱρέσεις.

Ὅτι βέβαια, ἂν καὶ ὁ λόγος ἦταν γιὰ τὶς αἱρέσεις, δὲν ἔχει ἔτσι τὸ ζήτημα αὐτό, γίνεται φανερὸ ἀπὸ αὐτά. Γιατὶ εἶναι προφητεία, ὄχι συμβουλή· πρόρρηση, ὄχι προτροπή· καὶ τὸ «γιὰ νὰ» δηλώνει ἀποτέλεσμα, ὄχι αἰτιολογία. Καὶ ὅτι ὁ λόγος του

λόγος αὐτῷ νῦν, ἀλλὰ περὶ πενήτων καὶ πλουσίων, περὶ τοῦ φαγεῖν καὶ μὴ φαγεῖν, περὶ τῆς τῶν εὐπόρων ἀσωτίας καὶ λαιμαργίας, περὶ τῆς τῶν πενήτων ἐγκαταλείψεως τῆς παρ' αὐτῶν γενομένης, ἀνάσχεσθε μικρὸν ἄνωθεν διηγουμένου· οὐδὲ γὰρ ἂν ἄλλως ὑμῖν γένοιτο σαφὲς τὸ λεγόμενον. Ἐπειδὴ γὰρ ἤρξαντο σπείρειν τὸν λόγον τῆς εὐσεβείας οἱ ἀπόστολοι, προσῆλθον εὐθέως τρισχίλιοι, καὶ πάλιν πεντακισχίλιοι, καὶ πάντων αὐτῶν ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Τὸ δὲ τῆς ὁμονοίας αἴτιον καὶ συνδῆσαν αὐτῶν τὴν ἀγάπην καὶ τοσαύτας ψυχὰς εἰς ἕνα συναγαγόν, ἡ τῶν χρημάτων ὑπεροψία ἦν. «Οὐδεὶς γάρ τι τῶν ὑπαρχόντων», φησίν, «ἴδιον ἔλεγεν εἶναι, ἀλλ' ἦν αὐτῶν ἅπαντα κοινά».

Ἐπειδὴ γὰρ ἀνηρέθη ἡ ῥίζα τῶν κακῶν, τὴν φιλαργυρίαν λέγω, πάντα ἐπεισῆλθε τὰ ἀγαθά, καὶ λοιπὸν συνεσφίγγοντο πρὸς ἀλλήλους, οὐδενὸς ὄντος τοῦ διαιροῦντος αὐτούς. Τὸ γὰρ ἐμὸν καὶ τὸ σόν, τοῦτο τὸ ψυχρὸν ῥῆμα καὶ μυρίους πολέμους εἰς τὴν οἰκουμένην εἰσαγαγόν, ἐκ τῆς ἁγίας ἐκείνης Ἐκκλησίας ἐξώριστο, καὶ τὴν γῆν ᾤκουν, καθάπερ οἱ ἄγγελοι τὸν οὐρανόν, καὶ οὔτε ἐφθόνουν οἱ πένητες τοῖς πλουτοῦσιν (οὐδὲ γὰρ ἦσαν πλούσιοι), οὔτε ὑπερεώρων οἱ πλούσιοι τῶν πενήτων (οὐδὲ γὰρ ἦσαν πένητες), ἀλλὰ πάντα ἦν κοινά. «Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων ἴδιον ἔλεγεν εἶναι»· οὐ γάρ, καθάπερ νῦν γίνεται, οὕτω καὶ τότε συνέβαινε. Νῦν μὲν γὰρ ἔχοντες τὰ ἑαυτῶν διδόασι τοῖς δεομένοις, τότε δὲ οὐδὲ τοῦτο ἦν, ἀλλ' ἀποστάντες τῆς δεσποτείας τῶν οἰκείων χρημάτων καὶ εἰς μέσον αὐτὰ καταθέντες καὶ ἀναμίξαντες, οὐδὲ δῆλοι λοιπὸν ἦσαν οἱ πρῴην ὄντες εὔποροι· ὥστε καὶ εἴ τις ἐκ τῆς ὑπεροψίας τῶν χρημάτων ἐγένετο τῦφος, καὶ οὗτος ἀνῄρητο παντάπασι, πάντων ὄντων ἐν ἰσότητι μιᾷ καὶ τῶν χρημάτων ἀναμιχθέντων ἁπάντων.

Οὐκ ἐκ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς καταβολῆς ἔστιν αὐτῶν ἰδεῖν τὴν εὐλάβειαν. «Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς καὶ

9. Πράξ. 4,32.

τώρα δὲν εἶναι γιὰ δόγματα, ἀλλὰ γιὰ φτωχοὺς καὶ πλουσίους, γιὰ τὸ νὰ φάγουν ἢ νὰ μὴ φάγουν, γιὰ τὴν ἀσωτία καὶ λαιμαργία τῶν εὐπόρων, γιὰ τὴν ἐγκατάλειψη τῶν φτωχῶν ποὺ ἔγινε ἀπὸ αὐτούς, ἀνεχθεῖτε με λίγο νὰ σᾶς τὰ διηγηθῶ ἀπὸ τὴν ἀρχή· γιατὶ δὲν μπορεῖ ἀλλιῶς νὰ γίνει σαφὲς τὸ λεγόμενο. Ὅταν λοιπὸν οἱ ἀπόστολοι ἄρχισαν νὰ σπέρνουν τὸ λόγο τῆς εὐσέβειας πίστεψαν ἀμέσως τρεῖς χιλιάδες καὶ ὕστερα πέντε χιλιάδες, καὶ ὅλοι αὐτοὶ εἶχαν μία καρδιὰ καὶ μία ψυχή. Καὶ ἡ αἰτία τῆς ὁμόνοιας ποὺ σύνδεσε τὴν ἀγάπη τους καὶ συγκέντρωσε τόσες ψυχὲς σὲ ἕνα ἦταν ἡ περιφρόνηση τῶν χρημάτων. «Κανείς», λέγει, «δὲ θεωροῦσε ὅτι κάτι ἀπὸ τὰ ὑπάρχοντά του ἦταν δικό του, ἀλλὰ ὅλα τὰ εἶχαν κοινά»[9].

Ἀφοῦ λοιπὸν καταστράφηκε ἡ ρίζα τῶν κακῶν, δηλαδὴ ἡ φυλαργυρία, ἀκολούθησαν ὅλα τὰ ἀγαθά, καὶ στὴ συνέχεια συνδέονταν στενὰ μεταξύ τους, ἐπειδὴ δὲν ὑπῆρχε τίποτε ποὺ νὰ τοὺς διαιρεῖ. Γιατὶ τὸ δικό μου καὶ τὸ δικό σου, αὐτὸς ὁ ψυχρὸς λόγος ποὺ ἔφερε στὴν οἰκουμένη ἄπειρους πολέμους, εἶχε ἐξορισθεῖ ἀπὸ τὴν ἅγια ἐκείνη ἐκκλησία, καὶ κατοικοῦσαν στὴ γῆ ὅπως οἱ ἄγγελοι στὸν οὐρανό, καὶ οὔτε οἱ φτωχοὶ φθονοῦσαν τοὺς πλουσίους (γιατὶ δὲν ὑπῆρχαν πλούσιοι), οὔτε οἱ πλούσιοι περιφρονοῦσαν τοὺς φτωχούς (γιατὶ δὲν ὑπῆρχαν φτωχοί), ἀλλὰ ὅλα τὰ εἶχαν κοινά. «Καὶ κανεὶς δὲ θεωροῦσε ὅτι κάτι ἀπὸ τὰ ὑπάρχοντά του ἦταν δικό του». Γιατὶ τότε δὲ γινόταν ἔτσι, ὅπως γίνεται σήμερα. Τώρα βέβαια ἔχοντας τὰ δικά τους δίνουν σ' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη, τότε ὅμως δὲ γινόταν αὐτό, ἀλλά, ἀφοῦ παραιτήθηκαν ἀπὸ τὴν κυριότητα τῶν δικῶν τους χρημάτων καὶ τὰ κατέθεσαν στὴ μέση καὶ τὰ ἀνέμιξαν, δὲν φαίνονταν πιὰ ἐκεῖνοι ποὺ προηγουμένως ἦταν πλούσιοι. Ὥστε καὶ ἂν ἀκόμη προκαλοῦνταν κάποια ἀλαζονεία ἀπὸ τὴν ὑπεροψία τῶν χρημάτων, καὶ αὐτὴ ἐξαφανιζόταν ἐντελῶς, ἐπειδὴ ὅλοι ἦταν ἴσοι καὶ τὰ χρήματα ὅλων εἶχαν ἀναμιχθεῖ.

Καὶ ὄχι μόνο ἀπ' αὐτό, ἀλλὰ καὶ ἀπὸ τὸν ἴδιο τὸν τρόπο τῆς καταβολῆς εἶναι δυνατὸ νὰ δεῖ κανεὶς τὴν εὐλάβεια. «Γιατὶ ὅσοι εἶχαν χωράφια καὶ σπίτια τὰ πουλοῦσαν καὶ ἔφερναν τὰ

ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων». Οὐκ εἶπεν, ὅτι 'εἰς τὰς χεῖρας αὐτῶν ἐνέβαλλον', ἀλλά, «παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν», τὴν αἰδῶ καὶ τὴν εὐλάβειαν καὶ τὸν φόβον, ὃν περὶ τοὺς ἀποστόλους εἶχον, διὰ τούτου δεικνύντες· οὐ γὰρ διδόναι μᾶλλον ἢ λαμβάνειν ἐνόμιζον. Καὶ τοῦτο γὰρ μάλιστά ἐστιν ὑπεριδεῖν χρημάτων, τοῦτο θρέψαι γνησίως ἐστὶν Χριστόν, ὅταν μὴ μετὰ ἀπονοίας καὶ τύφου τοῦτο ποιῇς, ὅταν ὡς σαυτὸν μᾶλλον ἢ τὸν λαμβάνοντα εὐεργετῶν, οὕτω παρέχῃς. Εἰ γὰρ μὴ οὕτω διάκεισαι, μηδὲ δῷς· εἰ μὴ νομίζεις λαμβάνειν μᾶλλον ἢ διδόναι, μὴ παράσχῃς.

Τοῦτο καὶ ἑτέροις λοιπὸν ὁ Παῦλος ἐμαρτύρησεν, οὕτω λέγων· «γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ, τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, ὅτι ἡ κατὰ βάθος πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν, ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν, αὐθαίρετοι μετὰ πολῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους ἐπλήρωσαν». Ὁρᾷς πῶς αὐτοὺς ἐπὶ τούτῳ θαυμάζει, ὅτι χάριν εἰδότες καὶ δεόμενοι καὶ παρακαλοῦντες, οὕτω τὴν ἐπὶ τῶν χρημάτων δαψίλειαν ἐπεδείκνυντο;

3. Διὰ τοῦτο καὶ τὸν Ἀβραὰμ θαυμάζομεν, οὐχ ὅτι μόσχον ἔθυσε μόνον, οὐδὲ ὅτι ἄλευρα ἐφύρασεν, ἀλλ' ὅτι μετὰ πολλῆς ἡδονῆς καὶ ταπεινοφροσύνης πρὸς ξένους ὑπεδέχετο, προστρέχων, θεραπεύων, κυρίους καλῶν, θησαυρὸν μυρίων ἀγαθῶν εὑρηκέναι νομίζων, εἴ ποτε ἴδοι παριόντα ξένον. Οὕτω γὰρ διπλῆ ἐλεημοσύνη γίνεται, ὅταν καὶ διδῶμεν καὶ διδόντες μετὰ προθυμίας παρέχωμεν. «Ἱλαρὸν γὰρ δότην», φησίν, «ἀγαπᾷ ὁ Θεός». Ἐπεὶ κἂν μυρία καταβάλῃς τάλαντα μετὰ ἀπονοίας καὶ τύφου καὶ κενοδοξίας, τὰ πάντα ἀπώλεσας· καθάπερ ἐκεῖνος ὁ Φαρισαῖος, ὃς ἀποδεκατῶν αὐτοῦ τὰ ὑπάρχοντα, ἐπειδὴ καὶ

10. Πράξ. 4,34.
11. Β' Κορ. 8,1-2.
12. Β' Κορ. 9,7.

χρήματα καὶ τὰ κατέθεταν στὰ πόδια τῶν ἀποστόλων»[10]. Δὲν εἶπε ὅτι 'τὰ ἔδιναν στὰ χέρια τους', ἀλλὰ ὅτι «τὰ κατέθεταν στὰ πόδια τους», δείχνοντας μ' αὐτὸ τὸ σεβασμὸ καὶ τὴν εὐλάβεια καὶ τὸ φόβο ποὺ εἶχαν γιὰ τοὺς ἀποστόλους· γιατὶ θεωροῦσαν ὅτι δὲν ἔδιναν, ἀλλ' ὅτι ἔπαιρναν. Γιατὶ βέβαια αὐτὸ κυρίως σημαίνει νὰ περιφρονεῖς τὰ χρήματα, αὐτὸ σημαίνει νὰ θρέψεις ἀληθινὰ τὸ Χριστό, ὅταν δὲν τὸ κάνεις αὐτὸ μὲ ἀλαζονεία καὶ ἐγωϊσμό, ὅταν δίνεις σὰν νὰ εὐεργετεῖς τὸν ἑαυτό σου περισσότερο παρὰ ἐκεῖνον ποὺ τὰ παίρνει. Γιατὶ ἂν δὲ θεωρεῖς ὅτι παίρνεις μᾶλλον παρὰ δίνεις, μὴ δίνεις.

Αὐτὸ τὸ βεβαίωσε καὶ γιὰ ἄλλους στὴ συνέχεια ὁ Παῦλος, λέγοντας τὰ ἑξῆς· «σᾶς κάνω γνωστή, ἀδελφοί, τὴ χάρη τοῦ Θεοῦ ποὺ δόθηκε στὶς ἐκκλησίες τῆς Μακεδονίας, γιατὶ ἡ μεγάλη φτώχεια τους ξεχείλισε σὲ πλούσια γενναιοδωρία· γιατὶ σύμφωνα μὲ τὶς δυνάμεις τους, τὸ βεβαιώνω αὐτό, καὶ μάλιστα παραπάνω ἀπ' αὐτές, πρόσφεραν αὐτοπροαίρετα καὶ μᾶς ζητοῦσαν μὲ πολλὲς παρακλήσεις νὰ τοὺς κάνουμε τὴ χάρη νὰ πάρουν μέρος στὴν ὑπηρεσία αὐτὴ γιὰ τοὺς ἁγίους»[11]. Βλέπεις πῶς τοὺς θαυμάζει περισσότερο γι' αὐτό, γιὰ τὸ ὅτι δηλαδὴ μὲ εὐγνωμοσύνη καὶ ἱκεσίες καὶ παρακλήσεις ἔδειχναν τὴν τόσο γενναιόδωρη χρηματική τους προσφορά;

3. Γι' αὐτὸ θαυμάζουμε καὶ τὸν 'Αβραάμ, ὄχι μόνο γιατὶ θυσίασε μοσχάρι οὔτε γιατὶ ζύμωσε ἀλεύρι, ἀλλὰ γιατὶ μὲ πολλὴ εὐχαρίστηση καὶ ταπεινοφροσύνη ὑποδεχόταν τοὺς ξένους, τρέχοντας κοντά τους, ἐξυπηρετώντας τους, ἀποκαλώντας τους κυρίους, νομίζοντας πὼς βρῆκε θησαυρὸ ἄπειρων ἀγαθῶν, ἂν κάποτε ἔβλεπε νὰ πλησιάζει ξένος. Ἔτσι λοιπὸν γίνεται διπλὴ ἡ ἐλεημοσύνη, ὅταν καὶ δίνουμε καὶ δίνοντας τὰ προσφέρουμε μὲ προθυμία. Γιατὶ λέγει, «ὁ Θεὸς ἀγαπάει τὸ χαρούμενο δωρητή»[12]. Γιατὶ καὶ ἂν ἀκόμη ἄπειρα τάλαντα προσφέρεις μὲ ἀλαζονεία καὶ ἐγωϊσμὸ καὶ ματαιοδοξία, ἔχασες τὰ πάντα· ὅπως ἀκριβῶς ἐκεῖνος ὁ Φαρισαῖος ποὺ πρόσφερε τὸ ἕνα δέκατο ἀπὸ τὰ ὑπάρχοντά του, ἐπειδὴ ὑπερηφανευόταν καὶ φούσκωνε ἀπὸ

μέγα ἐφρόνει καὶ ἐφυσᾶτο, πάντα ἀπολέσας, οὕτω καλῆλθεν ἀπὸ τοῦ ἱεροῦ.

Οὐκ ἐπὶ τῶν ἀποστόλων δὲ οὕτως, ἀλλὰ χαίροντες, ἀγαλλόμενοι, κερδαίνειν τὰ μέγιστα νομίζοντες, οὕτως ἔφερον τὰ χρήματα, καὶ ἀγαπητὸν εἶναι ἐνόμιζον, εἰ καταξιώσειαν οἱ ἀπόστολοι δέξασθαι. Καὶ καθάπερ πρὸς τὰς μεγάλας τινὲς ἀρχὰς καλούμενοι καὶ τὰς βασιλικωτέρας τῶν πόλεων μέλλοντες οἰκεῖν, διαπαντὸς τὴν οὐσίαν αὐτῶν πᾶσαν ἐξαργυρίσαντες, οὕτω μεθίστανται, οὕτω δὴ καὶ οἱ ἄνθρωποι τότε ἐποίουν ἐκεῖνοι, πρὸς τὸν οὐρανὸν κληθέντες, εἰς τὴν ἄνω μητρόπολιν καὶ τὴν ἐκεῖ βασιλείαν. Ἐπειδὴ γὰρ ᾔδεσαν, ὅτι ἐκείνη ὄντως αὐτῶν ἐστιν ἡ πατρίς, ἐξαργυρίσαντες τὴν ἑαυτῶν οὐσίαν, διὰ τῶν ἀποστολικῶν αὐτὴν χειρῶν ἐκεῖ προέπεμπον. Καὶ γὰρ ἐσχάτης ἀνοίας ἐστὶν ἀφεῖναί τι τῶν ἡμετέρων ἐναπομεῖναι ἐνταῦθα, ἡμῶν μικρὸν ὕστερον μελλόντων ἐντεῦθεν ἀποδημεῖν· καὶ γὰρ ὅπερ ἀπολειφθῇ, ζημία γίνεται. Πάντα τοίνυν ἐκεῖ προπεμπέσθω, ἔνθα καὶ ἡμεῖς διαπαντὸς διατρίβειν μέλλομεν λοιπόν. Ταῦτα γὰρ καὶ αὐτοὶ λογισάμενοι, πᾶσαν ἀπεδύσαντο τὴν οὐσίαν, καὶ διπλοῦν ἐγίνετο τὸ κατόρθωμα· καὶ γὰρ τοῖς δεομένοις τὴν πενίαν διώρθουν, καὶ πλείω καὶ ἀσφαλεστέραν τὴν αὐτῶν οὐσίαν ἐποίουν, εἰς τὸν οὐρανὸν τοὺς ἑαυτῶν μετατιθέντες θησαυρούς.

Ἐκ τούτου τοίνυν τοῦ νόμου καὶ τοῦ ἔθους ἐγένετό τις συνήθεια θαυμαστὴ τότε ἐν ταῖς ἐκκλησίαις· συνιόντες γὰρ οἱ πιστοὶ πάντες μετὰ τὴν τῆς διδασκαλίας ἀκρόασιν, μετὰ τὰς εὐχάς, μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν, τῆς συνάξεως λυθείσης, οὐκ ἀνεχώρουν εὐθέως οἴκαδε, ἀλλ' οἱ πλούσιοι καὶ εὐπορώτεροι φέροντες οἴκοθεν τροφὰς καὶ ἐδέσματα, τοὺς πένητας ἐκάλουν καὶ κοινὰς ἐποιοῦντο τραπέζας, κοινὰς ἑστιάσεις, κοινὰ συμπόσια ἐν αὐτῇ τῇ ἐκκλησίᾳ· ὥστε ἀπὸ τῆς κοινωνίας τῆς κατὰ τὴν τράπεζαν καὶ ἀπὸ τῆς εὐλαβείας τῆς ἀπὸ τοῦ τόπου,

13. Βλ. Λουκᾶ. 18,10–14.

ὑπερηφάνεια γι' αὐτό, ἀφοῦ τὰ ἔχασε ὅλα, ἔτσι κατέβηκε ἀπὸ τὸ ναό[13].

Δὲ γινόταν ὅμως τὸ ἴδιο καὶ κατὰ τὴν ἐποχὴ τῶν ἀποστόλων, ἀλλὰ μὲ χαρά, μὲ ἀγαλλίαση, νομίζοντας πὼς ἀποκόμιζαν μεγάλα κέρδη, ἔτσι πρόσφεραν τὰ χρήματα καὶ θεωροῦσαν πὼς ἦταν τιμητικὸ ἂν καταδέχονταν οἱ ἀπόστολοι νὰ τὰ δεχθοῦν. Καὶ ὅπως μερικοὶ ὅταν καλοῦνται στὰ μεγάλα ἀξιώματα καὶ πρόκειται νὰ κατοικήσουν στὶς πιὸ σημαντικὲς πόλεις, ἀφοῦ πουλήσουν μιὰ γιὰ πάντα ὅλη τὴν περιουσία τους, ὕστερα μετακινοῦνται, ἔτσι ἀκριβῶς ἔκαναν τότε καὶ οἱ ἄνθρωποι ἐκεῖνοι, ἐπειδὴ κλήθηκαν στὸν οὐρανό, στὴν οὐράνια μητρόπολη καὶ στὴν ἐκεῖ βασιλεία. Ἐπειδὴ δηλαδὴ γνώριζαν ὅτι ἐκείνη εἶναι ἡ ἀληθινὴ πατρίδα τους, ἀφοῦ πουλοῦσαν τὴν περιουσία τους, τὴν ἔστελναν ἐκεῖ μὲ τὰ χέρια τῶν ἀποστόλων. Γιατὶ πραγματικὰ εἶναι δεῖγμα τῆς χειρότερης ἀνοησίας νὰ ἀφήσουμε κάτι ἀπὸ τὰ δικά μας νὰ παραμείνει ἐδῶ, ἐνῶ ἐμεῖς πρόκειται ὕστερα ἀπὸ λίγο νὰ φύγουμε ἀπὸ ἐδῶ· γιατὶ αὐτὸ ποὺ θὰ μείνει, γίνεται ζημία. Ὅλα λοιπὸν ἂς τὰ στέλνουμε ἀπὸ πρὶν ἐκεῖ, ὅπου καὶ ἐμεῖς πρόκειται στὴ συνέχεια νὰ ζήσουμε γιὰ πάντα. Αὐτὰ ἀκριβῶς καὶ ἐκεῖνοι σκεπτόμενοι, πρόσφεραν ὅλη τὴν περιουσία τους, καὶ τὸ κατόρθωμα γινόταν διπλό. Γιατὶ καὶ τὴ φτώχεια διόρθωναν ἐκείνων ποὺ εἶχαν ἀνάγκη καὶ τὴν περιουσία τους τὴν ἔκαναν μεγαλύτερη καὶ ἀσφαλέστερη, ἀφοῦ μετέφεραν στὸν οὐρανὸ τοὺς θησαυρούς τους.

Ἀπ' αὐτὸν λοιπὸν τὸ νόμο καὶ τὸ ἔθιμο ἔγινε τότε στὶς ἐκκλησίες κάποια συνήθεια θαυμαστή. Συγκεντρωμένοι λοιπὸν ὅλοι οἱ πιστοὶ μετὰ τὴν ἀκρόαση τοῦ κηρύγματος, μετὰ τὶς προσευχές, μετὰ τὴν κοινωνία τῶν μυστηρίων, ὅταν διαλυόταν ἡ σύναξη, δὲν ἀναχωροῦσαν ἀμέσως γιὰ τὰ σπίτια τους ἀλλ' οἱ πλούσιοι καὶ πιὸ εὔποροι φέρνοντας ἀπὸ τὸ σπίτι τροφὲς καὶ φαγητὰ καλοῦσαν τοὺς φτωχοὺς καὶ ἔκαναν κοινὰ τραπέζια, κοινὲς συνεστιάσεις, κοινὰ συμπόσια μέσα στὴν ἴδια τὴν ἐκκλησία, ὥστε καὶ ἀπὸ τὴ συμμετοχὴ στὸ τραπέζι καὶ ἀπὸ τὴν ἱερότητα τοῦ τόπου καὶ ἀπὸ παντοῦ νὰ δένεται ἡ ἀγάπη τους

καὶ πανταχόθεν τὴν ἀγάπην αὐτοῖς ἐπισφίγγεσθαι, καὶ πολλὴν μὲν τὴν ἡδονήν, πολλὴν δὲ αὐτοῖς γίνεσθαι τὴν ὠφέλειαν. Οἵ τε γὰρ πένητες παραμυθίας ἀπέλαυον οὐ τῆς τυχούσης, καὶ οἱ πλουτοῦντες πολλὴν εὔνοιαν καὶ παρὰ τῶν τρεφομένων καὶ παρὰ τοῦ Θεοῦ, δι' ὃν ταῦτα ἐποίουν, καρπωσάμενοι πολλὴν τὴν χάριν, οὕτως ἀπῄεσαν οἴκαδε. Καὶ μυρία ἐκ τοῦ πράγματος τούτου ἐγίνετο τὰ ἀγαθά, καὶ τὸ πάντων κεφάλαιον, ἡ φιλία θερμοτέρα ἦν καθ' ἑκάστην σύναξιν, μετὰ τοσαύτης φιλοφροσύνης ἀλλήλοις συνημμένων αὐτῶν εὐεργετούντων τε αὐτῶν καὶ εὐεργετουμένων.

Τοῦτο τοίνυν τὸ ἔθος Κορίνθιοι, τοῦ χρόνου προϊόντος, διέφθειρον, καὶ καθ' ἑαυτοὺς ἑστιώμενοι οἱ εὐπορώτεροι τοὺς πένητας παρεώρουν καὶ οὐκ ἀνέμενον ὑστερίζοντας πολλάκις καὶ ὑπὸ βιωτικῶν χρειῶν, οἷα τὰ τῶν πενήτων, κατεχομένους καὶ βραδύνοντας. Ἐκ δὲ τούτου συνέβαινε παραγενομένους αὐτοὺς ὕστερον μετὰ αἰσχύνης ἀναχωρεῖν, τῆς τραπέζης ἀναιρεθείσης, φθανόντων τούτων, κἀκείνων ὑστεριζόντων. Ὁρῶν τοίνυν ὁ Παῦλος ἐκ τοῦ πράγματος τούτου πολλὰ κακά, τὰ μὲν γινόμενα, τὰ δὲ μέλλοντα (καὶ γὰρ καταφρόνησις τῶν πενήτων τοῖς πλουσίοις ἐγίνετο καὶ ὑπεροψία πλείων, καὶ τοῖς πένησιν ἀθυμία καὶ ἀπέχθεια πρὸς τοὺς πλουτοῦντας, καὶ ὅσα ἄλλα εἰκὸς ἦν ἀπὸ τούτων τεχθῆναι τῶν κακῶν), διορθοῦται τὴν πονηρὰν ταύτην καὶ πικρὰν συνήθειαν.

Καὶ ὅρα μεθ' ὅσης συνέσεως καὶ ἐπιεικείας εἰς τὴν διόρθωσιν ἐνέβαλεν. Ἀρχόμενος γὰρ οὕτω φησί· «τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε». Τί δέ ἐστιν, «οὐκ εἰς τὸ κρεῖττον»; Οἱ πρόγονοι, φησίν, οἱ ὑμέτεροι καὶ οἱ πατέρες καὶ τὰς ἑαυτῶν οὐσίας ἐπώλουν καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις, καὶ κοινὰ πάντα εἶχον καὶ πολλὴν πρὸς ἀλλήλους τὴν ἀγάπην· ὑμεῖς δὲ ὀφείλοντες ἐκείνους ζηλοῦν, οὐ μόνον οὐδὲν ἐποιήσατε τοιοῦτον, ἀλλὰ καὶ ὅπερ εἴχετε μόνον, καὶ τοῦτο ἀπωλέσατε, τὰ συμπόσια τὰ κατὰ

14. Α' Κορ. 1,17.

καὶ νὰ γίνεται μεγάλη ἡ εὐχαρίστηση καὶ μεγάλη ἡ ὠφέλειά τους. Γιατὶ καὶ οἱ φτωχοὶ ἀπολάμβαναν ὄχι μικρὴ παρηγοριά, καὶ οἱ πλούσιοι πολλὴ εὔνοια καὶ ἀπ' αὐτοὺς ποὺ ἔτρεφαν καὶ ἀπὸ τὸ Θεό, γιὰ τὸν ὁποῖο τὰ ἔκαναν αὐτά, καὶ ἀφοῦ κέρδιζαν πολλὴ χάρη, ἔτσι ἐπέστρεφαν στὰ σπίτια τους. Καὶ ἀπὸ τὸ πράγμα αὐτὸ προέρχονταν ἄπειρα ἀγαθά, καὶ τὸ πιὸ σπουδαῖο ἀπ' ὅλα, ἡ ἀγάπη σὲ κάθε σύναξη γινόταν θερμότερη, ἀφοῦ μὲ τόση φιλοφροσύνη ἦταν ἑνωμένοι μεταξύ τους καὶ εὐεργέτες καὶ εὐεργετούμενοι.

Αὐτὴ λοιπὸν τὴ συνήθεια, μὲ τὸ πέρασμα τοῦ χρόνου, οἱ Κορίνθιοι τὴ διέφθειραν καὶ οἱ πιὸ εὔποροι τρώγοντας μόνοι τους παρέβλεπαν τοὺς φτωχοὺς καὶ δὲν περίμεναν αὐτοὺς ποὺ πολλὲς φορὲς ἔρχονταν ἀργότερα, ἐπειδὴ τοὺς κρατοῦσαν οἱ βιοτικὲς ἀνάγκες, ὅπως εἶναι οἱ ἀνάγκες τῶν φτωχῶν, καὶ ἀργοποροῦσαν. Καὶ ἔτσι συνέβαινε, ἐπειδὴ ἔρχονταν αὐτοὶ ἀργότερα, νὰ ἀναχωροῦν καταντροπιασμένοι, ἀφοῦ τὸ τραπέζι εἶχε σηκωθεῖ, ἐνῶ ἄλλοι προλάβαιναν, ἄλλοι ὅμως ὄχι λόγω τῆς ἀργοπορίας τους. Βλέποντας λοιπὸν ὁ Παῦλος ὅτι ἀπὸ τὸ πράγμα αὐτὸ τὰ κακὰ ἦταν πολλά, ἄλλα νὰ γίνονται καὶ ἄλλα νὰ πρόκειται νὰ συμβοῦν (γιατὶ καὶ περιφρόνηση τῶν φτωχῶν γινόταν ἀπὸ τοὺς πλουσίους καὶ ὑπεροψία περισσότερη, καὶ στοὺς φτωχοὺς δυσφορία καὶ μίσος γιὰ τοὺς πλουσίους καὶ ὅσα ἄλλα ἦταν φυσικὸ νὰ προκληθοῦν ἀπὸ τὰ κακὰ αὐτά), διορθώνει τὴν κακὴ καὶ πικρὴ αὐτὴ συνήθεια.

Καὶ πρόσεχε μὲ πόση σύνεση καὶ ἐπιείκεια προχώρησε στὴ διόρθωση. Γιατὶ ἀρχίζοντας λέγει τὰ ἑξῆς· «δίνοντας τὶς παρακάτω παραγγελίες δὲ σᾶς ἐπαινῶ, γιατὶ οἱ συνάξεις σας γίνονται πιὸ πολὺ ὄχι πρὸς τὸ καλύτερο ἀλλὰ πρὸς τὸ χειρότερο»[14]. Καὶ τί σημαίνει, «ὄχι πρὸς τὸ καλύτερο»; Οἱ δικοί σας πρόγονοι, λέγει, καὶ οἱ πατέρες πουλοῦσαν καὶ τὶς περιουσίες τους καὶ τὰ κτήματα καὶ τὰ ὑπάρχοντά τους, καὶ εἶχαν κοινὰ τὰ πάντα καὶ πολλὴ μεταξύ τους ἀγάπη, ἐνῶ σεῖς, παρ' ὅλο ποὺ ὀφείλατε νὰ τοὺς μιμεῖστε, ὄχι μόνο δὲν κάνατε τίποτε τέτοιο, ἀλλὰ καὶ αὐτὸ ποὺ εἴχατε μόνο, καὶ αὐτὸ τὸ χάσατε, τὰ συμπό-

σύναξιν γινόμενα· διὰ τοῦτό φησιν, «ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλὰ εἰς τὸ ἧττον συνέρχεσθε». Καὶ ἐκεῖνοι μὲν καὶ τῶν κτημάτων ἁπάντων τοῖς πένησι παρεχώρησαν, ὑμεῖς δὲ τραπέζης αὐτοῖς μεταδιδόντες, καὶ ταύτης ἀπεστερήσατε. «Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ, ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν καὶ μέρος τι καὶ πιστεύω».

4. Ὅρα πῶς πάλιν συνετῶς ποιεῖται τὴν διόρθωσιν. Οὐκ εἶπεν, 'οὔτε ἀπιστῶ, οὔτε πιστεύω', ἀλλὰ μέσον ἀφῆκε τὸ ῥῆμα, ὅτι «μέρος τι καὶ πιστεύω»· οὐ πιστεύω τέλεον, ἀλλ' οὐδὲ ἀπιστῶ τέλεον· τοῦ δὲ ἢ τοῦτο ἢ ἐκεῖνο συμβῆναι παντελῶς ὑμεῖς κύριοι. Ἂν μὲν γὰρ διορθώσησθε, οὐ πιστεύω, ἂν δὲ ἐπὶ τῶν αὐτῶν μείνητε, πιστεύω. Οὔτε οὖν κατηγόρησε, καὶ κατηγόρησεν. Οὐ κατηγόρησεν ἀπηρτισμένως, ἵνα αὐτοῖς ἐλπίδα δῷ διορθώσεώς καὶ προθεσμίαν μετανοίας· οὐκ ἀφῆκεν ἀνεγκλήτους, ἵνα μὴ ἐπὶ τῆς αὐτῆς μείνωσι ῥᾳθυμίας. Οὔπω τέλεον ἐπίστευσα, φησί· τοῦτο γάρ ἐστι τὸ εἰπεῖν, «μέρος τι πιστεύω». Τοῦτο δὲ ἔλεγε προτρέπων μεταβαλέσθαι καὶ διορθώσασθαι καὶ ἀπαγαγεῖν αὐτὸν τοῦ κἂν ἐκ μέρους πιστεῦσαί τι κατ' αὐτῶν τοιοῦτον.

«Δεῖ γὰρ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν». Εἰπὲ οὖν τὰς αἱρέσεις. Ἐνταῦθα προσέχετε, ὅτι οὐ περὶ δογμάτων ἐστὶ τό, «δεῖ αἱρέσεις ἐν ὑμῖν εἶναι», ἀλλὰ περὶ τῆς διχονοίας τῆς κατὰ τὰς τραπέζας. Εἰπὼν γάρ, «δεῖ δὲ καὶ αἱρέσεις εἶναι», ἐπήγαγε καὶ τὸν τρόπον τῶν αἱρέσεων· «συνερχομένων γὰρ ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν». Τί ἐστι, «κυριακὸν δεῖπνον φαγεῖν»; Δεσποτικὸν δεῖπνον, φησίν, οὐκ ἔστι φαγεῖν· ἐκεῖνο λέγων τὸ δεῖπνον, ὃ τῇ ἐσχάτῃ νυκτὶ παρέδωκεν ὁ Χριστός, ὅτε οἱ μαθηταὶ μετ' αὐτοῦ πάντες ἦσαν. Ἐν ἐκείνῳ γὰρ τῷ δείπνῳ καὶ Δεσπότης καὶ δοῦλοι πάντες ὁμοῦ κατέκειντο, ὑμεῖς δὲ σύνδουλοι ὄντες ἀλλήλους διεστήσατε καὶ ἀπεσχίσατε. Κἀκεῖνος μὲν οὐδὲ τὸν προδότην ἀπήλασε

15. Α' Κορ. 11,18.

16. Α' Κορ. 11,20.

σια δηλαδὴ ποὺ γίνονταν στὴ σύναξη. Γι' αὐτὸ λέγει· «οἱ συνάξεις σας γίνονται πιὸ πολὺ ὄχι πρὸς τὸ καλύτερο ἀλλὰ πρὸς τὸ χειρότερο». Καὶ ἐκεῖνοι παραχώρησαν καὶ τὰ κτήματά τους ὅλα στοὺς φτωχούς, ἐνῶ ἐσεῖς προσφέροντας σ' αὐτοὺς τὸ δεῖπνο καὶ αὐτὸ τοὺς τὸ στερήσατε. «Καὶ πρῶτο ἀπ' ὅλα ἀκούω πὼς ὅταν μαζεύεστε στὴν ἐκκλησία ὑπάρχουν ἀνάμεσά σας διαιρέσεις, καὶ ἕνα μέρος ἀπ' αὐτὰ τὰ πιστεύω»[15].

4. Πρόσεχε πῶς πάλι μὲ σύνεση κάνει τὴ διόρθωση. Δὲν εἶπε, οὔτε 'δὲν τὰ πιστεύω', οὔτε 'τὰ πιστεύω', ἀλλὰ κάτι ἀνάμεσα στὰ δύο, «καὶ ἕνα μέρος ἀπ' αὐτὰ τὰ πιστεύω». Δὲν τὰ πιστεύω τελείως, οὔτε ὅμως δὲν τὰ πιστεύω τελείως. Ἀπὸ σᾶς ἐξαρτᾶται ἐντελῶς νὰ συμβεῖ τὸ ἕνα ἢ τὸ ἄλλο. Γιατὶ ἂν τὰ διορθώσετε, δὲν τὰ πιστεύω· ἂν ὅμως ἐπιμείνετε στὰ ἴδια, τὰ πιστεύω. Οὔτε λοιπὸν τοὺς κατηγόρησε, ἀλλὰ καὶ τοὺς κατηγόρησε. Δὲν τοὺς κατηγόρησε τελείως, γιὰ νὰ τοὺς δώσει ἐλπίδα γιὰ διόρθωση καὶ προθεσμία γιὰ μετάνοια. Δὲν τοὺς ἄφησε ἀκατηγόρητους, γιὰ νὰ μὴ παραμείνουν στὴ ραθυμία τους αὐτή. Δὲν τὰ πίστεψα ἀκόμη ὅλα, λέγει· γιατὶ αὐτὸ σημαίνει τὸ νὰ πεῖ, «ἕνα μέρος ἀπ' αὐτὰ τὰ πιστεύω». Καὶ τὸ ἔλεγε αὐτὸ προτρέποντάς τους ν' ἀλλάξουν καὶ νὰ διορθωθοῦν καὶ νὰ μὴ τὸν κάνουν νὰ πιστέψει, ἔστω καὶ μερικῶς κάτι τέτοιο ἐναντίον τους.

«Πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις μεταξύ σας, γιὰ νὰ φαίνονται ἀνάμεσά σας οἱ ἀληθινὰ πιστοί». Πὲς λοιπὸν τὶς αἱρέσεις. Ἐδῶ προσέχετε ὅτι «πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις μεταξύ σας» δὲ λέγεται γιὰ τὰ δόγματα, ἀλλὰ γιὰ τὴ διχόνοια στὰ δεῖπνα. Γιατὶ ἀφοῦ εἶπε, «πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις», πρόσθεσε καὶ τὸν τρόπο τῶν αἱρέσεων· «γιατὶ ὅταν μαζεύεστε ὅλοι μαζὶ δὲν τρῶτε κυριακὸ δεῖπνο»[16]. Τί σημαίνει «δὲν τρῶτε κυριακὸ δεῖπνο»; Δεσποτικὸ δεῖπνο, λέγει, δὲν τρῶτε, ἐννοώντας ἐκεῖνο τὸ δεῖπνο ποὺ παρέδωσε ὁ Χριστὸς τὴν τελευταία νύχτα, ὅταν ὅλοι οἱ μαθητὲς ἦταν μαζί του. Γιατὶ σ' ἐκεῖνο τὸ δεῖπνο καὶ Δεσπότης καὶ δοῦλοι κάθονταν ὅλοι μαζί, ἐνῶ ἐσεῖς, ἂν καὶ εἶστε σύνδουλοι μεταξύ σας, χωρισθήκατε καὶ διαιρεθή-

(καὶ γὰρ ὁ Ἰούδας μετ' αὐτῶν ἦν τότε), σὺ δὲ τὸν ἀδελφὸν διακρούῃ. Διὰ τοῦτό φησιν, «οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν», κυριακὸν δεῖπνον καλῶν, τὸ μεθ' ὁμονοίας, τὸ κοινῇ πάντων συγκεκλημένων.

«Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει». Καὶ οὐκ εἶπεν, 'ὃς μὲν πεινᾷ, ὃς δὲ ἐσθίει', ἀλλὰ τῷ τῆς μέθης ὀνόματι μᾶλλον αὐτῶν καθήψατο. Κἀκεῖ καὶ ἐνταῦθα ἀμετρία, φησί. Σὺ μὲν ὑπὸ τῆς ἀδηφαγίας διαρρήγνυσαι, ἐκεῖνος δὲ ὑπὸ τοῦ λιμοῦ τήκεται· σὺ καὶ τῶν ὑπὲρ τὴν χρείαν μετέχεις, ἐκεῖνος δὲ οὐδὲ τῶν ἀναγκαίων ἀπέλαυσε. Διπλοῦν τὸ δεινόν, τῆς ἰσότητος διαφθαρείσης. Τοῦτο αἱρέσεις καλεῖ· ἐπειδὴ φιλονείκως πρὸς ἀλλήλους διέκειντο καὶ διεστασίαζον, καὶ ὃς μὲν ἐπείνα, ὃς δὲ ἐμέθυε. Καὶ καλῶς εἶπε, «συνερχομένων ὑμῶν ἐπὶ τὸ αὐτό». Τίνος γὰρ ἕνεκεν συνέρχεσθε; φησί· τί βούλεται ἡ σύνοδος; τίνος ἕνεκεν ἡ συλλογὴ κοινή, ὅταν ἡ τράπεζα μὴ γίνηται κοινή; Δεσποτικά ἐστι τὰ χρήματα, ἅπερ ἐλάβομεν· κοινὰ προκείσθω τοίνυν τοῖς συνδούλοις τοῖς ἡμετέροις. «Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε», φησί, «καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας;». Σὺ μὲν νομίζεις, φησί, τὸν ἀδελφὸν ὑβρίζειν μόνον, κοινωνεῖ δὲ καὶ ὁ τόπος τῆς ὕβρεως. Ἐκκλησίας γὰρ ὁλοκλήρου καταφρονεῖς. Ἐκκλησία γὰρ διὰ τοῦτο λέγεται, ὅτι κοινῇ πάντας ὑποδέχεται.

Τί τοίνυν τῆς οἰκίας σου τὴν εὐτέλειαν εἰς τὴν ἐκκλησίαν εἰσάγεις; Εἰ γὰρ καταφρονεῖς τοῦ ἀδελφοῦ, αἰδέσθητι τὸν τόπον· καὶ γὰρ ἡ ἐκκλησία ὑβρίζεται. Καὶ οὐκ εἶπεν, 'ἀποστερεῖτε τοὺς μὴ ἔχοντας' ἢ 'οὐκ ἐλεεῖτε τοὺς μὴ ἔχοντας', ἀλλὰ τί; «Καταισχύνετε τοὺς μὴ ἔχοντας». Ἐντρεπτικώτατα τὴν ἀσωτίαν αὐτῶν ἐτραγῴδησεν. Οὐ γὰρ οὕτω μέλει τῷ πένητι, φησίν, ὑπὲρ τῆς τροφῆς, ὡς ὑπὲρ τῆς ὕβρεως. Ὅρα πῶς καὶ ὑπὲρ τούτου σεμνῶς ἀπελογήσατο, κἀκείνων σφοδρότερον καθήψατο. «Τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς; Ἐν τούτῳ οὐκ ἐπαινῶ». Τί τοῦτο;

---

17. Α' Κορ. 11,21.
18. Α' Κορ. 11,22.

κατε. Καὶ ἐκεῖνος οὔτε τὸν προδότη ἔδιωξε (γιατὶ καὶ ὁ Ἰούδας ἦταν μαζί τους τότε), ἐνῶ ἐσὺ ἀποστρέφεσαι τὸν ἀδελφό σου. Γι' αὐτὸ λέγει, «δὲν τρῶτε κυριακὸ δεῖπνο», ὀνομάζοντας κυριακὸ δεῖπνο ἐκεῖνο ποὺ γίνεται μὲ ὁμόνοια καὶ σὲ κοινὴ σύναξη ὅλων.

«Γιατὶ ὁ καθένας βιάζεται νὰ φάει τὸ δικό του δεῖπνο καὶ ἄλλος πεινάει, ἐνῶ ἄλλος μεθάει»[17]. Καὶ δὲν εἶπε, 'ἄλλος πεινάει καὶ ἄλλος τρώγει', ἀλλὰ μὲ τὸ ὄνομα τῆς μέθης τοὺς ἔλεγξε περισσότερο. Καὶ ἐκεῖ, λέγει, καὶ ἐδῶ ὑπερβολή. Ἐσὺ βέβαια σκάζεις ἀπὸ τὴν πολυφαγία, ἐνῶ ἐκεῖνος λείωνει ἀπὸ τὴν πείνα· ἐσὺ μετέχεις καὶ στὰ μὴ ἀπαραίτητα, ἐνῶ ἐκεῖνος δὲν ἀπόλαυσε οὔτε τὰ ἀναγκαῖα. Διπλὸ τὸ κακό, ἀφοῦ καταστράφηκε ἡ ἰσότητα. Αὐτὸ ὀνομάζει αἱρέσεις· ἐπειδὴ φιλονεικοῦσαν μεταξύ τους καὶ χωρίζονταν σὲ φατρίες, καὶ ἔτσι ἄλλος πεινοῦσε καὶ ἄλλος μεθοῦσε. Καὶ καλὰ εἶπε, «ὅταν μαζεύεστε ὅλοι μαζί». Γιὰ ποιό λόγο ἡ συγκέντρωση εἶναι κοινή, ὅταν τὸ τραπέζι δὲ γίνεται κοινό; Τὰ ἀγαθὰ ποὺ λάβαμε εἶναι τοῦ Κυρίου· ἂς παρατίθενται λοιπὸν κοινὰ στοὺς συνδούλους μας. «Μήπως δὲν ἔχετε γιὰ νὰ τρῶτε καὶ νὰ πίνετε; Ἢ περιφρονεῖτε τὴν ἐκκλησία τοῦ Θεοῦ», λέγει, «καὶ ντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν φαγητό;»[18]. Ἐσὺ βέβαια νομίζεις, λέγει, ὅτι προσβάλλεις μόνο τὸν ἀδελφό, ἀλλὰ καὶ ὁ τόπος μετέχει στὴν προσβολή. Γιατὶ περιφρονεῖς ὁλόκληρη τὴν ἐκκλησία. Ἄλλωστε γι' αὐτὸ λέγεται ἐκκλησία, ἐπειδὴ τοὺς δέχεται ὅλους μαζί.

Γιατὶ λοιπὸν μεταφέρεις στὴν ἐκκλησία τὴν εὐτέλεια τοῦ σπιτιοῦ σου; Ἂν περιφρονεῖς τὸν ἀδελφό, σεβάσου τὸν τόπο, γιατὶ καὶ ἡ ἐκκλησία προσβάλλεται. Καὶ δὲν εἶπε, 'ἀποστερεῖτε ἐκείνους ποὺ δὲν ἔχουν' ἢ 'δὲν ἐλεεῖτε ἐκείνους ποὺ δὲν ἔχουν', ἀλλὰ τί; «καταντροπιάζετε ἐκείνους ποὺ δὲν ἔχουν». Μὲ τρόπο γεμάτο ἀπὸ κατηγορία διεκτραγώδησε τὴν ἀσωτία τους. Γιατὶ τὸ φτωχό, λέγει, δὲν τὸν ἐνδιαφέρει τόσο γιὰ τὴν τροφὴ ὅσο γιὰ τὴν προσβολή. Πρόσεχε πῶς καὶ γι' αὐτὸν ἀπολογήθηκε μὲ σεμνότητα καὶ ἐκείνους σφοδρότερα τοὺς ἐπιτίμησε. «Τί νὰ σᾶς πῶ; νὰ σᾶς ἐπαινέσω; Δὲ σᾶς ἐπαινῶ γι' αὐτό». Τί σημαίνει

Μετὰ τὴν ἀπόδειξιν τῆς ἀτοπίας ὑφειμένη ἡ κατηγορία, καὶ μάλα εἰκότως, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. Πρὶν ἢ μὲν γὰρ ἀποδεῖξαι τὸ πρᾶγμα ἄτοπον, ἀπηρτισμένην ἐξήνεγκε τὴν ἀπόφασιν, εἰπών· «τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ»· ὅτε δὲ ἀπέδειξεν ἀκριβῶς πολλῶν ὄντας ἐγκλημάτων ἀξίους, ὑφειμένῃ κέχρηται τῇ διαβολῇ, τῇ τῶν εἰρημένων κατασκευῇ καὶ ἀποδείξει τὸ σφοδρότερον τῆς κατηγορίας ἀφεὶς ἐναποκεῖσθαι.

Εἶτα ἐπὶ τὴν μυστικὴν τράπεζαν ἐξάγει τὸν λόγον, μειζόνως αὐτοὺς φοβῆσαι βουλόμενος. «Ἐγὼ» γάρ, φησί, «παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν». Ποία ἀκολουθία αὕτη; Περὶ ἀρίστου διαλέγῃ κοινοῦ, καὶ μυστηρίων φρικτῶν μέμνησαι; Ναί, φησίν. Εἰ γὰρ τὰ πνευματικὰ ἐκεῖνα, εἰ γὰρ ἡ τράπεζα ἡ φρικώδης κοινὴ πᾶσι πρόκειται, καὶ πλουσίῳ καὶ πένητι, καὶ οὐχὶ δαψιλέστερον ἀπολαύει ταύτης ὁ πλούσιος, οὐδὲ ἔλαττον ὁ πένης, ἀλλὰ μία τιμὴ καὶ πρόσοδος μία· καὶ ἕως ἂν πάντες μετασχῶσι καὶ κοινωνήσωσι τῆς πνευματικῆς καὶ ἱερᾶς ταύτης τραπέζης, οὐ συστέλλεται τὰ προκείμενα, ἀλλ' ἑστήκασιν οἱ ἱερεῖς ἅπαντες, καὶ τὸν πάντων πενέστερον καὶ εὐτελέστερον ἀναμένοντες, πολλῷ μᾶλλον ἐπὶ τῆς αἰσθητῆς τοῦτο χρὴ ποιεῖν. Διὰ τοῦτο ἐμνήσθην ἐκείνου τοῦ κυριακοῦ δείπνου. «Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτί, ᾗ περαδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ πολλῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι».

5. *Εἶτα πολλὰ διαλεχθεὶς περὶ τῶν ἀναξίως κοινωνούντων τοῖς μυστηρίοις καὶ σφόδρα αὐτῶν καθαψάμενος καὶ διελέγξας, διδάξας τε ὅτι τοῖς τὸν Χριστὸν ἀποκτείνασι τὴν αὐτὴν ὑποστήσονται τιμωρίαν οἱ τὸ αἷμα αὐτοῦ καὶ τὸ σῶμα ἁπλῶς καὶ ὡς*

---

19. Α' Κορ. 11,23.
20. Α' Κορ. 11,23–25.

αὐτό; Μετὰ τὴν ἀπόδειξη τῆς ἀπρέπειας κατεβαίνει ὁ τόνος τῆς κατηγορίας, καὶ πολὺ φυσικά, γιὰ νὰ μὴ γίνουν πιὸ ἀδιάντροποι. Γιατὶ πρὶν ἀκόμη ἀποδείξει τὴν ἀπρέπεια τοῦ πράγματος ἔβγαλε ὁλοκληρωμένη τὴν ἀπόφαση λέγοντας· «καὶ παραγγέλλοντας δὲ σᾶς ἐπαινῶ», ὅταν ὅμως ἀπέδειξε μὲ ἀκρίβεια ὅτι εἶναι ἄξιοι γιὰ πολλὲς κατηγορίες, χρησιμοποιεῖ σὲ χαμηλότερο τόνο τὴν κατηγορία, ἀφήνοντας τὸ σφοδρότερο μέρος τῆς κατηγορίας νὰ βρίσκεται στὴν ὅλη πλοκὴ τοῦ λόγου καὶ στὴν ἀπόδειξη.

Ἔπειτα μεταφέρει τὸ λόγο στὸ μυστικὸ τραπέζι θέλοντας νὰ τοὺς φοβήσει περισσότερο. «Γιατὶ ἐγώ», λέγει, «παρέλαβα ἀπὸ τὸν Κύριο αὐτὸ ποὺ σᾶς παρέδωσα»[19]. Τί σχέση ἔχει αὐτὸ μὲ τὰ προηγούμενα; Μιλᾶς γιὰ κοινὸ δεῖπνο καὶ θυμᾶσαι τὰ φοβερὰ μυστήρια; Ναί, λέγει. Γιατί, ἂν τὰ πνευματικὰ ἐκεῖνα, ἂν τὸ φοβερὸ ἐκεῖνο τραπέζι εἶναι κοινὸ γιὰ ὅλους, καὶ γιὰ τὸν πλούσιο καὶ γιὰ τὸ φτωχό, καὶ δὲν τὸ ἀπολαμβάνει πιὸ ἄφθονα ὁ πλούσιος οὔτε πιὸ λίγο ὁ φτωχός, ἀλλὰ ἴδια εἶναι ἡ τιμὴ καὶ ἴδια ἡ ὠφέλεια, καὶ ὥσπου νὰ λάβουν μέρος καὶ νὰ κοινωνήσουν ὅλοι ἀπὸ τὸ πνευματικὸ καὶ ἱερὸ αὐτὸ τραπέζι δὲν ἀποσύρονται τὰ προσφερόμενα, ἀλλὰ στέκονται ὅλοι οἱ ἱερεῖς περιμένοντας καὶ τὸν πιὸ φτωχὸ καὶ τὸν πιὸ ἀσήμαντο ἀπ' ὅλους, πολὺ περισσότερο πρέπει νὰ τὸ κάνουμε αὐτὸ στὸ ὑλικὸ τραπέζι. Γι' αὐτὸ θυμήθηκα ἐκεῖνο τὸ δεῖπνο τοῦ Κυρίου. «Γιατὶ ἐγὼ παρέλαβα ἀπὸ τὸν Κύριο, καὶ αὐτὸ σᾶς παρέδωσα, ὅτι ὁ Κύριος Ἰησοῦς τὴ νύχτα ποὺ θὰ παραδινόταν πῆρε ψωμὶ καὶ ἀφοῦ ἔκανε εὐχαριστήρια προσευχὴ τὸ ἔκοψε καὶ εἶπε· αὐτὸ εἶναι τὸ σῶμα μου ποὺ τεμαχίζεται γιὰ χάρη τῶν πολλῶν, πρὸς ἄφεση ἁμαρτιῶν. Αὐτὸ νὰ κάμνετε πρὸς ἀνάμνησή μου. Ἐπίσης, ὅταν τελείωσε τὸ δεῖπνο, πῆρε καὶ τὸ ποτήρι λέγοντας· αὐτὸ τὸ ποτήρι εἶναι ἡ νέα διαθήκη σφραγισμένη μὲ τὸ αἷμα μού»[20].

5. Στὴ συνέχεια, ἀφοῦ εἶπε πολλὰ γιὰ ὅσους κοινωνοῦν τὰ μυστήρια χωρὶς νὰ εἶναι ἄξιοι καὶ ἀφοῦ τοὺς ἐπιτίμησε καὶ τοὺς ἔλεγξε πάρα πολύ, καὶ ἀφοῦ δίδαξε ὅτι θὰ ὑποστοῦν τὴν ἴδια τιμωρία μ' ἐκείνους ποὺ θανάτωσαν τὸ Χριστὸ αὐτοὶ ποὺ λαμβά-

ἔτυχε λαμβάνοντες, πάλιν εἰς τὴν προκειμένην ὑπόθεσιν τὸν λόγον ἐξήγαγεν, εἰπών· «ὥστε, ἀδελφοί, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχησθε». Ὅρα πῶς λανθανόντως καὶ λαιμαργίαν αὐτῶν κατέγνω, καὶ οὐκ εἶπεν, 'εἰ δὲ πεινᾶτε', ἀλλ', «εἰ δέ τις πεινᾷ», ἵνα ἕκαστος αἰσχυνόμενος αὐτὸς ὑπεύθυνος φανῆναι τοῖς ἐγκλήμασι, προλαβὼν διορθώσηται. Καὶ εἰς κολάσεως δὲ φόβον τὸν λόγον κατέκλεισεν, εἰπών· «ἵνα μὴ εἰς κρίμα συνέρχησθε», τουτέστιν, εἰς κατάκριμα καὶ εἰς ὀνειδισμόν. Οὐ γάρ ἐστι τροφή, φησίν, οὐδὲ τράπεζα ἡ μετὰ αἰσχύνης τοῦ ἀδελφοῦ, ἢ μετὰ καταφρονήσεως τῆς ἐκκλησίας, ἢ μετὰ λαιμαργίας ἢ ἀσωτίας γινομένη. Οὐκ ἔστιν εὐφροσύνη ταῦτα, ἀλλὰ κόλασις καὶ τιμωρία. Μεγάλην γὰρ ἐπισπᾶσθε καθ' ἑαυτῶν δίκην τοὺς ἀδελφοὺς ὑβρίζοντες, τῆς ἐκκλησίας καταφρονοῦντες, οἰκίαν ἰδιωτικὴν τὸν ἅγιον τόπον ποιοῦντες διὰ τὸ καθ' ἑαυτοὺς ἐσθίειν.

Ταῦτα καὶ ὑμεῖς ἀκούσαντες, ἀγαπητοί, ἐπιστομίζετε τοὺς ἁπλῶς τῇ ἀποστολικῇ κεχρημένους ῥήσει καὶ διδασκαλίᾳ· διορθοῦτε τοὺς ἐπὶ βλάβῃ τῇ ἑαυτῶν καὶ τῇ ἑτέρων ταῖς Γραφαῖς κεχρημένους. Ἔγνωτε γὰρ περὶ τίνος φησὶ τό, «δεῖ δὲ καὶ αἱρέσεις εἶναι ἐν ὑμῖν», περὶ τῆς διχοστασίας τῆς ἐν ταῖς τραπέζαις γινομένης, ἐπειδὴ «ὁ μὲν πεινᾷ, ὁ δὲ μεθύει». Καὶ μετὰ τῆς ὀρθῆς πίστεως καὶ πολιτείαν συμβαίνουσαν τοῖς δόγμασιν ἐπιδειξώμεθα, πολλὴν περὶ τοὺς πένητας φιλοφροσύνην, πολλὴν ὑπὲρ τῶν δεομένων ποιούμενοι πρόνοιαν· ἐμπορίαν πνευματικὴν ἐμπορευσώμεθα, μηδὲν πλέον τῆς χρείας ἐπιζητῶμεν. Τοῦτο πλοῦτος, τοῦτο ἐμπορία, τοῦτο θησαυρὸς ἀνελλιπής, τὸ πάντα τὰ ὄντα εἰς τὸν οὐρανὸν μετατιθέναι καὶ θαρρεῖν λοιπὸν ὑπὲρ τῆς φυλακῆς τῶν ἀποκειμένων. Διπλοῦν γὰρ ἡμῖν ἀπὸ τῆς ἐλεημοσύνης ἔσται τὸ κέρδος, ὅτι τε οὐκέτι δεδοίκαμεν ὑπὲρ τῶν καταβληθέντων χρημάτων, μήποτε λῃσταὶ καὶ τοιχωρύχοι καὶ

---

21. Α' Κορ. 11,33–34.

νουν ἐπιπόλαια καὶ κατὰ τύχη τὸ αἷμα καὶ τὸ σῶμα του, ἔφερε πάλι τὸ λόγο στὸ θέμα μας λέγοντας· «Λοιπόν, ἀδελφοί μου, ὅταν μαζεύεσθε γιὰ φαγητό, νὰ περιμένετε ὁ ἕνας τὸν ἄλλο. Καὶ ἂν κάποιος πεινάει, ἂς τρώει στὸ σπίτι του, γιὰ νὰ μὴ καταλήξει ἡ σύναξή σας σὲ καταδίκη»[21]. Πρόσεχε πῶς χωρὶς νὰ γίνεται ἀντιληπτὸ κατηγόρησε καὶ τὴ λαιμαργία τους καὶ δὲν εἶπε, 'ἂν πεινᾶτε', ἀλλά, «ἂν κάποιος πεινάει», ὥστε καθένας ἐπειδὴ ντρεπόταν νὰ φανεῖ ὁ ἴδιος ὑπεύθυνος γιὰ τὶς κατηγορίες, νὰ προλάβει καὶ νὰ διορθωθεῖ. Καὶ τελείωσε τὸ λόγο μὲ τὸ φόβο τῆς τιμωρίας λέγοντας, «γιὰ νὰ μὴν καταλήξει ἡ σύναξή σας σὲ τιμωρία», δηλαδή, σὲ κατηγορία σας καὶ καταδίκη . Γιατὶ δὲν εἶναι τροφή, λέγει, οὔτε τραπέζι αὐτὸ ποὺ γίνεται μὲ ἀτίμωση τοῦ ἀδελφοῦ, μὲ περιφρόνηση τῆς ἐκκλησίας, μὲ λαιμαργία ἢ μὲ ἀσωτία. Δὲν εἶναι εὐφροσύνη αὐτά, ἀλλὰ κόλαση καὶ τιμωρία. Γιατὶ ἐπισύρετε μεγάλη ἐναντίον σας τιμωρία ὅταν προσβάλλετε τοὺς ἀδελφούς, περιφρονεῖτε τὴν ἐκκλησία, κάμνοντας ἰδιωτικὸ σπίτι τὸν ἱερὸ τόπο καὶ τρώγοντας μόνοι σας.

Ἀφοῦ καὶ σεῖς τὰ ἀκούσατε αὐτά, ἀγαπητοί, νὰ ἀποστομώνετε αὐτοὺς ποὺ μὲ ἐπιπολαιότητα χρησιμοποιοῦν τὸν ἀποστολικὸ λόγο καὶ τὴ διδασκαλία· νὰ διορθώνετε αὐτοὺς ποὺ χρησιμοποιοῦν τὶς Γραφὲς πρὸς ζημία δική τους καὶ πρὸς ζημία τῶν ἄλλων. Γιατὶ μάθατε γιὰ ποιό πράγμα λέγει τὸ «πρέπει νὰ ὑπάρχουν καὶ αἱρέσεις μεταξύ σας», γιὰ τὴ διαφωνία ποὺ συνέβαινε στὰ δεῖπνα, ἐπειδὴ «ἄλλος πεινάει καὶ ἄλλος μεθάει». Καὶ μαζὶ μὲ τὴν ὀρθὴ πίστη ἂς ἐπιδείξουμε καὶ διαγωγὴ σύμφωνη πρὸς τὰ δόγματα, δείχνοντας μεγάλη γενναιοδωρία γιὰ τοὺς φτωχούς, φροντίζοντας πολὺ γι' αὐτοὺς ποὺ ἔχουν ἀνάγκη· ἂς κάνουμε πνευματικὸ ἐμπόριο, ἂς μὴν ἐπιζητοῦμε τίποτε περισσότερο ἀπὸ τὴν ἀνάγκη. Αὐτὸ εἶναι πλοῦτος, αὐτὸ ἐμπόριο, αὐτὸ θησαυρὸς παντοτινός, τὸ νὰ μεταθέτουμε ὅλα τὰ ὑπάρχοντα στὸν οὐρανὸ καὶ νὰ ἔχουμε ἐμπιστοσύνη γιὰ τὴ φύλαξη τῶν ὅσων καταθέσαμε ἐκεῖ. Γιατὶ θὰ εἶναι διπλὸ γιὰ μᾶς τὸ κέρδος ἀπὸ τὴν ἐλεημοσύνη, καὶ δὲ θὰ φοβόμαστε πιὰ γιὰ τὰ χρήματα ποὺ κατεθέσαμε μήπως τὰ ἐξαφανίσουν κάποτε ληστὲς καὶ


οἰκετῶν κακουργία αὐτὰ λυμήνηται, καὶ ὅτι κείμενα οὐχ ἁπλῶς κατορώρυκται ἄκαρπα· ἀλλ' ὥσπερ ῥίζα ἐν λιπαρῷ φυτευθεῖσα χωρίῳ, καθ' ἕκαστον ἐνιαυτὸν ὡρίμους φέρει τοὺς καρπούς, οὕτω καὶ ἀργύριον ἐν ταῖς τῶν πενήτων χερσὶ φυτευθέν, οὐ καθ' ἕκαστον ἐνιαυτὸν μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν πνευματικοὺς ἡμῖν φέρει τοὺς καρπούς, παρρησίαν πρὸς τὸν Θεόν, ἁμαρτημάτων συγχώρησιν, ἀγγέλων ἐγγύτητα, συνειδὸς ἀγαθόν, εὐφροσύνην πνευματικῆς ἀγαλλιάσεως, ἐλπίδα ἀκαταίσχυντον, τὰ θαυμαζόμενα ἀγαθά, ἅπερ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς ἐν θερμῇ καὶ ζεούσῃ ψυχῇ ἐκζητοῦσι τὸ ἔλεος τῆς ἐπιφανείας αὐτοῦ, ἧς γένοιτο πάντας ἡμᾶς, τὸν παρόντα βίον εὐαρέστως διανύσαντας, ἐπιτυχεῖν τῆς αἰωνίου τῶν σωζομένων χαρᾶς, χάριτι καὶ οἰκτιρμοῖς τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ Πατρὶ καὶ τῷ παναγίῳ αὐτοῦ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

διαρρῆκτες καὶ κακοὶ ὑπηρέτες, καὶ ἐνῶ εἶναι φυλαγμένα ἐκεῖ δὲν ἔχουν κρυφτεῖ ἔτσι χωρὶς καρπό· ἀλλὰ ὅπως μία ρίζα ποὺ φυτεύθηκε σὲ εὔφορο τόπο δίνει κάθε χρόνο ὥριμους καρπούς, ἔτσι καὶ τὰ χρήματα ποὺ φυτεύθηκαν στὰ χέρια τῶν φτωχῶν, ὄχι μόνο κάθε χρόνο, ἀλλὰ καὶ κάθε ἡμέρα μᾶς δίνουν πνευματικοὺς καρπούς, δηλαδὴ παρρησία πρὸς τὸ Θεό, συγχώρηση ἁμαρτημάτων, συντροφιὰ ἀγγέλων, συνείδηση ἀγαθή, χαρὰ πνευματικῆς ἀγαλλίασης, ἐλπίδα ἀκαταίσχυντη, τὰ θαυμαστὰ ἀγαθά, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν καὶ γι' αὐτοὺς ποὺ μὲ θερμὴ καὶ φλογερὴ ψυχὴ ἐπιζητοῦν τὸ ἔλεος τῆς παρουσίας του, τὴν ὁποία εὔχομαι ὅλοι μας, ἀφοῦ περάσουμε τὴ ζωὴ αὐτὴ μὲ εὐαρέσκεια πρὸς τὸ Θεό, νὰ ἐπιτύχουμε τὴν αἰώνια χαρὰ τῶν σωζομένων μὲ τὴ χάρη καὶ τὴν εὐσπλαχνία τοῦ ἀληθινοῦ Θεοῦ καὶ Σωτήρα μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη μαζὶ καὶ μὲ τὸν Πατέρα καὶ τὸ πανάγιό του Πνεῦμα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ»· ΚΑΙ ΕΙΣ ΤΟ, «ΕΠΙΣΤΕΥΣΑ, ΔΙΟ ΕΛΑΛΗΣΑ» ΚΑΙ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ



ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ»· ΚΑΙ ΕΙΣ ΤΟ, «ΕΠΙΣΤΕΥΣΑ, ΔΙΟ ΕΛΑΛΗΣΑ»

Καὶ περὶ ἐλεημοσύνης

1. Οἱ σοφώτατοι τῶν ἰατρῶν ἐπειδὰν ἴδωσιν ἕλκος σιδήρου δεόμενον, ἐπάγουσι μὲν τὴν τομήν, ἐπάγουσι δὲ οὐκ ἀναλγήτως οὐδὲ ἀσυμπαθῶς, ἀλλὰ καὶ ἀλγοῦσι καὶ χαίρουσιν αὐτῶν οὐχ ἧττον τῶν τεμνομένων· καὶ ἀλγοῦσι μὲν διὰ τὴν ἐκ τῆς πληγῆς γινομένην ὀδύνην, χαίρουσι δὲ διὰ τὴν ἐξ αὐτῆς τικτομένην ὑγίειαν. Τοῦτο καὶ ὁ Παῦλος ἐποίησεν ὁ σοφὸς τῶν ψυχῶν ἰατρός. Κορινθίοις γάρ ποτε δεομένοις ἐπιτιμήσεως σφοδροτέρας ἐπιτιμήσας, καὶ ἥσθη καὶ ἐλυπήθη· ἐλυπήθη μέν, ὅτι ὠδύνησεν, ἥσθη δέ, ὅτι ὠφέλησε. Καὶ ἀμφότερα ταῦτα δηλῶν, ἔλεγεν· «ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ προτέρᾳ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην». Διὰ τί μετεμέλου; διὰ τί δὲ πάλιν οὐ μεταμέλῃ; Μετεμελόμην, ἐπειδὴ σφοδρότερον ἔπληξα· οὐ μεταμέλομαι, ἐπειδὴ διώρθωσα.

Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο, ἄκουσον τῶν ἑξῆς· «βλέπω γάρ, ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς· νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν». «Εἰ καὶ πρὸς ὥραν ἐλύπησα ὑμᾶς»· τὸ λυπητήριον πρόσκαιρον, φησί, τὸ δὲ ὠφέλιμον διηνεκές. Δότε δὴ κἀμοὶ ταῦ-

1. Β' Κορ. 7,8.
2. Β' Κορ. 7,8.9.



ΟΜΙΛΙΑ ΠΡΩΤΗ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΕΠΕΙΔΗ ΕΧΟΥΜΕ ΤΟ ΙΔΙΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΗΣ, ΚΑΤΑ ΤΟ ΛΕΓΟΜΕΝΟ ΤΗΣ ΓΡΑΦΗΣ», ΣΤΟ «ΠΙΣΤΕΨΑ ΚΑΙ ΓΙ' ΑΥΤΟ ΜΙΛΗΣΑ» καὶ γιὰ τὴν ἐλεημοσύνη

1. Οἱ πιὸ ἔμπειροι ἀπὸ τοὺς γιατροὺς ὅταν δοῦν ὅτι μιὰ πληγὴ χρειάζεται μαχαίρι, ἐνεργοῦν βέβαια τὴν ἐγχείριση, ὄχι ὅμως χωρὶς λύπη οὔτε χωρὶς συμπάθεια, ἀλλὰ καὶ λυποῦνται καὶ χαίρονται ὄχι λιγότερο ἀπὸ ἐκείνους ποὺ ἐγχειρίζονται. Λυποῦνται γιὰ τὸν πόνο ποὺ προκαλεῖ ἡ πληγή, ἀλλὰ χαίρονται γιὰ τὴν ὑγεία ποὺ προέρχεται ἀπ' αὐτόν. Αὐτὸ ἔκαμε καὶ ὁ Παῦλος, ὁ σοφὸς γιατρὸς τῶν ψυχῶν. Ὅταν κάποτε ἐπιτίμησε τοὺς Κορινθίους ποὺ χρειάζονταν αὐστηρότερη ἐπιτίμηση, καὶ εὐχαριστήθηκε καὶ λυπήθηκε. Λυπήθηκε γιατὶ προκάλεσε πόνο, εὐχαριστήθηκε ὅμως γιατὶ ὠφέλησε. Καὶ τὰ δύο αὐτὰ δηλώνοντας ἔλεγε· «ὥστε, ἂν καὶ σᾶς λύπησα μὲ τὴν προηγούμενη ἐπιστολή μου, δὲ μετανιώνω, ἂν καὶ εἶχα μετανιώσει»[1]. Γιατί εἶχες μετανιώσει; καὶ γιατί πάλι δὲ μετανιώνεις; Εἶχα μετανιώσει ἐπειδὴ σᾶς ἐπέπληξα αὐστηρότερα, δὲ μετανιώνω ἐπειδὴ σᾶς διόρθωσα.

Καὶ γιὰ νὰ μάθεις ὅτι γι' αὐτὸ δὲ μετανιώνει, ἄκουσε τὰ ἑπόμενα· «γιατὶ βλέπω ὅτι ἡ ἐπιστολὴ ἐκείνη, ἔστω καὶ προσωρινά, σᾶς λύπησε· τώρα ὅμως χαίρομαι, ὄχι γιατὶ λυπηθήκατε, ἀλλὰ γιατὶ ἡ λύπη σας κατέληξε σὲ μετάνοια»[2]. «Ἂν καὶ προσωρινὰ σᾶς λύπησα»· ἡ λύπη εἶναι πρόσκαιρη, λέγει, ἐνῶ ἡ

τα τὰ ρήματα, παρακαλῶ, πρὸς τὴν ἀγάπην τὴν ὑμετέραν εἰπεῖν· 'ὥστε εἰ καὶ ἐλύπησα ὑμᾶς ἐπὶ τῇ προτέρᾳ παραινέσει, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· βλέπω γάρ, ὅτι ἡ παραίνεσις ἐκείνη καὶ ἡ συμβουλή, εἰ καὶ πρὸς ὥραν ὑμᾶς ἐλύπησεν, ἀλλ' ἡμᾶς μειζόνως ηὔφρανεν, «οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν». Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ἐν ὑμῖν σπουδήν; Λαμπρότερος ἡμῖν σήμερον ὁ σύλλογος, φαιδρότερον τὸ θέατρον, πλείων τῶν ἀδελφῶν ὁ χορός. Αὕτη ἡ σπουδὴ τῆς λύπης ἐκείνης καρπός.

Διὰ τοῦτο, ὅσον ὠδυνήθην τότε, τοσοῦτον νῦν χαίρω, ὁρῶν τὴν ἄμπελον ἡμῖν τὴν πνευματικὴν τῷ καρπῷ βριθομένην. Εἰ γὰρ ἐπὶ τῶν ἐδεσμάτων τῶν αἰσθητῶν φέρει τινὰ φιλοτιμίαν καὶ εὐφροσύνην τῷ καλοῦντι τῶν δαιτυμόνων τὸ πλῆθος, πολλῷ μᾶλλον ἐπὶ τῶν ἐδεσμάτων τῶν πνευματικῶν τοῦτο γένοιτ' ἄν· καίτοι γε ἐκεῖ τὸ πλῆθος τῶν κεκλημένων μᾶλλον ἀναλίσκει τὰ παρακείμενα καὶ δαπάνην ἐργάζεται πλείω, ἐνταῦθα δὲ τοὐναντίον, οὐ μόνον οὐκ ἀναλίσκει τὸ πλῆθος τῶν κεκλημένων ἀλλὰ καὶ πλεονάζει τὴν τράπεζαν· εἰ δὲ ἐκεῖ ἡ δαπάνη ἡδονὴν ἐργάζεται, πολλῷ μᾶλλον ἐνταῦθα πρόσοδος τοῦτο ἐργάσεται· καὶ γὰρ τοιαύτη τῶν πνευματικῶν ἡ φύσις, εἰς πολλοὺς διανεμομένη, μᾶλλον αὔξεται. Ἐπεὶ οὖν πλήρης ἡμῖν ἡ τράπεζα, προσδοκῶ καὶ τὴν τοῦ Πνεύματος χάριν ἐνηχῆσαι ἡμῶν τῇ διανοίᾳ. Ὅταν γὰρ ἴδῃ πολλοὺς παρόντας, τότε δαψιλεστέραν παρατίθεται τὴν ἑστίασιν· οὐκ ἐπειδὴ τῶν ὀλίγων καταφρονεῖ, ἀλλ' ἐπειδὴ τῆς τῶν πολλῶν ἐφίεται σωτηρίας.

Διὰ τοῦτο καὶ τὸν Παῦλον παρατρέχοντα τὰς ἄλλας πόλεις, ἐν Κορίνθῳ μένειν ἐκέλευσε φανεὶς ὁ Χριστὸς καὶ εἰπών· «μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς, διότι λαὸς πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ». Εἰ γὰρ ὑπὲρ ἑνὸς προβάτου ὄρη καὶ νάπας καὶ τὴν ἄβατον ἔπεισι χώραν ὁ ποιμήν, ὅταν πολλὰ πρόβατα

---

3. Πράξ. 18,9–10.

ὠφέλεια διαρκής. Ἐπιτρέψτε με, παρακαλῶ, καὶ μένα νὰ πῶ στὴν ἀγάπη σας τὰ ἴδια λόγια· 'ὥστε, ἂν καὶ σᾶς λύπησα μὲ τὴν προηγούμενη συμβουλή μου, δὲ μετανιώνω, ἂν καὶ εἶχα μετανιώσει· γιατὶ βλέπω ὅτι ἡ παραίνεση ἐκείνη καὶ ἡ συμβουλή, ἂν καὶ σᾶς λύπησε προσωρινά, ὅμως ἐμένα μὲ εὐχαρίστησε περισσότερο, «ὄχι γιατὶ λυπηθήκατε, ἀλλὰ γιατὶ ἡ λύπη σας κατέληξε σὲ μετάνοια». Γιατὶ νά, αὐτὴ ἀκριβῶς ἡ σύμφωνη μὲ τὸ θέλημα τοῦ Θεοῦ λύπη σας πόσο ζῆλο ἐνέβαλε μέσα σας; Ἡ σύναξή μας σήμερα εἶναι λαμπρότερη, τὸ ἀκροατήριο πιὸ χαρούμενο, περισσότερος ὁ χορὸς τῶν ἀδελφῶν. Αὐτὸς ὁ ζῆλος εἶναι καρπὸς ἐκείνης τῆς λύπης.

Γι' αὐτὸ ὅσο λυπήθηκα τότε τόσο χαίρομαι τώρα, βλέποντας τὸ πνευματικό μας ἀμπέλι γεμάτο καρπό. Γιατί, ἂν στὰ ὑλικὰ φαγητὰ τὸ πλῆθος τῶν καλεσμένων στὸ τραπέζι προκαλεῖ κάποια τιμὴ καὶ χαρὰ στὸν οἰκοδεσπότη, πολὺ περισσότερο θὰ μποροῦσε νὰ γίνει αὐτὸ στὰ πνευματικὰ φαγητά. Ἂν καὶ ἐκεῖ τὸ πλῆθος τῶν καλεσμένων ξοδεύει περισσότερο τὰ παρατιθέμενα καὶ προκαλεῖ μεγαλύτερη δαπάνη, ἐδῶ ὅμως συμβαίνει τὸ ἀντίθετο, τὸ πλῆθος τῶν καλεσμένων ὄχι μόνο δὲν ξοδεύει ἀλλὰ καὶ κάνει ἀφθονότερο τὸ τραπέζι. Καὶ ἂν ἐκεῖ ἡ δαπάνη προκαλεῖ εὐχαρίστηση, πολὺ περισσότερο ἐδῶ θὰ τὸ προκαλέσει αὐτὸ ἡ προσέλευσή σας. Γιατὶ πραγματικὰ τέτοια εἶναι ἡ φύση τῶν πνευματικῶν ἀγαθῶν, ὅταν μοιράζεται σὲ πολλοὺς αὐξάνονται περισσότερο. Ἀφοῦ λοιπὸν εἶναι γεμάτο τὸ τραπέζι μας περιμένω νὰ μιλήσει στὴν ψυχή σας καὶ ἡ χάρη τοῦ Πνεύματος. Γιατί, ὅταν βλέπει πολλοὺς παρόντες τότε παραθέτει πλουσιότερο τὸ τραπέζι, ὄχι ἐπειδὴ περιφρονεῖ τοὺς λίγους, ἀλλὰ ἐπειδὴ ἐπιθυμεῖ τὴ σωτηρία τῶν πολλῶν.

Γι' αὐτὸ καὶ τὸν Παῦλο, ποὺ περνοῦσε γρήγορα ἀπὸ τὶς ἄλλες πόλεις, τὸν διέταξε ὁ Χριστὸς νὰ μείνει στὴν Κόρινθο ὅταν τοῦ φανερώθηκε καὶ τοῦ εἶπε· «μὴ φοβᾶσαι, ἀλλὰ νὰ μιλᾶς καὶ νὰ μὴ σιωπήσεις, γιατὶ ἔχω πολὺ λαὸ στὴν πόλη αὐτή»[3]. Γιατὶ ἂν γιὰ ἕνα πρόβατο ὁ ποιμένας πηγαίνει σὲ βουνὰ καὶ σὲ φαράγγια καὶ σὲ ἀπάτητους τόπους, πῶς δὲ θὰ δείξει μεγάλο ἐν-

μέλλῃ ῥᾳθυμίας καὶ πλάνης ἀπάγειν, πῶς οὐ πολλὴν ἐπιδείξεται σπουδήν; Ὅτι γὰρ οὐδὲ τῶν ὀλίγων καταφρονεῖ, ἄκουσον αὐτοῦ λέγοντος· «οὐκ ἔστι θέλημα τοῦ Πατρός μου, ἵνα ἀπόληται ἓν τῶν μικρῶν τούτων». Οὔτε οὖν ἡ ὀλιγότης, φησίν, οὔτε ἡ εὐτέλεια ὑπεριδεῖν αὐτὸν πείθει τῆς σωτηρίας ἡμῶν.

2. Ἐπεὶ οὖν τοσαύτη μὲν αὐτῷ τῶν μικρῶν καὶ ἐλαχίστων ἡ πρόνοια, τοσαύτη δὲ τῶν πολλῶν, τὸ πᾶν ἐπὶ τὴν ἐκεῖθεν ῥοπὴν ῥίψαντες, ἐπὶ τὴν Παύλου ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν τὸν λόγον ἀγάγωμεν. Τίς δὲ ἡ ῥῆσις; «Οἴδαμεν γάρ, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους», φησί, «καταλυθῇ». Μᾶλλον δὲ ἀνωτέρω καὶ ἐπ' αὐτὴν τὴν κεφαλὴν τοῦ νοήματος ἴωμεν. Καθάπερ γάρ τινες πηγὴν ἀνιχνεύοντες, εἶτα διάβροχον ἰδόντες χωρίον, οὐκ ἐκεῖ διασκάπτουσι μόνον, ἀλλ' ὑπὸ τῆς νοτίδος αὐτῆς καὶ τῆς φλεβὸς χειραγωγούμενοι ἐνδοτέρω χωροῦσιν, ἕως ἂν ἐπὶ τὴν ῥίζαν καὶ τὴν ἀρχὴν τῶν ναμάτων ἔλθωσιν, οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν. Πηγὴν εὑρόντες πνευματικὴν ἐκ τῆς Παύλου σοφίας ἐξιοῦσαν, ὥσπερ ὑπό τινος φλεβὸς τῆς ῥήσεως χειραγωγούμενοι, πρὸς τὴν ῥίζαν αὐτὴν ἀναβῶμεν τοῦ νοήματος.

Τίς οὖν ἐστιν ἡ κεφαλὴ καὶ ἡ ῥίζα; Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ καὶ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Τί λέγεις; ἂν μὴ πιστεύσῃς, οὐ λαλεῖς, ἀλλὰ ἄφωνος ἕστηκας; Ναί, φησίν· οὐδένα διᾶραι στόμα δύναμαι χωρὶς πίστεως, οὐδὲ κινῆσαι γλῶτταν, οὐδὲ ἀνοῖξαι χείλη, ἄφωνος ὁ λογικὸς ἕστηκα χωρὶς τῆς ἐκεῖθεν διδασκαλίας. Καθάπερ γὰρ ῥίζης μὴ πεφυτευμένης οὐκ ἂν βλαστήσειε καρπός, οὕτω πίστεως μὴ προκαταβεβλημένης οὐκ ἂν προέλθοι διδασκαλίας λόγος. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· «καρδίᾳ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν».

Τί τοῦ δένδρου τούτου βέλτιον ἢ ἴσον γένοιτ' ἄν, ὅταν μὴ οἱ

---

4. Ματθ. 18,14.
5. Β' Κορ. 5,1.
6. Β' Κορ. 4,13.
7. Ρωμ. 10,10.

διαφέρον ὅταν πρόκειται νὰ ἀπομακρύνει πολλὰ πρόβατα ἀπὸ τὴ ραθυμία καὶ τὴν πλάνη; Ὅτι βέβαιὰ δὲν περιφρονεῖ οὔτε τοὺς λίγους ἄκουσε αὐτὸν ποὺ λέγει· «ὁ Πατέρας μου δὲ θέλει νὰ χαθεῖ οὔτε ἕνας ἀπ' αὐτοὺς τοὺς ταπεινούς»[4]. Οὔτε λοιπὸν ὁ μικρὸς ἀριθμός, λέγει, οὔτε ἡ εὐτέλεια τὸν κάνουν νὰ παραβλέψει τὴ σωτηρία μας.

2. Ἀφοῦ λοιπὸν τόσο μεγάλη εἶναι ἡ φροντίδα του γιὰ τοὺς ταπεινοὺς καὶ λίγους καὶ ἡ ἴδια καὶ γιὰ τοὺς πολλούς, ἀναθέτοντας τὰ πάντα στὴ βοήθειά του, ἂς φέρουμε τὸ λόγο στὴν περικοπή τοῦ Παύλου ποὺ διαβάστηκε σήμερα. Καὶ ποιά εἶναι ἡ περικοπή; «Γνωρίζουμε», λέγει, «ὅτι ἂν ἡ ἐπίγεια σκηνὴ ποὺ κατοικοῦμε, δηλαδὴ τὸ σῶμα, διαλυθεῖ»[5]. Μᾶλλον ὅμως ἂς ἔρθουμε πιὸ πάνω καὶ σ' αὐτὴ τὴν ἀρχὴ τοῦ νοήματος. Γιατὶ ὅπως μερικοὶ ὅταν ψάχνουν γιὰ πηγὴ καὶ δοῦν ἕναν ὑγρὸ τόπο δὲν σκάβουν ἐκεῖ μόνο ἀλλ' ὁδηγούμενοι ἀπὸ τὴν ὑγρασία καὶ τὴ φλέβα προχωροῦν πιὸ μέσα μέχρι ποὺ νὰ φθάσουν στὴ ρίζα καὶ τὴν ἀρχὴ τῶν ὑδάτων, τὸ ἴδιο ἀκριβῶς ἂς κάνουμε καὶ ἐμεῖς. Ἀφοῦ βρήκαμε πηγὴ πνευματικὴ ποὺ ἀπὸ τὴ σοφία τοῦ Παύλου πηγάζει, σὰν ἀπὸ κάποια φλέβα ὁδηγούμενοι ἀπὸ τὴν περικοπή, ἂς ἀνεβοῦμε στὴν ἴδια τὴ ρίζα.

Ποιά λοιπὸν εἶναι ἡ ἀρχὴ καὶ ἡ ρίζα; «Ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης, σύμφωνα μ' ἐκεῖνο ποὺ λέγει ἡ Γραφή, 'πίστεψα, γι' αὐτὸ καὶ μίλησα', καὶ ἐμεῖς πιστεύουμε, γι' αὐτὸ καὶ κηρύττουμε»[6]. Τί λέγεις; ἂν δὲν πιστέψεις, δὲν κηρύττεις ἀλλὰ στέκεσαι ἄφωνος; Ναί, λέγει· οὔτε τὸ στόμα μου μπορῶ ν' ἀνοίξω χωρὶς πίστη, οὔτε τὴ γλῶσσα νὰ κινήσω, οὔτε τὰ χείλη μου ν' ἀνοίξω, ἄφωνος στέκομαι ἐγὼ ὁ λογικὸς χωρὶς τὴ διδασκαλία ποὺ προέρχεται ἀπὸ τὴν πίστη. Γιατί, ὅπως ἂν δὲν ἔχει φυτευθεῖ ρίζα δὲν μπορεῖ νὰ βλαστήσει καρπός, ἔτσι ἂν δὲν ἔχει σπαρθεῖ ἀπὸ πρὶν ἡ πίστη δὲν εἶναι δυνατὸ νὰ προέλθει ὁ λόγος τῆς διδασκαλίας. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «ὅποιος πιστεύει μὲ τὴν καρδιά του ὁδηγεῖται στὴ δικαίωση, καὶ ὅποιος ὁμολογεῖ μὲ τὸ στόμα ὁδηγεῖται στὴ σωτηρία»[7].

Τί θὰ μποροῦσε νὰ ὑπάρξει καλύτερο ἢ ἴσο μὲ τὸ δένδρο

κλάδοι μόνον, ἀλλὰ καὶ αὐτὴ ἡ ρίζα φέρῃ καρπόν, ἡ μὲν δικαιοσύνην, ἡ δὲ σωτηρίαν; Διὰ τοῦτό φησι· «πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Καθάπερ γὰρ τὰ ὑπότρομα μέλη καὶ τῷ γήρᾳ παρειμένα βακτηρία μετὰ ἀσφαλείας χειραγωγοῦσα οὐκ ἀφίησιν ὀλισθῆσαι καὶ καταπεσεῖν, οὕτω δὴ καὶ τὴν ψυχὴν τὴν ἡμετέραν σεσαλευμένην καὶ περιφερομένην ὑπὸ τῆς τῶν λογισμῶν ἀσθενείας, βακτηρίας ἀσφαλέστερον ἡ πίστις ἕλκουσα καὶ τῇ τῆς οἰκείας ἰσχύος ἐπαναπαύουσα δυνάμει, στηρίζει μετὰ ἀκριβείας καὶ οὐκ ἀφίησιν ὑποσκελισθῆναί ποτε, τὸ τῶν λογισμῶν ἀσθενὲς τῇ τῆς οἰκείας ἰσχύος περιουσίᾳ διορθουμένη καὶ τὸν ἐξ αὐτοῦ ἀπελαύνουσα ζόφον καὶ τὴν ψυχήν, ὥσπερ ἐν οἴκῳ σκοτεινῷ, τῷ θορύβῳ τῶν λογισμῶν καθημένην τῷ οἰκείῳ φωτὶ καταυγάζουσα.

Διὰ τοῦτο οἱ ταύτης ἀπεστηρημένοι, τῶν ἐν σκότει διατριβόντων οὐδὲν ἄμεινον διάκεινται, ἀλλ' ὥσπερ ἐκεῖνοι καὶ τοίχοις προσπαταίουσι καὶ τοῖς ἀπαντῶσι προσρήγνυνται καὶ εἰς βάραθρα καὶ κρημνοὺς καταφέρονται καὶ τῶν ὀφθαλμῶν αὐτοῖς ὄφελος οὐδέν, οὐκ ὄντος τοῦ χειραγωγοῦντος φωτός, οὕτω καὶ οἱ τῆς πίστεως ἀπεστερημένοι καὶ ἀλλήλοις προσερράγησαν καὶ τοίχοις προσέπταισαν καὶ τέλος εἰς τὸ τῆς ἀπωλείας βάραθρον φέροντες ἑαυτοὺς κατεκρήμνισαν.

3. Καὶ μάρτυρες τῶν λόγων τούτων οἱ τὴν ἔξωθεν αὐχοῦντες σοφίαν, οἱ μέγα ἐπὶ τῷ πώγωνι καὶ τῷ τρίβωνι καὶ τῇ βακτηρίᾳ φρονοῦντες. Μετὰ γὰρ μακροὺς καὶ πολλοὺς διαύλους λόγων, τοὺς πρὸ τῶν ὀφθαλμῶν κειμένους λίθους οὐκ εἶδον· εἰ γὰρ ὡς λίθους αὐτοὺς ἑώρων, οὐκ ἂν αὐτοὺς ἐνόμισαν εἶναι θεούς. Καὶ ἀλλήλοις δὲ προσερράγησαν καὶ εἰς αὐτὸν τῆς ἀσεβείας τὸν βαθύτατον κρημνὸν κατηνέχθησαν, οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ διὰ τὸ λογισμοῖς ἐπιτρέψαι τὰ καθ' ἑαυτοὺς ἅπαντα. Καὶ τοῦτο ὁ Παῦλος δηλῶν ἔλεγεν· «ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν». Εἶτα λέγων τοῦ σκότους καὶ τῆς μωρίας

αὐτό, ὅταν ὄχι μόνο τὰ κλαδιά του ἀλλὰ καὶ ἡ ρίζα του ἀκόμη φέρνει καρπό, αὐτὴ τὴ δικαίωση καὶ ἐκείνη τὴ σωτηρία; Γι' αὐτὸ λέγει· «πιστεύουμε, γι' αὐτὸ καὶ κηρύττουμε». Ὅπως δηλαδὴ ἡ βακτηρία ὁδηγεῖ μὲ ἀσφάλεια τὰ μέλη ποὺ τρέμουν καὶ εἶναι παραλυμένα ἀπὸ τὰ γηρατειὰ καὶ δὲν τὰ ἀφήνει νὰ γλιστρήσουν καὶ νὰ πέσουν κάτω, ἔτσι ἀκριβῶς καὶ ἡ πίστη ὁδηγεῖ ἀσφαλέστερα ἀπὸ τὴ βακτηρία τὴν ψυχή μας, ποὺ ἔχει σαλευθεῖ καὶ περιφέρεται ἀπὸ τὶς ἁμαρτωλὲς σκέψεις, τὴν ξεκουράζει μὲ τὴ δική της δύναμη, τὴ στηριζει μὲ ἀκρίβεια καὶ δὲν τὴν ἀφήνει νὰ πέσει ποτέ, γιατὶ μὲ τὴν ὑπεροχὴ τῆς δικῆς της δύναμης θεραπεύει τὴν ἀσθένεια τῶν λογισμῶν καὶ διώχνει τὸ σκοτάδι ποὺ προκαλεῖται ἀπ' αὐτήν, καταυγάζοντας μὲ τὸ δικό της φῶς τὴν ψυχὴ ποὺ σὰν σὲ σκοτεινὸ σπίτι κατοικεῖ μέσα στὴν ταραχὴ τῶν λογισμῶν.

Γι' αὐτὸ ὅσοι ἔχουν στερηθεῖ τὴν πίστη δὲ βρίσκονται καθόλου σὲ καλύτερη κατάσταση ἀπὸ ἐκείνους ποὺ ζοῦν στὸ σκοτάδι, ἀλλὰ ὅπως ἐκεῖνοι χτυποῦν σὲ τοίχους καὶ συγκρούονται μὲ ἐκείνους ποὺ συναντοῦν καὶ πέφτουν σὲ βάραθρα καὶ γκρεμοὺς καὶ δὲν τοὺς ὠφελοῦν καθόλου τὰ μάτια ἀφοῦ δὲν ὑπάρχει τὸ φῶς νὰ τοὺς ὁδηγεῖ, ἔτσι καὶ ὅσοι ἔχουν στερηθεῖ τὴν πίστη καὶ μεταξύ τους συγκρούσθηκαν καὶ σὲ τοίχους χτύπησαν καὶ τέλος καταγκρεμίστηκαν ὁδηγώντας τὸν ἑαυτό τους στὸ βάραθρο τῆς καταστροφῆς.

3. Καὶ μάρτυρες τῶν λόγων αὐτῶν εἶναι ὅσοι καυχῶνται γιὰ τὴν ἑλληνική τους σοφία, ὅσοι καμαρώνουν τὴ γενειάδα, τὸν τρίβωνα καὶ τὴ βακτηρία. Γιατὶ μετὰ τοὺς μακροὺς καὶ πολλοὺς ἀγῶνες λόγων δὲν εἶδαν τὶς πέτρες ποὺ βρίσκονταν μπροστὰ στὰ μάτια τους· γιατὶ ἂν τὶς ἔβλεπαν σὰν πέτρες, δὲ θὰ νόμιζαν πὼς εἶναι θεοί. Καὶ μεταξύ τους συγκρούσθηκαν καὶ στὸ ἴδιο τὸ βαθύτατο γκρεμὸ τῆς ἀσέβειας ἔπεσαν, ὄχι ἀπὸ ἄλλη αἰτία, ἀλλ' ἐπειδὴ ἀνέθεσαν ὅλα τὰ δικά τους στοὺς λογισμούς τους. Καὶ αὐτὸ γιὰ νὰ δηλώσει ὁ Παῦλος ἔλεγε· «μὲ τὶς σκέψεις τους παραδόθηκαν σὲ μάταια πράγματα καὶ βυθίστηκε στὸ σκοτάδι ἡ ἀνόητη καρδιά τους. Ἐνῶ ἔλεγαν ὅτι εἶναι σοφοί, κατάντη-

τὴν ἀπόδειξιν, ἐπήγαγεν· «ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν».

Ἀλλὰ τοῦτο ἅπαν τὸ σκότος ἐπεισελθοῦσα ἡ πίστις διεσκέδασεν ἐκ τῆς ψυχῆς τοῦ ὑποδεξαμένου αὐτήν· καὶ καθάπερ πλοῖον ὑπὸ τῆς τῶν πνευμάτων ἐμβολῆς κλυδωνιζόμενον καὶ ταῖς τῶν πνευμάτων ἐπαναστάσεσι περιαντλούμενον ἐξαρτηθεῖσα ἄγκυρα πάντοθεν ἵστησι, καὶ ἐν μέσῳ ῥιζοῖ τῷ πελάγει, οὕτω δὴ καὶ τὸν νοῦν τὸν ἡμέτερον ὅταν οἱ προσπίπτοντες ἔξωθεν λογισμοὶ κληδωνίζωσιν, ἀγκύρας ἀσφαλέστερον ἐπεισελθοῦσα ἡ πίστις ἀπαλλάττει τοῦ ναυαγίου, ὥσπερ ἐν γαληνῷ λιμένι, τῇ τοῦ συνειδότος πληροφορίᾳ τὸ σκάφος ὁρμίζουσα. Καὶ αὐτὸ τοῦτο πάλιν ὁ Παῦλος δηλῶν ἔλεγεν, ὅτι «διὰ τοῦτο ἔδωκεν ἀποστόλους ὁ Θεὸς πρὸς καταρτισμὸν τῶν ἁγίων, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ».

Ὁρᾷς τῆς πίστεως τὸ κατόρθωμα, ὅτι ὡς ἄγκυρά τις ἀσφαλής, οὕτως ἐκβάλλει τὸν σάλον, ὅπερ οὖν καὶ αὐτὸς πάλιν Ἑβραίοις ἐπιστέλλει, οὑτωσὶ λέγων περὶ τῆς πίστεως· «ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος». Ἵνα γὰρ ἀκούσας «ἄγκυραν», μὴ νομίσῃς κάτω καθέλκεσθαι, δείκνυσιν, ὅτι καινή τις αὕτη τῆς ἀγκύρας ἡ φύσις, οὐ κάτω πιέζουσα, ἀλλ᾽ ἄνω κουφίζουσα τὴν διάνοιαν καὶ πρὸς τὸν οὐρανὸν μεθιστῶσα καὶ εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος χειραγωγοῦσα· «καταπέτασμα» γὰρ ἐνταῦθα τὸν οὐρανὸν ἐκάλεσε. Τίνος ἕνεκα, καὶ διὰ τί; Ὅτι καθάπερ τὸ καταπέτασμα ἀπὸ τῆς ἔξω σκηνῆς διεῖργε τὰ ἅγια τῶν ἁγίων, οὕτω δὴ καὶ ὁ οὐρανὸς οὗτος, ὥσπερ καταπέτασμα, μέσος τῆς κτίσεως παρεμβεβλημένος ἀπὸ τῆς ἔξω σκηνῆς, τοῦτ᾽ ἔστι, τοῦ κόσμου τούτου τοῦ βλεπομένου, διείργει

8. Ρωμ. 1,21.22.
9. Ρωμ. 1,23.
10. Ἐφ. 4,11–14.
11. Ἑβρ. 6,19.

σαν μωροί[8]. Στὴ συνέχεια ἀναφέροντας τὴν ἀπόδειξη γιὰ τὸ σκοτάδι καὶ τὴ μωρία τους πρόσθεσε· «ἀντάλλαξαν τὴ δόξα τοῦ ἄφθαρτου Θεοῦ μὲ τὸ ὁμοίωμα τῆς μορφῆς φθαρτοῦ ἀνθρώπου καὶ πτηνῶν καὶ τετραπόδων καὶ ἑρπετῶν»[9].

Ἀλλὰ ὅλο αὐτὸ τὸ σκοτάδι ἦρθε ἡ πίστη καὶ τὸ διέλυσε ἀπὸ τὴν ψυχὴ τοῦ ἀνθρώπου ποὺ τὴ δέχθηκε. Καὶ ὅπως τὸ πλοῖο ποὺ κλυδωνίζεται ἀπὸ τὸ φύσημα τῶν ἀνέμων καὶ καταποντίζεται ἀπὸ τὰ ἀγριεμένα κύματα ἡ ἄγκυρα ποὺ ρίχνεται τὸ κρατάει ἀπὸ παντοῦ καὶ τὸ σταθεροποιεῖ στὴ μέση τοῦ πελάγους, ἔτσι ἀκριβῶς καὶ τὸ δικό μας νοῦ, ὅταν τὸν κλυδωνίζουν οἱ λογισμοὶ ποὺ ἐπιτίθενται ἀπὸ ἔξω, ἔρχεται ἡ πίστη καὶ μὲ μεγαλύτερη ἀσφάλεια ἀπὸ τὴν ἄγκυρα τὸν σώζει ἀπὸ τὸ ναυάγιο καὶ σὰν σὲ γαλήνιο λιμάνι ὁδηγεῖ τὸ σκάφος μὲ τὴ βεβαιότητα ποὺ παρέχει στὴ συνείδηση. Καὶ αὐτὸ πάλι φανερώνοντας ὁ Παῦλος ἔλεγε· «γι' αὐτὸ ἔδωσε ὁ Θεὸς τοὺς ἀποστόλους νὰ καταρτίσουν τοὺς πιστούς, ὥσπου νὰ φθάσουμε ὅλοι στὴν ἑνότητα τῆς πίστης καὶ τῆς ἐπίγνωσης τοῦ Υἱοῦ τοῦ Θεοῦ, γιὰ νὰ μὴν εἴμαστε πιὰ νήπιοι κλυδωνιζόμενοι καὶ παρασυρόμενοι ἀπὸ κάθε ἄνεμο διδασκαλίας»[10].

Βλέπεις τὸ κατόρθωμα τῆς πίστης, ποὺ σὰν κάποια ἄγκυρα ἀσφαλὴς ἔτσι διώχνει τὴν τρικυμία, πράγμα ποὺ ὁ ἴδιος πάλι λέγει γράφοντας στοὺς Ἑβραίους καὶ λέγοντας αὐτὰ ἀκριβῶς γιὰ τὴν πίστη· «αὐτὴ τὴν ἔχουμε σὰν ἄγκυρα ἀσφαλὴ καὶ σταθερὴ καὶ μᾶς ὁδηγεῖ στὰ ἐνδότερα τοῦ καταπετάσματος»[11]. Γιὰ νὰ μὴ νομίσεις λοιπόν, ἀκούοντας γιὰ ἄγκυρα, ὅτι σὲ τραβάει κάτω, δείχνει ὅτι εἶναι καινούρια αὐτὴ ἡ φύση τῆς ἄγκυρας, ποὺ δὲν πιέζει πρὸς τὰ κάτω ἀλλὰ ὑψώνει τὴ σκέψη πρὸς τὰ πάνω, μᾶς μεταφέρει πρὸς τὸν οὐρανὸ καὶ μᾶς ὁδηγεῖ στὰ ἐνδότερα τοῦ καταπετάσματος· γιατὶ καταπέτασμα ἐδῶ ὀνόμασε τὸν οὐρανό. Γιὰ ποιό λόγο καὶ γιατί; Γιατί, ὅπως τὸ καταπέτασμα χώριζε τὰ ἅγια τῶν ἁγίων ἀπὸ τὴν ἔξω σκηνή, ἔτσι ἀκριβῶς καὶ ὁ οὐρανός, σὰν καταπέτασμα παρεμβαλλόμενος ἀνάμεσα στὴν κτίση, χωρίζει τὰ ἅγια τῶν ἁγίων ἀπὸ τὴν ἔξω σκηνή, δηλαδὴ ἀπὸ τὸν ὁρατὸ κόσμο, δηλαδὴ τὰ οὐράνια καὶ τὰ πάνω ἀπ' αὐτά,

τὰ ἅγια τῶν ἁγίων, τὰ ἄνω λέγων καὶ τὰ ὑπὲρ αὐτῶν, ὅπου πρόδρομος ὑπὲρ ὑμῶν εἰσῆλθε Χριστός.

4. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· 'ἐκεῖ μετεωρίζει τὴν ψυχὴν τὴν ἡμετέραν', φησίν, 'ἡ πίστις, οὐκ ἀφιεῖσα οὐδενὶ τῶν παρόντων δεινῶν ταπεινωθῆναι, ἀνακουφίζουσα τοὺς πόνους τῇ τῶν μελλόντων ἐλπίδι'. Ὁ γὰρ πρὸς τὰ μέλλοντα ἀφορῶν καὶ τὴν ἐκ τῶν οὐρανῶν ἀναμένων ἐλπίδα καὶ τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἐκεῖ μετάγων, οὐδὲ αἰσθάνεται τῆς ὀδύνης τῶν ἐν τῷ παρόντι δεινῶν, ὥσπερ οὖν οὐδὲ Παῦλος ᾐσθάνετο καὶ τὴν αἰτίαν τῆς φιλοσοφίας ἐδίδασκε, λέγων· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται». Πῶς καὶ τίνι τρόπῳ; «μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα», διὰ τῶν τῆς πίστεως ὀφθαλμῶν. Ὥσπερ γὰρ οἱ τοῦ σώματος οὐδὲν βλέπουσι νοητόν, οὕτως οἱ τῆς πίστεως οὐδὲν βλέπουσιν αἰσθητόν.

Ἀλλὰ ποίαν πίστιν ἐνταῦθα λέγει ὁ Παῦλος; τὸ γὰρ τῆς πίστεως ὄνομα διπλῆν ἔχει τὴν σημασίαν. Καὶ γὰρ πίστις λέγεται, καθ' ἣν τὰ σημεῖα ἐποίουν τότε οἱ ἀπόστολοι, περὶ ἧς ὁ Χριστὸς ἔλεγεν· «ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι, καὶ μεταβήσεται». Καὶ πάλιν, ὅτε τὸν σεληνιαζόμενον οὐκ ἴσχυσαν ἀπαλλάξαι τοῦ δαίμονος οἱ μαθηταὶ καὶ τὴν αἰτίαν ἐβούλοντο μαθεῖν, ταύτην αὐτοῖς ᾐνίξατο τὴν ἔλλειψιν τῆς πίστεως λέγων· «διὰ τὴν ἀπιστίαν ὑμῶν». Καὶ ὁ Παῦλος δὲ περὶ αὐτῆς ἔλεγεν· «ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν». Καὶ ὅτε δὲ καταποντίζεσθαι ἔμελλε πεζῇ βαδίζων ἐπὶ τῆς θαλάσσης ὁ Πέτρος, αὐτὸ τοῦτο πάλιν ἐνεκάλεσεν ὁ Χριστός, εἰπών· «εἰς τί ἐδίστασας, ὀλιγόπιστε;». Λέγεται τοίνυν πίστις ἡ τῶν σημείων καὶ τῶν θαυμάτων ποιητική, λέγεται δὲ πίστις καὶ ἡ τῆς εἰς τὸν Θεὸν γνώσεως παρασκευαστική, καθ' ἣν ἕκαστος ἡμῶν ἐστι πιστός· ὡς ὅταν λέγῃ γράφων Ρωμαίοις· «εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ, ὅτι ἡ πίστις ὑμῶν ἐν ὅλῳ τῷ

---

12. Β' Κορ. 4,17.
13. Β' Κορ. 4,18.
14. Ματθ. 17,20.
15. Ματθ. 17,20.
16. Α' Κορ. 13,2.
17. Ματθ. 14,31.

ὅπου εἰσῆλθε γιὰ χάρη μας πρὶν ἀπὸ μᾶς ὁ Χριστός.

4. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐκεῖ, λέγει, ὑψώνει τὴν ψυχή μας ἡ πίστη, μὴν ἀφήνοντας σὲ κανένα ἀπὸ τὰ παρόντα δεινὰ νὰ τὴ ρίξει κάτω καὶ ἀνακουφίζοντας τοὺς πόνους μὲ τὴν ἐλπίδα τῶν μελλοντικῶν ἀγαθῶν. Γιατὶ ἐκεῖνος ποὺ ἀποβλέπει πρὸς τὰ μελλοντικά, ποὺ περιμένει τὴν ἐλπίδα ἀπὸ τοὺς οὐρανοὺς καὶ κατευθύνει ἐκεῖ τὰ μάτια τοῦ νοῦ του οὔτε αἰσθάνεται τὸν πόνο τῶν δεινῶν τῆς παρούσας ζωῆς, ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος δὲν αἰσθανόταν καὶ δίδασκε τὴν αἰτία τῆς φιλοσοφίας αὐτῆς λέγοντας· «γιατὶ ἡ προσωρινὰ ἐλαφριὰ θλίψη μας προετοιμάζει γιὰ μᾶς ὑπερβολικὰ μεγάλο πλοῦτο αἰώνιας δόξας»[12]. Πῶς καὶ μὲ ποιό τρόπο; «Ἐπειδὴ» μὲ τὰ μάτια τῆς πίστης «δὲν προσέχουμε αὐτὰ ποὺ φαίνονται ἀλλὰ ἐκεῖνα ποὺ δὲ φαίνονται»[13]. Γιατί, ὅπως τὰ μάτια τοῦ σώματος δὲ βλέπουν τίποτε πνευματικό, ἔτσι τὰ μάτια τῆς πίστης δὲ βλέπουν τίποτε τὸ ὑλικό.

Ἀλλὰ ποιά πίστη ἐννοεῖ ἐδῶ ὁ Παῦλος; Γιατὶ ἡ λέξη «πίστη» ἔχει διπλὴ σημασία. Πίστη δηλαδὴ λέγεται καὶ ἐκείνη σύμφωνα μὲ τὴν ὁποία οἱ ἀπόστολοι ἔκαναν τότε τὰ θαύματα, γιὰ τὴν ὁποία ὁ Χριστὸς ἔλεγε· «ἂν ἔχετε πίστη ἔστω καὶ σὰν κόκκο συναπιοῦ, θὰ πεῖτε σ' αὐτὸ τὸ βουνὸ 'πήγαινε ἀπὸ ἐδῶ ἐκεῖ', καὶ θὰ μεταβεῖ»[14]. Καὶ πάλι, ὅταν οἱ μαθητὲς δὲν μπόρεσαν νὰ ἀπαλλάξουν τὸ σεληνιαζόμενο ἀπὸ τὸ δαιμόνιο καὶ ἤθελαν νὰ μάθουν τὴν αἰτία, ὑπαινίχθηκε σ' αὐτοὺς τὴν ἔλλειψη τῆς πίστης λέγοντας, «ἐξ αἰτίας τῆς ἀπιστίας σας»[15]. Καὶ ὁ Παῦλος γι' αὐτὴν ἔλεγε, «ἂν ἔχω πίστη ὥστε νὰ μετακινῶ βουνά»[16]. Καὶ ὅταν ὁ Πέτρος περπατώντας πάνω στὴ θάλασσα ἄρχισε νὰ καταποντίζεται, γι' αὐτὸ πάλι τὸν κατηγόρησε ὁ Χριστὸς λέγοντας, «ὀλιγόπιστε, γιατί δίστασες;»[17]. Λέγεται λοιπὸν πίστη ἐκείνη ποὺ κάνει τὰ σημεῖα καὶ τὰ θαύματα, πίστη ὅμως λέγεται καὶ ἐκείνη ποὺ μᾶς προετοιμάζει στὸ νὰ γνωρίσουμε τὸ Θεό, σύμφωνα μὲ τὴν ὁποία ὁ καθένας μας εἶναι πιστός, ὅπως ὅταν λέγει γράφοντας στοὺς Ρωμαίους· «εὐχαριστῶ τὸ Θεό μου μὲ τὴ χάρη τοῦ Ἰησοῦ Χριστοῦ, γιατὶ ἡ πίστη σας διακηρύσσε-

κόσμῳ καταγγέλλεται»· καὶ Θεσσαλονικεῦσι πάλιν· «ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Θεοῦ, οὐ μόνον ἐν τῇ Μακεδονίᾳ, ἀλλὰ καὶ ἐν τῇ Ἀχαΐᾳ, καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθε».

Ποίαν οὖν αἰνίσσεται ἐντῦθα πίστιν; Εὔδηλον, ὅτι τὴν τῆς γνώσεως· καὶ δηλοῖ τὰ ἑξῆς· «πιστεύομεν», γάρ, φησί, «διὸ καὶ λαλοῦμεν». Τί πιστεύομεν; «Ὅτι ὁ ἐγείρας Ἰησοῦν, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως». Ἀλλὰ διὰ τί «Πνεῦμα πίστεως» αὐτὴν καλεῖ, καὶ εἰς τὴν τῶν χαρισμάτων καταλέγει τάξιν; Εἰ γὰρ χάρισμά ἐστιν ἡ πίστις καὶ τῆς τοῦ Πνεύματος δωρεᾶς μόνον ἀλλ' οὐχ ἡμέτερον κατόρθωμα, οὔτε οἱ ἀπιστοῦντες κολασθήσονται οὔτε οἱ πιστεύοντες ἐπαινεθήσονται. Τοιαύτη γὰρ τῶν χαρισμάτων ἡ φύσις, οὐκ ἔχει στεφάνους οὔτε ἀμοιβάς. Οὐ γὰρ τῶν δεξαμένων τὸ δῶρόν ἐστι κατόρθωμα, ἀλλὰ τῆς τοῦ παρεσχηκότος φιλοφροσύνης χάρισμα. Διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἐκέλευσε μὴ χαίρειν ἐπὶ τῷ δαίμονας ἐκβάλλειν, καὶ τοὺς ἐπὶ τῷ ὀνόματι αὐτοῦ προφητεύσαντας καὶ δυνάμεις πολλὰς ποιήσαντας ἐξέβαλε τῆς βασιλείας τῶν οὐρανῶν, ἐπειδὴ ἀπὸ κατορθωμάτων μὲν οἰκείων οὐδεμίαν εἶχον παρρησίαν, ἀπὸ δὲ χαρισμάτων ἐβούλοντο σώζεσθαι μόνον.

5. *Εἰ τοίνυν καὶ ἡ πίστις τοιοῦτόν ἐστι καὶ οὐδὲν ἡμεῖς εἰσηνέγκαμεν, ἀλλὰ τὸ πᾶν τῆς τοῦ Πνεύματός ἐστι χάριτος καὶ ἐκείνη ταῖς ἡμετέραις αὐτὴν ἐγκατέβαλε ψυχαῖς καὶ οὐδένα ἀντὶ τούτων ληψόμεθα μισθόν, πῶς οὖν ἔλεγε, «καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν»; Ὅτι καὶ τῆς τοῦ πεπιστευκότος ἀρετῆς ἐστι κατόρθωμα ἡ πίστις. Πῶς δὲ ἀλλαχοῦ τοῦτο αὐτὸ πάλιν αἰνίττεται λέγων, «τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις εἰς δικαιοσύνην», εἰ τῆς τοῦ Πνεύματος χάριτος τὸ πᾶν ἐστι; πῶς δὲ καὶ τὸν πατριάρχην Ἀβραὰμ δι' αὐτῆς*

---

18. Ρωμ. 1,8.
19. Α' Θεσ. 1,8.
20. Β' Κορ. 4,14.
21. Ρωμ. 10,10.
22. Ρωμ. 4,5.

ται σὲ ὅλο τὸν κόσμο»[18]. Καὶ στοὺς Θεσσαλονικεῖς πάλι γράφει· «ἀπὸ σᾶς διαδόθηκε ὁ λόγος τοῦ Θεοῦ, ὄχι μόνο στὴ Μακεδονία καὶ στὴν Ἀχαΐα, ἀλλὰ καὶ σὲ κάθε τόπο ἔγινε γνωστὴ ἡ πίστη σας στὸ Θεό»[19].

Ποιά πίστη λοιπὸν ὑπαινίσσεται ἐδῶ; Εἶναι ὁλοφάνερο πὼς ὑπαινίσσεται τὴν πίστη τῆς γνώσης. Καὶ τὸ φανερώνουν αὐτὸ τὰ ἑπόμενα. «Πιστεύουμε», λέγει, «γι' αὐτὸ καὶ κηρύσσουμε». Τί πιστεύουμε; «Ὅτι ἐκεῖνος ποὺ ἀνέστησε τὸν Ἰησοῦ θὰ ἀναστήσει καὶ ἐμᾶς μὲ τὴ δύναμή του»[20]. Ἀλλὰ γιατί τὴν ὀνομάζει «πνεῦμα πίστης» καὶ τὴν κατατάσσει στὴν τάξη τῶν χαρισμάτων; Γιατί, ἂν ἡ πίστη εἶναι χάρισμα καὶ κατόρθωμα τῆς δωρεᾶς τοῦ Πνεύματος μόνο καὶ ὄχι δικό μας, οὔτε οἱ ἄπιστοι θὰ τιμωρηθοῦν οὔτε οἱ πιστοὶ θὰ ἐπαινεθοῦν. Γιατὶ τέτοια εἶναι ἡ φύση τῶν χαρισμάτων, δὲν ἔχει στεφάνια οὔτε ἀμοιβές. Γιατὶ τὸ δῶρο δὲν εἶναι κατόρθωμα ἐκείνων ποὺ τὸ δέχθηκαν, ἀλλὰ χάρισμα τῆς φιλοφροσύνης ἐκείνου ποὺ τὸ ἔδωσε. Γι' αὐτὸ καὶ στοὺς μαθητὲς διέταξε νὰ μὴ χαίρονται γιὰ τὸ ὅτι διώχνουν δαιμόνια καὶ ἐκείνους ποὺ προφήτεψαν στὸ ὄνομά του καὶ ἔκαναν πολλὰ θαύματα τοὺς ἄφησε ἔξω ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, ἐπειδὴ ἀπὸ τὰ δικά τους κατορθώματα δὲν εἶχαν καμιὰ παρρησία καὶ ἤθελαν νὰ σώζονται μόνο ἀπὸ τὰ χαρίσματα.

5. Ἂν λοιπὸν καὶ ἡ πίστη εἶναι τέτοιο πράγμα καὶ ἐμεῖς δὲν προσφέραμε τίποτε ἀλλὰ τὰ πάντα ἀνήκουν στὴ χάρη τοῦ Πνεύματος καὶ αὐτὴ τὴν ἔσπειρε μέσα στὶς ψυχές μας καὶ δὲ θὰ λάβουμε κανένα μισθὸ γι' αὐτά, πῶς λοιπὸν ἔλεγε, «ὅποιος πιστεύει μὲ τὴν καρδιά του ὁδηγεῖται στὴ δικαίωση, καὶ ὅποιος ὁμολογεῖ μὲ τὸ στόμα ὁδηγεῖται στὴ σωτηρία»[21]; Γιατὶ ἡ πίστη εἶναι κατόρθωμα καὶ τῆς ἀρετῆς τοῦ πιστοῦ. Πῶς ὅμως ἀλλοῦ ὑπαινίσσεται πάλι τὸ ἴδιο λέγοντας, «ὅποιος ὅμως δὲν ἔχει ἔργα, ἀλλὰ πιστεύει στὸ Θεὸ ποὺ σώζει τὸν ἀσεβή, λογαριάζεται ἡ πίστη του γιὰ δικαίωση»[22], ἂν τὰ πάντα ἀνήκουν στὴ χάρη τοῦ Πνεύματος; καὶ πῶς ἀκόμη τὸν πατριάρχη Ἀβραὰμ τὸν στόλισε γι' αὐτὴν μὲ ἄπειρα ἐγκωμιαστικὰ στεφάνια, γιατὶ πα-

μυρίοις ἀνέδησεν ἐγκωμίων στεφάνοις, ὅτι τὰ παρόντα πάντα παραδραμών, παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσε;

Τίνος οὖν ἕνεκα «Πνεῦμα πίστεως» αὐτὴν καλεῖ; Ἐκεῖνο δεῖξαι βουλόμενος, ὅτι τὸ μὲν παρὰ τὴν ἀρχὴν πιστεῦσαι τῆς ἡμετέρας εὐγνωμοσύνης ἐστὶ καὶ τὸ ὑπακοῦσαι κληθέντας, μετὰ δὲ τὸ καταβληθῆναι τὴν πίστιν τῆς τοῦ Πνεύματος δεόμεθα βοηθείας, ὥστε μένειν αὐτὴν διηνεκῶς ἄσειστον καὶ ἀπερίτρεπτον. Οὔτε γὰρ ὁ Θεὸς οὔτε ἡ τοῦ Πνεύματος χάρις τὴν ἡμετέραν προφθάνει προαίρεσιν, ἀλλὰ καλεῖ μέν, ἀναμένει δὲ ὥστε ἑκόντας καὶ βουληθέντας οἴκοθεν προσελθεῖν· εἶτα, ἐπειδὰν προσέλθωμεν, τότε τὴν παρ' ἑαυτοῦ παρέχει συμμαχίαν ἅπασαν. Ἐπειδὴ γὰρ καὶ ὁ διάβολος μετὰ τὸ τῇ πίστει προσελθεῖν ἡμᾶς εὐθέως ἐπεισέρχεται, τὴν καλὴν ταύτην ῥίζαν ἀνασπάσαι βουλόμενος καὶ τὰ ζιζάνια σπεῖραι ἐπειγόμενος καὶ τοῖς γνησίοις καὶ καθαροῖς λυμήνασθαι σπέρμασι, δεόμεθα τῆς τοῦ Πνεύματος βοηθείας τότε, ἵνα, καθάπερ γεωργὸς φιλόπονος, ἐγκαθεζόμενος ἡμῶν τῇ ψυχῇ, πολλῇ τῇ φειδοῖ καὶ προνοίᾳ τειχίζῃ πάντοθεν τὸ νεοπαγὲς τῆς πίστεως φυτόν. Διὰ τοῦτο Θεσσαλονικεῦσιν ἐπέστελλε λέγων, «τὸ Πνεῦμα μὴ σβέννυτε», δηλῶν ὅτι τῆς τοῦ Πνεύματος χάριτος ἐπεισελθούσης, ἀκαταγώνιστοι τῷ πονηρῷ δαίμονι λοιπὸν καὶ ταῖς μεθοδείαις αὐτοῦ πάσαις ἐσόμεθα. Εἰ γὰρ «οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, πολλῷ μᾶλλον τὴν πίστιν ἀσφαλῆ καὶ ἐρριζωμένην οὐ δυνήσεται κατασχεῖν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ.

6. Πῶς δὲ δυνησόμεθα τὴν τοῦ Πνεύματος ἐπισπάσασθαι βοήθειαν καὶ πεῖσαι μεῖναι παρ' ἑαυτοῖς; Δι' ἔργων ἀγαθῶν καὶ πολιτείας ἀρίστης. Καθάπερ γὰρ τὸ λυχνιαῖον φῶς ἐλαίῳ κατέχεται καὶ ἀναλωθέντος τούτου κἀκεῖνο συναναλωθὲν ἄπεισιν, οὕτω δὴ καὶ ἡ τοῦ Πνεύματος χάρις, παρόντων μὲν ἡμῖν ἔργων ἀγαθῶν καὶ ἐλεημοσύνης πολλῆς ἐπιχεομένης τῇ ψυχῇ, μένει καθάπερ ἐλαίῳ κατεχομένη ἡ φλόξ· ταύτης δὲ οὐκ οὔσης, ἀπει-

23. Βλ. Ρωμ. 4,1-25.

24. Α' Θεσ. 5,20.

25. Α' Κορ. 12,3.

ραβλέποντας ὅλα τὰ παρόντα πίστεψε παρ' ὅλο ποὺ δὲν εἶχε λόγο νὰ ἐλπίζει[23];

Γιὰ ποιό λοιπὸν λόγο τὴν ὀνομάζει «πνεῦμα πίστης»; Γιατὶ θέλει νὰ δείξει ὅτι ἐξαρτᾶται ἀπὸ μᾶς τὸ νὰ πιστέψουμε στὴν ἀρχὴ καὶ τὸ νὰ ὑπακούσουμε ὅταν κληθοῦμε, καὶ ὅτι μετὰ τὴ θεμελίωση τῆς πίστης χρειαζόμαστε τὴ βοήθεια τοῦ Πνεύματος, ὥστε νὰ μένει αὐτὴ διαρκῶς σταθερὴ καὶ ἀμετάβλητη. Γιατὶ οὔτε ὁ Θεὸς οὔτε ἡ χάρη τοῦ Πνεύματος ἔρχεται πρὶν ἀπὸ τὴ δική μας προαίρεση, ἀλλὰ προσκαλεῖ καὶ περιμένει ὥστε ἀπὸ μόνοι μας καὶ μὲ τὴ θέλησή μας νὰ προσέλθουμε· ἔπειτα, ὅταν προσέλθουμε, τότε μᾶς παρέχει ὅλη τὴ δική του συμμαχία. Ἐπειδὴ λοιπὸν καὶ ὁ διάβολος μετὰ τὴν προσέλευσή μας στὴν πίστη ἐμφανίζεται ἀμέσως θέλοντας νὰ ξερριζώσει τὴν καλὴ αὐτὴ ρίζα καὶ ἐπειγόμενος νὰ σπείρει τὰ ζιζάνια καὶ νὰ καταστρέψει τὰ γνήσια καὶ καθαρὰ σπέρματα, τότε χρειαζόμαστε τὴ βοήθεια τοῦ Πνεύματος γιὰ νὰ προστατεύει ἀπὸ παντοῦ τὸ νέο φυτὸ τῆς πίστης μὲ κάθε μέριμνα καὶ φροντίδα σὰν ἕνας φιλόπονος γεωργὸς ἐγκατεστημένος στὴν ψυχή μας. Γι' αὐτὸ γράφοντας στοὺς Θεσσαλονικεῖς ἔλεγε, «μὴ σβήνετε τὸ Πνεῦμα»[24], δηλώνοντας πῶς ὅταν ἔρθει ἡ χάρη τοῦ Πνεύματος, θὰ εἴμαστε ἀκαταμάχητοι πιὰ γιὰ τὸν κακὸ δαίμονα καὶ ὅλες του τὶς πονηρίες. Γιατί, ἂν «κανεὶς δὲν μπορεῖ νὰ πεῖ ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Κύριος παρὰ μόνο μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος»[25], πολὺ περισσότερο δὲ θὰ μπορέσει νὰ κρατήσει τὴν πίστη του σταθερὴ καὶ ἀκλόνητη παρὰ μόνο μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος.

6. Πῶς ὅμως θὰ μπορέσουμε νὰ ἀποσπάσουμε τὴ βοήθεια τοῦ Πνεύματος καὶ νὰ τὸ πείσουμε νὰ μείνει κοντά μας; Μὲ ἔργα ἀγαθὰ καὶ ἄριστο τρόπο ζωῆς. Γιατὶ ὅπως τὸ φῶς τοῦ λυχναριοῦ διατηρεῖται μὲ λάδι καὶ ὅταν ξοδευθεῖ αὐτὸ σβήνει καὶ τὸ φῶς μαζί του καὶ τελειώνει, ἔτσι ἀκριβῶς καὶ ἡ χάρη τοῦ Πνεύματος, ὅταν ἔχουμε νὰ παρουσιάσουμε ἔργα ἀγθὰ καὶ ἡ ψυχή μας εἶναι γεμάτη ἀπὸ πολλὴ ἐλεημοσύνη, μένει ἡ φλόγα σὰν νὰ διατηρεῖται ἀπὸ λάδι· ὅταν ὅμως αὐτὴ δὲν ὑπάρχει, φεύ-

σι καὶ ἀναχωρεῖ, ὅπερ καὶ ἐπὶ τῶν πέντε παρθένων ἐγένετο. Καὶ γὰρ ἐκεῖναι μετὰ τοὺς πολλοὺς πόνους καὶ τοὺς ἱδρῶτας, ἐπειδὴ τὴν ἀπὸ τῆς φιλανθρωπίας οὐκ εἶχον βοήθειαν, οὐκ ἴσχυσαν παρ' ἑαυτοῖς κατασχεῖν τὸ τοῦ Πνεύματος χάρισμα· διὸ καὶ τοῦ νυμφῶνος ἐξεβλήθησαν καὶ τῆς φοβερᾶς ἐκείνης ἤκουσαν φωνῆς, «ὑπάγετε, οὐκ οἶδα ὑμᾶς», ἣ καὶ τῆς γεέννης ἦν χαλεπωτέρα· διὰ τοῦτο καὶ «μωρὰς» αὐτὰς ὠνόμασεν· εἰκότως· ὅτι τυραννικωτέρας ἐπιθυμίας περιγενόμεναι, ὑπὸ τῆς ἀσθενεστέρας ἑάλωσαν.

Ὅρα γάρ· φύσεως βίαν ἐνίκησαν, λυττῶσαν μανίαν ἐχαλίνωσαν, τὰ τῆς ἐπιθυμίας ἐστόρεσαν κύματα, ἐν γῇ διατρίβουσαι ἀγγελικὸν ἐπεδείξαντο βίον, σῶμα περικείμεναι πρὸς τὰς ἀσωμάτους ἡμιλλήθησαν δυνάμεις, καὶ μετὰ τοσοῦτον πόνον χρημάτων ἐπιθυμίας οὐκ ἐκράτησαν, ὄντως μωραὶ καὶ ἀνόητοι· διὰ τοῦτο καὶ οὐδὲ συγγνώμης ἠξιώθησαν. Ραθυμίας γὰρ τὸ πτῶμα γέγονε μόνον· αἱ γὰρ ἐν τοσαύτῃ φλογὶ κάμινον ἐπιθυμίας δυνηθεῖσαι σβέσαι καὶ ὑπὲρ τὰ σκάμματα πηδήσασαι καὶ πλείω τῶν προσταχθέντων ἐπιδειξάμεναι (οὐ γάρ ἐστι νόμος ἡ παρθενία, ἀλλὰ τῇ προαιρέσει τῶν ἀκουόντων ἐπιτέτραπται), εἶτα ὑπὸ χρημάτων ἡττηθεῖσαι, τίνος οὐκ ἂν εἶεν ἐλεεινότεραι, δι' ὀλίγων ἀργυρίων τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς ῥίψασαι; Ταῦτα λέγω, οὐχὶ τὰς χεῖρας τῶν παρθένων ἐκλύων οὐδὲ τὴν παρθενίαν σβέσαι βουλόμενος, ἀλλ' ἵνα μὴ ἀνόνητα δράμωσιν, ἵνα μὴ μετὰ μυρίους ἱδρῶτας ἀστεφάνωτοι καὶ αἰσχύνης γέμουσαι ἐκ τῶν σκαμμάτων ἀναχωρήσωσι. Καλὸν ἡ παρθενία καὶ ὑπὲρ τὴν φύσιν τὸ κατόρθωμα, ἀλλὰ τὸ καλὸν τοῦτο καὶ μέγα καὶ ὑπὲρ τὴν φύσιν, ἂν μὴ φιλανθρωπίαν ἔχῃ συνεζευγμένην, οὐδὲ ἐπιβαίνειν τῶν τοῦ νυμφῶνος προθύρων δυνήσεται.

Καὶ σκόπει μοι τῆς φιλανθρωπίας τὴν ἰσχὺν καὶ τῆς ἐλεημοσύνης τὴν δύναμιν. Παρθενία μὲν χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν οὐδὲ μέχρι τῶν προθύρων τοῦ νυμφῶνος ἀγαγεῖν, ἐλεη-

---

26. Ματθ. 25,12.

γει καὶ ἀναχωρεῖ, πράγμα ποὺ ἔγινε καὶ στὶς πέντε παρθένους. Γιατὶ καὶ ἐκεῖνες ὕστερα ἀπὸ τοὺς πολλοὺς κόπους καὶ τοὺς ἱδρῶτες, ἐπειδὴ δὲν εἶχαν τὴ βοήθεια ἀπὸ τὴ φιλανθρωπία, δὲν μπόρεσαν νὰ κρατήσουν κοντά τους τὸ χάρισμα τοῦ Πνεύματος. Γι' αὐτὸ καὶ τὸ νυμφώνα στερήθηκαν καὶ τὴ φοβερὴ ἐκείνη φωνὴ ἄκουσαν, «πηγαίνετε, δὲ σᾶς ξέρω»[26], ποὺ ἦταν φοβερότερη καὶ ἀπὸ τὴ γέεννα. Γι' αὐτὸ καὶ τὶς ὀνόμασε «μωρές»· καὶ πολὺ σωστά, γιατὶ ἐνῶ νίκησαν πιὸ τυραννικὴ ἐπιθυμία, νικήθηκαν ἀπὸ ἀσθενέστερη.

Πρόσεχε λοιπόν· νίκησαν τὴ βία τῆς φύσης, χαλιναγώγησαν μιὰ λυσσασμένη μανία, κατέβαλαν τὰ κύματα τῆς ἐπιθυμίας, ἂν καὶ ζοῦσαν στὴ γῆ ἐπέδειξαν ἀγγελικὸ τρόπο ζωῆς, ἂν καὶ εἶχαν σῶμα συναγωνίσθηκαν μὲ τὶς ἀσώματες δυνάμεις. Καὶ ὕστερα ἀπὸ τόσο μεγάλο κόπο ἀφοῦ δὲ νίκησαν τὴν ἐπιθυμία τῶν χρημάτων, πραγματικὰ ἦταν μωρὲς καὶ ἀνόητες· γι' αὐτὸ καὶ δὲν κρίθηκαν ἄξιες γιὰ συγγνώμη. Γιατὶ τὸ παράπτωμά τους προῆλθε μόνο ἀπὸ ἀδιαφορία. Αὐτὲς δηλαδὴ ποὺ σὲ τόσο μεγάλη φλόγα μπόρεσαν νὰ σβήσουν τὸ καμίνι τῆς ἐπιθυμίας καὶ ἀγωνίσθηκαν παρὰ πολὺ καὶ ἐπέδειξαν περισσότερα ἀπὸ τὶς ἐντολὲς ποὺ πῆραν (γιατὶ δὲν εἶναι ἐντολὴ ἡ παρθενία ἀλλὰ ἀφήνεται στὴν προαίρεση τῶν ἀκροατῶν), καὶ στὴ συνέχεια νικήθηκαν ἀπὸ τὰ χρήματα, ἀπὸ ποιόν δὲ θὰ ἦταν δυστυχέστερες, τὴ στιγμὴ ποὺ μὲ λίγα χρήματα πέταξαν τὸ στεφάνι ἀπὸ τὸ κεφάλι τους; Αὐτὰ τὰ λέγω, ὄχι παραλύοντας τὰ χέρια τῶν παρθένων οὔτε θέλοντας νὰ καταργήσω τὴν παρθενία, ἀλλὰ γιὰ νὰ μὴν ἀγωνισθοῦν ἀνώφελα, γιὰ νὰ μὴν ἀναχωρήσουν ἀπὸ τὰ στάδιο ὕστερα ἀπὸ ἄπειρους ἱδρῶτες ἀστεφάνωτες καὶ καταντροπιασμένες. Εἶναι καλὸ πράγμα ἡ παρθενία καὶ ὑπερφυσικὸ τὸ κατόρθωμα. Ἀλλὰ τὸ καλὸ καὶ μεγάλο καὶ ὑπερφυσικὸ αὐτὸ πράγμα ἂν δὲν εἶναι ἑνωμένο μὲ τὴ φιλανθρωπία, δὲ θὰ μπορέσει νὰ φθάσει οὔτε στὰ πρόθυρα τοῦ νυμφώνα.

Καὶ πρόσεχε, παρακαλῶ, τὴν ἰσχὺ τῆς φιλανθρωπίας καὶ τὴ δύναμη τῆς ἐλεημοσύνης. Ἡ παρθενία χωρὶς τὴν ἐλεημοσύνη δὲν μπόρεσε νὰ τὶς φέρει οὔτε μέχρι τὰ πρόθυρα τοῦ νυμφώ-

μοσύνη δὲ χωρὶς παρθενίας τοὺς ἑαυτῆς τροφίμους μετὰ πολλῶν ἐγκωμίων εἰς τὴν πρὸ καταβολῆς κόσμου βασιλείαν ἡτοιμασμένην ἐχειραγώγησεν. Αὗται μὲν γάρ, ἐπειδὴ ἐλεημοσύνην οὐκ ἐπεδείξαντο δαψιλῆ, ἤκουσαν, «ὑπάγετε, οὐκ οἶδα ὑμᾶς», ἐκεῖνοι δὲ οἱ διψῶντα ποτίσαντες καὶ πεινῶντα θρέψαντες τὸν Χριστόν, καίτοι παρθενίαν μὴ προβαλλόμενοι, ἤκουσαν, «δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου». Καὶ μάλα εἰκότως· ὁ μὲν γὰρ παρθενεύων καὶ νηστεύων ἑαυτῷ χρήσιμος, ὁ δὲ ἐλεῶν κοινός ἐστι τῶν ναυαγούντων λιμήν, τὰς τῶν πλησίον διορθούμενος πενίας καὶ τὰς ἑτέρων λύων ἀνάγκας. Τῶν δὲ κατορθωμάτων ἐκεῖνα μάλιστα εὐδοκιμεῖν εἴωθεν, ἅπερ ἂν πρὸς τὸ συμφέρον ἑτέροις γίνεται.

7. *Καὶ ἵνα μάθῃς ὅτι αὗται μᾶλλον τῷ Θεῷ περισπούδαστοι τῶν ἄλλων αἱ ἐντολαί, περὶ μὲν νηστείας καὶ παρθενίας διαλεγόμενος, βασιλείας οὐρανῶν μέμνηται, περὶ δὲ ἐλεημοσύνης καὶ φιλανθρωπίας καὶ τοῦ ποιεῖν ἑαυτοὺς οἰκτίρμονας νομοθετῶν, πολὺ μεῖζον τῆς βασιλείας τῶν οὐρανῶν τέθεικεν ἔπαθλον, «ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς», λέγων. Ἐκεῖνοι γὰρ μάλιστα τῶν νόμων ὁμοίους ποιοῦσι τοὺς ἀνθρώπους τῷ Θεῷ, ὡς ἀνθρώπους εἰκὸς γενέσθαι ὁμοίους τοῦ Θεοῦ, οἱ πρὸς τὸ κοινῇ συμφέρον ἐκβαίνοντες. Καὶ δηλῶν αὐτὸ τοῦτο ὁ Χριστὸς ἔλεγεν· «ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὕτω καὶ ὑμεῖς τοῖς οὖσι κατὰ δύναμιν εἰς τὸ κοινῇ συμφέρον τῶν ἀδελφῶν ἀποκεχρημένοι, μιμήσασθε τὸν τὰ ἀγαθὰ αὐτοῦ προτιθέντα πᾶσιν ὁμοίως.*

Μέγα τὸ τῆς παρθενίας ἀξίωμα καὶ διὰ τοῦτο μᾶλλον συγκροτηθῆναι αὐτὸ βούλομαι. Παρθενίας γὰρ ἀξίωμα οὐκ ἀποσχέσθαι γάμων μόνον, ἀλλὰ τὸ φιλάνθρωπον εἶναι καὶ φιλάδελφον καὶ συμπαθητικόν. Τί γὰρ ὄφελος παρθενία μετὰ ὠμότητος;

---

27. Ματθ. 25,34.

28. Ματθ. 5,45.

να, ἐνῶ ἡ ἐλεημοσύνη χωρὶς τὴν παρθενία ὁδήγησε τοὺς τροφίμους της μὲ πολλοὺς ἐπαίνους στὴ βασιλεία ποὺ ἑτοιμάσθηκε πρὶν ἀπὸ τὴ δημιουργία τοῦ κόσμου. Γιατὶ αὐτές, ἐπειδὴ δὲν ἐπέδειξαν πλούσια ἐλεημοσύνη, ἄκουσαν, «πηγαίνετε, δὲ σᾶς ξέρω», ἐνῶ ἐκεῖνοι ποὺ πότισαν τὸ Χριστὸ ὅταν διψοῦσε καὶ τοῦ ἔδωσαν νὰ φάει ὅταν πεινοῦσε, παρ' ὅλο ποὺ δὲν πρόβαλλαν τὴν παρθενία, ἄκουσαν· «ἐλᾶτε, οἱ εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομῆστε τὴ βασιλεία ποὺ σᾶς ἔχει ἑτοιμασθεῖ ἀπὸ τὴν ἀρχὴ τοῦ κόσμου»[27]. Καὶ πολὺ σωστά· γιατὶ ἐκεῖνος ποὺ ἀσκεῖ τὴν παρθενία καὶ νηστεύει εἶναι χρήσιμος γιὰ τὸν ἑαυτό του, ἐνῶ ἐκεῖνος ποὺ κάνει ἐλεημοσύνη εἶναι κοινὸ λιμάνι γιὰ τοὺς ναυαγούς, διορθώνοντας τὴ φτώχεια τῶν συνανθρώπων του καὶ ἀνακουφίζοντας τὶς ἀνάγκες τῶν ἄλλων. Καὶ συνήθως ἀπὸ τὰ κατορθώματα ἐκεῖνα κυρίως ξεχωρίζουν, ἐκεῖνα ποὺ γίνονται γιὰ τὸ συμφέρον τῶν ἄλλων.

7. Καὶ γιὰ νὰ μάθεις ὅτι αὐτὲς οἱ ἐντολὲς εἶναι πιὸ ἀγαπητὲς στὸ Θεὸ ἀπὸ τὶς ἄλλες, ὅταν μιλάει γιὰ τὴ νηστεία καὶ τὴν παρθενία ἀναφέρει τὴ βασιλεία τῶν οὐρανῶν, ἐνῶ ὅταν νομοθετεῖ γιὰ τὴν ἐλεημοσύνη καὶ τὴ φιλανθρωπία καὶ γιὰ νὰ κάνουμε τοὺς ἑαυτούς μας εὐσπλαχνικοὺς ὁρίζει ἔπαθλο πολὺ μεγαλύτερο ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, λέγοντας· «γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας»[28]. Γιατὶ ἐκεῖνοι πρὸ πάντων ἀπὸ τοὺς νόμους κάνουν τοὺς ἀνθρώπους ὅμοιους μὲ τὸ Θεό, ὅσο μπορεῖ νὰ γίνουν οἱ ἄνθρωποι ὅμοιοι μὲ τὸ Θεό, ποὺ γίνονται γιὰ τὸ κοινὸ συμφέρον. Καὶ φανερώνοντας αὐτὸ ἀκριβῶς ὁ Χριστὸς ἔλεγε· «γιατὶ αὐτὸς ἀνατέλλει τὸν ἥλιο του σὲ κακοὺς καὶ σὲ καλοὺς καὶ βρέχει σὲ δικαίους καὶ ἀδίκους». Ἔτσι καὶ ἐσεῖς, χρησιμοποιώντας τὰ ὑπάρχοντά σας ὅσο μπορεῖτε γιὰ τὸ κοινὸ συμφέρον τῶν ἀδελφῶν, θὰ μιμηθεῖτε ἐκεῖνον ποὺ μὲ ὅμοιο τρόπο σὲ ὅλους προσφέρει τὰ ἀγαθά του.

Εἶναι μεγάλο τὸ ἀξίωμα τῆς παρθενίας καὶ γι' αὐτὸ προπάντων θέλω νὰ ἀσκηθεῖ περισσότερο καὶ καλύτερα. Γιατὶ τὸ ἀξίωμα τῆς παρθενίας δὲ σημαίνει ἀποχὴ μόνο ἀπὸ τὸ γάμο, ἀλλὰ τὸ νὰ εἶναι ἐκεῖνος ποὺ τὴν ἀσκεῖ φιλάνθρωπος καὶ φιλά-

τί δὲ κέρδος σωφροσύνη μετὰ ἀπανθρωπίας; Οὐχ ἑάλως σωμάτων ἐπιθυμίᾳ, ἀλλ' ἑάλως χρημάτων ἐπιθυμίᾳ· οὐκ ἐθαύμασας σώματος κάλλος ἀλλ' ἐθαύμασας χρυσίου κάλλος· τὸν μείζονα ἐνίκησας ἀνταγωνιστήν, ἀλλ' ὁ ἐλάττων καὶ ἀσθενέστερος ἐκράτησέ σου καὶ περιεγένετο. Διὰ τοῦτο αἰσχροτέραν ἐποίησέ σου τὴν ἧτταν· διὰ τοῦτο οὐδὲ συγγνώμης ἔτυχες, τοσαύτης μὲν περιγενομένη βίας καὶ πρὸς τὴν φύσιν αὐτὴν ἀποδυσαμένη, ὑπὸ δὲ φιλαργυρίας ἁλοῦσα, ἣν καὶ οἰκέται πολλάκις καὶ βάρβαροι ἀπονητὶ νικῆσαι ἠδυνήθησαν.

8. Ταῦτ' οὖν ἅπαντα εἰδότες, ἀγαπητοί, καὶ οἱ γάμοις ὁμιλοῦντες καὶ οἱ παρθενίας ἀσκοῦντες, πολλὴν ἐπιδειξώμεθα περὶ τὴν ἐλεημοσύνην σπουδήν, ἐπειδὴ μηδὲ ἑτέρως ἔστι τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν. Εἰ γὰρ παρθενίᾳ χωρὶς ἐλεημοσύνης οὐκ ἴσχυσεν εἰς βασιλείαν εἰσαγαγεῖν, ποῖον ἕτερον κατόρθωμα τοῦτο ἰσχύσει ἢ δυνήσεται ταύτης χωρίς; Οὐκ ἔστιν οὐδέν. Πάσῃ τοίνυν ψυχῇ καὶ δυνάμει τὸ ἔλαιον ἐγχέωμεν ταῖς λαμπάσι καὶ δαψιλὲς ἔστω καὶ διηνεκὲς τοῦτο, ἵνα φαιδρὸν καὶ πλούσιον μείνῃ τὸ φῶς. Μὴ γὰρ δὴ τὸν πένητα ἴδῃς τὸν λαμβάνοντα, ἀλλὰ τὸν Θεὸν τὸν ἀποδιδόντα· μὴ τὸν δεχόμενον τὸ ἀργύριον, ἀλλὰ τὸν ὑπεύθυνον γινόμενον τῷ ὀφλήματι. Διὰ γὰρ τοῦτο ἕτερος λαμβάνει καὶ ἕτερος ἀποδίδωσιν, ἵνα ἡ μὲν τοῦ δεχομένου πενία καὶ ἡ συμφορὰ πρὸς ἔλεον ἐπικάμψῃ καὶ συμπάθειαν, ὁ δὲ τοῦ μέλλοντος ἀποδιδόναι πλοῦτος τὴν καταβολὴν ἐγγυώμενος καὶ τὴν μετὰ πολλῆς προσθήκης ἔκτισιν ἑπομένην, θαρρῆσαι παρασκευάσῃ περὶ τοῦ δανείου καὶ τοῦ τέλους καὶ μετὰ πλείονος δαψιλείας ἐκκαλέσηται τὴν ἐλεημοσύνην. Τίς

δελφος καὶ εὐσπλαχνικός. Γιατὶ ποιό τὸ ὄφελος ὅταν ἡ παρθενία συνυπάρχει μὲ τὴ σκληρότητα; καὶ ποιό τὸ κέρδος ὅταν ἡ σωφροσύνη ἀκολουθεῖται ἀπὸ τὴν ἀπανθρωπιά; Δὲν κυριεύθηκες ἀπὸ τὴν ἐπιθυμία τῶν σωμάτων, ἀλλὰ κυριεύθηκες ἀπὸ τὴν ἐπιθυμία τῶν χρημάτων· δὲ θαύμασες τὴν ὀμορφιὰ τοῦ σώματος ἀλλὰ θαύμασες τὴ λάμψη τοῦ χρυσοῦ· νίκησες τὸ μεγαλύτερο ἀντίπαλο, ἀλλὰ ὁ μικρότερος καὶ ἀσθενέστερος σὲ νίκησε καὶ σὲ κατέβαλε. Γι' αὐτὸ ἔκαμε πιὸ ἀτιμωτικὴ τὴν ἧττα σου. Γι' αὐτὸ οὔτε συγγνώμη ἐπέτυχες, γιατί, παρ' ὅλο ποὺ νίκησες τόσο μεγάλη βία καὶ ἀγωνίσθηκες ἐναντίον τῆς ἴδιας τῆς φύσης, κυριεύθηκες ἀπὸ τὴ φιλαργυρία, τὴν ὁποία καὶ οἱ ὑπηρέτες καὶ οἱ βάρβαροι μπόρεσαν πολλὲς φορὲς νὰ τὴ νικήσουν χωρὶς κόπο.

8. Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, ἀγαπητοί, καὶ ὅσοι εἶναι παντρεμένοι καὶ ὅσοι ἀσκοῦν τὴν παρθενία, ἂς δείξουμε μεγάλο ἐνδιαφέρον για τὴν ἐλεημοσύνη, γιατὶ διαφορετικὰ δὲν εἶναι δυνατὸ νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν. Γιατὶ ἂν ἡ παρθενία χωρὶς τὴν ἐλεημοσύνη δὲν μπόρεσε νὰ ὁδηγήσει στὴ βασιλεία, ποιό ἄλλο κατόρθωμα θὰ τὸ κατορθώσει αὐτὸ ἢ θὰ τὸ μπορέσει χωρὶς αὐτήν; Δὲν ὑπάρχει κανένα. Μὲ ὅλη λοιπὸν τὴν ψυχή μας καὶ μὲ ὅλη τὴ δύναμή μας ἂς χύνουμε τὸ λάδι στὶς λαμπάδες, καὶ ἂς εἶναι αὐτὸ ἄφθονο καὶ διαρκές, γιὰ νὰ παραμείνει λαμπρὸ καὶ πλούσιο τὸ φῶς. Γιατὶ μὴ βλέπεις τὸ φτωχὸ ποὺ παίρνει ἀλλὰ τὸ Θεὸ ποὺ ἀνταποδίδει· ὄχι ἐκεῖνον ποὺ δέχεται τὰ χρήματα ἀλλὰ αὐτὸν ποὺ γίνεται ὑπεύθυνος γιὰ τὸ χρέος. Καὶ γι' αὐτὸ ἄλλος παίρνει καὶ ἄλλος ἀνταποδίδει, γιὰ νὰ μᾶς παρακινήσει σὲ ἐλεημοσύνη καὶ σὲ συμπόνοια ἡ φτώχεια καὶ ἡ συμφορὰ ἐκείνου ποὺ δέχεται, ἐνῶ ὁ πλοῦτος αὐτοῦ ποὺ πρόκειται νὰ ἀνταποδώσει ἐγγυώμενος τὴν πληρωμὴ καὶ τὴν ἐξόφληση ποὺ ἀκολουθεῖ μὲ μεγάλη προσαύξηση θὰ μᾶς δώσει ἐλπίδα γιὰ τὸ δάνειο καὶ τὸ κέρδος καὶ θὰ συμβάλει στὸ νὰ γίνει μὲ περισσότερη γενναιοδωρία ἡ ἐλεημοσύνη. Γιατί, πές μου, ποιός ἐνῶ πρόκειτια νὰ πάρει ἑκατὸ φορὲς περισ-

γάρ, εἰπέ μοι, μέλλων ἑκατονταπλασίονα λαμβάνειν καὶ θαρρῶν πάντως ὑπὲρ τῆς ἀποδόσεως, οὐχὶ τὰ πάντα προήσεται;

Μὴ τοίνυν φειδώμεθα χρημάτων, μᾶλλον δὲ φειδώμεθα τῶν χρημάτων· ὁ γὰρ φειδόμενος τῶν ὄντων, εἰς τὰς τῶν πενήτων χεῖρας αὐτὰ ἐναποτίθεται, εἰς τὸν ἄσυλον θησαυρόν, καὶ λησταῖς καὶ οἰκέταις καὶ συκοφάνταις κακούργοις καὶ πάσαις ἐφόδοις ἀνάλωτον. Εἰ δὲ καὶ ταῦτα ἀκούων ὀκνεῖς προέσθαι τι τῶν ὄντων καὶ οὔτε τὸ ἑκατονταπλασίονα ἀπολαβεῖν οὔτε ἡ τοῦ πένητος συμφορὰ οὔτε ἄλλο οὐδὲν ἐπικάμψαι σε δυνήσεται, ἀναλόγισαι τὰ πεπλημμελημένα σοι, εἴσελθε εἰς τὸ συνειδὸς τῶν ἁμαρτημάτων, πᾶσαν ἐξέτασόν σου τὴν ζωήν, κατάμαθέ σου τὰ παραπτώματα μετὰ ἀκριβείας· κἂν ἁπάντων ἀνθρώπων ἀπηνέστερος ᾖς, πάντως ὑπὸ τοῦ φόβου τῶν ἡμαρτημένων σοι παρὰ πάντα τὸν χρόνον ὠθούμενος, καὶ διὰ τῆς ἐλεημοσύνης ἄφεσίν σοι προδοκῶν γενέσθαι τούτων, καὶ τὸ σῶμα ἐπιδώσεις σαυτοῦ, μήτι γε χρήματα.

Εἰ γὰρ τραύματα ἔχοντες καὶ νοσήματα σωματικὰ ἀποκρούσασθαι βουλόμενοι, οὐδενὸς τῶν ὄντων φειδώμεθα κἂν αὐτὸ τὸ ἱμάτιον ἀποδόσθαι δέοι, ὥστε τῆς ἀρρωστίας ἀπαλλαγῆναι ἐκείνης, πολλῷ μᾶλλον τῆς ψυχῆς ἀρρωστίαν ἀποτίθεσθαι μέλλοντες καὶ τὰ χαλεπὰ τῶν ἁμαρτημάτων τραύματα διὰ τῆς ἐλεημοσύνης, μετὰ πάσης προθυμίας αὐτὴν ἐργασώμεθα. Καίτοι γε ἐπὶ μὲν τῶν νοσημάτων οὐκ ἔστιν εὐθέως καταβαλλόντα ἀργύριον ἀπαλλαγῆναι τῆς νόσου, ἀλλὰ δεῖ καὶ τομῆς πολλάκις καὶ καύσεως καὶ πικρῶν φαρμάκων καὶ λιμοῦ, καὶ ψύχους καὶ ἑτέρων φορτικωτέρων ἐπιταγμάτων· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ᾽ ἀρκεῖ καταβαλεῖν τὸ ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ πάντα εὐθέως ἀπολούσασθαι τὰ πεπλημμελημένα χωρὶς ὀδύνης καὶ πόνου. Ὁ γὰρ τὴν ψυχὴν θεραπεύων ἰατρὸς οὐ δεῖται μεθόδων καὶ ὀργάνων καὶ σιδήρου καὶ πυρός,

σότερα καὶ ἐλπίζει ὁπωσδήποτε στὴν ἀνταπόδοση, δὲ θὰ τὰ προσφέρει ὅλα;

Ἂς μὴ λυπόμαστε λοιπὸν τὰ χρήματα, ἢ καλύτερα ἂς λυπόμαστε τὰ χρήματα. Γιατὶ ἐκεῖνος ποὺ λυπᾶται τὰ ὑπάρχοντά του τὰ ἐναποθέτει στὰ χέρια τῶν φτωχῶν, στὸ ἀσύλητο αὐτὸ θησαυροφυλάκιο καὶ ἀπαραβίαστο ἀπὸ ληστὲς καὶ ὑπηρέτες καὶ κακοὺς συκοφάντες καὶ ἀπὸ ὅλες τὶς ἐπιθέσεις. Ἂν ὅμως ἀκούοντας αὐτὰ ἀκόμη διστάζεις νὰ προσφέρεις κάτι ἀπὸ τὰ ὑπάρχοντά σου καὶ οὔτε τὸ ὅτι θὰ πάρεις ἑκατὸ φορὲς περισσότερα οὔτε ἡ συμφορὰ τοῦ φτωχοῦ οὔτε τίποτε ἄλλο θὰ μπορέσει νὰ σὲ συγκινήσει, ἀναλογίσου τὰ παραπτώματά σου, συνειδητοποίησε τὰ ἁμαρτήματά σου, ἐξέτασε ὅλη τὴ ζωή σου, μάθε καλὰ τὰ σφάλματά σου. Καὶ ἂν ἀκόμη εἶσαι ὁ πιὸ σκληρὸς ἀπ' ὅλους τοὺς ἀνθρώπους, ὠθούμενος ὁπωσδήποτε ἀπὸ τὸ φόβο τῶν ἁμαρτημάτων σου κάθε φορὰ καὶ προσδοκώντας νὰ σοῦ συγχωρηθοῦν αὐτὰ μὲ τὴν ἐλεημοσύνη, θὰ δώσεις ἀκόμη καὶ τὸ σῶμα σου, καὶ ὄχι μόνο χρήματα.

Ἂν λοιπὸν ὅταν ἔχουμε τραύματα καὶ θέλουμε νὰ θεραπεύσουμε ἀρρώστιες τοῦ σώματός μας δὲ λυπόμαστε τίποτε ἀπὸ τὰ ὑπάρχοντά μας, ἔστω καὶ ἂν πρέπει νὰ πουλήσουμε καὶ τὸ ἴδιο τὸ ἔνδυμά μας, ὥστε ν' ἀπαλλαγοῦμε ἀπὸ τὴν ἀρρώστια ἐκείνη, πολὺ περισσότερο θέλοντας ν' ἀπομακρύνουμε ἀρρώστια τῆς ψυχῆς καὶ τὰ φοβερὰ τραύματα τῶν ἁμαρτημάτων μὲ τὴν ἐλεημοσύνη, ἂς τὴν κάνουμε μὲ κάθε προθυμία. Ἂν καὶ βέβαια στὴν περίπτωση τῶν ἀσθενειῶν δὲν εἶναι δυνατὸ ν' ἀπαλλαγεῖ κανεὶς ἀπὸ τὴ νόσο ἀμέσως μόλις πληρώσει τὰ χρήματα, ἀλλὰ πολλὲς φορὲς χρειάζεται καὶ ἐγχείριση καὶ καυτηρίαση καὶ πικρὰ φάρμακα καὶ στέρηση τροφῆς καὶ πάγος καὶ ἄλλες πιὸ ἐνοχλητικὲς ἐντολές. Ἐδῶ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλ' ἀρκεῖ νὰ καταβάλουμε τὰ χρήματα στὰ χέρια τῶν φτωχῶν καὶ ἀμέσως καθαρίζονται ὅλα τὰ ἁμαρτήματά μας χωρὶς πόνο καὶ κόπο. Γιατὶ ὁ γιατρὸς ποὺ θεραπεύει τὴν ψυχὴ δὲ χρειάζεται μεθόδους καὶ ὄργανα, μαχαίρι καὶ φωτιά, ἀλλὰ ἀρκεῖ ἕνα νεῦμα

ἀλλ' ἀρκεῖ νεῦσαι μόνον καὶ πάντα ἐκρεῖ τῆς ἡμετέρας ψυχῆς τὰ πλημμελήματα, καὶ εἰς τὸ μὴ ὂν ἀφανίζεται.

9. Οὐχ ὁρᾷς τοὺς μοναχοὺς τοὺς τὸν μονήρη βίον ἐπιθυμοῦντας καὶ εἰς τὰς κορυφὰς τῶν ὀρέων ἀναχωροῦντας, ὅσην ὑπομένουσι σκληραγωγίαν; Καὶ γὰρ σποδὸν ὑποστρωννύμενοι καὶ σάκκον περιβαλλόμενοι καὶ κλοιὰ παντὶ τῷ σώματι περιτιθέντες καὶ ἐν οἴκῳ καθείρξαντες ἑαυτούς, λιμῷ παλαίουσι διηνεκεῖ, θρήνοις συζῶσι καὶ ἀγρυπνίαις ἀφορήτοις, ἵνα δυνηθῶσι μικρὸν γοῦν μέρος τῶν ἡμαρτημένων ἀπορρίψασθαι· σοὶ δὲ ἔξεστι χωρὶς τῆς σκληραγωγίας ἁπάσης ἐκείνης τὴν εὔκολον ταύτην καὶ ῥᾳδίαν εὐλάβειαν ἐπιδείξασθαι.

Ποῖος γὰρ πόνος, εἰπέ μοι, τῶν ὄντων ἀπολαύοντας, τὰ περιττὰ τῆς χρείας εἰς τοὺς δεομένους ἀναλῶσαι; Εἰ γὰρ μὴ μισθὸς ἔκειτο, εἰ γὰρ μὴ ἀμοιβὴ τοσαύτη ὥριστο, αὐτὴ τοῦ πράγματος ἡ φύσις οὐχ ἱκανὴ καὶ τοὺς σφόδρα ἀνημέρους πεῖσαι, τοῖς περιττεύουσιν εἰς παραμυθίαν τῶν δεομένων ἀποχρήσασθαι; Ὅταν δὲ καὶ τοσοῦτοι στέφανοι καὶ τοσαῦται ἀμοιβαὶ καὶ τοσαύτη ἁμαρτημάτων ἀμνηστία διὰ τῆς ἐλεημοσύνης γίνηται, ποίαν ἕξουσιν ἀπολογίαν, εἰπέ μοι, οἱ χρημάτων φειδόμενοι καὶ τὴν ψυχὴν τὴν ἑαυτῶν καταποντίζοντες τοῖς ἁμαρτήμασιν; Εἰ γὰρ καὶ μηδέν σε ἕτερον κινεῖ καὶ διανίστησι πρὸς συμπάθειαν καὶ πρὸς ἐλεημοσύνην, τῆς τελευτῆς τὴν ἀδηλίαν ἀναλόγισαι· καὶ ἐνθυμηθείς, ὅτι κἂν μὴ πένησι δῷς, ἐπελθόντος τοῦ θανάτου καὶ ἄκων ἐκστήσῃ ἑτέροις αὐτῶν, κἂν οὕτω γενοῦ φιλάνθρωπος νῦν. Καὶ γὰρ ἐσχάτης ἀνοίας ἂν εἴη, ὧν καὶ ἄκοντες ἐξίστασθαι μέλλομεν, ἑτέροις τούτων μὴ μεταδοῦναι ἑκόντας τοῖς δεομένοις, καὶ ταῦτα μέλλοντας τοσαῦτα ἀπὸ τῆς φιλοφροσύνης ταύτης καρποῦσθαι καλά. «Τὸ ὑμῶν περίσσευμα», φησί, «γενέσθω εἰς τὸ ἐκείνων ὑστέρημα».

---

29. Β' Κορ. 8,14.

νὰ κάνει μόνο καὶ ὅλα τὰ ἁματήματα φεύγουν ἀπὸ τὴν ψυχή μας καὶ ἐξαφανίζονται.

9. Δὲ βλέπεις τοὺς μοναχοὺς ποὺ ἐπιθυμοῦν τὴ μοναχικὴ ζωὴ καὶ ἀναχωροῦν στὶς κορυφὲς τῶν βουνῶν πόση σκληραγωγία ὑπομένουν; Γιατὶ πραγματικὰ ἔχοντας γιὰ στρῶμα τὸ χῶμα καὶ φορώντας σάκκο καὶ τοποθετώντας σὲ ὅλο τους τὸ σῶμα δεσμὰ καὶ φυλακίζοντας τὸν ἑαυτό τους στὸ κελλὶ παλεύουν μὲ διαρκὴ πείνα καὶ συζοῦν μὲ θρήνους καὶ ἀφόρητες ἀγρυπνίες, γιὰ νὰ μπορέσουν νὰ διώξουν ἕνα μικρὸ τουλάχιστο μέρος ἀπὸ τὰ ἁμαρτήματά τους. Ἐσὺ ὅμως ἔχεις τὴ δυνατότητα νὰ ἐπιδείξεις τὴν εὔκολη αὐτὴ καὶ κατορθωτὴ εὐλάβεια χωρὶς ὅλη ἐκείνη τὴ σκληραγωγία.

Γιατὶ πές μου, τί κόπος εἶναι, ἐκεῖνοι ποὺ ἀπολαμβάνουν τὰ ἀγαθά τους νὰ ξοδέψουν ὅσα τοὺς περισσεύουν σ' ἐκείνους ποὺ ἔχουν ἀνάγκη; Γιατὶ ἂν δὲν ὑπῆρχε μισθός, ἂν δὲν εἶχε ὁρισθεῖ τόσο μεγάλη ἀμοιβή, αὐτὴ ἡ φύση τοῦ πράγματος δὲ θὰ ἦταν ἀρκετὴ νὰ πείσει καὶ τοὺς ὑπερβολικὰ ἄγριους νὰ μεταχειρίζονται τὰ περισσεύματα γιὰ ἀνακούφιση ἐκείνων ποὺ ἔχουν ἀνάγκη; Ὅταν ὅμως μὲ τὴν ἐλεημοσύνη ἐπιτυγχάνονται τόσα βραβεῖα καὶ τόσες ἀμοιβὲς καὶ τόση συγχώρηση ἁμαρτημάτων, πές μου, ποιά δικαιολογία θὰ ἔχουν ἐκεῖνοι ποὺ λυποῦνται τὰ χρήματα καὶ καταποντίζουν τὴν ψυχή τους μέσα στὰ ἁμαρτήματα; Καὶ ἂν τίποτε ἄλλο δὲ σὲ παρακινεῖ καὶ δὲ σὲ συγκινεῖ γιὰ συμπόνοια καὶ γιὰ ἐλεημοσύνη, σκέψου τὸ ξαφνικὸ τοῦ θανάτου καί, ἀφοῦ ἀναλογισθεῖς ὅτι καὶ ἂν ἀκόμη δὲ δώσεις στοὺς φτωχούς, ὅταν ἔρθει ὁ θάνατος καὶ χωρὶς τὴ θέλησή σου θὰ τὰ παραχωρήσεις στοὺς ἄλλους, τουλάχιστο ἔτσι γίνε τώρα φιλάνθρωπος. Γιατὶ πραγματικὰ θὰ ἦταν ἀπόδειξη τῆς χειρότερης ἀνοησίας νὰ μὴν προσφέρουμε μὲ τὴ θέλησή μας σὲ ἄλλους ποὺ ἔχουν ἀνάγκη ἀπ' αὐτὰ ἀπὸ τὰ ὁποῖα καὶ χωρὶς τὴ θέλησή μας πρόκειται νὰ ἀποχωρισθοῦμε, τὴ στιγμὴ μάλιστα ποὺ ἀπὸ τὴ φιλοφροσύνη αὐτὴ πρόκειτα νὰ κερδίσουμε τόσα καλά. «Τὸ δικό σας περίσσευμα», λέγει, «ἂς προστεθεῖ στὸ δικό τους ὑστέρημα»[29].

Τί δέ ἐστιν ὃ λέγει; Μείζονα λαμβάνεις, ἢ δίδως. Δίδως αἰσθητά, καὶ λαμβάνεις νοητὰ καὶ πνευματικά· δίδως ἀργύριον, καὶ λαμβάνεις ἁμαρτημάτων ἄφεσιν· λύεις σὺ τῷ πένητι λιμόν, ἐκεῖνος δέ σοι λύει τοῦ Θεοῦ τὴν ὀργήν. Ἀντίδοσίς τίς ἐστι καὶ πραγματεία πολὺ τῆς δαπάνης μείζω καὶ χρησιμωτέραν τὴν πρόσοδον ἔχουσα. Ἡ μὲν γὰρ δαπάνη ἐν χρήμασι γίνεται, ἡ πρόσοδος δὲ οὐκ ἔτι ἐν χρήμασι μόνον, ἀλλὰ καὶ ἐν ἁμαρτημάτων ἀφέσει καὶ παρρησίᾳ τῇ πρὸς τὸν Θεὸν καὶ βασιλείᾳ τῶν οὐρανῶν καὶ τῇ τῶν ἀγαθῶν ἀπολαύσει, «ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη». Πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐμπόρους μηδενὸς φείδεσθαι τῶν ὄντων, καὶ ταῦτα οὐχ ἑτέρας τινὸς καινοτέρας ἀλλ' ὁμοίας τῇ ἐνθήκῃ τῆς ἐμπορίας αὐτῶν μελλούσης ἔσεσθαι, ἡμᾶς δὲ διὰ φθαρτῶν καὶ ἐπικήρων οὐχὶ φθαρτὰ καὶ ἐπίκηρα, ἀλλ' ἄφθαρτα καὶ ἀθάνατα καρποῦσθαι μέλλοντας ἀγαθά, μηδὲ τὴν αὐτὴν ἐκείνοις φιλοτιμίαν περὶ τὰ ὄντα ἐπιδείκνυσθαι;

Μή, ἀδελφοί, μὴ οὕτω κακῶς περὶ τῆς ἑαυτῶν βουλευώμεθα σωτηρίας, ἀλλὰ τὸ παράδειγμα τῶν παρθένων εἰδότες καὶ τοὺς εἰς τὸ πῦρ ἀπαγομένους τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐπειδὴ μὴ ἔθρεψαν, μηδὲ ἐπότισαν τὸν Χριστόν, κατέχωμεν τοῦ Πνεύματος τὸ πῦρ διὰ φιλανθρωπίας δαψιλοῦς καὶ ἐπιτεταμένης ἐλεημοσύνης, ἵνα μὴ περὶ τὴν πίστιν ναυαγήσωμεν. Ἡ μὲν γὰρ πίστις τῆς τοῦ Πνεύματος δεῖται βοηθείας καὶ τῆς παραμονῆς ἵνα ἄσειστος μένῃ, ἡ δὲ τοῦ Πνεύματος βοήθεια διὰ βίου καθαροῦ καὶ πολιτείας ἀρίστης ἡμῖν εἴωθεν παραμένειν. Ὥστε, εἰ μέλλοιμεν ἐρριζωμένην ἔχειν τὴν πίστιν, πολιτείας ἡμῖν δεῖ καθαρᾶς τῆς τὸ Πνεῦμα πειθούσης μένειν καὶ συνέχειν ἐκείνης τὴν δύναμιν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι βίον ἀκάθαρτον ἔχοντα, μὴ καὶ περὶ τὴν πίστιν σαλεύεσθαι.

10. Οἱ γοῦν περὶ εἱμαρμένης ληροῦντες καὶ τῷ σωτηριώδει

---

30. Α' Κορ. 2,9.

Καὶ τί σημαίνει αὐτὸ ποὺ λέγει; Παίρνεις μεγαλύτερα ἀπ' αὐτὰ ποὺ δίνεις. Δίνεις ὑλικὰ καὶ παίρνεις νοητὰ καὶ πνευματικά. Δίνεις χρήματα καὶ παίρνεις ἄφεση ἁμαρτημάτων· ἐξαλείφεις ἐσὺ τὴ πείνα ἀπὸ τὸ φτωχό, καὶ ἐκεῖνος ἐξαλείφει τὴν ὀργὴ τοῦ Θεοῦ γιὰ σένα. Εἶναι κάποια ἀνταπόδοση καὶ ἐμπόριο ποὺ ἔχει πολὺ πιὸ μεγάλο καὶ πιὸ χρήσιμο τὸ κέρδος ἀπὸ τὴ δαπάνη. Γιατὶ ἡ δαπάνη γίνεται μὲ χρήματα, ἐνῶ τὸ κέρδος δὲ γίγεται ἐδῶ μόνο μὲ χρήματα, ἀλλὰ καὶ μὲ τὴν ἄφεση τῶν ἁμαρτημάτων καὶ τὴν παρρησία ἐνώπιον τοῦ Θεοῦ καὶ τὴ βασιλεία τῶν οὐρανῶν καὶ μὲ τὴν ἀπόλαυση τῶν ἀγαθῶν ἐκείνων τὰ ὁποῖα οὔτε μάτι τὰ εἶδε οὔτε αὐτὶ τὰ ἄκουσε οὔτε νοῦς ἀνθρώπου τὰ συνέλαβε[30]. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, οἱ ἔμποροι νὰ μὴ λυποῦνται τίποτε ἀπὸ τὰ ὑπάρχοντά τους, ἂν καὶ δὲν πρόκειται νὰ προκύψει κάποιο ἄλλο πιὸ καινούριο κέρδος ἀλλὰ ὅμοιο μὲ τὰ κεφάλαια τοῦ ἐπαγγέλματός τους, καὶ ἐμεῖς ποὺ πρόκειται μὲ τὰ φθαρτὰ καὶ τὰ πρόσκαιρα νὰ κερδίσουμε ὄχι φθαρτὰ καὶ πρόσκαιρα, ἀλλὰ ἄφθαρτα καὶ αἰώνια ἀγαθά, νὰ μὴ δείχνουμε τὸν ἴδιο μ' ἐκείνους ζῆλο γιὰ τὰ ὑπάρχοντά μας;

Ἂς μὴ σκεπτόμαστε, ἀδελφοί, μὲ τόσο κακὸ τρόπο γιὰ τὴ σωτηρία μας, ἀλλὰ γνωρίζοντας τὸ παράδειγμα τῶν παρθένων καὶ ἐκείνους ποὺ ἐπειδὴ δὲν ἔθρεψαν καὶ δὲν πότισαν τὸ Χριστὸ ὁδηγοῦνται στὴ φωτιὰ ποὺ ἔχει ἑτοιμασθεῖ γιὰ τὸ διάβολο καὶ τοὺς ἀγγέλους του, ἂς κρατοῦμε τὴ φωτιὰ τοῦ Πνεύματος μὲ πλούσια φιλανθρωπία καὶ συνεχὴ ἐλεημοσύνη γιὰ νὰ μὴ ὁδηγήσουμε σὲ ναυάγιο τὴν πίστη μας. Γιατὶ ἡ πίστη χρειάζεται τὴ βοήθεια καὶ τὴν παραμονὴ τοῦ Πνεύματος γιὰ νὰ μένει ἀσάλευτη, ἐνῶ ἡ βοήθεια τοῦ Πνεύματος συνήθως παραμένει μὲ καθαρὸ τρόπο ζωῆς καὶ ἄψογη συμπεριφορά. Ἑπομένως ἂν θέλουμε νὰ ἔχουμε σταθερὴ τὴν πίστη, ἐπιβάλλεται νὰ ἔχουμε ἄψογη συμπεριφορὰ ποὺ πείθει τὸ Πνεῦμα νὰ μένει καὶ νὰ συγκρατεῖ τὴ δύναμη ἐκείνης. Γιατὶ δὲν εἶναι δυνατό, πραγματικὰ δὲν εἶναι, νὰ μὴν κλονίζεται καὶ στὴν πίστη ἐκεῖνος ποὺ κάνει ἁμαρτωλὴ ζωή.

10. Ἐκεῖνοι λοιπὸν ποὺ φλυαροῦν γιὰ τὴν εἱμαρμένη καὶ

τῆς ἀναστάσεως διαπιστοῦντες λόγῳ, ἀπὸ συνειδότος πονηροῦ καὶ πράξεων διεφθαρμένων ἐπὶ τὸ βάραθρον τῆς ἀπιστίας ταύτης κατέπεσον. Καὶ καθάπερ οἱ πυρέττοντες βουλόμενοι τὸ πνῖγος ἀποτινάξασθαι, κατὰ ψυχρῶν ἑαυτοὺς πολλάκις ἔρριψαν ὑδάτων καὶ πρὸς βραχὺ παραμυθησάμενοι τὴν νόσον χαλεπωτέραν ὕστερον ἀνῆψαν τὴν φλόγα, οὕτω δὴ καὶ οἱ πονηρῷ συνεχόμενοι συνειδότι, εἶτα παραμυθίαν ζητοῦντες εὑρεῖν καὶ μὴ βουλόμενοι μετανοίᾳ τὰ ἁμαρτήματα ἀπονίψασθαι, τὴν τῆς εἱμαρμένης ἐπεισήγαγον τυραννίδα καὶ τὴν τῆς ἀναστάσεως ἀπιστίαν. Διὰ τοῦτο ἐνταῦθα ἑαυτοὺς διὰ τῶν ψυχρῶν λογισμῶν πρὸς βραχὺ παραμυθησάμενοι, μείζονα τῆς γεέννης ἀνάψουσιν ἑαυτοῖς τὴν φλόγα, ὅταν γενόμενοι ῥᾳθυμότεροι, εἶτα ἀπελθόντες ἐκεῖ θεάσωνται τῶν ἑαυτοῖς πεπλημμελημένων ἕκαστον αὐτὸν διδόντα εὐθύνας.

Καὶ ἵνα μάθητε ὅτι τοῦτό ἐστιν ἀληθὲς καὶ πράξεις πονηραὶ τῇ τῆς πίστεως λυμαίνονται στερρότητι, ἄκουσον τί φησιν ὁ Παῦλος τῷ Τιμοθέῳ γράφων· «ἵνα στρατεύσῃ», φησί, «τὴν καλὴν στρατείαν, ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν» (ἡ δὲ ἀγαθὴ συνείδησις ἀπὸ βίου καὶ πράξεων ὀρθῶν γένοιτ' ἄν)· «ἥν τινες ἀπωσάμενοι, περὶ τὴν πίστιν», φησίν, «ἐναυάγησαν». Καὶ πάλιν ἀλλαχοῦ· «ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως». Εἶδες ὅτι κἀκεῖνοι ἐναυάγησαν διὰ τοῦτο καὶ οὗτοι διὰ τοῦτο ἀπεπλανήθησαν, ἐπειδὴ οἱ μὲν τὴν ἀγαθὴν συνείδησιν ἀπώσαντο, οὗτοι δὲ τῆς φιλαργυρίας ἐπελάβοντο;

Ἅπερ ἅπαντα λογισάμενοι μετ' ἀκριβείας, ἐπιμελώμεθα πολιτείας ἀρίστης, ὥστε γενέσθαι διπλοῦν ἡμῖν τὸν μισθόν, ἕνα μέν, τὸν ἐκ τῆς τῶν ἔργων ἀμοιβῆς ἡτοιμασμένον, ἕτερον δέ, τὸν ἐκ τῆς κατὰ πίστιν στερρόττητος. Ὅπερ γάρ ἐστιν ἡ τροφὴ τῷ σώματι, τοῦτο ἡ πολιτεία τῇ πίστει· καὶ καθάπερ ἡ τῆς σαρκὸς φύσις τῆς ἡμετέρας οὐκ ἂν διακρατηθείη χωρὶς τροφῆς, οὐ-

---

31. Α' Τιμ. 1,18–19.
32. Α' Τιμ. 6,10.

δυσπιστοῦν γιὰ τὸ σωτηριῶδες κήρυγμα τῆς ἀνάστασης ἔπεσαν στὸ βάραθρο αὐτὸ τῆς ἀπιστίας ἀπὸ τὴν ἁμαρτωλή τους συνείδηση καὶ τὶς ἀνήθικες πράξεις τους. Καὶ ὅπως ἐκεῖνοι ποὺ ἔχουν πυρετό, θέλοντας ν' ἀπαλλαγοῦν ἀπὸ τὴ θερμότητα ποὺ τοὺς πνίγει, ἔπεσαν πολλὲς φορὲς σὲ κρύα νερὰ καὶ ἀφοῦ καταπράϋναν γιὰ λίγο τὴν ἀρρώστια ἄναψαν ἀργότερα πιὸ φοβερὴ τὴ φλόγα, ἔτσι ἀκριβῶς καὶ ἐκεῖνοι ποὺ βαρύνονται ἀπὸ ἁμαρτωλὴ συνείδηση ἐπειδὴ στὴ συνέχεια ζητοῦν νὰ βροῦν κάποια ἀνακούφιση καὶ δὲ θέλουν νὰ καθαρίσουν τὰ ἁμαρτήματά τους μὲ τὴ μετάνοια, εἰσήγαγαν τὴν τυραννία τῆς εἱμαρμένης καὶ τὴν ἀπιστία τῆς ἀνάστασης. Γι' αὐτό, ἀφοῦ ἀνακουφίσθηκαν γιὰ λίγο ἐδῶ μὲ τὶς ψυχρὲς σκέψεις τους, θὰ ἀνάψουν μεγαλύτερη γι' αὐτοὺς τὴ φλόγα τῆς γέεννας ὅταν, ἀφοῦ γίνουν περισσότερο ἀδιάφοροι, φθάσουν τότε ἐκεῖ ὅπου θὰ δοῦν τὸν καθένα του χωριστὰ νὰ δίνει λόγο γιὰ τὰ ἁμαρτήματά του.

Καὶ γιὰ νὰ μάθετε ὅτι αὐτὸ εἶναι ἀλήθεια καὶ ὅτι οἱ κακὲς πράξεις καταστρέφουν τὴ σταθερότητα τῆς πίστης, ἄκουσε τί λέγει ὁ Παῦλος γράφοντας στὸν Τιμόθεο· «γιὰ νὰ διεξάγετε», λέγει, «τὸν καλὸ ἀγώνα ἔχοντας πίστη καὶ καλὴ συνείδηση» (ἡ καλὴ ὅμως συνείδηση θὰ μποροῦσε νὰ γίνει ἀπὸ καλὴ ζωὴ καὶ ὀρθὲς πράξεις), «τὴν ὁποία μερικοὶ ἀπέρριψαν καὶ ναυάγησαν στὴν πίστη»[31]. Καὶ πάλι ἀλλοῦ λέγει· «ἡ ρίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία, τὴν ὁποία μερικοὶ ἐπιθύμησαν τόσο πολύ, ὥστε πλανήθηκαν ἀπὸ τὴν πίστη»[32]. Εἶδες πὼς καὶ ἐκεῖνοι ναυάγησαν γι' αὐτό, καὶ αὐτοὶ πλανήθηκαν γιὰ τὸ ἴδιο πράγμα, ἐπειδὴ οἱ πρῶτοι ἀπώθησαν τὴν καλὴ συνείδηση καὶ οἱ δεύτεροι ἐπιδίωξαν τὴ φιλαργυρία;

Σκεπτόμενοι λοιπὸν ὅλα αὐτὰ μὲ ἀκρίβεια, ἂς φροντίζουμε γιὰ ἄριστο τρόπο ζωῆς, ὥστε νὰ γίνει διπλὸς ὁ μισθός μας, ὁ ἕνας ποὺ ἔχει ἑτοιμασθεῖ ἀπὸ τὴν ἀμοιβὴ τῶν ἔργων καὶ ὁ ἄλλος ποὺ προέρχεται ἀπὸ τὴ σταθερότητα στὴν πίστη. Γιατὶ ἐκεῖνο ποὺ εἶναι ἡ τροφὴ γιὰ τὸ σῶμα, αὐτὸ εἶναι ὁ ὀρθὸς τρόπος ζωῆς γιὰ τὴν πίστη· καὶ ὅπως ἀκριβῶς ἡ φύση τῆς σάρκας μας δὲ θὰ μποροῦσε νὰ κρατηθεῖ χωρὶς τροφή, ἔτσι οὔτε ἡ πί-

τως οὐδὲ ἡ πίστις χωρὶς ἔργων ἀγαθῶν· «χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά».

Ἓν ὑπολέλειπται λοιπὸν εἰπεῖν, τί ποτέ ἐστι, «τὸ αὐτό»; Οὐ γὰρ εἶπεν ἁπλῶς, 'ἔχοντες τὸ Πνεῦμα τῆς πίστεως', ἀλλὰ τί; «Ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως». Καὶ ἐβουλόμην μὲν ἐπεξελθεῖν καὶ τοῦτο τῷ λόγῳ· ἀλλ' ἐπειδὴ πολλοὺς ποταμοὺς ὁρῶ νοημάτων ἐκ τῆς ψιλῆς ταύτης ῥήσεως ἐξιόντας, δέδοικα μὴ τῷ πλήθει τῶν ῥηθήσεσθαι μελλόντων τὰ εἰρημένα ἐπικλύσας ἅπαντα, ἄχρηστον ὑμῖν ποιήσω τὴν διδασκαλίαν διὰ τῆς ἀμετρίας ὑμῖν λυμηνάμενος. Διόπερ ἐνταῦθα στήσας τὸν λόγον, παρακαλῶ καὶ δέομαι τά τε εἰρημένα μετ' ἀκριβείας φυλάττειν, ὅσα περὶ πολιτείας καὶ πίστεως καὶ παρθενίας καὶ φιλανθρωπίας καὶ ἐλεημοσύνης ἠκούσατε, καὶ ταῦτα κατέχοντας ἀσφαλῶς πρὸς τὴν τῶν μελλόντων ἀκρόασιν ἀπαντῆσαι. Οὕτω γὰρ ἡμῖν στερρὰ καὶ ἄσειστος ἔσται ἡ τῶν εἰρημένων οἰκοδομή, ὅταν, τῶν προτέρων καλῶς πεπηγότων ἐν ταῖς ὑμετέραις διανοίαις, τὰ δεύτερα ἐπεμβάλωμεν.

Ὁ δὲ Θεὸς ὁ καὶ ἡμῖν ταῦτα εἰπεῖν δοὺς καὶ ὑμῖν μετὰ προθυμίας ἀκοῦσαι, καταξιώσειε καὶ τὸν διὰ τῶν ἔργων ἐπιδείξασθαι καρπόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

33. Ἰακ. 2,20.

στη χωρὶς καλὰ ἔργα. Γιατὶ ἡ πίστη χωρὶς ἔργα εἶναι νεκρή»[33].

Ἕνα ἔχει μείνει νὰ ποῦμε ἀκόμη· τί ἄραγε σημαίνει «τὸ ἴδιο»; Γιατὶ δὲν εἶπε ἁπλῶς, 'ἐπειδὴ ἔχουμε τὸ Πνεῦμα τῆς πίστης', ἀλλὰ τί; «Ἐπειδὴ ἔχουμε τὸ ἴδιο Πνεῦμα τῆς πίστης». Καὶ ἤθελα βέβαια νὰ ἀναπτύξω καὶ αὐτὸν τὸ λόγο, ἀλλὰ ἐπειδὴ βλέπω νὰ πηγάζουν ἀπὸ τὴν ἁπλὴ αὐτὴ φράση πολλοὶ ποταμοὶ νοημάτων, φοβᾶμαι μήπως μὲ τὰ πολλὰ ποὺ πρόκειται νὰ λεχθοῦν, σκεπάζοντας ὅλα ὅσα λέχθηκαν, καταστήσω ἄχρηστη γιὰ σᾶς τὴ διδασκαλία καταστρέφοντας αὐτὴν μὲ τὰ πολλὰ λόγια. Γι' αὐτὸ λοιπόν, τελειώνοντας ἐδῶ τὸ λόγο, σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω καὶ αὐτὰ ποὺ λέχθηκαν νὰ τὰ φυλάγετε μὲ ἀκρίβεια, ὅσα δηλαδὴ ἀκούσατε γιὰ ἄριστο τρόπο ζωῆς, γιὰ πίστη, γιὰ παρθενία, γιὰ φιλανθρωπία καὶ ἐλεημοσύνη, καὶ κρατώντας αὐτὰ μὲ ἀσφάλεια νὰ ἔρθετε ἐδῶ γιὰ τὴ μελλοντικὴ ἀκρόαση. Γιατὶ ἔτσι θὰ μᾶς γίνει σταθερὴ καὶ ἀσάλευτη ἡ οἰκοδομὴ αὐτῶν ποὺ λέχθηκαν ὅταν, ἀφοῦ τὰ προηγούμενα σταθεροποιηθοῦν καλὰ μέσα στὸ νοῦ σας, προσθέσω μετὰ τὰ ἑπόμενα.

Καὶ ὁ Θεός, ποὺ ἐπέτρεψε καὶ μένα νὰ πῶ αὐτὰ καὶ σᾶς νὰ τὰ ἀκούσετε μὲ προθυμία, εἴθε νὰ μᾶς ἀξιώσει νὰ ἐπιδείξουμε καὶ τὸν καρπὸ μὲ τὰ ἔργα μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, γιατὶ σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ»· ΚΑΙ ΠΡΟΣ ΜΑΝΙΧΑΙΟΥΣ,

ΚΑΙ ΠΑΝΤΑΣ ΤΟΥΣ ΔΙΑΒΑΛΛΟΝΤΑΣ ΤΗΝ ΠΑΛΑΙΑΝ ΚΑΙ ΔΙΑΙΡΟΥΝΤΑΣ ΑΥΤΗΝ ΑΠΟ ΤΗΣ ΚΑΙΝΗΣ

ΚΑΙ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ



ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΤΗΝ ΑΠΟΣΤΟΛΙΚΗΝ ΡΗΣΙΝ ΤΗΝ ΛΕΓΟΥΣΑΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ»· ΚΑΙ ΠΡΟΣ ΜΑΝΙΧΑΙΟΥΣ,

καὶ πάντας τοὺς διαβάλλοντας τὴν Παλαιὰν καὶ διαιροῦντας αὐτὴν ἀπὸ τῆς Καινῆς, καὶ περὶ ἐλεημοσύνης

1. Ἀποστολικῆς ὑμῖν ἐξηγήσεως χρέος ὀφείλω παλαιόν· ἀλλὰ τοῦτο τὸ χρέος ὑμεῖς μὲν ἴσως ἐπιλέλησθε διὰ τὸν χρόνον, ἐγὼ δὲ οὐκ ἐπιλέλησμαι διὰ τὸν περὶ ὑμᾶς πόθον. Τοιοῦτον γὰρ ἡ ἀγάπη· ἄγρυπνόν τι χρῆμα καὶ μεμεριμνημένον ἐστί· καὶ οὐχὶ τοὺς φιλουμένους μόνον ἐπὶ τῆς διανοίας περιφέρουσιν οἱ φιλοῦντες, ἀλλὰ καὶ ὅσα ἂν αὐτοῖς ὑπόσχωνται δώσειν, τῶν μελλόντων ἀπολαμβάνειν ἀκριβέστερον τὴν μνήμην ἔχουσιν. Οὕτω καὶ μήτηρ φιλόστοργος τοῖς παισὶ τοῖς ἑαυτῆς λείψανα τραπέζης διατηρήσασα, κἂν ἐκεῖνοι τύχωσιν ἐπιλαθόμενοι, αὕτη γε οὐκ ἐπιλήσσεται, ἀλλὰ μετὰ σπουδῆς αὐτὰ διαφυλάξασα πάσης, εἰς μέσον φέρει καὶ διατρέφει πεινῶντας. Εἰ δὲ μητέρες οὕτω περὶ τὰ ἔκγονα φιλόστοργοι, πολλῷ μᾶλλον ἡμᾶς περὶ την ἡμετέραν ἀγάπην πλείονα σπουδὴν καὶ ἐπιμέλειαν ἐπιδείκνυσθαι χρή, ὅσῳ τῶν τῆς φύσεως ὠδίνων αἱ τοῦ πνεύματός εἰσι δυνατώτεροι.

Τίς οὖν ἡ τράπεζα ἦν, ἧς τὰ λείψανα διετηρήσαμεν ὑμῖν; Ῥῆσις ἦν ἀποστολική, πολλὴν ἡμῖν τότε παρασχοῦσα τροφὴν πνευματικήν, ἧς μέρος μὲν ἐνεθήκαμεν ὑμῶν τῇ διανοίᾳ, μέρος



ΟΜΙΛΙΑ ΔΕΥΤΕΡΗ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΕΠΕΙΔΗ ΕΧΟΥΜΕ ΤΟ ΙΔΙΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΗΣ, ΣΥΜΦΩΝΑ ΜΕ ΤΟ ΛΕΓΟΜΕΝΟ ΤΗΣ ΓΡΑΦΗΣ». ΕΠΙΣΗΣ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ ΚΑΙ ὅλων ἐκείνων ποὺ συκοφαντοῦν τὴν Παλαιὰ Διαθήκη καὶ τὴν ξεχωρίζουν ἀπὸ τὴν Καινή, καὶ γιὰ τὴν ἐλεημοσύνη

1. Σᾶς ὀφείλω ἕνα παλαιὸ ὄφελος ἀποστολικῆς ἐξήγησης· ἀλλὰ ἐσεῖς τὸ χρέος αὐτὸ τὸ ἔχετε ξεχάσει ἐξ αἰτίας τοῦ χρόνου, ἐγὼ ὅμως δὲν τὸ ξέχασα ἐξ αἰτίας τῆς ἀγάπης μου γιὰ σᾶς. Γιατὶ τέτοιο πράγμα εἶναι ἡ ἀγάπη, ἄγρυπνο καὶ γεμάτο φροντίδες γιὰ τοὺς ἄλλους. Καὶ ὅσοι ἀγαποῦν δὲ φέρνουν στὸ νοῦ τους μόνο αὐτοὺς ποὺ ἀγαποῦν, ἀλλὰ καὶ ὅσα ὑποσχέθηκαν νὰ τοὺς δώσουν τὰ θυμοῦνται ἀκριβέστερα ἀπὸ ἐκείνους ποὺ πρόκειται νὰ τὰ ἀπολαύσουν. Ἔτσι καὶ μιὰ μητέρα φιλόστοργη, ἀφοῦ κρατήσει γιὰ τὰ παιδιά της τὰ ὑπολείμματα τοῦ τραπεζιοῦ, καὶ ἂν ἀκόμη τύχει νὰ τὰ ξεχάσουν ἐκεῖνα, αὐτὴ δὲ θὰ τὰ ξεχάσει, ἀλλὰ φυλάσσοντάς τα μὲ κάθε φροντίδα τὰ προσφέρει καὶ τὰ τρέφει ὅταν πεινοῦν. Ἂν ὅμως οἱ μητέρες εἶναι τόσο φιλόστοργες γιὰ τὰ παιδιά τους, πολὺ περισσότερο ἐγὼ πρέπει νὰ δείχνω γιὰ τὴν ἀγάπη σας τόσο μεγαλύτερο ἐνδιαφέρον καὶ φροντίδα, ὅσο πιὸ δυνατοὶ εἶναι οἱ πνευματικοὶ πόνοι ἀπὸ τοὺς φυσικούς.

Ποιό λοπον ἦταν τὸ τραπέζι τοῦ ὁποίου τὰ ὑπολείμματα κράτησα γιὰ σᾶς; Ἦταν ἕνα ἀποστολικὸ ρητό, ποὺ μᾶς πρόσφερε τότε πολλὴ πνευματικὴ τροφή, ἀπο τὴν ὁποία ἕνα μέρος

δὲ εἰς τὴν παροῦσαν ἡμέραν ἀνεβαλλόμεθα, ὥστε μὴ τῷ πλήθει τῶν λεγομένων καταχῶσαι τῆς μνήμης τῆς ὑμετέρας τὴν δύναμιν. Τίς οὖν ἐστιν ἡ ῥῆσις; «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν». Περὶ ποίας μὲν οὖν πίστεως εἴρηται, πότερον τῆς τῶν σημείων ποιητικῆς, περὶ ἧς ὁ Χριστός φησιν, «ἐὰν ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, 'μετάβηθι', καὶ μεταβήσεται, ἢ τῆς τὴν γνῶσιν ἐμποιούσης ἡμῖν, καθ' ἣν πάντες ἐσμὲν πιστοί· καὶ τίνος ἕκενα Πνεῦμα πίστεως εἴρηται καὶ τί ποτέ ἐστιν ἡ πίστης αὕτη, καὶ πάντα δὴ ταῦτα κατὰ δύναμιν τότε πρὸς τὴν ὑμετέραν διελέχθημεν ἀγάπην, ὅτε καὶ τοὺς περὶ ἐλεημοσύνην ἐκινήσαμεν λόγους.

Ἐπειδὴ δὲ ἐλείπετο εἰπεῖν καὶ τίνος ἕνεκεν εἴρηται, «Πνεῦμα πίστεως τὸ αὐτό», καὶ τὸ πλῆθος τῶν τότε λεχθέντων οὐκ ἐπέτρεπε καὶ ταύτῃ μετ' ἀκριβείας ἐπεξελθεῖν τῇ ῥήσει, τούτου χάριν εἰς τὴν παροῦσαν ἡμέραν αὐτὴν ἐταμιευσάμεθα, καὶ νῦν τοῦτο ἀνέστημεν ἀποδώσοντες ὑμῖν τὸ χρέος. Τίνος οὖν ἕνεκεν εἴρηκε, «τὸ αὐτό»; Πολλὴν συγγένειαν τῆς Καινῆς Διαθήκης πρὸς τὴν Παλαιὰν ἐπιδεῖξαι βούλεται· διὰ τοῦτο καὶ προφητικῆς ἡμᾶς ἀνέμνησε ῥήσεως, εἰπών, «ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα», καὶ ἐπαγαγών, «κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα». Τοῦτο δὲ ἄνωθεν καὶ πρὸ πολλῶν χρόνων ὁ Δαυΐδ ἦν εἰρηκώς, ὅπερ ὁ Παῦλος παρήγαγε νῦν, δηλῶν ὅτι τοῦ Πνεύματος ἡ χάρις ἡ αὐτὴ καὶ ἐν ἐκείνῳ τότε καὶ νῦν ἐν ἡμῖν τὴν τῆς πίστεως ἐρρίζωσε δύναμιν· ὡσεὶ ἔλεγε, 'τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως τὸ καὶ ἐν ἐκείνῳ λαλῆσαν, καὶ ἐν ἡμῖν ἐνήργησε'.

2. Ποῦ νῦν εἰσιν οἱ τὴν Παλαιὰν διαβάλλοντες, οἱ τὸ σῶμα τῆς Γραφῆς διασπῶντες, οἱ τῇ Καινῇ μὲν ἄλλον, ἕτερον δὲ τῇ Παλαιᾷ Θεὸν ἀπονέμοντες; Ἀκουέτωσαν Παύλου τὰ στόματα τὰ ἄθεα ἐμφράττοντος καὶ ἐπιστομίζοντος τὴν θεομάχον γλῶτταν καὶ διὰ τῆς ῥήσεως ταύτης δεικνύοντος, ὅτι τὸ αὐτὸ

1. Β' Κορ. 4,13.
2. Ματθ. 17,20.
3. Ψαλμ. 115,1.

έθεσα μέσα στὴν ψυχή σας καὶ ἕνα μέρος ἀνέβαλα γιὰ τὴ σημερινὴ ἡμέρα, ὥστε νὰ μὴν καλύψω μὲ τὰ πολλὰ λόγια τὴ δύναμη τῆς μνήμης σας. Ποιό λοιπὸν εἶναι τὸ ρητό; «Ἐπειδὴ ἔχουμε τὸ ἴδιο Πνεῦμα τῆς πίστης σύμφωνα μ' ἐκεῖνο ποὺ ἀναφέρει ἡ Γραφή, 'πίστεψα καὶ γι' αὐτὸ μίλησα', καὶ ἐμεῖς πιστεύουμε γι' αὐτὸ καὶ κηρύττουμε»[1]. Γιὰ ποιά λοιπὸν πίστη ἔχει λεχθεῖ ἀπὸ τὶς δύο, γιὰ ἐκείνη ποὺ κάνει θαύματα, γιὰ τὴν ὁποία ὁ Χριστὸς λέγει, «ἂν ἔχετε πίστη ἔστω καὶ σὰν κόκκο συναπιοῦ, θὰ πεῖτε σ' αὐτο τὸ βουνό, 'πήγαινε ἀπὸ ἐδῶ ἐκεῖ', καὶ θὰ μεταβεῖ»[2], ἢ γιὰ ἐκείνη ποὺ μᾶς προκαλεῖ τὴ γνώση, σύμφωνα με τὴν ὁποία ὅλοι εἴμαστε πιστοί, ἐπίσης γιὰ ποιό λόγο εἶπε Πνεῦμα πίστης καὶ τί ἄραγε εἶναι αὐτὴ ἡ πίστη καθὼς καὶ γιὰ ὅλα αὐτὰ ὅσο μποροῦσα μίλησα στὴν ἀγάπη σας τότε, ὅταν σᾶς μίλησα καὶ γιὰ τὴν ἐλεημοσύνη.

Ἐπειδὴ ὅμως ἔμεινε νὰ πῶ καὶ γιὰ ποιό λόγο εἶπε, «τὸ ἴδιο Πνεῦμα τῆς πίστης», καὶ ἐπειδὴ τὰ πολλὰ ποὺ λέχθηκαν τότε δὲν ἐπέτρεπαν νὰ ἀναπτύξω μὲ ἀκρίβεια καὶ αὐτὴ τὴ φράση, γι' αὐτὸ τὴ φύλαξα γιὰ τὴ σημερινὴ ἡμέρα καὶ τώρα σηκώθηκα νὰ σᾶς ἀποδώσω αὐτὸ τὸ χρέος. Γιὰ ποιό λοιπὸν λόγο εἶπε «τὸ ἴδιο»; Θέλει νὰ δείξει τὴ μεγάλη συγγένεια τῆς Καινῆς Διαθήκης πρὸς τὴν Παλαιά. Γι' αὐτὸ καὶ μᾶς θύμησε προφητικὸ λόγο, λέγοντας, «ἐπειδὴ ἔχουμε τὸ ἴδιο Πνεῦμα» καὶ προσθέτοντας, «σύμφωνα μ' ἐκεῖνο που ἀναφέρει ἡ Γραφή· πίστεψα καὶ γι' αὐτὸ μίλησα»[3]. Αὐτὸ ὅμως το εἶπε πρὶν ἀπὸ πολλὰ χρόνια ὁ Δαβίδ, τὸ ἐπανέλαβε καὶ τώρα ὁ Παῦλος, γιὰ νὰ φανερώσει ὅτι ἡ ἴδια ἡ χάρη τοῦ Πνεύματος ρίζωσε καὶ σ' ἐκεῖνον τότε καὶ σ' ἐμᾶς τώρα τὴ δύναμη τῆς πίστης. Εἶναι σὰν νὰ ἔλεγε· 'τὸ ἴδιο Πνεῦμα τῆς πίστης, ποὺ μίλησε καὶ σ' ἐκεῖνον, φώτισε καὶ μᾶς'.

2. Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ συκοφαντοῦν τὴν Παλαιὰ Διαθήκη, ποὺ διασποῦν τὸ σῶμα τῆς Γραφῆς, ποὺ διακρίνουν ἄλλον Θεὸ στὴν Παλαιὰ καὶ ἄλλον στὴν Καινὴ Διαθήκη; Ἂς ἀκούσουν τὸν Παῦλο ποὺ κλείνει τὰ ἄθεα στόματα καὶ ἀποστομώνει τὴ γλώσσα ποὺ πολεμάει τὸ Θεὸ καὶ ἀποδεικνύει μὲ τὴ φράση αὐτὴ πὼς τὸ ἴδιο Πνεῦμα ὑπάρχει καὶ στὴν Παλαιὰ καὶ

Πνεῦμα καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ. Καὶ γὰρ αὐτὰ τὰ ὀνόματα πολλὴν ἡμῖν τῶν Διαθηκῶν δείκνυσι τὴν συμφωνίαν. Ἡ γὰρ Καινὴ διὰ τὴν Παλαιὰν εἴρηται, καὶ ἡ Παλαιὰ διὰ τὴν Καινήν· καθάπερ οὖν καὶ ὁ Παῦλός φησιν, «ἐν τῷ λέγειν Καινὴν πεπαλαίωκε τὴν προτέραν». Εἰ δὲ μὴ τοῦ αὐτοῦ εἶεν Δεσπότου, οὔτε αὕτη Καινή, οὔτ' ἐκείνη Παλαιὰ δύναιτ' ἂν λέγεσθαι. Ὥστε αὕτη ἡ ἐν τοῖς ὀνόμασι διαφορὰ τὴν συγγένειαν ἑκατέρας ἐκδείκνυται, καὶ ἡ διαφορὰ δὲ αὕτη οὐ κατὰ τὴν οὐσίαν, ἀλλὰ κατὰ τὴν τῶν χρόνων ἐναλλαγήν ἐστι· καὶ γὰρ τὸ καινὸν τῷ παλαιῷ κατὰ τοῦτο ἀντιδιαστέλλεται μόνον, ἡ δὲ τῶν χρόνων ἐναλλαγὴ οὐδὲ διαφορὰν δεσποτείας οὐδὲ μείωσιν εἰσάγει.

Καὶ τοῦτο πάλιν ὁ Χριστὸς ἐνέφηνεν, εἰπών· «διὰ τοῦτο λέγω ὑμῖν, πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά». Ὁρᾷς διάφορα μὲν τὰ κτήματα, μίαν δὲ τὴν δεσποτείαν; Ὥσπερ οὖν ἐκεῖνος δύναται ἐκβάλλειν καινὰ καὶ παλαιὰ εἷς ὢν οἰκοδεσπότης, οὕτω δὴ καὶ ἐνταῦθα δυνατὸν ἑνὸς εἶναι Θεοῦ τὴν Καινὴν καὶ τὴν Παλαιάν· αὐτὸ γὰρ τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὸν πλοῦτον καὶ τὴν περιουσίαν, τὸ μὴ μόνον καινὰ κεκτῆσθαι, ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς τὴν περιουσίαν ἐνδείκνυσθαι.

Ὥστε διαφορὰ μόνον ἐστὶν ὀνομάτων ἐν ταῖς Διαθήκαις, οὐ μάχη, οὐδὲ ἐναντίωσις. Το γὰρ παλαιὸν ἐκ τοῦ καινοῦ γίνεται παλαιόν· τοῦτο δὲ οὐ μάχης οὐδὲ ἐναντιώσεως, ἀλλὰ διαφορᾶς ὀνόματος μόνης. Ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὅτι, εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι τῆς Παλαιᾶς τοῖς τῆς Καινῆς, σφόδρα ἂν διισχυρισάμην, ὡς οὐδὲ οὕτως ἕτερον ἐπεισάγειν Θεὸν ἐχρῆν. Εἰ μὲν γὰρ κατὰ τὸν αὐτὸν καιρόν, τοῖς αὐτοῖς ἀνθρώποις, περὶ τὰ αὐτὰ διατρίβουσιν, ἐν τοῖς αὐτοῖς οὖσι πράγμασιν, ἐναντίους ἐπέταττε νόμους, εἶχεν ἄν τινα αὐτοῖς λόγον ἴσως τὸ

---

4. Ἑβρ. 8,13.
5. Ματθ. 13,52.

στὴν Καινὴ Διαθήκη. Ἐξάλλου καὶ τὰ ἴδια τὰ ὀνόματα μᾶς δείχνουν τὴ μεγάλη συμφωνία τῶν Διαθηκῶν. Γιατὶ ἡ Καινὴ ὀνομάσθηκε ἐξ αἰτίας τῆς Παλαιᾶς καὶ ἡ Παλαιὰ ἐξ αἰτίας τῆς Καινῆς, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος, «μὲ τὸ νὰ λέγει Καινὴ ἔκαμε παλαιὰ τὴν πρώτη»[4]. Ἂν δὲν ἦταν τοῦ ἴδιου Κυρίου, δὲ θὰ μποροῦσαν νὰ ὀνομάζονται οὔτε αὐτὴ Καινὴ οὔτε ἐκείνη Παλαιά. Ὥστε αὐτὴ ἡ διαφορὰ στὰ ὀνόματα φανερώνει τὴ συγγένεια τῆς μιᾶς πρὸς τὴν ἄλλη. Καὶ ἡ διαφορὰ ὅμως αὐτὴ δὲν ἀναφέρεται στὴν οὐσία ἀλλὰ στὴν ἐναλλαγὴ τῶν χρόνων, γιατὶ τὸ καινούριο σ' αὐτὸ μόνο διαφέρει ἀπὸ τὸ παλαιό, ἐνῶ ἡ ἐναλλαγὴ τῶν χρόνων δὲ δημιουρεῖ οὔτε διαφορὰ οὔτε μείωση ἐξουσίας.

Καὶ αὐτὸ πάλι τὸ φανέρωσε ὁ Χριστὸς λέγοντας· «γι' αὐτὸ σᾶς λέγω, κάθε γραμματέας ποὺ διδάχθηκε γιὰ τὴ βασιλεία τῶν οὐρανῶν εἶναι ὅμοιος μὲ οἰκοδεσπότη ποὺ βγάζει ἀπὸ τὸ θησαυροφυλάκιό του καινούριους καὶ παλαιοὺς θησαυρούς»[5]. Βλέπεις ὅτι εἶναι διαφορετικὰ τὰ πράγματα ἀλλὰ μία ἡ ἐξουσία; Ὅπως λοιπὸν ἐκεῖνος μπορεῖ νὰ βγάζει καινούρια καὶ παλαιά, ἀφοῦ ἕνας εἶναι ὁ οἰκοδεσπότης, ἔτσι ἀκριβῶς καὶ ἐδῶ εἶναι δυνατὸ νὰ ἀνήκει σ' ἕνα Θεὸ ἡ Καινὴ καὶ ἡ Παλαιὰ Διαθήκη. Γιατὶ αὐτὸ κυρίως τὸ πράγμα δείχνει τὸν πλοῦτο καὶ τὴν περιουσία του, τὸ νὰ μὴν κατέχει μόνο καινούρια πράγματα ἀλλὰ καὶ στὰ παλαιὰ νὰ φανερώνει τὸν πλοῦτο του.

Ἐπομένως στὶς δύο Διαθῆκες ὑπάρχει διαφορὰ στὰ ὀνόματα μόνο καὶ δὲν ὑπάρχει οὔτε σύγκρουση οὔτε ἀντίθεση. Γιατὶ τὸ παλαιὸ ἀπὸ τὸ καινούριο γίνεται παλαιό· αὐτὸ ὅμως δὲ σημαίνει σύγκρουση οὔτε ἀντίθεση, ἀλλὰ διαφορὰ ὀνόματος μόνο. Ἐγὼ ὅμως ξεπερνώντας κατὰ πολὺ αὐτὸ θὰ ἰσχυριζόμουν ὑπερβολικὰ ὅτι, καὶ ἂν ἀκόμη οἱ νόμοι τῆς Παλαιᾶς ἦταν ἀντίθετοι πρὸς τοὺς νόμους τῆς Καινῆς, οὔτε ἔτσι ἔπρεπε νὰ εἰσάγουν ἄλλο Θεό. Γιατὶ ἂν στὸν ἴδιο χρόνο, στοὺς ἴδιους ἀνθρώπους, ποὺ ἀσχολοῦνται μὲ τὰ ἴδια πράγματα καὶ βρίσκονται στὶς ἴδιες συνθῆκες, ὅριζε ἀντίθετους νόμους, θὰ εἶχε ἴσως κάποια βάση τὸ σόφισμά τους, ἂν ὅμως γιὰ ἄλλους ἀνθρώπους γράφτη-

σόφισμα, εἰ δὲ ἑτέροις μὲν ἐκεῖνοι, ἑτέροις δὲ ἐγράφησαν οὗτοι, καὶ ἐν ἑτέρῳ μὲν ἐκείνοις καιρῷ, ἐν ἑτέρῳ δὲ τούτοις, ἄλλως ἐκείνοις διακειμένοις, καὶ ἑτέρως τούτοις, ποία ἀνάγκη διὰ τὴν τῶν νόμων διαφορὰν ἐναντίους εἰσάγειν νομοθέτας δύο;

Ἐγὼ μὲν οὐδεμίαν ὁρῶ, εἰ δὲ αὐτοὶ λέγειν ἔχουσι, εἰπάτωσαν· ἀλλ᾽ οὐκ ἂν ἔχοιεν. Καὶ γὰρ καὶ ἰατρὸς ἐναντία πολλὰ ποιεῖ πολλάκις· ἀλλ᾽ οὐκ ἀπὸ ἐναντίας τῆς γνώμης, ἀλλ᾽ ἀπὸ μιᾶς καὶ συμφώνου. Καὶ γὰρ καίει καὶ οὐ καίει, τέμνει καὶ οὐ τέμνει τὸ αὐτὸ σῶμα πολλάκις· καὶ νῦν μὲν πικρά, νῦν δὲ γλυκέα δίδωσι πίνειν φάρμακα· καὶ τὰ μὲν γινόμενα ἐναντία, ἡ γνώμη δέ, ἀφ᾽ ἧς ταῦτα γίνεται, σύμφωνος καὶ μία· πρὸς γὰρ ἓν τέλος βλέπει, τὴν τοῦ κάμνοντος ὑγίειαν. Πῶς οὖν οὐκ ἄτοπον ἰατρῷ μὲν μὴ ἐγκαλεῖν ἐναντία ποιοῦντι πολλὰ καὶ περὶ σώματος ἑνὸς φύσιν, τῷ Θεῷ δὲ μέμψιν ἐπάγειν, εἰ κατὰ διαφόρους καιροὺς διαφόροις ἀνθρώποις διάφορα ἔδωκε τὰ προστάγματα;

3. Ὅτι μὲν οὖν, εἰ καὶ ἐναντίοι ἦσαν οἱ νόμοι, οὐδὲ οὕτως ἐγκαλεῖν ἔδει, δῆλον ἐκ τούτων· ὅτι δὲ οὐδέ εἰσιν ἐναντίοι, ἀλλὰ διάφοροι μόνον, φέρε, τοὺς νόμους εἰς μέσον προχειρισώμεθα. «Ἠκούσατε», φησίν, «ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις». Οὗτος παλαιὸς ὁ νόμος· ἴδωμεν τὸν τῆς Καινῆς· «ἐγὼ δὲ λέγω ὑμῖν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχός ἐστιν εἰς τὴν γέενναν τοῦ πυρός». Ταῦτα ἐναντία, εἰπέ μοι, τὰ προστάγματα; Καὶ τίς ἀνθρώπων, κἂν ὁπωσοῦν διανοίας μετέχων, τοῦτο ἂν εἴποι; Εἰ μὲν γὰρ τοῦ προτέρου κελεύοντος μὴ φονεύειν, οὗτος ἐκέλευσεν, ἴσως ἄν τις ἀντινομίαν ἔφησεν εἶναι τὸ λεγόμενον· εἰ δὲ ἐκείνου κελεύοντος μὴ φονεύειν, οὗτος ἐκέλευσε μηδὲ ὀργίζεσθαι, ἐπίτασις οὐκ ἐναντίωσις ὁ πρότερος τοῦ δευτέρου νόμος ἐστίν· ὁ μὲν γὰρ τὸν καρπὸν τῆς κακίας ἐξέτεμε, τὸν φόνον, οὐ-

---

6. Ματθ. 5,21.

7. Ματθ. 5,22.

καν ἐκεῖνοι καὶ γιὰ ἄλλους αὐτοί, καὶ σὲ ἄλλο χρόνο γιὰ ἐκείνους καὶ σὲ ἄλλο γι' αὐτούς, βρισκόμενους σὲ διαφορετικὴ κατάσταση ἐκείνους καὶ σὲ διαφορετικὴ αὐτούς, ποιά ἀνάγκη ὑπάρχει νὰ εἰσάγουν ἐξ αἰτίας τῆς διαφορᾶς τῶν νόμων δύο ἀντίθετους νομοθέτες;

Ἐγὼ βέβαια δὲ βλέπω καμιά, ἂν ὅμως αὐτοὶ μποροῦν νὰ ἀναφέρουν κάποια, ἂς τὴν ποῦν· ἀλλὰ δὲ θὰ μποροῦσαν. Γιατὶ καὶ ὁ γιατρὸς πολλὲς φορὲς κάνει πολλὰ ἀντίθετα, ὄχι ὅμως ἀπὸ ἀντίθετη γνώμη, ἀλλὰ ἀπὸ μία καὶ σύμφωνη. Ἔτσι καυτηριάζει καὶ δὲν καυτηριάζει, κόβει καὶ δὲν κόβει τὸ ἴδιο σῶμα πολλὲς φορές· καὶ ἄλλοτε δίνει στὸν ἄρρωστο πικρὰ φάρμακα νὰ πιεῖ καὶ ἄλλοτε γλυκά. Καὶ αὐτὰ ποὺ γίνονται εἶναι ἀντίθετα, ἡ γνώμη ὅμως, ἀπὸ τὴν ὁποία γίνονται αὐτά, εἶναι μία καὶ σύμφωνη, γιατὶ ἀποβλέπει σ' ἕνα ἀποτέλεσμα, στὴν ὑγεία δηλαδὴ τοῦ ἀρρώστου. Πῶς λοιπὸν δὲν εἶναι παράλογο νὰ μὴν κατηγοροῦν τὸ γιατρὸ ποὺ κάνει πολλὰ ἀντίθετα καὶ μάλιστα στὸ ἴδιο σῶμα, νὰ ἐπικρίνουν ὅμως τὸ Θεό, ἂν ἔδωσε σὲ διαφορετικὲς ἐποχές, σὲ διαφορετικοὺς ἀνθρώπους, διαφορετικὲς ἐντολές;

3. Γιὰ τὸ ὅτι λοιπόν, καὶ ἂν ἀκόμη ἦταν ἀντίθετοι οἱ νόμοι, οὔτε ἔτσι ἔπρεπε νὰ κατηγορεῖ κανείς, εἶναι φανερὸ ἀπ' αὐτά· γιὰ τὸ ὅτι ὅμως δὲν εἶναι οὔτε ἀντίθετοι ἀλλὰ διαφορετικοὶ μόνο, ἐμπρὸς ἂς ἐξετάσουμε τώρα τοὺς νόμους. «Ἔχετε ἀκούσει», λέγει, «ὅτι λέχθηκε στοὺς ἀρχαίους, 'νὰ μὴν κάνεις φόνο'»[6]. Αὐτὸς ὁ νόμος εἶναι παλαιός. Ἂς ἀκούσουμε τὸ νόμο τῆς Καινῆς Διαθήκης. «Ἐγὼ ὅμως σᾶς λέγω· ὅποιος ὀργίζεται ἐναντιόν τοῦ ἀδελφοῦ του χωρὶς λόγο πρέπει νὰ παραδοθεῖ στὴ φωτιὰ τῆς κόλασης»[7]. Αὐτὲς οἱ ἐντολές, πές μου, εἶναι ἀντίθετες; Καὶ ποιός ἄνθρωπος, ἔστω καὶ λίγο μυαλὸ ἂν ἔχει, θὰ μποροῦσε νὰ τὸ πεῖ αὐτό; Γιατὶ ἂν ὁ πρῶτος πρόσταζε νὰ μὴ φονεύει κανεὶς καὶ αὐτὸς πρόσταζε νὰ φονεύει, ἴσως θὰ ἔλεγε κάποιος πὼς εἶναι ἀντιφατικὸ τὸ λεγόμενο· ἂν ὅμως ἐκεῖνος πρόσταζε νὰ μὴ φονεύει κανεὶς καὶ αὐτὸς πρόσταξε νὰ μὴν ὀργίζεται, ὁ δεύτερος νόμος εἶναι συμπληρωματικὸς καὶ ὄχι ἀντίθετος τοῦ πρώτου. Γιατὶ ὁ πρῶτος νόμος ἔκοψε τὸν καρπὸ τῆς κα-

τος δὲ καὶ τὴν ρίζαν ἀνέσπασε, τὴν ὀργήν· ἐκεῖνος τὸ ρεῦμα τῆς πονηρίας ἐξέκοψεν, οὗτος καὶ τὴν πηγὴν αὐτὴν ἐξήρανε.

Πηγὴ γὰρ καὶ ρίζα τοῦ φόνου θυμὸς καὶ ὀργή. Ἐκεῖνος τοῦτο προπαρεσκεύασεν ὁ νόμος τὴν φύσιν τὴν ἡμετέραν, οὗτος ἐλθὼν τὸ λεῖπον ἐπλήρωσε. Ποία ἐναντιότης ὅταν ὁ μὲν τὸ τέλος τῶν κακῶν, ὁ δὲ καὶ τὴν ἀρχὴν ἐκκόπτῃ; Ἐκεῖνος τὴν χεῖρα καθαρὰν ἐποίησεν αἵματος, οὗτος καὶ τὴν διάνοιαν αὐτὴν ἀπήλλαξε τῶν πονηρῶν βουλευμάτων. Ταῦτα δὲ συμφωνούντων ἀλλήλοις νόμων, οὐχὶ μαχομένων ἐστίν· ὅπερ ἄνω καὶ κάτω σπουδάζουσι κατασκευάζειν οἱ τῆς ἀληθείας ἐχθροί, μὴ συνορῶντες, ὅτι ἐκ τούτου μεγάλῃ ῥαθυμίας καὶ ὑπεροψίας αἰτίᾳ τὸν τῆς Καινῆς Θεὸν ὑποβάλλουσιν· εὑρεθήσεται γὰρ (ἡ βλασφημία εἰς τὴν τῶν ταῦτα ἀναγκαζόντων ἡμᾶς λέγειν περιτραπείη κεφαλὴν) ἀκαίρως τὰ καθ' ἡμᾶς οἰκονομήσας· τὸ δὲ πῶς, ἐγὼ λέγω. Γαλακτοτροφίᾳ προσέοικεν ἡ τῆς Παλαιᾶς Διαθήκης παιδαγωγία, στερεᾷ δὲ τροφῇ τῆς Καινῆς Διαθήκης ἡ φιλοσοφία· οὐδεὶς δὲ πρὶν ἢ θρέψαι γάλακτι πρὸς τὴν στερεὰν ἄγει τροφήν. Ὅπερ ἔσται πεποιηκὼς ὁ τῆς Καινῆς Θεὸς ἄνπερ μὴ αὐτὸς ᾖ ὁ τὴν Παλαιὰν δεδωκώς· πρὸ γὰρ τοῦ θρέψαι γάλακτι καὶ τῇ διὰ τοῦ νόμου παιδαγωγίᾳ, ἐπὶ τὴν στερεὰν ἡμᾶς ἤγαγε τροφήν.

Οὐ τούτῳ δὲ μόνον, ἀλλὰ καὶ ἑτέρῳ μείζονι τούτου πάλιν αὐτὸν ὑποβάλλουσιν ἐγκλήματι, εἴ γε μετὰ πεντακισχίλια καὶ πλείονα ἔτη τοῦ γένους ἧκε προνοήσων τοῦ ἡμετέρου. Εἰ γὰρ μὴ αὐτὸς ἦν, ὁ διὰ τῶν προφητῶν καὶ τῶν πατριαρχῶν καὶ τῶν δικαίων ἀνθρώπων τὰ καθ' ἡμᾶς ἅπαντα οἰκονομῶν, ἀλλ' ἕτερός τις παρὰ τοῦτον, ὀψέ ποτε βραδέως εὑρεθήσεται τῆς ἡμετέρας ἐπειλημμένος προνοίας, ὥσπερ ἔκ τινος μετανοίας ἀνενεγκών· ὅπερ οὐ Θεοῦ μόνον, ἀλλὰ καὶ ἀνθρώπου τοῦ τυχόντος ἀνάξιον ἂν εἴη, τοσούτους ἀφέντος ἀπολέσθαι ἐν τοσούτῳ

κίας, δηλαδὴ τὸ φόνο, ὁ δεύτερος ὅμως ἔβγαλε καὶ τὴ ρίζα της, δηλαδὴ τὴν ὀργή· ἐκεῖνος σταμάτησε τὸ ρεῦμα τῆς πονηρίας, αὐτὸ ξήρανε καὶ τὴν ἴδια τὴν πηγή της.

Γιατὶ πηγὴ καὶ ρίζα τοῦ φόνου εἶναι ὁ θυμὸς καὶ ἡ ὀργή. Ἐκεῖνος ὁ νόμος προετοίμασε τὴ δική μας φύση, αὐτὸς ἦρθε καὶ συμπλήρωσε αὐτὸ ποὺ ἔλειπε. Ποιά εἶναι ἡ ἀντίθεση, ὅταν ὁ ἕνας ξερριζώνει τὸ τέλος τῶν κακῶν καὶ ὁ ἄλλος τὴν ἀρχή; Ἐκεῖνος ἔκαμε τὸ χέρι μας καθαρὸ ἀπὸ αἵματα, αὐτὸς ἀπάλλαξε καὶ τὸ νοῦ μας ἀπὸ τὶς κακὲς σκέψεις. Αὐτὰ ὅμως εἶναι ἀπόδειξη ὅτι οἱ νόμοι συμφωνοῦν μεταξύ τους καὶ ὅτι δὲ συγκρούονται, πράγμα ποὺ οἱ ἐχθροὶ τῆς ἀλήθειας προσπαθοῦν πάρα πολὺ ν' ἀποδείξουν χωρὶς νὰ κατανοοῦν πῶς ἀπ' αὐτὸ ἀπευθύνουν στὸ Θεὸ τῆς Καινῆς Διαθήκης μεγάλη κατηγορία γιὰ ἀδιαφορία καὶ ὑπεροψία. Γιατὶ θὰ βρεθεῖ ὁ Θεὸς (καὶ ἡ βλασφημία εἴθε νὰ ἐπιστρέψει στὸ κεφάλι ἐκείνων ποὺ μὲ ἀναγκάζουν νὰ τὰ λέγω αὐτά), ὅτι ρύθμισε ἄκαιρα τὰ δικά μας πράγματα· καὶ τὸ πῶς, ἐγὼ θὰ σᾶς τὸ πῶ. Ἡ παιδαγωγία τῆς Παλαιᾶς Διαθήκης ὁμοιάζει μὲ διατροφὴ ἀπὸ γάλα, ἐνῶ ἡ φιλοσοφία τῆς Καινῆς Διαθήκης μὲ στερεὰ τροφή. Καὶ κανεὶς δὲν ὁδηγεῖ πρὸς τὴ στερεὰ τροφὴ πρὶν νὰ θρέψει μὲ γάλα. Αὐτὸ τὸ πράγμα θὰ τὸ ἔκαμε ὁ Θεὸς τῆς Καινῆς Διαθήκης, ἂν βέβαια δὲν ἦταν αὐτὸς ποὺ ἔδωσε τὴν Παλαιά· γιατὶ πρὶν νὰ μᾶς θρέψει μὲ γάλα καὶ μὲ τὴν ἀγωγὴ μέσα ἀπὸ τὸ νόμο, μᾶς ὁδήγησε στὴ στερὰ τροφή.

Καὶ ὄχι μόνο αὐτήν, ἀλλὰ τοῦ ἀπευθύνουν πάλι καὶ ἄλλη κατηγορία μεγαλύτερη ἀπ' αὐτή, ἂν βέβαια ἦρθε νὰ φροντίσει γιὰ τὸ ἀνθρώπινο γένος ὕστερα ἀπὸ περισσότερα ἀπο πέντε χιλιάδες χρόνια. Ἂν λοιπὸν αὐτὸς δὲν ἦταν ἐκεῖνος ποὺ μὲ τοὺς προφῆτες καὶ τοὺς πατριάρχες καὶ τοὺς δίκαιους ἀνθρώπους ρύθμισε ὅλα τὰ σχετικὰ μὲ μᾶς, ἀλλὰ κάποιος ἄλλος ἐκτὸς ἀπ' αὐτόν, θὰ βρεθεῖ ὅτι φρόντισε γιὰ μᾶς ὕστερα ἀπὸ πολλὰ χρόνια καὶ πολὺ ἀργά, σὰν νὰ συνῆλθε ἀπὸ κάποια μετάνοια. Ἕνα τέτοιο πράγμα δὲ θὰ ἦταν ἀνάξιο μόνο γιὰ τὸ Θεό, ἀλλὰ καὶ γιὰ τὸν τυχόντα ἄνθρωπο, ἐπειδὴ ἄφησε τόσο πολλοὺς ἀνθρώπους

χρόνῳ, ὀψέ ποτε ἐν ἐσχάτῳ τῶν καιρῶν τῆς τῶν ὀλίγων ἐπιλαβέσθαι προνοίας.

4. Ὁρᾷς ὅσαις τὸν Θεὸν ὑποβάλλουσι βλασφημίαις ἐκεῖνοι, ἕτερον μὲν τῆς Καινῆς, ἕτερον δὲ τῆς Παλαιᾶς λέγοντες εἶναι νομοθέτην; Ἅπερ ἅπαντα λύεται ἂν ἕνα ἑκατέρας τῆς Διαθήκης δῶμεν εἶναι Θεόν. Εὑρεθήσεται γὰρ κατὰ λόγον τὰ καθ' ἡμᾶς οἰκονομῶν, τότε μὲν διὰ τοῦ νόμου, νῦν δὲ διὰ τῆς χάριτος, καὶ οὐ προσφάτως, οὐδὲ νεωστί, ἀλλ' ἄνωθεν καὶ ἐκ πρώτης ἡμέρας τῆς ἡμετέρας ἐπειλημμένος προνοίας. Ἵνα δὲ μειζόνως αὐτῶν τὰ στόματα ἀπορράψωμεν, φέρε, καὶ αὐτὰς τὰς ῥήσεις παραγάγωμεν, καὶ προφήτας καὶ ἀποστόλους βοῶντας, ὅτι Καινῆς καὶ Παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης, παρίτω τοίνυν εἰς μέσον ὁ ἐκ κοιλίας ἁγιασθεὶς Ἱερεμίας, καὶ αὐτὸ τοῦτο δεικνύτω σαφῶς ἕνα καὶ τὸν αὐτὸν ἑκατέρας ὄντα τῆς Διαθήκης Θεόν. Τί οὖν οὗτός φησιν, ἐκ προσώπου τοῦ νομοθέτου κηρύττων; «Διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν». Ὥστε ὁ τὴν Καινὴν αὐτοῖς διαθέμενος, αὐτός ἐστιν ὁ καὶ τὴν Παλαιὰν δοὺς Θεός.

Ἐνταῦθα καὶ τοὺς ἀπὸ Παύλου καὶ Σαμοσατέως ἐπεστόμισεν ἱκανῶς, οἳ τὴν προαιώνιον ὕπαρξιν ἀναιροῦσι τοῦ Μονογενοῦς. Εἰ γὰρ πρὸ τοῦ τόκου τῆς Μαρίας οὐκ ἦν, οὐδὲ ὑπῆρχε πρὶν ἢ φανῆναι ἐν σαρκί, πῶς ἐνομοθέτει ὁ μὴ ὤν; πῶς δὲ ἔλεγε, «διαθήσομαι ὑμῖν διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν»; πῶς διέθετο τοῖς πατράσιν αὐτῶν μὴ ὑπάρχων μηδὲ ὤν, κατὰ τὸν ἐκείνων λόγον; Ἀλλὰ πρὸς Ἰουδαίους μὲν καὶ τοὺς τὰ Ἰουδαίων νοσοῦντας Παυλιανοὺς ἱκανὴ στῆναι ἡ του προφήτου μαρτυρία· ἵνα δὲ καὶ Μανιχαίους ἐπιστομίσωμεν ἀπὸ τῆς Καινῆς τὴν μαρτυρίαν παραγά-

---

8. Ἱερ. 38,31–32.

9. Παῦλος ὁ Σαμοσατεύς· δίδασκε ὅτι ὁ Θεὸς εἶναι μόνο ὁ Πατέρας, ἐνῶ ὁ Λόγος καὶ τὸ Πνεῦμα εἶναι ἀπρόσωπες δυνάμεις. Λόγος καὶ Χριστὸς δὲν εἶναι τὸ αὐτὸ πράγμα· ὁ Λόγος εἶναι θεία δύναμη, ἐνῶ ὁ Χριστὸς εἶναι

νὰ χαθοῦν σὲ τόσα χρόνια καὶ πολὺ ἀργὰ κατὰ τὰ τελευταῖα χρόνια φρόντισε γιὰ τοὺς λίγους.

4. Βλέπεις πόσες βλασφημίες ἀπευθύνουν ἐκεῖνοι ἐναντίον τοῦ Θεοῦ, λέγοντας πὼς ἄλλος εἶναι ὁ νομοθέτης τῆς Καινῆς καὶ ἄλλος τῆς Παλαιᾶς Διαθήκης; Αὐτὰ ὅλα διαλύονται, ἂν δεχθοῦμε ὅτι εἶναι ἕνας ὁ Θεὸς καὶ τῆς μιᾶς καὶ τῆς ἄλλης Διαθήκης. Γιατὶ θὰ βρεθεῖ σύμφωνα μὲ τὴ λογικὴ νὰ ρυθμίζει τὰ δικά μας, τότε μὲ τὸ νόμο καὶ τώρα μὲ τὴ χάρη, καὶ ὄχι πρόσφατα οὔτε τελευταῖα, ἀλλὰ ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν πρώτη ἡμέρα νὰ ἔχει φροντίσει γιὰ μᾶς. Καὶ γιὰ νὰ κλείσουμε περισσότερο τὰ στόματά τους, ἐμπρός, ἂς παρουσιάσουμε καὶ τὶς ἴδιες τὶς φράσεις, καὶ τοὺς προφῆτες καὶ τοὺς ἀποστόλους νὰ διακηρύττουν ὅτι ἕνας εἶναι ὁ νομοθέτης τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης. Ἂς παρουσιασθεῖ λοιπὸν στὴ μέση ὁ Ἱερεμίας ποὺ ἁγιάσθηκε ἀπὸ τὴν κοιλιὰ τῆς μητέρας του καὶ ἂς δείξει καθαρὰ αὐτὸ ἀκριβῶς, ὅτι δηλαδὴ ἕνας καὶ ὁ ἴδιος εἶναι ὁ Θεὸς καὶ τῆς μιᾶς καὶ τῆς ἄλλης Διαθήκης. Τί λοιπὸν λέγει αὐτὸς κηρύττοντας γιὰ λογαριασμὸ τοῦ νομοθέτη; «Θὰ συνάψω μὲ σᾶς νέα διαθήκη, ἡ ὁποία δὲ θὰ εἶναι ὅμοια μ' ἐκείνη ποὺ συνῆψα μὲ τοὺς πατέρες σας»[8]. Ὥστε ἐκεῖνος ποὺ συνῆψε μ' αὐτοὺς τὴν Καινὴ Διαθήκη εἶναι ὁ ἴδιος ὁ Θεὸς ποὺ ἔδωσε καὶ τὴν Παλαιά.

Ἐδῶ ἀποστόμωσε ἀποτελεσματικὰ καὶ τοὺς ὀπαδοὺς τοῦ Παύλου τοῦ Σαμοσατέα[9], οἱ ὁποῖοι ἀρνοῦνται τὴν προαιώνια ὕπαρξη τοῦ Μονογενοῦς. Γιατὶ ἂν δὲν ὑπῆρχε πρὶν ἀπὸ τὸν τόκο τῆς Μαρίας καὶ δὲν ὑπῆρχε πρὶν νὰ σαρκωθεῖ, πῶς νομοθετοῦσε αὐτὸς ποὺ δὲν ὑπῆρχε; Καὶ πῶς ἔλεγε, «θὰ συνάψω μὲ σᾶς διαθήκη νέα, ἡ ὁποία δὲ θὰ εἶναι ὅμοια μ' ἐκείνη ποὺ συνῆψα μὲ τοὺς πατέρες σας»; Πῶς ἔκαμε διαθήκη μὲ τοὺς πατέρες τους χωρὶς νὰ ὑπάρχει, χωρὶς νὰ εἶναι, σύμφωνα μὲ τὸ δικό τους ἰσχυρισμό; Ἀλλὰ στοὺς Ἰουδαίους καὶ στοὺς Παυλιανούς, ποὺ κατέχονται ἀπὸ τὶς ἰουδαϊκὲς ἀσθένειες, εἶναι ἀρκετὴ νὰ σταθεῖ ἡ μαρτυρία τοῦ προφήτη. Γιὰ νὰ ἀποστομώσουμε ὅμως

ἄνθρωπος. Ὁ Λόγος ἐνοίκησε στὸν ἄνθρωπο Χριστὸ κατὰ τὸ βάπτισμα.

γωμεν, ἐπειδὴ τῆς Παλαιᾶς οὐδεὶς αὐτοῖς ἐστι λόγος, μᾶλλον δὲ οὐδὲ τῆς Καινῆς· ἀλλὰ καὶ ταύτην, ἣν δοκοῦσι τιμᾶν, οὐχ ἧττον ἐκείνης καθυβρίζουσιν· ἑνὶ μὲν τρόπῳ, τῷ τῆς Παλαιᾶς ἐκκόψαι καὶ τὸ ἀξιόπιστον αὐτῆς λυμήνασθαι.

Οὐ γὰρ μικρὰ τῶν ἐν αὐτῇ κειμένων τῆς ἀληθείας ἀπόδειξις, τῶν ἐν τῇ Παλαιᾷ προφητειῶν ἡ προαναφώνησις ἦν, ἃς ἀποστραφέντες οὗτοι οὐκ αἰσθάνονται τῶν προφητῶν μᾶλλον τοὺς ἀποστόλους ἀτιμάσαντες. Ἑνὶ μὲν οὖν τρόπῳ τούτῳ τὴν Καινὴν καθυβρίζουσιν, ἑτέρῳ δὲ πάλιν δευτέρῳ, τῷ τὰ πλείονα αὐτῆς ἐκκόψαι. Πλὴν ἀλλὰ καὶ αὐτὴ τῶν ἐν τῇ αὐτῇ κειμένων ἡ δύναμις τοσαύτη, ὡς καὶ ἀπ' αὐτῶν τῶν λειψάνων εὐφώρατον αὐτῶν γενέσθαι ποιεῖ τὴν κακουργίαν· τὰ γὰρ ἀποκοπέντα μέλη κράζει καὶ βοᾷ, τὴν πρὸς τὰ οἰκεῖα μέλη συμφωνίαν ἐπιζητοῦντα.

5. *Πῶς οὖν ἀποδείξομεν, ὅτι Καινῆς καὶ Παλαιᾶς εἷς ἐστιν ὁ νομοθέτης; Ἀπὸ τούτων τῶν παρ' αὐτοῖς ὑπολελειμμένων ρημάτων τῶν ἀποστολικῶν, ἃ δοκεῖ μὲν ἔχειν τοῦ νόμου κατηγορίαν, συνίστησι δὲ αὐτὸν μάλιστα, καὶ δεικνύει θεῖον ὄντα χρησμὸν καὶ ἄνωθεν ἥκοντα. Καὶ τοῦτο δὲ τῆς τοῦ Πνεύματος ἐγένετο σοφίας, ὥστε τῇ προχείρῳ ρήσει δελεασθέντας τοὺς τοῦ νόμου κατηγοροῦντας ἄκοντας καὶ ἀγνοοῦντας δέξασθαι τὴν ὑπὲρ αὐτοῦ γεγραμμένην ἀπολογίαν, ἵνα, ἂν μὲν θελήσωσι πρὸς τὴν ἀλήθειαν ἰδεῖν, ἂν δὲ ἐπιμένωσι τῇ ἀπιστίᾳ, μηδεμιᾶς συγγνώμης λοιπὸν τύχωσι, καὶ αὐτοῖς, οἷς δοκοῦσι πιστεύειν, ἀπιστοῦντες κατὰ τῆς ἑαυτῶν σωτηρίας.*

Ποῦ τοίνυν ἡ Καινὴ ἑαυτῆς καὶ τῆς Παλαιᾶς ἕνα τὸν νομοθέτην εἶναί φησι; Πολλαχοῦ μὲν καὶ ἀλλαχοῦ· ἡμεῖς δὲ ἐκείνην τέως σπουδάζομεν τὴν περικοπὴν εἰς μέσον ἀγαγεῖν, τὴν καὶ

καὶ τοὺς Μανιχαίους, ἂς παρουσιάσουμε τὴ μαρτυρία ἀπὸ τὴν Καινή, ἐπειδὴ γιὰ τὴν Παλαιὰ δὲν κάνουν κανένα λόγο, ἢ καλύτερα οὔτε καὶ γιὰ τὴν Καινή· ἀλλὰ καὶ αὐτήν, ποὺ φαίνεται πὼς τὴν τηροῦν, δὲν τὴν ὑβρίζουν λιγότερο ἀπὸ ἐκείνη, ἀποκόπτοντάς την κατὰ κάποιο τρόπο ἀπὸ τὴν Παλαιὰ καὶ βλάπτοντας τὴν ἀξιοπιστία της.

Γιατὶ δὲν ἦταν μικρὴ ἀπόδειξη γιὰ τὴν ἀλήθεια ὅσων λέγονται στὴν Καινὴ Διαθήκη ἡ προαγγελία τῶν προφητειῶν στὴν Παλαιά, τὶς ὁποῖες ἀφοῦ ἀποστράφηκαν αὐτοὶ δὲν αἰσθάνονται ὅτι ἀτίμασαν τοὺς ἀποστόλους περισσότερο ἀπὸ τοὺς προφῆτες. Ἔτσι περιφρονοῦν τὴν Καινή, πρῶτα μὲ τὸν τρόπο αὐτὸν καὶ ὕστερα μὲ τὸ ὅτι ἀπέκοψαν τὰ περισσότερα μέρη της. Ἀλλ' ὅμως καὶ αὐτὴ ἡ δύναμη ποὺ βρίσκεται στὰ κείμενά της εἶναι τόσο μεγάλη, ὥστε κάνει καὶ ἀπ' αὐτὰ τὰ ὑπολείμματα νὰ ἀποκαλυφθεῖ εὔκολα ἡ κακουργία τους, γιατὶ τὰ μέλη της ποὺ κόπηκαν κράζουν καὶ βοοῦν ἐπιζητώντας τὴ σύνδεση μὲ τὰ οἰκεῖα μέλη.

5. Πῶς λοιπὸν θὰ ἀποδείξουμε ὅτι ἕνας εἶναι ὁ νομοθέτης τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης; Ἀπ' αὐτὰ τὰ ἀποστολικὰ λόγια ποὺ ἀπέμειναν σ' αὐτούς, τὰ ὁποῖα φαίνονται ὅτι κατηγοροῦν τὸ νόμο, στὴν πραγματικότητα ὅμως τὸν συνιστοῦν πάρα πολὺ καὶ ἀποδεικνύουν πὼς εἶναι θεϊκὸς χρησμὸς καὶ ἦρθε ἀπὸ τοὺς οὐρανούς. Καὶ αὐτὸ ἦταν ἔργο τῆς σοφίας τοῦ Πνεύματος, ὥστε ἐκεῖνοι ποὺ κατηγοροῦν τὸ νόμο ἀφοῦ σαγηνευθοῦν εὔκολα ἀπὸ τὸ χωρίο νὰ δεχθοῦν χωρὶς τὴ θέλησή τους καὶ ἀπὸ ἄγνοια τὴν ἀπολογία ποὺ εἶναι γραμμένη γι' αὐτόν, γιὰ νὰ ἔχουν τὸ χωρίο ποὺ τοὺς ὁδηγεῖ, ἂν βέβαια θελήσουν νὰ δοῦν πρὸς τὴν ἀλήθεια· ἂν ὅμως ἐπιμένουν στὴν ἀπιστία τους, νὰ μὴν ἐπιτύχουν πιὰ καμιὰ συγγνώμη, ἐπειδὴ δὲν πιστεύουν καὶ σ' αὐτὰ στὰ ὁποῖα φαίνεται ὅτι πιστεύουν, στρεφόμενοι ἐναντίον τῆς σωτηρίας τους.

Ποῦ λοιπὸν ἡ Καινὴ λέγει ὅτι ἕνας εἶναι ὁ νομοθέτης αὐτῆς καὶ τῆς Παλαιᾶς; Σὲ πολλὰ ἄλλα σημεῖα, ἐγὼ ὅμως σπεύδω νὰ παρουσιάσω πρῶτα ἐκείνη τὴν περικοπὴ ποὺ διατηρεῖται

παρὰ τοῖς Μανιχαίοις σωζομένην ἔτι καὶ νῦν. Τίς οὖν ἐστιν αὕτη; «Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι», φησί, «τὸν νόμον οὐκ ἀκούετε, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας;». Ἤκουσαν οἱ αἱρετικοί, ὅτι «ἕνα ἐκ τῆς παιδίσκης», καὶ εὐθέως ἐπεπήδησαν· ἐνόμισαν γὰρ κατηγορίαν εἶναι τοῦ νόμου τὸ λεγόμενον· καὶ ἐκκόψαντες αὐτὴν τῆς λοιπῆς ἀκολουθίας, ὡς συνηγοροῦσαν αὐτοῖς κατέχουσι. Φέρε οὖν ἀπ' αὐτοῦ δείξωμεν ἕνα ὄντα τὸν νομοθέτην. «Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας· ταῦτα δέ ἐστι», φησίν, «ἀλληγορούμενα».

Τί δέ ἐστιν, «ἀλληγορούμενα»; Τύποι τῶν ἐν τῇ χάριτι γινομένων ἦσαν τὰ ἐν τῇ Παλαιᾷ Διαθήκῃ γινόμενα. Ὥσπερ γὰρ ἐκεῖ δύο γυναῖκες, οὕτως ἐνταῦθα δύο Διαθῆκαι. Πρῶτον μὲν ἐν τούτῳ δείκνυσι τὴν συγγένειαν τῆς Καινῆς πρὸς τὴν Παλαιάν, ὅταν ἐκεῖνα τούτων ᾖ τύπος. Ὁ γὰρ τύπος τῆς ἀληθείας οὐκ ἐναντίον, ἀλλὰ συγγενές. Εἰ δὲ ἐναντίος ἦν ὁ Θεὸς τῆς Παλαιᾶς τῷ Θεῷ τῆς Καινῆς, οὐκ ἔμελλε διὰ τῶν γυναικῶν προδιατυποῦν τῆς Καινῆς Διαθήκης τῆς ὑπεροχήν. Εἰ δὲ καὶ ἐκεῖνος προδιετύπωσε, τὸν Παῦλον ἐχρῆν μὴ ἀποχρήσασθαι τῷ τύπῳ. Εἰ δὲ λέγοιεν, ὅτι ἰουδαϊκῇ συγκαταβαίνων ἀσθενείᾳ, τοῦτο ἐποίει, ἐχρῆν καὶ Ἕλλησι κηρύττοντα τύπους ἑλληνικοὺς εἰσάγειν καὶ ἱστορίας μεμνῆσθαι τῶν παρ' Ἕλλησι γεγενημένων πραγμάτων. Ἀλλὰ οὐκ ἐποίησε τοῦτο· καὶ μάλα εἰκότως. Ἐκεῖνα μὲν γὰρ οὐδὲν κοινὸν εἶχε πρὸς τὴν ἀλήθειαν, ταῦτα δὲ Θεοῦ χρησμοὶ καὶ νόμοι· διὸ καὶ πολλὴν συγγένειαν ἔχει τὰ παλαιὰ πρὸς τὴν Καινὴν Διαθήκην.

6. Πρῶτον μὲν οὖν τοῦτο δείκνυσιν, ὅτι πολλὴ ἡ συμφωνία τῆς Καινῆς πρὸς τὴν Παλαιάν· δεύτερον δὲ οὐκ ἔλαττον τούτου, καὶ αὐτῇ τῇ ἱστορίᾳ. Ὥσπερ γὰρ τότε δύο γυναῖκες ἦσαν ἑνὸς ἀνδρός, οὕτω καὶ νῦν δύο Διαθῆκαι ἑνὸς νομοθέτου· ἐπεί, ἂν ἀλ-

---

10. Γαλ. 4,21–22. 11. Γαλ. 4,24.

ἀκόμη καὶ σήμερα καὶ ἀπὸ τοὺς Μανιχαίους. Ποιά λοιπὸν εἶναι αὐτὴ ἡ περικοπή; «Πέστε μου», λέγει, «ἐσεῖς ποὺ θέλετε νὰ ζεῖτε ὑπόδουλοι στὸ νόμο, δὲν ἀκοῦτε τὸ νόμο, ὅτι δηλαδὴ ὁ Ἀβραὰμ εἶχε δύο υἱούς, ἕναν ἀπὸ τὴ δούλη καὶ ἕναν ἀπὸ τὴν ἐλεύθερη γυναίκα του;»[10]. Ἄκουσαν οἱ αἱρετικοὶ ὅτι εἶχε ἕναν ἀπὸ τὴ δούλη καὶ ἀμέσως ἐπιτέθηκαν, γιατὶ νόμισαν πὼς αὐτὸ ἀποτελεῖ κατηγορία ἐναντίον τοῦ νόμου· καὶ ἀφοῦ ἀπέκοψαν τὴν περικοπὴ αὐτὴ ἀπὸ τὴν ὑπόλοιπη συνέχεια τὴν κρατοῦν ὡς συνήγορό τους. Ἐμπρὸς λοιπὸν ν' ἀποδείξουμε ἀπ' αὐτὸ ὅτι ἕνας εἶναι ὁ νομοθέτης. «Ὁ Ἀβραὰμ εἶχε δύο υἱούς, ἕναν ἀπὸ τὴ δούλη καὶ ἕναν ἀπὸ τὴν ἐλεύθερη γυναίκα του». «Αὐτὰ ὅμως», λέγει, «εἶναι ἀλληγορικά»[11].

Καὶ τί σημαίνει «ἀλληλογρικά»; Ἐκεῖνα ποὺ γίνονταν στὴν Παλαιὰ Διαθήκη ἦταν προεικονίσεις αὐτῶν ποὺ συμβαίνουν στὴν ἐποχὴ τῆς χάριτος. Γιατὶ ὅπως ἀκριβῶς ὑπῆρχαν ἐκεῖ δύο γυναῖκες, ἔτσι ἐδῶ ὑπάρχουν δύο Διαθῆκες. Πρῶτα βέβαια μ' αὐτὸ δείχνει τὴ συγγένεια τῆς Καινῆς πρὸς τὴν Παλαιά, ἀφοῦ ἐκεῖνα εἶναι προεικόνιση αὐτῶν. Γιατὶ ἡ προεικόνιση τῆς ἀλήθειας δὲν εἶναι κάτι ἀντίθετο, ἀλλὰ κάτι το συγγενικὸ πρὸς αὐτήν. Ἂν ὅμως ὁ Θεὸς τῆς Παλαιᾶς ἦταν ἀντίθετος πρὸς τὸ Θεὸ τῆς Καινῆς, δὲν ἐπρόκειτο νὰ προεικονίσει μὲ τὶς γυναῖκες τὴν ὑπεροχὴ τῆς Καινῆς Διαθήκης. Καὶ ἂν ἐκεῖνος προεικόνισε, δὲν ἔπρεπε ὁ Παῦλος νὰ χρησιμοποιήσει τὴν εἰκόνα. Ἂν ὅμως θὰ ἔλεγαν ὅτι τὸ ἔκανε αὐτὸ ἀπὸ συγκατάβαση στὴν ἀδυναμία τῶν Ἰουδαίων, ἔπρεπε καὶ ὅταν κήρυττε στοὺς Ἕλληνες νὰ ἀναφέρει ἑλληνικὲς εἰκόνες καὶ νὰ μνημονεύει τὴν ἱστορία τῶν ἑλληνικῶν πραγμάτων. Ἀλλὰ δὲν τὸ ἔκαμε αὐτό· καὶ ἦταν πολὺ φυσικό. Γιατὶ ἐκεῖνα δὲν εἶχαν κανένα κοινὸ μὲ τὴν ἀλήθεια, ἐνῶ αὐτὰ ἦταν χρησμοὶ και νόμοι τοῦ Θεοῦ. Γι' αὐτὸ καὶ τὰ παλαιὰ ἔχουν μεγάλη συγγένεια μὲ τὴν Καινὴ Διαθήκη.

6. Πρῶτα λοιπὸν ἀποδεικνύει ὅτι εἶναι μεγάλη ἡ συμφωνία τῆς Καινῆς πρὸς τὴν Παλαιά, καὶ ὕστερα, πράγμα ποὺ δὲν εἶναι μικρότερο ἀπ' αὐτό, τὸ ἀποδεικνύει μ' αὐτὴ τὴν ἱστορία. Ὅπως λοιπὸν τότε ἕνας ἄνδρας εἶχε δύο γυναῖκες, ἔτσι καὶ τώρα ἕνας

λος ᾖ τῆς Καινῆς, καὶ ἄλλος τῆς Παλαιᾶς, περιττῶς τὴν ἱστορίαν εἰσήγαγεν. Οὐ γὰρ ἄλλος μὲν ἦν τῆς Σάρρας ἀνήρ, ἄλλος δὲ τῆς Ἄγαρ, ἀλλ' εἷς καὶ ὁ αὐτός. Ὥστε, ὅταν λέγῃ, «αὗται γάρ εἰσι δύο διαθῆκαι», οὐδὲν ἕτερον λέγει, ἀλλ' ἤ, ὅτι ἕνα ἔχουσι νομοθέτην, καθάπερ ἐκεῖναι ἕνα ἄνδρα τὸν Ἀβραάμ. Ἀλλ' ἡ μὲν δούλη, φησίν, ἡ δὲ ἐλευθέρα ἦν. Καὶ τί τοῦτο; τέως γὰρ ζητούμενον ἦν, εἰ εἷς ἑκατέρων νομοθέτης. Καταδεξάσθωσαν τοίνυν τοῦτο πρότερον, καὶ τότε πρὸς ἐκεῖνο αὐτοῖς ἀποκρινούμεθα. Ἂν γὰρ τοῦτο καταναγκάζῃς αὐτοὺς δέξασθαι καὶ πεισθῶσιν, ἅπαν αὐτῶν τὸ δόγμα οἰχήσεται. Ὅταν γὰρ εὑρεθῇ τοῦ αὐτοῦ νομοθέτου καὶ ἡ Παλαιὰ οὖσα, καθάπερ οὖν καὶ ἔστι, πᾶσα λέλυται ἡμῖν ἡ πρὸς ἐκείνους ἀμφισβήτησις.

Ἵνα δὲ μηδὲ τοῦτο ὑμᾶς θορυβῇ, πρόσχωμεν ἀκριβῶς τῇ ῥήσει. Οὐ γὰρ εἶπε, 'μία μὲν δούλη, μία δὲ ἐλευθέρα', ἀλλά, «μία μὲν εἰς δουλείαν γεννῶσα»· οὐ πάντως δὲ ἡ εἰς δουλείαν γεννήσασα, δούλη· καὶ αὐτὸ δὲ τὸ εἰς δουλείαν τεχθῆναι, οὐ τῆς τεκούσης ἔγκλημα, ἀλλὰ τῶν τεχθέντων παιδίων. Ἐπειδὴ γὰρ τῆς ἐλευθερίας διὰ τὴν κακίαν ἑαυτοὺς ἀπεστέρησαν, καὶ τῆς εὐγενείας ἐξέπεσον, ὡς δούλους αὐτοὺς ἀγνώμονας ἐπαίδευσεν ὁ Θεὸς φόβῳ διηνεκεῖ, κολάζων τιμωρίαις καὶ ἀπειλαῖς. Πολλοὶ γοῦν καὶ νῦν πατέρες τοὺς ἑαυτῶν υἱούς, οὐχ ὡς υἱοὺς ἐνάγουσιν, ἀλλὰ μετὰ τοῦ πρέποντος οἰκέταις φόβου· καὶ τὸ ἔγκλημα οὐχὶ τῶν πατέρων ἐστίν, ἀλλὰ τῶν τοὺς πατέρας παρασκευασάντων παίδων, ὡς δούλοις κεχρῆσθαι τοῖς ἐλευθέροις. Οὕτω καὶ ὁ Θεὸς τὸν λαὸν τότε ἐκεῖνον μετὰ τοσούτου φόβου καὶ τιμωρίας τοσαύτης ἐνῆγε, μεθ' ὅσης εἰκὸς ἦν οἰκέτην ἀγνώμονα· ἀλλ' οὐ κατηγορία τοῦ Θεοῦ τὸ γινόμενον, οὐδὲ ἔγκλημα τοῦ νόμου, ἀλλὰ τῶν ἀφηνιαζόντων Ἰουδαίων, σφοδροτέρου δεηθέντων χαλινοῦ.

---

12. Γαλ. 4,24.

νομοθέτης ἔχει δύο Διαθῆκες· γιατὶ ἂν ἄλλος ἦταν τῆς Καινῆς καὶ ἄλλος τῆς Παλαιᾶς, ἀνώφελα παρουσίασε τὴν ἱστορία. Βέβαια δὲν ἦταν ἄλλος ὁ ἄνδρας τῆς Σάρρας καὶ ἄλλος τῆς Ἄγαρ, ἀλλὰ ἕνας καὶ ὁ ἴδιος. Ὥστε, ὅταν λέγει «αὐτὲς εἶναι οἱ δύο διαθῆκες»[12], τίποτε ἄλλο δὲν ἐννοεῖ παρὰ μόνο ὅτι ἔχουν ἕνα νομοθέτη, ὅπως ἀκριβῶς ἐκεῖνες εἶχαν ἕναν ἄνδρα, τὸν Ἀβραάμ. Ὅμως ἡ μία ἦταν δούλη, λέει, καὶ ἡ ἄλλη ἐλεύθερη. Καὶ τί σημασία ἔχει αὐτό; Γιατὶ μέχρι τώρα τὸ ζητούμενο ἦταν ἂν ἕνας εἶναι ὁ νομοθέτης καὶ τῶν δύο. Ἂς παραδεχθοῦν λοιπὸν αὐτὸ πρῶτα καὶ ὕστερα θὰ τοὺς ἀπαντήσουμε σ' ἐκεῖνο. Γιατὶ ἂν τοὺς ὑποχρεώσεις νὰ τὸ δεχθοῦν αὐτὸ καὶ νὰ πεισθοῦν, ὅλη τους ἡ διδασκαλία θὰ ἐξαφαντιστεῖ. Ὅταν δηλαδὴ βρεθεὶ πὼς καὶ ἡ Παλαιὰ Διαθήκη εἶναι τοῦ ἴδιου νομοθέτη, ὅπως ἀκριβῶς καὶ εἶναι, διαλύεται ὅλη μας ἡ φιλονεικία πρὸς ἐκείνους.

Γιὰ νὰ μὴ σᾶς ἀνησυχεῖ οὔτε αὐτό, ἂς ἐξετάσουμε μὲ προσοχὴ τὸ χωρίο. Γιατὶ δὲν εἶπε, ‘μιὰ εἶναι δούλη καὶ ἡ ἄλλη ἐλεύθερη’, ἀλλὰ «ἡ μία ποὺ γεννάει δούλους». Ἐκείνη ὅμως ποὺ γέννησε δούλους δὲν ἦταν ὁπωσδήποτε δούλη· καὶ τὸ ὅτι γέννησε δούλους δὲν ἀποτελεῖ κατηγορία τῆς μητέρας, ἀλλὰ τῶν παιδιῶν ποὺ γέννησε. Ἀφοῦ λοιπὸν ἐξ αἰτίας τῆς κακίας στερήθηκαν τὴν ἐλευθερία τους καὶ ἔχασαν τὴν εὐγενική τους καταγωγή, σὰν δούλους ἀχάριστους τοὺς παιδαγώγησε ὁ Θεὸς μὲ διαρκὴ φόβο, βασανίζοντας αὐτοὺς μὲ τιμωρίες καὶ ἀπειλές. Πολλοὶ λοιπὸν πατέρες καὶ σήμερα παιδαγωγοῦν τὰ παιδιά τους ὄχι σὰν παιδιά τους ἀλλὰ μὲ τὸ φόβο ποὺ ἁρμόζει στοὺς ὑπηρέτες· καὶ ἡ κατηγορία δὲ στρέφεται ἐναντίον τῶν πατέρων, ἀλλὰ ἐναντίον τῶν παιδιῶν ποὺ ἔκαμαν τοὺς πατέρες νὰ μεταχειρισθοῦν τοὺς ἐλεύθερους σὰν δούλους. Ἔτσι καὶ ὁ Θεὸς παιδαγωγοῦσε τότε τὸ λαὸ ἐκεῖνο μὲ τόσο φόβο καὶ τόσες τιμωρίες, μὲ ὅσες ἦταν φυσικὸ νὰ παιδαγωγεῖ ἕναν ἀχάριστο ὑπηρέτη. Ὅμως αὐτὸ ποὺ γινόταν δὲν ἀποτελεῖ κατηγορία ἐναντίον τοῦ Θεοῦ οὔτε ἐναντίον τοῦ νόμου, ἀλλὰ ἐναντίον τῶν Ἰουδαίων ποὺ παρεκτρέπονταν καὶ χρειάσθηκαν ἔτσι δυνατότερο χαλινάρι

Ἐν αὐτῇ γοῦν τῇ Παλαιᾷ εὑρεθήσονται πολλοὶ οὐχ οὕτως ἀχθέντες, οἷον ὁ Ἄβελ, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακώβ, ὁ Ἰωσήφ, ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, οἱ ἄλλοι πάντες, ὅσοι τὴν ἐν τῇ Καινῇ φιλοσοφίαν ἐζήλωσαν. Οὐ γὰρ φόβῳ καὶ κολάσει, οὐδὲ ἀπειλῇ καὶ τιμωρίᾳ, ἀλλ' ἀγάπῃ θείᾳ καὶ φίλτρῳ ζέοντι τῷ περὶ Θεὸν ἐγένοντο τοιοῦτοι, οἷοι δὴ καὶ ἐγένοντο. Οὐ γὰρ ἐδεήθησαν προσταγμάτων, οὐδὲ ἐντολῶν καὶ νόμων, ὥστε ἀρετὴν ἑλέσθαι καὶ φεύγειν κακίαν, ἀλλ' ὥσπερ εὐγενεῖς παῖδες καὶ ἐλεύθεροι, τὴν οἰκείαν ἐπιγνόντες ἀξίαν, χωρὶς φόβου τινὸς καὶ κολάσεως ηὐτομόλησαν πρὸς τὴν ἀρετήν· οἱ δὲ λοιποὶ πάντες Ἰουδαῖοι, ἐπειδὴ πρὸς κακίαν ἀπέκλιναν, τοῦ κατὰ τὸν νόμον ἐδεήθησαν χαλινοῦ. Ὅτε γοῦν ἐποίησαν τὸν μόσχον καὶ τὸ γλυπτὸν προσεκύνησαν, τότε ἤκουσαν· «Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστιν»· ὅτε ἐφόνευσαν καὶ τὰς γυναῖκας τῶν πλησίον διέφθειραν, τότε ἤκουσαν, «οὐ φονεύσεις, οὐ μοιχεύσεις», καὶ τὰ ἄλλα δὲ πάντα ὁμοίως.

7. Ὥστε οὐκ ἔγκλημα τοῦ νόμου τὸ κόλασιν ἐπάγειν καὶ τιμωρίαν, καὶ καθάπερ οἰκέτας ἀγνώμονας παιδεύειν καὶ σωφρονίζειν, ἀλλὰ καὶ ἐγκώμιον μέγιστον καὶ οὐχ ὁ τυχὼν ἔπαινος, ὅτι τοὺς πρὸς τοσαύτην κατενεχθέντας κακίαν ἠδυνήθη διὰ τῆς οἰκείας σφοδρότητος ἀπαλλάξαι τῆς πονηρίας, μαλάξαι τε καὶ ποιῆσαι καταπειθεῖς τῇ χάριτι καὶ πρὸς τὴν τῆς Καινῆς ὁδηγῆσαι φιλοσοφίαν. Τὸ γὰρ αὐτὸ Πνεῦμα καὶ τὰ ἐν τῇ Παλαιᾷ καὶ τὰ ἐν τῇ Καινῇ πάντα ᾠκονόμει, εἰ καὶ διαφόρως. Διὰ τοῦτο καὶ Παῦλος ἔλεγεν· «ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα».

Οὐ διὰ τοῦτο δὲ μόνον ἔλεγε, «τὸ αὐτὸ Πνεῦμα», ἀλλὰ καὶ δι' ἑτέραν αἰτίαν οὐκ ἐλάττονα τῆς εἰρημένης, ἣν ἐβουλόμην μὲν νῦν εἰπεῖν, δεδοικὼς δὲ μὴ τὰ εἰρημένα ἐκβλύσητε, εἰς ἑτέραν ὑμῖν διάλεξιν ταύτην ταμιεύσομαι, τέως ταύτης μεμνῆσθαι πάσης παρακαλέσας ὑμᾶς καὶ μετὰ ἀκριβείας φυλάττειν αὐτήν, καὶ τὴν ἀπὸ τῆς πολιτείας ἀρετὴν προστιθέναι καὶ τῇ τῶν δο-

13. Δευτ. 6,4.

Σ' αὐτὴ λοιπὸν τὴν Παλαιὰ Διαθήκη θὰ βρεθοῦν καὶ πολλοὶ ποὺ δὲν παιδαγωγήθηκαν ἔτσι, ὅπως ὁ Ἄβελ, ὁ Νῶε, ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακώβ, ὁ Ἰωσήφ, ὁ Μωϋσῆς, ὁ Ἠλίας, ὁ Ἐλισσαῖος, ὅλοι οἱ ἄλοι ποὺ μιμήθηκαν τὴ φιλοσοφία τῆς Καινῆς. Γιατὶ ὄχι μὲ φόβους καὶ βασανιστήρια, οὔτε μὲ ἀπειλὲς καὶ τιμωρίες ἀλλὰ μὲ τὴ θεία ἀγάπη καὶ φλογερὸ ἔρωτα γιὰ τὸ Θεὸ ἔγιναν τέτοιοι ποὺ ἔγιναν. Δὲ χρειάσθηκαν αὐτοὶ προσταγὲς οὔτε ἐντολὲς καὶ νόμους γιὰ νὰ προτιμήσουν τὴν ἀρετὴ χωρὶς κάποιο φόβο καὶ τιμωρία, ἐνῶ ὅλοι οἱ ἄλλοι Ἰουδαῖοι, ἐπειδὴ στράφηκαν πρὸς τὴν κακία, χρειάσθηκαν τὸ χαλινάρι τοῦ νόμου. Ὅταν λοιπὸν κατασεκύασαν τὸ μοσχάρι καὶ προσκύνησαν τὸ ἄγαλμα αὐτό, τότε ἄκουσαν· «ὁ Κύριος ὁ Θεός σου, ὁ Κύριος εἶναι ἕνας»[13]. Ὅταν ἔκαμαν φόνο καὶ διέφθειραν τὶς γυναῖκες τῶν ἄλλων τότε ἄκουσαν, «νὰ μὴν κάνεις φόνο, νὰ μὴ διαπράξεις μοιχεία», καὶ ὅλα τὰ ἄλλα ὁμοίως.

7. Ὥστε δὲν εἶναι ἀδίκημα τοῦ νόμου τὸ ὅτι τοὺς βασάνιζε καὶ τοὺς τιμωροῦσε καὶ σὰν ἀχάριστους δούλους τοὺς παιδαγωγοῦσε καὶ τοὺς συνέτιζε, ἀλλὰ ἀντίθετα μάλιστα πολὺ μεγάλο ἐγκώμιο καὶ σπουδαῖος ἔπαινος γιατὶ ἐκείνους ποὺ ἔπεσαν σὲ τόσο μεγάλη κακία μπόρεσε μὲ τὴν αὐστηρότητά του νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὴν κακία καὶ νὰ τοὺς ἀνακουφίσει καὶ νὰ τοὺς καταστήσει ὑπάκουους στὴ χάρη καὶ νὰ τοὺς ὁδηγήσει πρὸς τὴ φιλοσοφία τῆς Καινῆς Διαθήκης. Γιατὶ τὸ ἴδιο Πνεῦμα, ἔστω καὶ μὲ διαφορετικὸ τρόπο, οἰκονομοῦσε τὰ πάντα καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη. Γι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «ἐπειδὴ ἔχουμε τὸ ἴδιο Πνεῦμα σύμφωνα μ' ἐκεῖνο ποὺ ἀναφέρει ἡ Γραφή· πίστεψα γι' αὐτὸ καὶ μίλησα».

Καὶ ὄχι μόνο γι' αὐτὸ ἔλεγε, «τὸ ἴδιο Πνεῦμα», ἀλλὰ καὶ γιὰ κάποια ἄλλη αἰτία ὄχι μικρότερη ἀπ' αὐτή, τὴν ὁποία ἤθελα τώρα νὰ πῶ, ἀλλὰ φοβούμενος μήπως ξεχάσετε αὐτὰ ποὺ λέχθηκαν, θὰ σᾶς τὴ φυλάξω γιὰ ἄλλη ὁμιλία, ἀφοῦ πρῶτα σᾶς παρακαλέσω νὰ θυμᾶστε τὴ σημερινὴ ὁλόκληρη καὶ νὰ τὴ φυλάγετε προσεκτικά, προσθέτοντας καὶ τὴν ἐνάρετη συμπεριφορά σας τὴ συνδυασμένη μὲ τὴν καθαρότητα τῶν δογμάτων, «γιὰ

γμάτων συνυφαίνειν αὐτὴν καθαρότητι, «ἵνα ἄρτιος ὁ ἄνθρωπος ᾖ τοῦ Θεοῦ, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος»· ἐπεὶ κέρδος οὐδὲν ἔσται ἡμῖν τῶν ὀρθῶν δογμάτων, ὅταν ὁ βίος διεφθαρμένος ᾖ· ὥσπερ οὖν οὐδὲ πολιτείας ἀρίστης ὄφελος, πίστεως οὐκ οὔσης ὑγιοῦς. Ἵνα οὖν ἀπηρτισμένην ἔχωμεν τὴν ὠφέλειαν, ἑκατέρωθεν ἑαυτοὺς ἀσφαλιζώμεθα, ἔν τε τοῖς ἄλλοις ἅπασι καρποὺς ἐπιδεικνύμενοι γενναίους, καὶ μετὰ τῶν ἄλλων τὴν ἐλεημοσύνην, περὶ ἧς καὶ πρῴην ὑμῖν διελέχθην, μετὰ πολλῆς μὲν τῆς προθυμίας, μετὰ πολλῆς δὲ αὐτὴν ἐπιτελοῦντες τῆς δαψιλείας. «Ὁ γὰρ σπείρων φειδομένως», φησί, «φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει».

Τί ἐστιν, «ἐπ' εὐλογίαις»; Μετὰ πολλῆς τῆς ἀφθονίας. Ἐνταῦθα μὲν οὖν ἐπὶ τῶν βιωτικῶν πραγμάτων καὶ ὁ ἀμητὸς καὶ ὁ σπόρος τῶν αὐτῶν ἐστι σπερμάτων· καὶ γὰρ ὁ σπείρων, πυρὸν ἢ κριθὰς καταβάλλει ἢ καὶ ἄλλο τι τῶν τοιούτων, καὶ ὁ θερίζων τὸ αὐτὸ θερίζει πάλιν· ἐπὶ δὲ τῆς ἐλεημοσύνης οὐχ οὕτως, ἀλλὰ ἑτέρως. Σὺ μὲν γὰρ καταβάλλεις ἀργύριον, συλλέγεις δὲ παρρησίαν τὴν πρὸς τὸν Θεόν· δίδως χρήματα, καὶ λαμβάνεις ἁμαρτημάτων λύσιν· παρέχεις ἄρτον και ἱμάτιον, καὶ ἀντὶ τούτων σοι ἡ τῶν οὐρανῶν εὐτρεπίζεται βασιλεία καὶ τὰ μυρία ἀγαθά, «ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη»· τὸ δὴ πάντων κεφάλαιον τῶν ἀγαθῶν, ὅμοιος γίνῃ τῷ Θεῷ, κατὰ δύναμιν τὴν ἀνθρωπίνην. Περὶ γὰρ ἐλεημοσύνης καὶ φιλανθρωπίας διαλεχθεὶς ὁ Χριστὸς ἐπήγαγεν· «ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Οὐ δύνασαι ἀνατεῖλαι ἥλιον, οὐδὲ ὄμβρους ἀφεῖναι σύ, οὐδὲ οἰκουμένην εὐεργετῆσαι τοσαύτην· τοῖς οὖσι χρήμασιν ἀπόχρησαι πρὸς τὴν φιλοφροσύνην, καὶ γέγονας ὅμοιος τῷ τὸν ἥλιον ἀνατέλλοντι, ὡς ἄνθρωπον ὅμοιον Θεῷ γενέσθαι δυνατόν.

8. *Προσέχετε μετὰ ἀκριβείας τοῖς εἰρημένοις. «Ἐπὶ πονη-*

---

14. Β' Τιμ. 3,17. 15. Β' Κορ. 9,6. 16. Ματθ. 5,45.

νὰ εἶναι ὁ ἄνθρωπος τοῦ Θεοῦ τέλειος καὶ καταρτισμένος γιὰ κάθε καλὸ ἔργο»[14]. Γιατὶ δὲ θὰ ἔχουμε κανένα κέρδος ἀπὸ τὰ ὀρθὰ δόγματα ὅταν ἡ ζωή μας εἶναι διεφθαρμένη, ὅπως ἀκριβῶς δὲν ὑπάρχει κανένα ὄφελος ἀπὸ τὴν ἄριστη συμπεριφορὰ ὅταν ἡ πίστη μας δὲν εἶναι ὑγιής. Γιὰ νὰ ἔχουμε λοιπὸν ὁλοκληρωμένη τὴν ὠφέλεια ἂς ἀσφαλιζόμαστε καὶ ἀπὸ τὸ ἕνα καὶ ἀπὸ τὸ ἄλλο μέρος, φανερώνοντας καὶ σὲ ὅλα τὰ ἄλλα καρποὺς πλούσιους καὶ κάνοντας μαζὶ μὲ τὰ ἄλλα τὴν ἐλεημοσύνη, γιὰ τὴν ὁποία καὶ στὴν προηγούμενη ὁμιλία σᾶς μίλησα, μὲ πολλὴ προθυμία καὶ μὲ πολλὴ γενναιοδωρία. «Γιατὶ ὅποιος σπέρνει μὲ οἰκονομία», λέγει, «θὰ θερίσει καὶ λίγη σοδειά· ὅποιος ὅμως σπέρνει μὲ ἀφθονία, θὰ θερίσει καὶ μὲ ἀφθονία»[15].

Τί σημαίνει «ἐπ' εὐλογίαις»; Μὲ πολλὴ ἀφθονία. Ἐδῶ λοιπὸν στὰ βιοτικὰ πράγματα καὶ ὁ θερισμὸς καὶ ἡ σπορὰ εἶναι ἀπὸ τὰ ἴδια σπέρματα· γιατὶ καὶ αὐτὸς ποὺ σπέρνει, σπέρνει σιτάρι ἢ κριθάρι ἢ καὶ κάτι ἄλλο τέτοιο, καὶ αὐτὸς ποὺ θερίζει, θερίζει πάλι τὸ ἴδιο. Στὴν περίπτωση ὅμως τῆς ἐλεημοσύνης δὲ συμβαίνει ἔτσι, ἀλλὰ διαφορετικά. Γιατὶ ἐσὺ σπέρνεις χρήματα, συλλέγεις ὅμως τὴν παρρησία ἐνώπιον τοῦ Θεοῦ· δίνεις χρήματα καὶ λαμβάνεις συγχώρηση ἁμαρτημάτων· προσφέρεις ἄρτο καὶ ἐνδύματα, καὶ ἀντὶ γι' αὐτὰ σοῦ ἑτοιμάζεται ἡ βασιλεία τῶν οὐρανῶν καὶ τὰ ἄπειρα ἀγαθά, «τὰ ὁποῖα οὔτε μάτι εἶδε, οὔτε αὐτὶ ἄκουσε οὔτε νοῦς ἀνθρώπου συνέλαβε». Καὶ τὸ πιὸ σπουδαῖο ἀπ' ὅλα τὰ ἀγαθὰ γίνεται ὅμοιος μὲ τὸ Θεό, ὅσο αὐτὸ εἶναι δυνατὸ στὸν ἄνθρωπο. Γιατὶ ὅταν ὁ Χριστὸς μίλησε γιὰ τὴν ἐλεημοσύνη καὶ τὴ φιλανθρωπία πρόσθεσε· «γιὰ νὰ γίνετε ὅμοιοι μὲ τὸν οὐράνιο Πατέρα σας, γιατὶ αὐτὸς ἀνατέλλει τὸν ἥλιο του σὲ κακοὺς καὶ σὲ καλοὺς καὶ βρέχει σὲ δικαίους καὶ σὲ ἀδίκους»[16]. Δὲν μπορεῖς ἐσὺ νὰ ἀνατείλεις τὸν ἥλιο οὔτε νὰ ρίξεις βροχὴ οὔτε νὰ εὐεργετήσεις τόσο πολὺ κόσμο· χρησιμοποίησε τὰ χρήματά σου γιὰ φιλανθρωπία καὶ θὰ γίνεις ὅμοιος μ' αὐτὸν ποὺ ἀνατέλλει τὸν ἥλιο, ὅσο εἶναι δυνατὸ βέβαια νὰ γίνει ὁ ἄνθρωπος ὅμοιος μὲ τὸ Θεό.

8. Προσέχετε μὲ ἀκρίβεια αὐτὰ ποὺ λέχθηκαν. «Σὲ κακοὺς

ροὺς καὶ ἀγαθούς», φησί. Καὶ σὺ τοίνυν, ὅτε ἐλεημοσύνην ποιεῖς, μὴ βίον ἐξετάσῃς, μηδὲ τρόπων εὐθύνας ἀπαίτει. 'Ελεημοσύνη' γὰρ διὰ τοῦτο λέγεται, ἵνα καὶ τοῖς ἀναξίοις παρέχωμεν· ὁ γὰρ ἐλεῶν, οὐ τὸν κατωρθωκότα, ἀλλὰ τὸν ἡμαρτηκότα ἐλεεῖ· ὁ μὲν γὰρ κατορθῶν ἐπαίνων ἄξιος καὶ στεφάνων ἐστίν, ὁ δὲ ἁμαρτάνων ἐλέου καὶ συγγνώμης. Ὥστε καὶ κατὰ τοῦτο μιμησόμεθα τὸν Θεόν, ἐὰν καὶ πονηροῖς παρέχωμεν. Ἐννόησον γὰρ ὅσοι τὴν οἰκουμένην οἰκοῦσι βλάσφημοι, μιαροί, γόητες, πάσης ἐμπεπλησμένοι κακίας· ἀλλὰ καὶ τούτους καθ' ἑκάστην τρέφει τὴν ἡμέραν ὁ Θεός, ἡμᾶς παιδεύων τὴν φιλοφροσύνην ἐπὶ πάντας ἐκτείνειν. Ἡμεῖς δὲ ἅπαν τοὐναντίον ποιοῦμεν· οὐ γὰρ πονηροὺς οὐδὲ φαύλους ἀνθρώπους ἀποστρεφόμεθα μόνον, ἀλλὰ κἂν ὑγιαίνων τις ἡμῖν προσέλθῃ ἢ δι' ἐπιείκειαν ἢ δι' ἐλευθερίαν ἢ καὶ δι' ἀργίαν ἴσως (καὶ γὰρ καὶ τοῦτο τίθημι), πενίᾳ συζῶν, λοιδορίας, ὕβρεις, μυρία κατ' αὐτοῦ συνείροντες σκώμματα, κεναῖς αὐτὸν ἀποπέμπομεν χερσί, τὴν ὑγείαν ὀνειδίζοντες, τὴν ἀργίαν προσφέροντες, εὐθύνας ἀπαιτοῦντες.

Μὴ γὰρ τοῦτο προσετάγης, ἄνθρωπε, ἐγκαλεῖν καὶ ἐπιτιμᾶν ἁπλῶς τοῖς δεομένοις; Ἐλεεῖν καὶ διορθοῦσθαι τὴν πενίαν αὐτῶν ὁ Θεὸς ἐκέλευσεν, οὐχὶ εὐθύνας ἀπαιτεῖν καὶ ὑβρίζειν. Ἀλλὰ βούλει διορθῶσαι τὸν τρόπον καὶ τῆς ἀργίας ἀπαγαγεῖν καὶ εἰς ἔργον ἐμβαλεῖν τὸν ἀργοῦντα; Δὸς πρότερον, καὶ τότε ἐπιτίμησον, ἵνα μὴ ὠμότητος ὑποψίαν, ἐγκληθεὶς βαρύτητα, ἀλλὰ κηδεμονίας δόξαν λάβῃς. Τὸν μὲν γὰρ μὴ δόντα, ἀλλ' ἐγκαλοῦντα μόνον ἀποστρέφεται και ἀηδίζει καὶ οὐδὲ ἰδεῖν ἀνάσχοιτ' ἂν ὁ πένης· καὶ μάλα εἰκότως. Οὐ γὰρ διὰ κηδεμονίαν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι δοῦναι νομίζει τὰ ἐγκλήματα γίνεσθαι· ὅπερ οὖν καὶ ἔστιν ἀληθές. Ὁ δὲ μετὰ τὸ δοῦναι ἐγκαλῶν, εὐπαράδεκτον ποιεῖ τὴν παραίνεσιν· οὐ γὰρ ἐξ ἀπανθρωπίας,

καὶ σὲ καλούς», λέγει. Καὶ σὺ λοιπόν, ὅταν κάνεις ἐλεημοσύνη, μὴν ἐξετάσεις τὴ ζωή, οὔτε νὰ ζητᾶς λόγο γιὰ τὴ συμπεριφορὰ τοῦ ἄλλου. Γι' αὐτὸ λέγεται 'ἐλεημοσύνη', γιὰ νὰ δίνουμε καὶ στοὺς ἀνάξιους. Γιατὶ ὅποιος ἐλεεῖ, δὲν ἐλεεῖ ἐκεῖνον ποὺ ἔχει ἐπιτύχει τὴν ἀρετή, ἀλλὰ τὸν ἁμαρτωλό, ἐπειδὴ ὁ ἐνάρετος εἶναι ἄξιος γιὰ ἐπαίνους καὶ βραβεῖα, ἐνῶ ὁ ἁμαρτωλὸς γιὰ ἐλεημοσύνη καὶ συγγνώμη. Ἐπομένως καὶ σ' αὐτὸ θὰ μιμηθοῦμε τὸ Θεό, ἂν δίνουμε καὶ σὲ κακούς. Γιατὶ σκέψου πόσοι κατοικοῦν στὴ γῆ βλάσφημοι, μιαροί, ἀπατεῶνες, γεμάτοι ἀπὸ κάθε κακία· ὅμως καὶ αὐτοὺς τοὺς τρέφει κάθε ἡμέρα ὁ Θεός, διδάσκοντας ἐμᾶς νὰ κάνουμε τὴ φιλανθρωπία σὲ ὅλους. Ἐμεῖς ὅμως κάνουμε ἐντελῶς τὸ ἀντίθετο. Γιατὶ δὲν ἀποστρεφόμαστε μόνο τοὺς κακοὺς καὶ φαύλους ἀνθρώπους, ἀλλὰ καὶ ἂν κάποιος ὑγιὴς ζώντας μέσα στὴ φτώχεια μᾶς πλησιάσει ἢ ἐξ αἰτίας τῆς καλωσύνης μας ἢ τῆς γενναιοδωρίας μας ἢ ἐξ αἰτίας καὶ τῆς ὀκνηρίας του ἴσως (γιατὶ πραγματικὰ τὸ δέχομαι καὶ αὐτό), ἀφοῦ ποῦμε ἐναντίον του ἕνα σωρὸ κατηγορίες, ὕβρεις καὶ ἄπειρα κακόλογα, τὸν διώχνουμε μὲ ἄδεια χέρια, κατηγορώντας τὴν ὑγεία του, ἀναφέροντας τὴν ὀκνηρία του, ζητώντας εὐθύνες.

Μήπως λοιπὸν πῆρες αὐτὴ τὴν ἐντολή, ἄνθρωπε, νὰ κατηγορεῖς καὶ νὰ ἐπιτιμᾶς ἁπλῶς αὐτοὺς ποὺ ἔχουν ἀνάγκη; Ὁ Θεὸς πρόσταξε νὰ ἐλεεῖς καὶ νὰ ἀνακουφίζεις τὴ φτώχεια τους, ὄχι νὰ τοὺς ζητᾶς εὐθύνες καὶ νὰ τοὺς βρίζεις. Ἀλλὰ θέλεις νὰ διορθώσεις τὸ χαρακτήρα του καὶ νὰ τὸν ἀπομακρύνεις ἀπὸ τὴν ὀκνηρία καὶ νὰ βάλεις σὲ δουλειὰ τὸν ὀκνηρό; Δῶσε πρῶτα καὶ ὕστερα ἐπιτίμησε, γιὰ νὰ μὴ δώσεις τὴν ἐντύπωση πὼς εἶσαι σκληρὸς καὶ κατηγορηθεῖς γιὰ ἀδιαφορία, ἀλλὰ ν' ἀποκτήσεις τὴ φήμη πὼς φροντίζεις γιὰ τοὺς ἄλλους. Γιατὶ ἐκεῖνον ποὺ δὲ δίνει ἀλλὰ κατηγορεῖ μόνο, τὸν ἀποστρέφεται καὶ τὸν συχαίνεται καὶ οὔτε θὰ ἀνεχόταν νὰ τὸν δεῖ ὁ φτωχός. Καὶ πολὺ σωστά. Γιατὶ θεωρεῖ πὼς οἱ κατηγορίες γίνονται ὄχι ἀπὸ ἐνδιαφέρον ἀλλὰ γιατὶ δὲ θέλει νὰ δώσει, πράγμα ποὺ εἶναι καὶ ἀλήθεια. Ἐκεῖνος ὅμως ποὺ πρῶτα δίνει καὶ ὕστερα κατηγορεῖ, κάνει εὐπρόσδεκτη τὴν παραίνεση, γιατὶ ἐπιτιμάει ὄχι ἀπὸ

ἀλλ' ἐκ κηδεμονίας ποιεῖται τὴν ἐπιτίμησιν. Οὕτω καὶ Παῦλος ἐποίησεν· εἰπὼν γάρ, «εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω», ἐπάγει λέγων· «ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε».

Καίτοι δοκεῖ ταῦτα ἐναντία εἶναι τὰ προστάγματα. Εἰ γὰρ οὐ δεῖ τοὺς ἀργοῦντας ἐσθίειν, πῶς τούτοις κελεύεις τὸ καλὸν ποιεῖν; Ἀλλ' οὐκ ἔστιν ἐναντίον· μὴ γένοιτο. Διὰ γὰρ τοῦτο, φησίν, εἶπον, ὅτι «εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω», οὐχ ἵνα τοὺς μέλλοντας διδόναι ἀπαγάγω τῆς ἐλεημοσύνης, ἀλλ' ἵνα τοὺς ἐν ἀργίᾳ ζῶντας ἀπαγάγω τῆς ἀργίας. Τὸ μὲν οὖν εἰπεῖν, «μηδὲ ἐσθιέτω», ἐκείνους διανίστησι πρὸς ἐργασίαν τῷ φόβῳ τῆς ἀπειλῆς, τὸ δὲ εἰπεῖν, «τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε», τούτους διεγείρει πρὸς ἐλεημοσύνην τῷ χρησίμῳ τῆς παραινέσεως. Ἵνα γὰρ μή, ἀκούσαντες τῆς κατ' ἐκείνων γεγενημένης ἀπειλῆς, συστείλωσι τὰς χεῖράς τινες, ἐκκαλεῖται πρὸς φιλοφροσύνην αὐτούς, λέγων· «τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε». Ὥστε καὶ ἀργοῦντι ἐὰν δῷς, καλὸν πεποίηκας.

9. *Τοῦτο καὶ ἐν τοῖς ἑξῆς δῆλον ἐποίησεν. Εἰπὼν γάρ, «εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε καὶ μὴ συναναμίγνυσθε αὐτῷ»· καὶ ἐκκόψας αὐτὸν τῆς ἱερᾶς αὐλῆς, πάλιν αὐτὸν ἑτέρῳ συνάπτει τρόπῳ, τὰς τῶν ἐκτεμόντων διανοίας οἰκειῶν αὐτῷ καὶ συνάγων· ἐπήγαγε γοῦν λέγων· «μὴ ὡς ἐχθρόν», φησίν, «ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν». Ὥσπερ οὖν εἰπών, «εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω», τοῖς κυρίοις ἐκέλευσε πολλὴν αὐτῶν ποιεῖσθαι πρόνοιαν πάλιν, οὕτω καὶ ἐνταῦθα εἰπών, «μὴ συναναμίγνυσθε αὐτῷ», οὐκ ἀπέστησεν αὐτοῦ τῆς ἐπιμελείας τοὺς ἀκούοντας, ἀλλὰ καὶ σφόδρα αὐτοῖς ἀντιλαβέσθαι παρεκελεύσατο, προσθεὶς καὶ εἰπών, «καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλ' ὡς ἀδελφόν». Ἐχωρίσθης αὐτοῦ τῆς συνουσίας, ἀλλὰ μὴ χωρισθῇς τῆς κηδεμονίας· ἀπέκοψας*

---

17. Β' Θεσ. 3,10.13.
18. Β' Θεσ. 3,14.
19. Β' Θεσ. 3,15.

σκληρότητα ἀλλὰ ἀπὸ ἐνδιαφέρον. Ἔτσι ἔκαμε καὶ ὁ Παῦλος· γιατὶ ἀφοῦ εἶπε, «ὅποιος δὲ θέλει νὰ ἐργάζεται, αὐτὸς ἃς μὴν τρώει», προσθέτει λέγοντας· «ἐσεῖς ὅμως ὅταν κάνετε τὸ καλὸ νὰ μὴν ἀποθαρρύνεστε»[17].

Ὅμως αὐτὲς οἱ ἐντολὲς φαίνεται ὅτι εἶναι ἀντίθετες. Γιατί, ἂν δὲν πρέπει νὰ τρώγουν ὅσοι δὲν ἐργάζονται, πῶς τοὺς προτρέπεις νὰ κάνουν τὸ καλό; Ἀλλὰ δὲν ὑπάρχει ἀντίθεση· μὴ γένοιτο. Γι' αὐτό, λέγει, εἶπα «ὅποιος δὲ θέλει νὰ ἐργάζεται, αὐτὸς ἃς μὴν τρώει», ὄχι γιὰ νὰ ἐμποδίσω ἀπὸ τὴν ἐλεημοσύνη ἐκείνους ποὺ ἔχουν σκοπὸ νὰ δώσουν, ἀλλὰ γιὰ νὰ ἀπομακρύνω ἀπὸ τὴν ἀργία αὐτοὺς ποὺ εἶναι ἄεργοι. Τὸ νὰ πεῖ λοιπὸν «αὐτὸς ἃς μὴν τρώει», παρακινεῖ ἐκείνους γιὰ ἐργασία μὲ τὸ φόβο τῆς ἀπειλῆς· καὶ τὸ νὰ πεῖ «νὰ μὴν ἀποθαρρύνεστε ὅταν κάνετε τὸ καλό», προτρέπει αὐτοὺς γιὰ ἐλεημοσύνη μὲ τὸ ὠφέλιμο τῆς συμβουλῆς. Γιὰ νὰ μὴν μαζέψουν τὰ χέρια τους μερικοὶ ὅταν ἀκούσουν τὴν ἀπειλὴ ποὺ ἔγινε ἐναντίον ἐκείνων, τοὺς προσκαλεῖ γιὰ φιλανθρωπία λέγοντας· «νὰ μὴν ἀποθαρρύνεστε ὅταν κάνετε τὸ καλό». Ἑπομένως καὶ στὸν ἄεργο ἂν δώσεις, κάνεις τὸ καλό.

9. Αὐτὸ τὸ ἔκαμε φανερὸ καὶ στὰ ἑπόμενα. Γιατὶ ἀφοῦ εἶπε, «ὅποιος δὲν ὑπακούει σ' αὐτὰ ποὺ λέμε στὴν ἐπιστολή, αὐτὸν νὰ τὸν ἐπισημαίνετε καὶ νὰ μὴν τὸν συναναστρέφεστε»[18], καὶ ἀφοῦ τὸν ἀπέκοψε ἀπὸ τὴν ἱερὴ αὐλή, τὸν συνδέει πάλι μὲ ἄλλο τρόπο, συμφιλιώνοντας καὶ ἑνώνοντας μ' αὐτὸν τὴ διάθεση ἐκείνων ποὺ τὸν ἀπέκοψαν. Πρόσθεσε λοιπὸν λέγοντας· «νὰ μὴν τὸν θεωρεῖτε σὰν ἐχθρὸ ἀλλὰ σὰν ἀδελφό»[19]. Ὅπως λοιπὸν ὅταν εἶπε, «ὅποιος θέλει νὰ μὴν ἐργάζεται, αὐτὸς ἃς μὴν τρώει», πρόσταξε τοὺς οἰκοδεσπότες νὰ φροντίζουν πάλι πολὺ γι' αὐτούς, ἔτσι καὶ ἐδῶ λέγοντας, «νὰ μὴν τὸν συναναστρέφεστε», δὲν ἐμπόδισε τοὺς ἀκροατὲς νὰ τὸν φροντίζουν, ἀλλὰ καὶ τοὺς παράγγειλε νὰ τὸν βοηθήσουν πάρα πολύ, ἀφοῦ πρόσθεσε καὶ εἶπε, «καὶ νὰ μὴν τὸν θεωρεῖτε σὰν ἐχθρὸ ἀλλὰ σὰν ἀδελφό». Ἔφυγες ἀπὸ τὴ συντροφιά του, ἀλλὰ μὴ σταματήσεις τὴ φροντίδα σου γι' αὐτόν· τὸν ἀπέκοψες ἀπὸ τὴ σύναξη, μὴν τὸν

αὐτὸν τῆς συνόδου, μὴ ἀποκόψῃς αὐτὸν τῆς ἀγάπης. Καὶ γὰρ αὐτὸ τοῦτο δι' ἀγάπην ἐκέλευσα γίνεσθαι, ἵνα τῷ χωρισμῷ γενόμενος βελτίων, πρὸς τὸ λοιπὸν ἐπανέλθῃ σῶμα· ἐπεὶ καὶ οἱ πατέρες τῆς οἰκίας τῆς ἑαυτῶν ἐκβάλλουσι τοὺς παῖδας, οὐχ ἵνα ἔξω μένωσι διηνεκῶς, ἀλλ' ἵνα τῷ τῆς οἰκίας ἐκπεσεῖν γενόμενοι σωφρονέστεροι, πρὸς τὴν οἰκίαν ἐπανέλθωσι πάλιν. Πρὸς μὲν οὖν τοὺς ἀργίαν ἐγκαλοῦντας ἱκανὰ τὰ εἰρημένα.

Ἐπειδὴ δὲ καὶ ἕτερός ἐστι πολλοῖς μεμελετημένος λόγος πρὸς ἀπολογίαν, ἀπανθρωπίας καὶ ὠμότητος γέμων, ἀνάγκη καὶ τοῦτον διεξελέγξαι πάλιν, οὐχ ἵνα ἀπολογίας αὐτοὺς ἀποστερήσωμεν, ἀλλ' ἵνα πείσωμεν τὴν οὐκ οὖσαν οὐδὲ ὠφελοῦσαν ἀπολογίαν ἀποθέσθαι, τὴν δὲ οὖσαν καὶ προστῆναι δυναμένην ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, ταύτην διὰ τῶν ἔργων μελετᾶν διηνεκῶς.

Τίς οὖν ἐστιν ἡ ψυχρὰ καὶ ἀνόνητος τῶν πολλῶν ἀπολογία; Παιδοτροφίᾳ συζῶ, φησίν, οἰκίας προΐσταμαι, γυναῖκα τρέφω, πολλὰς ἔχω δαπάνης ἀνάγκας· ὅθεν οὐκ εὐπορῶ τοὺς προσιόντας μοι ἐλεεῖν. Τί λέγεις; Παιδία τρέφεις, καὶ διὰ τοῦτο τοὺς προσιόντας οὐκ ἐλεεῖς; Δι' αὐτὰ μὲν οὖν ταῦτα τοὺς δεομένους ἐλεεῖν δεῖ, διὰ τὰ παιδία καὶ τὴν αὐτῶν προστασίαν, ἵνα ἀπὸ ὀλίγων χρημάτων ἵλεω τὸν δόντα αὐτὰ Θεὸν ποιήσῃς, ἵνα καταλίπῃς αὐτοῖς προστάτην ἐκεῖνον καὶ μετὰ τὸν σὸν θάνατον, ἵνα πολλὴν αὐτοῖς ἄνωθεν εὔνοιαν ἐπισπάσῃ ἀπὸ τῶν ἐκείνων χρημάτων τῷ Θεῷ δαπανῶν. Οὐχ ὁρᾷς, ὅτι πολλοὶ ἀνθρώπους πλουτοῦντας καὶ ἐν δυναστείαις ὄντας, οὐδαμόθεν αὐτοῖς προσήκοντας, εἰς τὰς διαθήκας πολλάκις εἰσήγαγον τὰς ἑαυτῶν, καὶ τοῖς ἑαυτῶν παισὶ συγκληρονόμους ἐποίησαν, δι' ἄλλο μὲν οὐδέν, ἵνα δὲ ἀσφάλειαν τοῖς ἑαυτῶν κτήσωνται παισὶν ἀπὸ ὀλίγων χρημάτων; καὶ ταῦτα, οὐκ εἰδότες πῶς διακείσονται μετὰ τὴν αὐτῶν τελευτὴν περὶ τοὺς αὐτῶν παῖδας οἱ τοῦ κλήρου γενόμενοι κοινωνοί;

Σὺ δὲ εἰδὼς τὸ φιλάνθρωπον καὶ χρηστὸν καὶ ἐπιεικὲς τοῦ

ἀποκόψεις ἀπὸ τὴν ἀγάπη σου. Γιατὶ πραγματικὰ αὐτὸ τὸ πρόσταξα νὰ γίνεται ἀπὸ ἀγάπη, γιὰ νὰ γίνει μὲ τὸ χωρισμὸ καλύτερος καὶ νὰ ἐπιστρέψει στὸ ὑπόλοιπο σῶμα. Ἄλλωστε καὶ οἱ πατέρες διώχνουν τὰ παιδιὰ ἀπὸ τὸ σπίτι τους, ὄχι γιὰ νὰ μένουν πάντοτε ἔξω, ἀλλὰ γιὰ νὰ γίνουν πιὸ συνετὰ μὲ τὸ ὅτι ἀποκλείσθηκαν ἀπὸ τὸ σπίτι καὶ νὰ ἐπιστρέψουν πάλι σ' αὐτό. Γι' αὐτοὺς λοιπὸν ποὺ κατηγοροῦν τὴν ἀργία εἶναι ἀρκετὰ αὐτὰ ποὺ εἶπα.

Ἐπειδὴ ὅμως σὲ πολλοὺς ὑπάρχει καὶ ἄλλος μελετημένος λόγος γιὰ ἀπολογία, γεμάτος ἀπανθρωπιὰ καὶ σκληρότητα, εἶναι ἀνάγκη καὶ αὐτὸν νὰ τὸν ἐλέγξουμε πάλι, ὄχι γιὰ νὰ τοὺς στερήσουμε τὴν ἀπολογία, ἀλλὰ γιὰ νὰ τοὺς πείσουμε νὰ ἐγκαταλείψουν τὴν ἀνύπαρκτη καὶ ἀνώφελη ἀπολογία καὶ νὰ ἀσκοῦν διαρκῶς μὲ τὰ ἔργα ἐκείνη ποὺ ὑπάρχει καὶ ποὺ μπορεῖ νὰ σταθεῖ ἐμπρὸς στὸ βῆμα τοῦ Χριστοῦ.

Ποιά εἶναι λοιπὸν ἡ ψυχρὴ καὶ ἀνώφελη ἀπολογία τῶν πολλῶν; Ἔχω καὶ ἀνατρέφω παιδιά, λέγει, φροντίζω γιὰ τὸ σπίτι, τρέφω γυναίκα, ἔχω πολλὰ ἀναγκαῖα ἔξοδα· γι' αὐτὸ δὲν ἔχω νὰ ἐλεήσω ὅσους πλησιάζουν. Τί λέγεις; Τρέφεις παιδιὰ καὶ γι' αὐτὸ δὲν ἐλεεῖς ἐκείνους ποὺ σὲ πλησιάζουν; Γι' αὐτὰ ἀκριβῶς πρέπει νὰ ἐλεεῖς τοὺς φτωχούς, γιὰ τὰ παιδιὰ καὶ τὴν προστασία τους, γιὰ νὰ κάνεις μὲ λίγα χρήματα εὐμενὴ τὸ Θεὸ ποὺ σοῦ τὰ ἔδωσε, γιὰ νὰ ἀφήσεις ἐκεῖνον προστάτη σ' αὐτὰ καὶ μετὰ τὸ θάνατό σου, γιὰ νὰ ἀποσπάσεις γι' αὐτὰ πολλὴ φροντίδα ἀπὸ τοὺς οὐρανοὺς ξοδεύοντας γιὰ τὸ Θεὸ ἀπὸ τὰ χρήματα αὐτά. Δὲ βλέπεις ὅτι πολλοὶ περιέλαβαν πολλὲς φορὲς στὶς διαθῆκες τους ἀνθρώπους ποὺ εἶναι πλούσιοι καὶ κατέχουν ἀξιώματα, χωρὶς νὰ εἶναι ἀπὸ πουθενὰ συγγενεῖς τους, καὶ τοὺς ἔκαμαν συγκληρονόμους μὲ τὰ παιδιά τους, γιὰ τίποτε ἄλλο, ἀλλὰ μόνο γιὰ νὰ ἐξασφαλίσουν τὰ παιδιά τους μὲ λίγα χρήματα; Καὶ αὐτὸ γίνεται χωρὶς νὰ γνωρίζουν πῶς θὰ συμπεριφερθοῦν στὰ παιδιά τους μετὰ τὸ θάνατό τους ἐκεῖνοι ποὺ ἔγιναν μέτοχοι τῆς κληρονομιᾶς τους.

Σὺ λοιπὸν, γνωρίζοντας τὴ φιλανθρωπία, τὴν ἀγαθότητα

σοῦ Δεσπότου, οὐ ποιήσεις αὐτὸν κοινὸν τῆς διαθήκης τῆς σῆς; οὐ ποιήσεις αὐτὸν συγκληρονόμον τῶν παίδων τῶν σῶν; καὶ ποῦ ταῦτα πατρός, εἰπέ μοι, παῖδας φιλοῦντος; Εἰ γὰρ κήδῃ τῶν τεχθέντων παίδων, κατάλειπε γραμματεῖον αὐτοῖς, ἐν ᾧ τὸν Θεὸν ἔχεις ὑπεύθυνον. Τοῦτο μεγίστη κληρονομία, τοῦτο κόσμος, τοῦτο ἀσφάλεια. Εἰσάγαγε αὐτὸν εἰς τὴν κληρονομίαν τὴν ἐνταῦθα, ἵνα σε μετὰ τῶν παίδων εἰς τὴν κληρονομίαν ἀντεισαγάγῃ τὴν ἐκεῖ. Οὗτος ὁ κληρονόμος γενναῖος, φιλάνθρωπος, χρηστός, δυνατός, πλούσιος, ὥστε κατ᾽ οὐδὲν ἔστιν ὑποπτεῦσαι τὴν κοινωνίαν αὐτοῦ. Διὰ τοῦτο καὶ σπόρος ἡ ἐλεημοσύνη καλεῖται, ἐπειδὴ οὐκ ἔστι δαπάνη τὸ πρᾶγμα, ἀλλὰ πρόσοδος· σὺ δέ, ὅταν μὲν σπείρειν δέῃ οὐ προσέχεις ὅτι κενοῖς τὰ ταμιεῖα τῶν παλαιῶν γεννημάτων, ἀλλὰ προσέχεις τῷ μηδέπω παρόντι τῶν γεννημάτων ἀμητῷ· καὶ ταῦτα, οὐκ εἰδώς, ὅτι πάντως ἐκβήσεται. Καὶ γὰρ καὶ ἐρυσίβη καὶ χάλαζα καὶ ἀκρὶς καὶ ἀέρων ἀνωμαλία καὶ πολλὰ τῆς ἐλπίδος ἡμᾶς ἀντικρούει τῆς μελλούσης, εἰς δὲ τὸν οὐρανὸν μέλλων σπείρειν, ὅπου πᾶσα μὲν ἀνωμαλία ἀέρων ἐκβέβληται, πάσης δὲ λύπης καὶ ἐπιβουλῆς ἀνῄρηται πρόφασις, ὀκνεῖς καὶ ἀναδύῃ; Καὶ ποίαν εὑρήσεις συγγνώμην, ὅταν εἰς μὲν τὴν γῆν καταβάλλων θαρρῇς καὶ μετὰ προθυμίας τοῦτο ποιῇς, εἰς δὲ τὴν χεῖρα τοῦ Θεοῦ μέλλων καταβάλλειν, ὀκνεῖς καὶ ἀμελεῖς; Εἰ γὰρ ἡ γῆ τὰ καταβληθέντα ἀποδίδωσι, πολλῷ μᾶλλον ἡ τοῦ Θεοῦ χείρ, ἅπερ δέξηται, μετὰ πάσης ἀποδώσει σοι τῆς περιουσίας.

10. Ταῦτ᾽ οὖν εἰδότες, μὴ τῇ δαπάνῃ προσέχωμεν ὅταν ἐλεημοσύνην ποιῶμεν, ἀλλὰ τῇ προσόδῳ καὶ ταῖς μελλούσαις ἐλπίσι καὶ τῷ παρόντι δὲ κέρδει· οὐ γὰρ βασιλείαν οὐρανῶν ἐλεημοσύνη προξενεῖ μόνον, ἀλλὰ καὶ τὴν κατὰ τὸν παρόντα βίον ἀσφάλειάν τε καὶ ἀφθονίαν. Τίς ταῦτά φησιν; Αὐτὸς ὁ ταῦτα δοῦναι Κύριος. Ὁ γὰρ τὰ αὐτοῦ πένησι, φησί, δούς, ἑκατονταπλασίονα

20. Ἐρυσίβη· ἀρρώστια τῶν φυτῶν καὶ ἰδιαίτερα τῶν σιτηρῶν.

καὶ τὴν καλωσύνη τοῦ Κυρίου σου, δὲ θὰ τὸν κάνεις μέτοχο τῆς διαθήκης σου; δὲ θὰ τὸν κάνεις συγκληρονόμο τῶν παιδιῶν σου; Καὶ πῶς αὐτά, πές μου, θὰ θεωρηθοῦν ἀπόδειξη πατέρα ποὺ ἀγαπάει τὰ παιδιά του; Ἂν λοιπὸν φροντίζεις γιὰ τὰ παιδιά σου, ἄφησε σ' αὐτὰ διαθήκη, στὴν ὁποία ἔχεις ὑπεύθυνο τὸ Θεό. Αὐτὴ εἶναι ἡ πιὸ μεγάλη κληρονομιά, αὐτὴ εἶναι τὸ στολίδι τους, αὐτὴ εἶναι ἡ ἀσφάλειά τους. Συμπερίλαβέ τον στὴν ἐδῶ κληρονομιά, γιὰ νὰ σὲ συμπεριλάβει μαζὶ μὲ τὰ παιδιά σου στὴν ἐκεῖ κληρονομιά. Αὐτὸς ὁ κληρονόμος εἶναι γενναῖος, φιλάνθρωπος, ἀγαθός, δυνατός, πλούσιος· συνεπῶς μὲ κανένα τρόπο δὲν εἶναι δυνατὸ νὰ θεωρήσεις ὕποπτη τὴ συμμετοχή του. Γι' αὐτὸ καὶ σπόρος ὀνομάζεται ἡ ἐλεημοσύνη, ἐπειδὴ τὸ πράγμα δὲν εἶναι δαπάνη ἀλλὰ ἔσοδο. Ἐσὺ ὅμως ὅταν πρέπει νὰ σπείρεις δὲ βλέπεις ὅτι ἀδειάζεις τὶς ἀποθῆκες ἀπὸ τὰ γεννήματα, ἀλλὰ βλέπεις στὸ μελλοντικὸ θερισμὸ τῶν σπαρτῶν, τὴ στιγμὴ μάλιστα ποὺ δὲν ξέρεις ὅτι ὁπωσδήποτε θὰ γίνει. Γιατὶ πραγμτικὰ καὶ ἡ ἐρυσίβη[20] καὶ τὸ χαλάζι καὶ οἱ ἀκρίδες καὶ οἱ καιρικὲς μεταβολὲς καὶ πολλὰ ἄλλα ἐμποδίζουν τὴ μελλοντική μας ἐλπίδα. Ὅταν ὅμως πρόκειται νὰ σπείρεις στὸν οὐρανό, ἀπὸ ὅπου ἔχει ἀπομακρυνθεῖ κάθε καιρικὴ μεταβολὴ καὶ ἔχει ἐξαφανισθεῖ ἡ πρόφαση γιὰ κάθε λύπη καὶ ἐπιβουλή, διστάζεις καὶ δειλιάζεις; Καὶ ποιά συγγνώμη θὰ βρεῖς, ὅταν σπέρνοντας στὴ γῆ ἐλπίζεις καὶ τὸ κάνεις αὐτὸ μὲ προθυμία, ἐνῶ ὅταν πρόκειται νὰ σπείρεις στὸ χέρι τοῦ Θεοῦ διστάζεις καὶ ἀδιαφορεῖς; Γιατὶ ἂν ἡ γῆ σοῦ ἐπιστρέφει ὅσα ἔσπειρες, πολὺ περισσότερο τὸ χέρι τοῦ Θεοῦ θὰ σοῦ ἐπιστρέψει πολὺ ἄφθονα ἐκεῖνα ποὺ θὰ δεχθεῖ.

10. Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴν προσέχουμε στὴ δαπάνη ὅταν κάνουμε ἐλεημοσύνη, ἀλλὰ στὸ ἔσοδο καὶ στὶς μελλοντικὲς ἐλπίδες καὶ στὸ κέρδος τῆς παρούσας ζωῆς· γιατὶ ἡ ἐλεημοσύνη δὲ μᾶς δίνει μόνο τὴ βασιλεία τῶν οὐρανῶν ἀλλὰ καὶ τὴν ἀσφάλεια καὶ τὸν πλοῦτο στὴν παρούσα ζωή. Ποιός τὰ λέγει αὐτά; Ὁ ἴδιος ὁ Κύριος ποὺ τὰ δίνει. Γιατί, λέγει, ὅποιος ἔδωσε τὰ ὑπάρχοντά του στοὺς φτωχούς, θὰ πάρει ἑκατὸ φορὲς

λήψεται ἐν τῷ αἰῶνι τούτῳ καὶ ζωὴν αἰώνιον κληρονομήσει. Ὁρᾷς ἐν ἑκατέρᾳ τῇ ζωῇ τὰς ἀμοιβὰς διδομένας μετὰ πολλῆς τῆς περιουσίας;

Μὴ τοίνυν ὀκνῶμεν μηδὲ ἀναβαλλώμεθα, ἀλλὰ καθ' ἑκάστην τὸν τῆς ἐλεημοσύνης καρπὸν φέρωμεν, ἵνα καὶ τὰ παρόντα ἡμῖν πράγματα κατὰ ροῦν φέρηται καὶ τῆς μελλούσης ἐπιτύχωμεν ζωῆς, ἧς γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

21. Ματθ. 19,29.

περισσότερα στὴ ζωὴ αὐτὴ καὶ θὰ κληρονομήσει τὴν αἰώνια ζωή[21]. Βλέπεις πῶς οἱ ἀμοιβὲς καὶ στὴ μία καὶ στὴν ἄλλη ζωὴ δίνονται πολὺ πλούσιες;

Ἂς μὴ διστάζουμε λοιπὸν καὶ ἂς μὴν ἀναβάλλουμε, ἀλλὰ κάθε ἡμέρα ἂς φέρουμε τὸν καρπὸ τῆς ἐλεημοσύνης, γιὰ νὰ μᾶς ἔρχονται εὐνοϊκὰ τὰ παρόντα πράγματα καὶ γιὰ νὰ ἐπιτύχουμε τὴ μέλλουσα ζωή, στὴν ὁποία εὔχομαι ὅλοι μας νὰ πάρουμε μέρος μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο μαζὶ μὲ τὸν Πατέρα καὶ συγχρόνως καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΡΗΣΙΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ», ΚΑΙ ΔΙΑ ΤΙ ΚΟΙΝΗι ΠΑΝΤΕΣ ΑΠΟΛΑΜΒΑΝΟΥΣΙ ΤΑ ΑΓΑΘΑ,

ΚΑΙ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ



ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΠΑΛΙΝ ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΡΗΣΙΝ

«ΕΧΟΝΤΕΣ ΔΕ ΤΟ ΑΥΤΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΕΩΣ, ΚΑΤΑ ΤΟ ΓΕΓΡΑΜΜΕΝΟΝ· ΚΑΙ ΔΙΑ ΤΙ ΚΟΙΝΗι ΠΑΝΤΕΣ ΑΠΟ-λαμβάνουσι τὰ ἀγαθά, καὶ περὶ ἐλεημοσύνης

1. Τῇ προτέρᾳ συνάξει καὶ τῇ πρὸ ἐκείνης μίαν τοῦ Ἀποστόλου ρῆσιν ἀπολαβόντες, εἰς τὴν ἐξήγησιν ταύτης ἅπαντα τὸν λόγον ἀνηλώσαμεν· καὶ τήμερον δὲ τῇ αὐτῇ ταύτῃ πάλιν ἐνδιατρίψαι σπουδάζομεν· ποιοῦμεν δὲ τοῦτο ἐπίτηδες πρὸς ὠφέλειαν τῆς ὑμετέρας ἀγάπης, οὐ πρὸς ἐπίδειξιν τὴν ἡμετέραν. Οὐ γὰρ ἵνα γόνιμόν τινα καὶ πολύνουν ἐμαυτὸν ἀποφήνω, ἀλλ' ἵνα καὶ τὴν Παύλου σοφίαν ὑμῖν ἐκκαλύψω καὶ τὴν ὑμετέραν διεγείρω προθυμίαν, οὕτω μεταχειρίζω τὸν λόγον. Τό τε γὰρ βάθος τῆς ἐκείνου συνέσεως φαίνεται μειζόνως, ὅταν ἐκ μιᾶς ρήσεως τοσούτους ἡμῖν τίκτῃ ποταμοὺς νοημάτων, ὑμεῖς τε μαθόντες, ὅτι καὶ ἀπὸ μιᾶς λέξεως ἀποστολικῆς ἄφατον ἔστι καρπώσασθαι φιλοσοφίας πλοῦτον, οὐ παραδραμεῖσθε τὰς Ἐπιστολὰς ἁπλῶς, ἀλλὰ προαχθήσεσθε, ταῖς ἐλπίδι ταύταις τρεφόμενοι, τῶν ἐγκειμένων ρήσεων ἑκάστην μετὰ πολλῆς περιεργάζεσθαι τῆς σπουδῆς.

Εἰ γὰρ μία λέξις τριῶν ἡμερῶν διάλεξιν ἡμῖν ἔτεκε, πόσον ἡμῖν ἀναβλύσει θησαυρὸν ὁλόκληρος περικοπὴ μετὰ ἀκριβείας θεωρουμένη; Μὴ τοίνυν ἀποκάμωμεν, ἕως ἂν τὸ πᾶν ἀποτρυγήσωμεν. Εἰ γὰρ οἱ μέταλλα διορύττοντες χρυσίου, ὅσον ἂν ἐκεῖθεν κενώσωσι πλοῦτον, οὐ πρότερον ἀφίστανται, ἕως ἂν τὸ



ΟΜΙΛΙΑ ΤΡΙΤΗ

ΣΤΟ ΙΔΙΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΕΠΕΙΔΗ ΕΧΟΥΜΕ ΤΟ ΙΔΙΟ ΠΝΕΥΜΑ ΤΗΣ ΠΙΣΤΗΣ», ΣΥΜΦΩΝΑ Μ' ΕΚΕΙΝΟ ΠΟΥ ΑΝΑΦΕΡΕΙ Η ΓΡΑΦΗ», ΓΙΑΤΙ ΟΛΟΙ ΑΠΟΛΑΜ-βάνουμε ἀπὸ κοινοῦ τὰ ἀγαθά, καὶ γιὰ τὴν ἐλεημοσύνη

1. Στὴν προηγούμενη σύναξη καὶ στὴν προπροηγούμενη πῆρα ἕνα ρητὸ τοῦ ἀποστόλου καὶ ἀφιέρωσα στὴν ἐξήγησή του ὅλη τὴν ὁμιλία μου· καὶ σήμερα ἐπιθυμῶ καὶ πάλι ν' ἀσχοληθῶ μὲ τὸ ἴδιο ρητό. Τὸ κάνω αὐτὸ σκόπιμα γιὰ ὠφέλεια δική σας καὶ ὄχι γιὰ ἐπίδειξη δική μου. Γιατὶ χρησιμοποιῶ τὸ λόγο ὄχι γιὰ ν' ἀποδείξω τὸν ἑαυτό μου σοφὸ καὶ ἔξυπνο, ἀλλὰ γιὰ νὰ σᾶς ἀποκαλύψω τὴ σοφία τοῦ Παύλου καὶ νὰ παρακινήσω τὴν προθυμία σας. Γιατὶ καὶ τὸ βάθος τῆς σοφίας ἐκείνου φαίνεται καλύτερα, ὅταν ἀπὸ ἕνα ρητὸ μᾶς γεννάει τόσους πολλοὺς ποταμοὺς νοημάτων, καὶ σεῖς, μαθαίνοντας ὅτι καὶ ἀπὸ μιὰ μόνο ἀποστολικὴ λέξη εἶναι δυνατὸ νὰ κερδίσει κανεὶς ἀνέκφραστο πλοῦτο φιλοσοφίας, δὲ θὰ προσπερνᾶτε ἐπιπόλαια τὶς ἐπιστολές, ἀλλὰ θὰ πεισθεῖτε, τρεφόμενοι μὲ τὶς ἐλπίδες αὐτές, νὰ ἐξετάζετε μὲ πολλὴ προσοχὴ κάθε ρητὸ ποὺ βρίσκεται μέσα σ' αὐτές.

Ἂν λοιπὸν μιὰ λέξη μᾶς γέννησε ὁμιλία τριῶν ἡμερῶν, πόσο θησαυρὸ θὰ μᾶς ἀναβλύσει μία ὁλόκληρη περικοπὴ ποὺ ἐξετάζεται μὲ προσοχή; Ἂς μὴ σταματήσουμε λοιπὸν ὥσπου νὰ τὰ τρυγήσουμε ὅλα. Γιατί, ἂν αὐτοὶ ποὺ σκάβουν γιὰ χρυσάφι, ὅσο πολὺ πλοῦτο καὶ ἂν βγάλουν ἀπὸ ἐκεῖ, δὲν φεύγουν πρὶν

πᾶν ἀνέλωνται χρυσίον, πολλῷ μᾶλλον ἡμᾶς μείζονι προθυμίᾳ κεχρῆσθαι δεῖ καὶ σπουδῇ περὶ τὴν τῶν θείων λογίων ἔρευναν. Καὶ γὰρ καὶ ἡμεῖς χρυσίον ὀρύττομεν, οὐκ αἰσθητὸν ἀλλὰ πνευματικόν· οὐ γὰρ μέταλλα γῆς, ἀλλὰ μέταλλα τοῦ Πνεύματος ἐργαζόμεθα. Αἱ γὰρ ἐπιστολαὶ τοῦ Παύλου τοῦ Πνεύματός εἰσι μέταλλα καὶ πηγαί· μέταλλα μέν, ὅτι χρυσίου παντὸς τιμιώτερον ἡμῖν παρέχουσι πλοῦτον· πηγαὶ δέ, ὅτι οὐδέποτε ἐπιλείπουσιν, ἀλλ' ὅσον ἂν κενώσῃς ἐκεῖθεν, τοσοῦτον καὶ πολλῷ πλέον ἐπιρρεῖ πάλιν.

Καὶ τούτου γένοιτ' ἂν ἀπόδειξις σαφὴς ὁ χρόνος ὁ παρελθὼν ἅπας. Ἐξ οὗ γοῦν Παῦλος ἐγένετο πεντακόσια λοιπὸν ἔτη παρῆλθε· καὶ τοῦτον ἅπαντα τὸν χρόνον πολλοὶ μὲν συγγραφεῖς πολλοὶ δὲ διδάσκαλοι καὶ ἐξηγηταὶ πολλὰ πολλάκις ἐκεῖθεν ἐξήντλησαν καὶ τὸν ἀποκείμενον οὐκ ἐκένωσαν πλοῦτον. Οὐ γὰρ αἰσθητὸς ὁ θησαυρός· διὰ τοῦτο οὐκ ἀναλίσκεται τῇ τῶν ὀρυττόντων πολυχειρίᾳ, ἀλλ' αὔξεται καὶ πλεονάζει. Καὶ τί λέγω τοὺς ἔμπροσθεν; Πόσοι μεθ' ἡμᾶς ἐροῦσι καὶ μετ' ἐκείνους ἕτεροι πάλιν καὶ οὐ παύσεται πηγάζων ὁ πλοῦτος οὐδὲ ἐπιλείψει ταύτῃ τὰ μέταλλα; πνευματικὰ γάρ ἐστι καὶ οὐ πέφυκε δαπανᾶσθαί ποτε. Τίς οὖν ἐστιν ἡ ῥῆσις ἡ ἀποστολική, περὶ ἧς καὶ πρῴην πρὸς τὴν ὑμετέραν ἀγάπην διελέχθημεν; «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα».

2. Τότε μὲν οὖν ἐζητοῦμεν, τίνος ἕνεκεν εἴρηκε, «Πνεῦμα πίστεως τὸ αὐτό», καὶ μίαν αἰτίαν τέως εἰρήκαμεν· αὕτη δὲ ἦν, τὸ δεῖξαι σύμφωνον τῇ Καινῇ τὴν Παλαιὰν οὖσαν. Ὅταν γὰρ φαίνηται τὸ Πνεῦμα τῆς πίστεως τὸ αὐτὸ καὶ τὴν τοῦ Δαυῒδ κινῆσαν γλῶτταν τὴν λέγουσαν, «ἐπίστευσα, διὸ ἐλάλησα», καὶ εἰς τὴν τοῦ Παύλου ψυχὴν ἐνεργοῦν, εὔδηλον, ὅτι πολλὴ συγγένεια προφητῶν καὶ ἀποστόλων, καὶ ἀνάγκη πολλὴν Παλαιᾶς καὶ Καινῆς εἶναι τὴν συμφωνίαν. Ἀλλ' ἵνα μὴ πάλιν τὰ αὐτὰ ἀνακι-

1. Β' Κορ. 4,13.
2. Ψαλμ. 115,10.

νὰ σηκώσουν ὅλο τὸ χρυσάφι, πολὺ περισσότερο πρέπει νὰ δείξουμε ἐμεῖς μεγαλύτερη προθυμία καὶ ἐνδιαφέρον γιὰ τὴν ἔρευνα τῶν θείων λόγων. Γιατὶ πραγματικὰ καὶ ἐμεῖς γιὰ χρυσάφι σκάβουμε, ὄχι ὑλικὸ ἀλλὰ πνευματικό· δὲν ἐπεξεργαζόμαστε, μέταλλα τῆς γῆς ἀλλὰ μέταλλα τοῦ Πνεύματος. Γιατὶ οἱ ἐπιστολὲς τοῦ Παύλου εἶναι μέταλλα καὶ πηγὲς τοῦ Πνεύματος. Εἶναι μέταλλα γιατὶ μᾶς δίνουν πλοῦτο ἀκριβότερο ἀπὸ ὅλο τὸ χρυσάφι· καὶ εἶναι πηγὲς γιατὶ ποτὲ δὲ στερεύουν, ἀλλὰ ὅσο καὶ ἂν ἀδειάσεις ἀπὸ ἐκεῖ, τόσο καὶ πολὺ περισσότερο τρέχει πάλι.

Καὶ γι' αὐτὸ θὰ μποροῦσε νὰ γίνει σαφὴς ἀπόδειξη ὅλος ὁ χρόνος ποὺ πέρασε. Ἀπὸ τότε λοιπὸν ποὺ γεννήθηκε ὁ Παῦλος πέρασαν ἤδη πεντακόσια χρόνια· καὶ σὲ ὅλο αὐτὸ τὸ διάστημα πολλοὶ συγγραφεῖς καὶ διδάσκαλοι καὶ ἐρευνητὲς ἄντλησαν πολλὲς φορὲς πολλὰ ἀπὸ ἐκεῖ, καὶ ὅμως δὲν ἄδειασαν τὸν πλοῦτο ποὺ ὑπάρχει μέσα στὶς ἐπιστολές. Γιατὶ ὁ θησαυρὸς δὲν εἶναι ὑλικὸς καὶ γι' αὐτὸ δὲν ξοδεύεται ἀπὸ τοὺς πολλοὺς ἐργάτες ἀλλὰ αὐξάνεται καὶ περισσεύει. Καὶ γιατί λέγω γιὰ τοὺς προηγούμενους; Πόσοι ὕστερα ἀπὸ μᾶς καὶ πόσοι ἄλλοι πάλι ὕστερα ἀπ' αὐτοὺς θὰ κηρύξουν καὶ δὲ θὰ σταματήσει νὰ πηγάζει ὁ πλοῦτος οὔτε θὰ τελειώσουν ἔτσι τὰ μέταλλα; Ποιό λοιπὸν εἶναι τὸ ἀποστολικὸ ρητὸ γιὰ τὸ ὁποῖο καὶ στὶς προηγούμενες ὁμιλίες μίλησα στὴν ἀγάπη σας; «Ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης σύμφωνα μ' ἐκεῖνο ποὺ ἀναφέρει ἡ Γραφή· πίστεψα καὶ γι' αὐτὸ μίλησα».

2. Τότε λοιπὸν ζητοῦσα νὰ βρῶ γιὰ ποιό λόγο εἶπε, «τὸ ἴδιο πνεῦμα τῆς πίστης», καὶ ἀνέφερα μιὰ αἰτία. Καὶ αὐτὴ ἦταν, τὸ νὰ δείξει πὼς ἡ Παλαιὰ Διαθήκη εἶναι σύμφωνη μὲ τὴν Καινή. Ὅταν λοιπὸν τὸ ἴδιο πνεῦμα τῆς πίστης φαίνεται ὅτι κίνησε καὶ τὴ γλώσσα τοῦ Δαβὶδ ποὺ λέγει, «πίστεψα καὶ γι' αὐτὸ μίλησα»[2] καὶ ὅτι ἐνεργεῖ καὶ στὴν ψυχὴ τοῦ Παύλου, εἶναι ὁλοφάνερο ὅτι ὑπάρχει μεγάλη συγγένεια προφητῶν καὶ ἀποστόλων καὶ εἶναι ἀνάγκη νὰ ὑπάρχει μεγάλη συμφωνία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης. Ἀλλὰ γιὰ νὰ μὴ σᾶς ἐνοχλῶ ἀνακινώντας πάλι τὰ ἴδια, ἐμπρὸς νὰ ποῦμε καὶ τὴν ἄλλη αἰτία

νοῦντες ἐνοχλῶμεν ὑμῖν, φέρε καὶ τὴν ἑτέραν αἰτίαν εἴπωμεν, δι' ἣν εἴρηκε, «τὸ αὐτό»· καὶ γὰρ καὶ τότε ὑμῖν ὑπεσχόμεθα ἑτέραν αἰτίαν ἐρεῖν τῆς ῥήσεως ταύτης. Ἀλλὰ διανάστητε· βαθὺ γὰρ τὸ νόημα τοῦτό ἐστιν, ὃ μέλλω λέγειν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ διορατικῆς δεόμενον διανοίας καὶ ὀξυτάτης ψυχῆς· διό, παρακαλῶ, μετὰ ἀκριβείας παρακολουθεῖν τοῖς ῥηθήσεσθαι μέλλουσιν. Εἰ γὰρ ἡμέτερος ὁ πόνος, ἀλλ' ὑμέτερον τὸ κέρδος· μᾶλλον δὲ οὐδὲ ἡμέτερος ὁ πόνος ἀλλὰ τῆς τοῦ Πνεύματος χάριτος ἡ δωρεά· ὅταν δὲν ἀποκαλύψῃ, οὔτε ὁ λέγων οὔτε οἱ ἀκούοντες κάμνουσι· πολλὴ γὰρ τῆς ἀποκαλύψεως ἡ εὐκολία.

Πρόσχωμεν τοίνυν μετὰ ἀκριβείας· κἂν γὰρ τοῖς πλείοσι παρακολουθήσητε, περὶ δὲ βραχὺ μέρος ἀπονυστάξητε, τὸ πᾶν ἀγνοήσετε τοῦ κάλλους, διακοπείσης τῆς ἀκολουθίας λοιπόν. Καὶ καθάπερ οἱ τὰς ὁδοὺς ἀγνοοῦντες καὶ ἑτέρων δεόμενοι τῶν ὁδηγούντων, κἂν πολὺ προέλθωσιν ἀκολουθοῦντες αὐτοῖς, μικρὸν δὲ ἀποῤῥᾳθυμήσαντες ἀπολέσωσι τὸν ἡγούμενον, οὐδὲν αὐτοῖς ὄφελος ἔσται τῆς προτέρας ἀκολουθήσεως, ἀλλ' ἵστανται λοιπόν, οὐκ εἰδότες ὅπου προέλθωσιν, οὕτω καὶ οἱ τῷ λέγοντι παρακολουθοῦντες, ἐὰν παρὰ πᾶσαν τὴν διδασκαλίαν προσέχοντες μικρὸν ῥᾳθυμήσωσιν, ἅπασαν τὴν ἀκολουθίαν ῥίψαντες, οὐκ ἔτι λοιπὸν ἐπιστῆναι τῷ τέλει τῶν νοημάτων δυνήσονται. Ἵν' οὖν μὴ τοῦτο πάθητε, διὰ πάντων τῶν μελλόντων ῥηθήσεται τὴ ἴσην μοι παρέχετε σπουδήν, ἕως ἂν εἰς αὐτὸ τὸ τέλος ἔλθωμεν.

3. Τίνος οὖν ἕνεκεν εἴρηκεν, «ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως», καὶ σπουδάζει δεῖξαι καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ πίστιν οὖσαν τὴν μητέρα τῶν ἀγαθῶν, μικρὸν ἄνωθεν ἀναγκαῖον εἰπεῖν· οὕτω γὰρ ἔσται κατάδηλος ἡμῖν ἡ αἰτία μᾶλλον. Τίς οὖν ἐστιν ἡ αἰτία; Πολὺς πόλεμος περιειστήκει τοὺς πιστοὺς ἡνίκα ταῦτα ἐλέγετο, πόλεμος χαλεπὸς καὶ ἀκήρυκτος. Καὶ γὰρ καὶ πόλεις αὐτοῖς ὁλόκληροι καὶ δῆμοι πάντοθεν ἐπανίσταντο, καὶ τύραννοι πάντες ἐπεβούλευον, καὶ βασιλεῖς παρε-

γιὰ τὴν ὁποία εἶπε, «τὸ ἴδιο». Γιατὶ καὶ τότε σᾶς ὑποσχέθηκα ὅτι θὰ σᾶς πῶ καὶ κάποια ἄλλη αἰτία αὐτοῦ τοῦ ρητοῦ. Ἀλλὰ συγκεντρωθεῖτε, γιατὶ τὸ νόημα αὐτὸ ποὺ πρόκειται νὰ πῶ στὴν ἀγάπη σας εἶναι βαθὺ καὶ χρειάζεται καθαρὸ νοῦ καὶ ὀξύτατη ψυχή. Γι' αὐτό, σᾶς παρακαλῶ, νὰ παρακολουθεῖτε μὲ προσοχὴ αὐτὰ ποὺ πρόκειται νὰ λεχθοῦν. Γιατὶ ἂν ὁ κόπος εἶναι δικός μου, τὸ κέρδος ὅμως εἶναι δικό σας· ἢ καλύτερα οὔτε δικός μου εἶναι ὁ κόπος ἀλλὰ ἡ δωρεὰ ἀνήκει στὴ χάρη τοῦ Πνεύματος· καὶ ὅταν αὐτὸ ἀποκαλύψει κάτι, οὔτε ὁ ὁμιλητὴς οὔτε οἱ ἀκροατὲς κουράζονται, γιατὶ εἶναι μεγάλη ἡ εὐκολία τῆς ἀποκάλυψης.

Ἂς προσέξουμε λοιπὸν μὲ ἀκρίβεια. Γιατὶ ἂν παρακολουθήσετε τὰ περισσότερα, ἀλλὰ νυστάξετε γιὰ ἕνα μικρὸ διάστημα, δὲ θὰ γνωρίσετε ὅλη τὴν ὀμορφιά, ἀφοῦ διακόπηκε ἔτσι ἡ συνέχεια. Καὶ ὅπως ἐκεῖνοι ποὺ δὲν ξέρουν τοὺς δρόμους καὶ χρειάζονται ἄλλους ὁδηγούς, ἔστω καὶ ἂν τοὺς ἀκολουθήσουν γιὰ πολύ, ἂν ἀπὸ ἀμέλεια χάσουν τὸν ὁδηγό τους, δὲ θὰ ὠφεληθοῦν καθόλου ἀπὸ τὸ ὅτι τοὺς ἀκολουθοῦσαν προηγουμένως, ἀλλὰ στέκονται χωρὶς νὰ γνωρίζουν πρὸς τὰ ποῦ νὰ βαδίσουν πιά, ἔτσι καὶ αὐτοὶ ποὺ παρακολουθοῦν τὸν ὁμιλητή, ἂν ἀδιαφορήσουν γιὰ λίγο ἔστω καὶ ἂν πρόσεχαν σὲ ὅλη τὴν ὑπόλοιπη ὁμιλία, δὲ θὰ μπορέσουν τότε νὰ κατανοήσουν τὴν οὐσία τῶν νοημάτων. Γιὰ νὰ μὴν πάθετε λοιπὸν αὐτό, δεῖξτε τὸ ἴδιο ἐνδιαφέρον γιὰ ὅσα πρόκειται νὰ λεχθοῦν, ὥσπου νὰ φθάσουμε στὸ τέλος.

3. Γιὰ ποιό λοιπὸν λόγο εἶπε, «ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης», καὶ γιὰ ποιό λόγο πασχίζει νὰ δείξει ὅτι καὶ στὴν Παλαιὰ καὶ στὴν Καινὴ Διαθήκη ἡ πίστη εἶναι ἡ μητέρα τῶν ἀγαθῶν, εἶναι ἀνάγκη νὰ φέρω τὸ λόγο μου λίγο στὴν ἀρχή· γιατὶ ἔτσι θὰ μᾶς καταστεῖ περισσότερο ὁλοφάνερη ἡ αἰτία. Ποιά λοιπὸν εἶναι ἡ αἰτία; Πολὺς πόλεμος περικύκλωνε τοὺς πιστούς, ὅταν λέγονταν αὐτά, πόλεμος φοβερὸς καὶ ἀκήρυκτος. Γιατὶ πραγματικὰ ὁλόκληρες πόλεις καὶ λαοὶ ἀπὸ παντοῦ ξεσηκώνονταν ἐναντίον τους, ὅλοι οἱ τύραννοι τοὺς ἐπιβουλεύονταν,

σκευάζοντο, καὶ ὅπλα ἐκινεῖτο, καὶ ξίφη ἠκονᾶτο, καὶ στρατόπεδα ηὐτρεπίζετο, καὶ πᾶν εἶδος κολάσεως καὶ τιμωρίας ἐπενοεῖτο· ὅθεν ὑπαρχόντων ἁρπαγαὶ καὶ δημεύσεις, καὶ ἀπαγωγαὶ καὶ θάνατοι καθημερινοί, καὶ στρεβλώσεις, καὶ δεσμωτήρια, καὶ πῦρ, καὶ σίδηρος, καὶ θηρία, καὶ ξύλον, καὶ τροχός, καὶ βάραθρα, καὶ κρημνοί, καὶ πάντα τὰ εἰς ἐπίνοιαν πρὸς τὸν τῶν πιστῶν ὄλεθρον ἐκινεῖτο· καὶ οὐδὲ μέχρι τούτων ὁ πόλεμος εἱστήκει.

Οὐδὲ γὰρ παρὰ τῶν ἐχθρῶν ἀνερριπίζετο μόνον, ἀλλὰ καὶ αὐτὴ καθ' ἑαυτῆς ἡ φύσις ἐσχίζετο. Καὶ γὰρ παισὶν ἐπολέμουν πατέρες, καὶ θυγατέρες ἐμίσουν τὰς κυησάσας, καὶ φίλοι φίλους ἀπεστρέφοντο, καὶ εἰς τὰς συγγενείας καὶ εἰς τὰς οἰκίας ὁ πόλεμος οὗτος ἕρπων εἰσῄει, καὶ θόρυβος ἦν τότε πολὺς κατὰ τὴν οἰκουμένην. Καὶ καθάπερ πλοῖον, κυμάτων διανισταμένων, νεφῶν συρρηγνυμένων, βροντῶν καταρρηγνυμένων, ζόφου πάντοθεν κυκλοῦντος τὸ σκάφος, τῆς θαλάσσης μαινομένης, θηρίων ἐπανισταμένων, πειρατῶν προσβαλλόντων, αὐτῶν τῶν ἔνδον στασιαζόντων, οὐκ ἂν διαφύγοι τὸν κίνδυνον, εἰ μὴ ἡ ἄνω χείρ, ἡ κραταιὰ καὶ μεγάλη, ἀποκρούσαιτο τὸν πόλεμον καὶ λύσασα τὸν χειμῶνα καταστήσειεν ἐν γαλήνῃ τοὺς πλέοντας, οὕτω δὴ καὶ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος γέγονεν. Οὐ γὰρ ἔξωθεν προσέβαλλεν ὁ χειμὼν μόνον, ἀλλὰ καὶ οἱ ἔνδον πολλάκις πρὸς ἀλλήλους ἐστασίαζον. Τίς τοῦτό φησιν; Αὐτὸς ὁ Παῦλος γράφων, «ἔξωθεν μάχαι, ἔσωθεν φόβοι».

Καὶ ὅτι ταῦτ' ἔστιν ἀληθῆ καὶ διδασκάλους καὶ μαθητὰς μυρία περιεστοίχιστο κακὰ καὶ πάντας ὁ πόλεμος ἐπενέμετο, αὐτοῦ πάλιν τοῦ Παύλου τὴν μαρτυρίαν παράγω. Ὑμεῖς δὲ μνημονεύετε τῶν λεγομένων ἁπάντων, ἵν' ὅταν μάθητε τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰ μυρία κακά, ἅπερ οἱ τότε πιστεύοντες ὑπέμενον, μειζόνως καὶ διὰ τοῦτο εὐχαριστῆτε τῷ

---

3. Β' Κορ. 7,5.

οἱ βασιλεῖς προετοιμάζονταν γιὰ πόλεμο, ὅπλα κινοῦνταν, ξίφη ἀκονίζονταν, στρατόπεδα ἑτοιμάζονταν, καὶ κάθε εἶδος βασανιστηρίου καὶ τιμωρίας ἐπινοοῦνταν. Ἔτσι συνέβαιναν ἁρπαγὲς καὶ δημεύσεις περιουσιῶν, συλλήψεις καὶ θάνατοι καθημερινοί, στρεβλώσεις, φυλακίσεις, φωτιὰ καὶ σίδερο καὶ θηρία καὶ ξύλο καὶ τροχὸς καὶ βάραθρα καὶ γκρεμοὶ καὶ ὅλα ὅσα σκέπτονταν τὰ χρησιμοποιοῦσαν γιὰ τὴν ἐξόντωση τῶν πιστῶν. Καὶ οὔτε σ' αὐτὰ σταμάτησε ὁ πόλεμος.

Γιατὶ ὁ πόλεμος δὲ διεγειρόταν μόνο ἀπὸ τοὺς ἐχθρούς, ἀλλὰ καὶ ἡ ἴδια ἡ φύση ξεσηκωνόταν ἐναντίον τοῦ ἑαυτοῦ της, Γιατὶ καὶ οἱ πατέρες πολεμοῦσαν μὲ τὰ παιδιά τους, οἱ θυγατέρες μισοῦσαν τὶς μητέρες τους, οἱ φίλοι ἀποστρέφονταν τοὺς φίλους, καὶ ὁ πόλεμος αὐτὸς ἔμπαινε σιγὰ–σιγὰ στοὺς συγγενεῖς καὶ στὰ σπίτια καὶ μεγάλη ταραχὴ ἐπικρατοῦσε τότε στὴν οἰκουμένη. Καὶ ὅπως ἕνα πλοῖο, ὅταν σηκώνονται τὰ κύματα καὶ συγκρούονται τὰ σύννεφα καὶ ξεσποῦν οἱ βροντὲς καὶ ἀπὸ παντοῦ τὸ σκοτάδι κυκλώνει τὸ σκάφος καὶ ἡ θάλασσα μαίνεται καὶ τὰ θηρία ὁρμοῦν καὶ οἱ πειρατὲς ἐπιτίθενται καὶ οἱ ἴδιοι οἱ ἐπιβαίνοντες στασιάζουν, δὲν μπορεῖ νὰ διαφύγει τὸν κίνδυνο, ἐκτὸς ἂν τὸ χέρι τοῦ Θεοῦ, τὸ ἰσχυρὸ καὶ μεγάλο, ἀπομακρύνει τὴ θαλασσοταραχὴ καὶ σταματώντας τὴν τρικυμία ἐπαναφέρει τὴ γαλήνη σ' ἐκείνους ποὺ ταξιδεύουν, ἔτσι ἀκριβῶς ἔγινε καὶ τότε στὴν ἀρχὴ τοῦ κηρύγματος. Γιατὶ ὄχι μόνο ἀπὸ ἔξω χτυποῦσε ἡ θύελλα, ἀλλὰ καὶ οἱ μέσα στὴν ἐκκλησία φιλονεικοῦσαν πολλὲς φορὲς μεταξύ τους. Ποιός τὸ λέγει αὐτό; Ὁ ἴδιος ὁ Παῦλος γράφοντας, «ἀπὸ ἔξω πόλεμοι, ἀπὸ μέσα φόβοι»[3].

Καὶ ὅτι αὐτὰ εἶναι ἀληθινὰ καὶ ὅτι ἄπειρα κακὰ εἶχαν περιστοιχίσει τοὺς διδασκάλους καὶ τοὺς μαθητὲς καὶ ὅτι ὁ πόλεμος διεγείρονταν ἐναντίον ὅλων, θὰ παρουσιάσω πάλι τὴ μαρτυρία τοῦ ἴδιου τοῦ Παύλου. Ἐσεῖς ὅμως νὰ θυμᾶστε ὅλα τὰ λεγόμενα, ὥστε, ὅταν μάθετε τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰ ἄπειρὰ κακὰ ποὺ οἱ τότε πιστοὶ ὑπέφεραν, νὰ εὐχαριστεῖτε γι' αὐτὸ περισσότερο τὸ Θεό, ποὺ ἔδωσε τέλος σὲ ὅλα ἐκεῖνα τὰ

Θεῷ, τῷ λύσαντι πάντα ἐκεῖνα τὰ δεινὰ καὶ εἰρήνην εἰσαγαγόντι βαθεῖαν καὶ τὸν πόλεμον ἀπελάσαντι καὶ πολλὴν κατασκευάσαντι τὴν γαλήνην, ἵνα μηδεὶς μήτε ῥᾳθυμῶν νομίζῃ διαφεύγειν τὴν κόλασιν, μήτε κατορθῶν ἐπαίρηται νῦν.

4. Οὐ γάρ ἐστιν ἴσον πανταχόθεν πολεμούμενον καὶ μυρίοις περιαντλούμενον κακοῖς δυνηθῆναι στῆναι γενναίως, καὶ καθάπερ ἐν λιμένι καθήμενον νῦν καὶ πάσης ἀπολαύοντα ἀδείας τὴν αὐτὴν ἐπιδείξασθαι προθυμίαν. Ἐκεῖνοι μὲν γὰρ τῶν ἐν πελάγει σαλευόντων τότε καὶ κλυδωνιζομένων οὐδὲν ἄμεινον διέκειντο, ἡμεῖς δὲ τῶν ἐν λιμένι καθημένων ἀδεέστερον διάγομεν νῦν. Μὴ τοίνυν μήτε ἐπὶ τοῖς κατορθώμασι μέγα φρονῶμεν, μήτε ἐπὶ τοῖς συμπίπτουσι πειρασμοῖς καταπίπτωμεν, μήτε εἰς ῥᾳθυμίαν τῇ τῆς εἰρήνης ἀδείᾳ ἀποχρώμεθα, ἀλλὰ νήφωμεν ἀεὶ καὶ γρηγορῶμεν. Ἔστι γὰρ καὶ ἡμῖν πάλη πρὸς τὰς ἐπιθυμίας τῆς φύσεως. Οὐκ ἐπανίστανται νῦν ἡμῖν ἄνθρωποι, ἀλλ' ἐπανίστανται αἱ τῆς σαρκὸς ἡδοναί· οὐ πολεμοῦσι τύραννοι καὶ βασιλεῖς, ἀλλὰ πολεμεῖ θυμός, κενοδοξίας ἔρως, φθόνος, βασκανίαι, καὶ τὰ μυρία τῆς ψυχῆς πάθη.

Ἐπεὶ οὖν ἐκείνων τῶν πειρασμῶν ἀπηλλάγμεθα, τούτων περιγενώμεθα. Διὰ γὰρ τοῦτο ἀνέμνησα ὑμᾶς τῶν καιρῶν ἐκείνων τὰ προσοχθίσματα, ἵνα καὶ ὁ ἐν θλίψει νῦν ὤν, ἱκανὴν ἐκεῖθεν λαμβάνῃ παράκλησιν, καὶ ὁ πολλῆς ἀπολαύων ἀδείας, ἀντὶ τῆς ἀτεχνίας τῶν κινδύνων ἐκείνων πολλὴν εἰσάξῃ προθυμίαν εἰς τὴν τῶν ἀτόπων λογισμῶν μάχην. Εἰς γὰρ ἡμετέραν νουθεσίαν καὶ παράκλησιν καὶ ὑπομονὴν πάντα ἐκεῖνα ἐγράφετο· ἅπερ ἀναγκαῖον νῦν πρὸς ὑμᾶς εἰπεῖν καὶ διδάξαι τὸ μέγεθος τῶν τότε τοὺς πιστοὺς περιεστηκότων δεινῶν, οὐχὶ τοὺς διδασκάλους μόνον, ἀλλὰ καὶ τοὺς μαθητάς. Ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος γράφων Ἑβραίοις· «ἀναμιμνήσκεσθε τὰς προ-

δεινὰ καὶ ἔφερε βαθειὰ εἰρήνη καὶ ἔδιωξε τὸν πόλεμο καὶ ἔκαμε μεγάλη τὴ γαλήνη, καὶ νὰ μὴ νομίζει κανεὶς πὼς γλυτώνει τὴν τιμωρία ὅταν εἶναι ἀδιάφορος, οὔτε πάλι νὰ καυχιέται ὅταν κατορθώνει τώρα τὴν ἀρετή.

4. Γιατὶ δὲν εἶναι τὸ πράγμα τὸ νὰ μπορέσει νὰ σταθεῖ κανεὶς γενναῖα ὅταν πολεμεῖται ἀπὸ παντοῦ καὶ καταποντίζεται σὲ ἄπειρα κακά, καὶ τὸ νὰ δείξει τὴν ἴδια προθυμία ὅταν κάθεται τώρα σὰν σὲ λιμάνι καὶ ἀπολαμβάνει κάθε ἀσφάλεια. Ἐκεῖνοι δηλαδὴ τότε δὲ βρίσκονταν καθόλου σὲ καλύτερη κατάσταση ἀπὸ ἐκείνους ποὺ κινδύνευαν καὶ κλυδωνίζονταν μέσα στὸ πέλαγος, ἐνῶ ἐμεῖς ζοῦμε τώρα ἀσφαλέστερα ἀπ' αὐτοὺς ποὺ βρίσκονται στὸ λιμάνι. Ἂς μὴν ὑπερηφανευόμαστε λοιπὸν γιὰ τὰ κατορθώματά μας καὶ ἂς μὴ χάνουμε τὸ θάρρος μας στοὺς πειρασμοὺς ποὺ μᾶς συμβαίνουν, οὔτε νὰ χρησιμοποιοῦμε τὴν ἀσφάλεια τῆς εἰρήνης γιὰ νὰ καταντοῦμε στὴ ραθυμία, ἀλλὰ πάντοτε νὰ εἴμαστε νηφάλιοι καὶ νὰ ἐπαγρυπνοῦμε. Γιατὶ ἔχουμε καὶ ἐμεῖς πόλεμο μὲ τὶς ἐπιθυμίες τῆς φύσης. Δὲ μᾶς ἐπιτίθενται τώρα ἄνθρωποι, ἀλλὰ οἱ ἡδονὲς τῆς σάρκας. Δὲ μᾶς πολεμοῦν τύραννοι καὶ βασιλεῖς, ἀλλὰ ὁ θυμός, ὁ ἔρωτας τῆς ματαιοδοξίας, ὁ φθόνος, οἱ βασκανίες καὶ τὰ ἄπειρα πάθη τῆς ψυχῆς·

Ἀφοῦ λοιπὸν ἀπαλλαχθήκαμε ἀπὸ τοὺς πειρασμοὺς ἐκείνους, ἂς νικήσουμε τώρα καὶ αὐτούς. Γι' αὐτὸ σᾶς θύμισα τὶς ταλαιπωρίες ἐκείνων τῶν χρόνων, γιὰ νὰ παρηγορηθεῖ ἀρκετὰ ἀπὸ ἐκεῖ ὅποιος βρίσκεται σὲ θλίψεις τώρα, καὶ ὅποιος ἀπολαμβάνει πολλὴ ἀσφάλεια νὰ δείξει ἀντὶ τῶν τότε ἀγώνων κατὰ τῶν κινδύνων ἐκείνων μεγάλη προθυμία στὴ μάχη τῶν παράλογων λογισμῶν. Γιατὶ ὅλα ἐκεῖνα γράφονταν γιὰ δική μας νουθεσία καὶ παρηγοριὰ καὶ ὑπομονή· αὐτὰ καὶ τώρα εἶναι ἀνάγκη νὰ τὰ πῶ σὲ σᾶς καὶ νὰ σᾶς ἀναφέρω τὸ μέγεθος τῶν συμφορῶν ποὺ περιστοίχιζαν τότε τοὺς πιστούς, ὄχι μόνο τοὺς διδασκάλους ἀλλὰ καὶ τοὺς μαθητές. Ἄκουσε λοιπὸν τί λέγει ὁ Παῦλος ὅταν γράφει στοὺς Ἑβραίους· «νὰ θυμᾶστε τὶς προηγούμενες

τέρας ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων».

Οὐδὲ γὰρ βραχὺς διεγένετο χρόνος, ἀλλ' ἐν αὐτοῖς εὐθὺς τοῖς προοιμίοις τῆς κατηχήσεως καὶ τῆς διδασκαλίας ἐπανέστησαν αὐτοῖς πειρασμοί, καὶ βαπτισθέντες εὐθέως ἐκινδύνευον· τί πάσχοντες, ἄκουε· «τοῦτο μέν, ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι». Πάντες γὰρ ἐνέπτυον, ὕβριζον, κατεγέλων, ἐχλεύαζον, μωροὺς ἐκάλουν, ἀνοήτους ὅτι τῆς πατρῴας ἀποστάντες πολιτείας, καινὸν δόγμα κατεδέξαντο. Οὐ μικρὸν δὲ τοῦτο πρὸς τὸ παρασαλεῦσαι ψυχήν, ἐὰν μὴ ἐρριζωμένη κατὰ βάθος ἡ πίστις ᾖ. Καὶ γὰρ οὐδὲν οὕτω δάκνει ψυχήν, ὡς ὄνειδος· οὐδὲν οὕτω τήκει ψυχὴν καὶ διάνοιαν, ὡς σκώμματα καὶ λοιδορίαι· πολλοὶ γὰρ πολλάκις ἄνδρες ὑπεσκελίσθησαν ὀνειδιζόμενοι.

Ταῦτα δὲ λέγω νῦν, ἵνα ἐν παρρησίᾳ τὴν πίστιν ἔχωμεν. Εἰ γὰρ τότε, ὅτε πᾶσα αὐτοῖς ὠνείδιζεν οἰκουμένη, οὐχ ὑπεσκελίσθηαν, πολλῷ μᾶλλον νῦν ἐν παρρησίᾳ τὸ κήρυγμα τῆς ἀληθείας ἔχειν δεῖ, ὅτε πᾶσα ἡ οἰκουμένη πρὸς ἡμᾶς μετετάξατο. Ὅτι δὲ οὐ μέχρι κατηγορίας καὶ ὀνειδισμῶν καὶ λοιδορίας ἵσταντο ἐκεῖνοι, ἀλλὰ καὶ ἔχαιρον οἱ ταῦτα πάσχοντες, ἄκουσον τῶν ἑξῆς. «Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν», φησί, «μετὰ χαρᾶς προσεδέξασθε». Ὁρᾷς ὅτι καὶ αἱ οὐσίαι αὐτῶν ἐδημεύοντο τὸ παλαιὸν καὶ πᾶσιν εἰς ἁρπαγὴν προέκειντο τοῖς βουλομένοις ἐπηρεάζειν. Καὶ ταῦτα μὲν Ἑβραίοις ἐπιστέλλων ἔλεγε.

5. Θεσσαλονικεῦσι δὲ ἕτερα τοιαῦτα μαρτυρεῖ πάλιν λέγων· «ὑμεῖς γὰρ μιμηταί», φησίν, «ἐγενήθητε τοῦ Κυρίου καὶ ἡμῶν, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ». Ὅρα καὶ τούτους θλιβομένους, καὶ οὐχὶ ἁπλῶς, ἀλλ' ἐν θλίψει πολλῇ. Μετ' ἐπιτάσεως γὰρ ἦν ὁ πειρασμός, διηνεκὴς ὁ κίνδυνος, οὐδὲ μικρὸν ἀναπνεῦσαι παρέχων τοῖς ἀγωνιζομένοις τότε. Ἀλλ' ὅμως καὶ ταῦτα πάσχοντες οὐκ ἐδυσχέραινον, οὐδὲ ἀπεδυσπέτουν, ἀλλὰ μᾶλλον

---

4. Ἑβρ. 10,32.
5. Ἑβρ. 10,33.
6. Ἑβρ. 10,34.
7. Α' Θεσ. 1,6.

ἡμέρες κατὰ τὶς ὁποῖες γνωρίσατε τὴν ἀλήθεια καὶ ἀγωνισθήκατε καὶ ὑπομείνατε πολλὰ παθήματα»[4].

Καὶ δὲν πέρασε πολὺς καιρός, ἀλλὰ ἀμέσως στὴν ἀρχὴ τῆς κατήχησης καὶ τῆς διδασκαλίας ἐξεγέρθηκαν ἐναντίον τους πειρασμοὶ καὶ μόλις βαπτίσθηκαν ἀμέσως κινδύνεψαν. Ἄκου τί πάθαιναν· «ἄλλους ἀπὸ σᾶς μὲ ὕβρεις καὶ μὲ διωγμοὺς τοὺς διαπόμπευαν»[5]. Γιατὶ ὅλοι τοὺς ἔφτυναν, τοὺς ἔβριζαν, τοὺς περιγελοῦσαν, τοὺς χλεύαζαν, τοὺς ἀποκαλοῦσαν μωροὺς καὶ ἀνόητους, γιατὶ ἀπομακρύνθηκαν ἀπὸ τὸν πατροπαράδοτο τρόπο ζωῆς καὶ δέχθηκαν ἕνα καινούριο δόγμα. Καὶ δὲν εἶναι μικρὸ αὐτὸ γιὰ νὰ ταλαντευθεῖ ἡ ψυχή, ἂν δὲν εἶναι ριζωμένη βαθιὰ ἡ πίστη. Γιατὶ πραγματικὰ τίποτε δὲν πληγώνει τόσο τὴν ψυχὴ ὅσο ἡ προσβολή· τίποτε δὲ λειώνει τόσο τὴν ψυχὴ καὶ τὸ νοῦ ὅσο οἱ ἐμπαιγμοὶ καὶ οἱ ὕβρεις. Πολλοὶ ἄνθρωποι πολλὲς φορὲς ἔπεσαν ἐπειδὴ ἐμπαίχθηκαν.

Αὐτὰ ὅμως τὰ λέγω τώρα γιὰ νὰ κρατοῦμε μὲ παρρησία τὴν πίστη μας. Γιατί, ἂν τότε ποὺ ὅλη ἡ οἰκουμένη τοὺς ἔβριζε δὲν ἔπεσαν, πολὺ περισσότερο τώρα ποὺ ὅλη ἡ οἰκουμένη ἦρθε σὲ μᾶς πρέπει νὰ δείχνουμε παρρησία γιὰ τὸ κήρυγμα τῆς ἀλήθειας. Καὶ ὅτι ἐκεῖνοι δὲ σταματοῦσαν στὶς κατηγορίες καὶ στοὺς ἐμπαιγμοὺς καὶ στὶς ὕβρεις, ἀλλὰ καὶ χαίρονταν ὅσοι τὰ πάθαιναν αὐτά, ἄκουσε τὰ ἑπόμενα. «Γιατὶ ὅταν σᾶς ἅρπαζαν τὰ ὑπάρχοντά σας», λέγει, «τὸ δεχόσασταν μὲ χαρά»[6]. Βλέπεις ὅτι ὁ περιουσίες τους δημεύονταν τὴ παλαιὰ ἐποχὴ καὶ ὅτι ἦταν στὴ διάθεση ὅλων ἐκείνων ποὺ ἤθελαν νὰ βλάψουν νὰ τὶς ἁρπάξουν. Καὶ αὐτὰ τὰ ἔλεγε ὅταν ἔγραφε στοὺς Ἑβραίους.

5. Στοὺς Θεσσαλονικεῖς πάλι μαρτυρεῖ ἄλλα παρόμοια λέγοντας· «καὶ σεῖς μιμηθήκατε τὸν Κύριο καὶ μᾶς, γιατὶ δεχθήκατε τὸ κήρυγμα μέσα σὲ πολλὲς θλίψεις»[7]. Πρόσεχε πῶς καὶ αὐτοὶ θλίβονται, καὶ ὄχι ἁπλῶς ἀλλὰ μὲ πολλὲς θλίψεις. Γιατὶ ὁ πειρασμὸς ἦταν ἔντονος, ὁ κίνδυνος διαρκὴς καὶ δὲν ἄφηνε οὔτε γιὰ λίγο τοὺς ἀγωνιστὲς τότε νὰ ἀναπνεύσουν. Ἀλλ' ὅμως ἂν καὶ πάθαιναν αὐτὰ δὲ δυσανασχετοῦσαν, οὔτε ἔχαναν τὸ θάρρος τους, ἀλλὰ καὶ χαίρονταν περισσότερο. Ἀπὸ ποῦ φαίνεται αὐτό;

καὶ ἔχαιρον. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν τοῦ Παύλου ρημάτων· εἰπὼν γάρ, «ἐν θλίψει πολλῇ», προσέθηκε, «μετὰ χαρᾶς Πνεύματος ἁγίου»· δηλῶν ὅτι οἱ μὲν πειρασμοὶ τὴν θλίψιν ἐποίουν, ἡ δὲ τῶν πειρασμῶν ὑπόθεσις τὴν χαρὰν αὐτοῖς ἔτικτεν. Ἤρκει γὰρ εἰς παραμυθίαν τὸ συνειδέναι ἑαυτοῖς, ὅτι ταῦτα διὰ τὸν Χριστὸν ἔπασχον. Διότι οὐχ οὕτω θαυμάζω τοὺς τότε ὅτι ἐθλίβοντο, ὡς θυμάζω ὅτι θλιβόμενοι διὰ τὸν Θεὸν ἔχαιρον. Τοῦτο γὰρ γενναίας καὶ φιλοθέου ψυχῆς, τὸ θλίβεσθαι καὶ κακῶς πάσχειν· τὸ δὲ γενναίως φέρειν τὸν πειρασμὸν καὶ τῷ συγχωροῦντι τὰς θλίψεις εὐχαριστεῖν, τοῦτο μεγίστης ἀνδρείας, τοῦτο διεγηγερμένης ψυχῆς καὶ τῶν ἀνθρωπίνων ἀπηλλαγμένης ἁπάντων.

Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἑτέρωθι δηλῶν, ὅσα ἔπασχον οἱ πιστεύοντες τότε κακὰ παρὰ τῶν οἰκείων καὶ συγγενῶν (τοῦτο γὰρ ἦν τὸ χαλεπώτατον), οὑτωσί πώς φησι· «ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ». Κατὰ τί μιμηταί; «Ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ἀπὸ τῶν ἰδίων συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων». Ἰδοὺ καὶ πόλεμος, ἀλλὰ καὶ πόλεμος ἐμφύλιος, ὃ μείζω ποιεῖ τὴν ὀδύνην. «Εἰ γὰρ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν», φησί· «σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου»· ὅπερ τότε συνέβαινε συμβολικῶς. Διὸ καὶ πολλῆς ἐδέοντο τῆς παρακλήσεως.

Ὅπερ οὖν καὶ Παῦλος συνορῶν καὶ τοὺς ὑπ' αὐτῷ ταττομένους βλέπων κάμνοντας καὶ ἱδροῦντας, βαρυνομένους τῷ μεγέθει τῶν συμφορῶν καὶ ταῖς ἐπαλλήλοις ὀδυνωμένους πληγαῖς, πολυτρόπως αὐτῶν διανίστησι τὰ φρονήματα, νῦν μὲν λέγων, «εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεισιν μεθ' ἡμῶν», νῦν δὲ λέγων, «ὁ Κύριος ἐγγύς, μηδὲν μεριμνᾶτε»· καὶ πάλιν, «μὴ

---

8. Α' Θεσ. 2,14.
9. Ψαλμ. 54,13–14.
10. Β' Θεσ. 1,6–7.

Ἀπὸ τὰ ἴδια τὰ λόγια τοῦ Παύλου. Γιατὶ ἀφοῦ εἶπε, «μέσα σὲ θλίψεις πολλές», πρόσθεσε, «μὲ τὴ χαρὰ ποὺ δίνει τὸ ἅγιο Πνεῦμα», φανερώνοντας ὅτι οἱ πειρασμοὶ προκαλοῦσαν τὴ θλίψη, ἡ ὑπόθεση ὅμως τῶν πειρασμῶν γεννοῦσε σ' αὐτοὺς τὴ χαρά. Γιατὶ τοὺς ἀρκοῦσε γιὰ παρηγοριὰ τὸ ὅτι ἀναγνώριζαν πὼς τὰ πάθαιναν αὐτὰ γιὰ χάρη τοῦ Χριστοῦ. Δὲ θαυμάζω τοὺς τότε τόσο γιατὶ θλίβονταν, ὅσο τοὺς θαυμάζω γιατὶ χαίρονταν ποὺ θλίβονταν γιὰ χάρη τοῦ Θεοῦ. Τὸ νὰ θλίβεται καὶ νὰ ὑποφέρει κανεὶς εἶναι δεῖγμα γενναίας καὶ φιλόθεης ψυχῆς, τὸ νὰ ὑποφέρει ὅμως γενναῖα τὸν πειρασμὸ καὶ νὰ εὐχαριστεῖ αὐτὸν ποὺ ἐπιτρέπει τὶς θλίψεις εἶναι ἀπόδειξη πολὺ μεγάλης ἀνδρείας, ψυχῆς φλογισμένης καὶ ἀπαλλαγμένης ἀπ' ὅλα τὰ ἀνθρώπινα.

Καὶ ὄχι μόνο ἐδῶ ἀλλὰ καὶ ἀλλοῦ δηλώνοντας πόσα κακὰ ἔπασχαν τότε οἱ πιστοὶ ἀπὸ τοὺς δικούς τους καὶ τοὺς συγγενεῖς τους (γιατὶ αὐτὸ ἦταν τὸ πιὸ φοβερὸ πράγμα), ἔτσι ἀκριβῶς λέγει· «γιατὶ ἐσεῖς, ἀδελφοί, μιμηθήκατε ἐκεῖνες τὶς ἐκκλησίες τοῦ Θεοῦ ποὺ βρίσκονται στὴν Ἰουδαία». Καὶ σὲ τί τὶς μιμηθήκατε; «Γιατὶ καὶ ἐσεῖς πάθατε τὰ ἴδια ἀπὸ τοὺς συμπατριῶτες σας, ὅπως καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἰουδαίους»[8]. Νὰ καὶ πόλεμος, καὶ μάλιστα πόλεμος ἐμφύλιος, πράγμα ποὺ κάνει μεγαλύτερο τὸν πόνο. «Γιατὶ ἂν μὲ ἔβριζε ἕνας ἐχθρὸς θὰ ὑπέφερα τὴν παραβολή», λέγει ἡ Γραφή, «ἐσὺ ὅμως, ἄνθρωπε, ποὺ σὲ θεωροῦσα σὰν τὸν ἑαυτό μου, ἄρχοντά μου καὶ φίλε μου, τὸ ἔκανες αὐτό»[9]. Αὐτὸ τὸ πράγμα συνέβαινε τότε συμβολικά. Γι' αὐτὸ καὶ χρειάζονταν μεγάλη παρηγοριά.

Αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος γνωρίζοντας καὶ βλέποντας ὅσους τὸν ἀκολουθοῦσαν νὰ ἱδρωκοποῦν καὶ ν' ἀποθαρρύνονται, ἐπειδὴ πιέζονταν ἀπὸ τὶς πολλὲς συμφορὲς καὶ πονοῦσαν ἀπὸ τὰ ἀλλεπάλληλα χτυπήματα, διεγείρει μὲ πολλοὺς τρόπους τὰ φρονήματά τους, ἄλλοτε λέγοντας, «πραγματικά, εἶναι δίκαιο γιὰ τὸ Θεὸ ν' ἀνταποδώσει θλίψεις σὲ ὅσους σᾶς προκαλοῦν θλίψη, καὶ σὲ σᾶς ποὺ θλίβεστε νὰ δώσει ἀνάπαυση μαζὶ μὲ μᾶς»[10] καὶ ἄλλοτε, «ὁ Κύριος ἔρχεται σύντομα, γιὰ τίποτε

ἀποβάλητε τὴν παρρησίαν ὑμῶν· ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν». Εἶτα πρὸς τὴν ὑπομονὴν ἀλείφων αὐτούς, ἐπάγει· «ἔτι γὰρ μικρὸν ὅσον, ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ». Καὶ καθάπερ παιδίον κλαυθμυρίζον, δυσχεραῖνον, καὶ τὴν μητέρα ἐπιζητοῦν παρακαθήμενός τις παραμυθεῖται λέγων, 'ὅτι ἔτι μικρὸν ἀνάμεινον καὶ ἀπαντήσεται πάντως ἡ μήτηρ', οὕτω καὶ Παῦλος ὁρῶν δυσανασχετοῦντας, ὀδυρουμένους, τὴν παρουσίαν ἐπιζητοῦντας τοῦ Χριστοῦ τοὺς τότε πιστεύοντας διὰ τὴν ἀφόρητον τῶν κακῶν ἐπαγωγήν, παραμυθούμενος ἔλεγεν· «ἔτι μικρὸν ὅσον, ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ».

6. Ὅτι μὲν οὖν οἱ μαθηταὶ ἐθλίβοντο καὶ μυρία ἔπασχον δεινὰ καὶ καθάπερ ἐν μέσοις ἐπειλημμένοι λύκοις ἄρνες οὕτω πάντοθεν ἠλαύνοντο δῆλον ἐκ τούτων, ἵνα δὲ μάθῃς ὅτι καὶ οἱ διδάσκαλοι οὐκ ἐλάττονα τούτων, ἀλλὰ καὶ πολλῷ χαλεπώτερα τότε ὑπέμενον (ὅσῳ γὰρ μειζόνως ἐλύπουν τοὺς ἐχθροὺς τῆς ἀληθείας, τοσούτῳ καὶ παρὰ πλειόνων ἐβάλλοντο), καὶ ταῦτα παρὰ τοῦ τὰ πρότερα εἰρηκότος ἀκούσωμεν. Κορινθίοις γὰρ γράφων, οὕτως ἔλεγε· «μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμασθῇ ἡ διακονία ὑμῶν, ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτούς, ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις». Εἶδες πόσους ἄθλους ἠρίθμησε, πόσας πειρασμῶν νιφάδας; Πάλιν τοῖς αὐτοῖς ἐπιστέλλων, «διάκονοι Χριστοῦ εἰσι», φησί, «παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ».

Εἶτα βουλόμενος ἡμᾶς πεῖσαι, ὅτι τοῦ σημεῖα ποιεῖν πολλῷ λαμπρότερον τὸ διὰ τὸν Χριστὸν θλίβεσθαι, καὶ ποιούμενος ἀπόδειξιν ἀποστολῆς, καὶ δεικνὺς ὅτι βελτίων αὐτῶν ἐστιν, οὐχὶ τῶν ἀποστόλων λέγω, ἀλλὰ τῶν ψευδαποστόλων, οὐκ ἀπὸ

---

11. Φιλ. 4,5–6.
12. Ἑβρ. 10,35–36.
13. Β' Θεσ. 10,37.
14. Β' Θεσ. 6,3–5.
15. Β' Κορ. 11,23.

λοιπὸν νὰ μὴ μεριμνᾶτε»[11]· καὶ πάλι λέγει· «μὴ χάσετε τὸ θάρρος σας, γιατὶ χρειάζεστε ὑπομονὴ γιὰ νὰ κάνετε τὸ θέλημα τοῦ Θεοῦ καὶ νὰ καρπωθεῖτε τὴν ὑπόσχεσή του»[12]. Στὴ συνέχεια παρακινώντας αὐτοὺς γιὰ ὑπομονὴ προσθέτει· «λίγο ἀκόμη καὶ θὰ φθάσει ὁ ἐρχόμενος, δὲ θ' ἀργήσει»[13]. Καὶ ὅπως ἀκριβῶς ἕνα παιδὶ ποὺ σιγοκλαίει συνέχεια καὶ στενοχωριέται καὶ ζητάει ἐπίμονα τὴ μητέρα του τὸ παρηγορεῖ κάποιος ποὺ κάθεται δίπλα του λέγοντας, 'λίγο ἀκόμη περίμενε καὶ θὰ ἔρθει ὁπωσδήποτε ἡ μητέρα σου', ἔτσι καὶ ὁ Παῦλος ποὺ ἔβλεπε τοὺς τότε πιστοὺς νὰ στενοχωροῦνται, νὰ ὑποφέρουν καὶ νὰ ἐπιζητοῦν τὴν παρουσία τοῦ Χριστοῦ ἐξ αἰτίας τῆς ἀφόρητης ἐπίθεσης τῶν κακῶν, τοὺς παρηγορεῖ λέγοντας· «λίγο ἀκόμη, καὶ θὰ φθάσει ὁ ἐρχόμενος, δὲ θ' ἀργήσει».

6. Γιὰ τὸ ὅτι λοιπὸν οἱ μαθητὲς θλίβονταν καὶ ὑπέφεραν ἄπειρα κακὰ καὶ σὰν ἀρνιὰ ἀνάμεσα σὲ λύκους ἔτσι ἀπὸ παντοῦ διώκονταν εἶναι φανερὸ ἀπ' αὐτά. Γιὰ νὰ μάθεις ὅμως ὅτι καὶ οἱ διδάσκαλοι ὑπέφεραν τότε ὄχι μικρότερα ἀπ' αὐτὰ ἀλλὰ καὶ πολὺ χειρότερα (γιατὶ ὅσο περισσότερο δυσαρεστοῦσαν τοὺς ἐχθροὺς τῆς ἀλήθειας, τόσο πιὸ πολὺ καὶ ἀπὸ περισσότερους βάλλονταν), καὶ αὐτὰ ἂς τὰ ἀκούσουμε ἀπὸ τὸν ἴδιο ποὺ εἶπε τὰ προηγούμενα. Γράφοντας λοιπὸν στοὺς Κορινθίους ἔλεγε τὰ ἑξῆς· «κανένα ἐμπόδιο δὲ φέρνουμε σὲ κανέναν γιὰ νὰ μὴ δυσφημησθεῖ τὸ ἔργο τους, ἀλλὰ ἀντίθετα μὲ κάθε τρόπο συστηνουμε τὸν ἑαυτό μας σὰν ὑπηρέτη τοῦ Θεοῦ, μὲ τὴ μεγάλη ὑπομονή μας, μὲ τὶς θλίψεις, μὲ τὶς ἀνάγκες, μὲ τὶς στενοχώριες, τὰ χτυπήματα, τὶς φυλακές, τὶς ἀταξίες, τοὺς κόπους, τὶς ἀγρύπνιες, τὶς νηστεῖες»[15]. Εἶδες πόσους ἄθλους ἀρίθμησε, πόσους πολλοὺς πειρασμούς; Πάλι γράφοντας στοὺς ἴδιους λέγει· «εἶναι ὑπηρέτης τοῦ Χριστοῦ –μιλῶ σὰν τρελλὸς– ἐγὼ εἶμαι μὲ τὸ παραπάνω»[15].

Στὴ συνέχεια θέλοντας νὰ μᾶς πείσει ὅτι εἶναι πολὺ σημαντικότερο τὸ νὰ θλίβεται κανεὶς γιὰ χάρη τοῦ Χριστοῦ ἀπὸ τὸ νὰ κάνει θαύματα, καὶ θέλοντας ν' ἀποδείξει τὴν ἀποστολή του καὶ νὰ δείξει ὅτι εἶναι καλύτερος ἀπ' αὐτούς, δὲν ἐννοῶ ἀπὸ

θαυμάτων καὶ σημείων, ἀλλ' ἀπὸ κινδύνων ἐπαλλήλων ποιεῖται τὸν τῆς ὑπεροχῆς ἔλεγχον, οὑτωσὶ λέγων· «ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· πεντάκις τεσσαράκοντα παρὰ μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός».

Οὗτοι τῆς ἀκριβοῦς ἀποστολῆς οἱ χαρακτῆρες. Σημεῖα μὲν γὰρ καὶ ἕτεροι πολλοὶ πολλάκις ἐποίησαν καὶ οὐδὲν ἀπώναντο τῶν θαυμάτων, ἀλλὰ μετὰ πάντα ἐκεῖνα ἤκουσαν· «ὑπάγετε, οὐκ οἶδα ὑμᾶς, οἱ ἐργαζόμενοι τὴν ἀνομίαν» · τῶν δὲ ταῦτα δυναμένων εἰπεῖν, ἅπερ ὁ Παῦλος ἀπηριθμήσατο νῦν, οὐδεὶς ἐκείνης ἀκούσεται τῆς φωνῆς, ἀλλὰ μετὰ πολλῆς τῆς παρρησίας τῶν οὐρανῶν ἐπιβήσεται καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν ἀπολαύσεται πάντων.

7. Τάχα μακρότερος ἡμῖν ὁ λόγος ἐγένετο· ἀλλὰ μὴ δείσητε· οὐκ ἐπιλελήσμεθα τῆς ὑποσχέσεως, ἀλλ' αὐτίκα δὴ πρὸς αὐτὴν πάλιν ἐπανήξομεν. Καὶ ταῦτα δὲ οὐ μάτην ἐμηκύναμεν, ἀλλὰ διὰ πλείονος κατασκευῆς ἀναμφισβήτητον καὶ σαφέστερον βουλόμενοι ποιήσασθαι τὴν ἀπόδειξιν, ὁμοῦ δὲ τὰς θλιβομένας παρακαλέσαι ψυχάς, ἵν' ἕκαστος τῶν ἐν πειρασμοῖς ὄντων καὶ κινδύνοις ἱκανὴν λαβὼν παραμυθίαν ἀπέλθῃ, μαθὼν ὅτι Παύλου κοινωνὸς διὰ τῶν παθημάτων γίνεται, μᾶλλον δὲ τοῦ τῶν ἀγγέλων Δεσπότου Χριστοῦ· κοινωνῶν δὲ αὐτοῦ τῶν παθημάτων ἐνταῦθα κοινωνήσει τῆς δόξης ἐκεῖ· «εἴπερ» γάρ, φησί, «συμπάσχο-

---

16. Β' Κορ. 11,23-28.

17. Ματθ. 7,23.

τοὺς ἀποστόλους ἀλλὰ ἀπὸ τοὺς ψευδαποστόλους, ἀποδεικνύει τὴν ὑπεροχή του ὄχι ἀπὸ τὰ θαύματα ἀλλὰ ἀπὸ τοὺς συνεχεῖς κινδύνους λέγοντας αὐτὰ ἀκριβῶς· «κόπιασα πιὸ πολύ, μὲ χτύπησαν ὑπερβολικά, φυλακίσθηκα περισσότερες φορές, κινδύνεψα πολλὲς φορὲς νὰ θανατωθῶ. Πέντε φορὲς μαστιγώθκα ἀπὸ τοὺς Ἰουδαίους μὲ τὶς τριάντα ἐννέα μαστιγώσεις, τρεῖς φορὲς μὲ τιμώρησαν μὲ ραβδισμούς, μιὰ φορὰ μὲ λιθοβόλησαν, τρεῖς φορὲς ναυάγησα, ἕνα ἡμερονύκτιο ἔκανα στὸ πέλαγος. Ἔκαμα πολλὲς ὁδοιπορίες, ἀντιμετώπισα κινδύνους ἀπὸ ποταμούς, ἀπὸ ληστές, ἀπὸ Ἰουδαίους, ἀπὸ ἐθνικούς, ἀντιμετώπισα κινδύνους σὲ πόλεις, σὲ ἐρήμους, στὴ θάλασσα, κινδύνεψα ἀπὸ τους ψευδαδέλφους. Κόπιασα καὶ μόχθησα πολύ, ξαγρύπνησα πολλὲς φορές, πείνασα καὶ δίψασα, κρύωσα καὶ ἤμουν γυμνός, χωρὶς νὰ ἀναφέρω καὶ τὰ ἄλλα»[16].

Αὐτὰ εἶναι τὰ γνωρίσματα τοῦ ἀληθινοῦ ἀποστόλου. Γιατὶ σημεῖα βέβαια καὶ πολλοὶ ἄλλοι ἔκαναν πολλὲς φορὲς καὶ τίποτε δὲν κέρδισαν ἀπὸ τὰ θαύματα, ἀλλὰ ὕστερα ἀπ' ὅλα αὐτὰ ἄκουσαν· «δὲ σᾶς γνωρίζω, φύγετε μακριά μου, ἐσεῖς ποὺ ἐργάζεστε τὴν ἀνομία»[17]. Ἀπ' ἐκείνους ὅμως ποὺ μποροῦν νὰ ποῦν ἐκεῖνα ποὺ ἀνέφερε τώρα ὁ Παῦλος κανεὶς δὲ θ' ἀκούσει ἐκείνη τὴ φωνή, ἀλλὰ θ' ἀνεβεῖ στοὺς οὐρανοὺς μὲ πολλὴ παρρησία καὶ θ' ἀπολαύσει ὅλα τὰ ἀγαθὰ ποὺ βρίσκονται σ' αὐτούς.

7. Ἴσως ἔγινε μακρότερος ὁ λόγος μου. Ὅμως μὴ φοβᾶστε· δὲν ξέχασα τὴν ὑπόσχεσή μου ἀλλὰ ἀμέσως θὰ ἐπιστρέψω σ' αὐτήν. Καὶ αὐτὰ δὲν τὰ ἀνέπτυξα στὰ χαμένα, ἀλλὰ γιατὶ ἤθελα μὲ τὰ πολλὰ αὐτὰ λόγια νὰ κάνω ἀναμφισβήτητη καὶ σαφέστερη τὴν ἀπόδειξη καὶ μαζὶ νὰ παρηγορήσω τὶς θλιβόμενες ψυχές, ὥστε ὁ καθένας ποὺ βρίσκεται σὲ πειρασμοὺς καὶ κινδύνους, ἀφοῦ λάβει ἀρκετὴ παρηγοριά, νὰ φύγει ἀπὸ ἐδῶ μαθαίνοντας ὅτι γίνεται μὲ τὰ παθήματά του συμμέτοχος τοῦ Παύλου, ἢ καλύτερα τοῦ Χριστοῦ, τοῦ Κυρίου τῶν ἀγγέλων· συμμετέχοντας ὅμως στὰ παθήματά του ἐδῶ θὰ συμμετάσχει καὶ στὴ δόξα του ἐκεῖ· γιατὶ λέγει, «ἂν πάσχουμε μαζί του, θὰ δοξασθοῦμε

μεν, ἵνα καὶ συνδοξασθῶμεν»· καὶ πάλιν· «εἰ ὑπομένομεν, ἵνα καὶ συμβασιλεύσωμεν».

Ἀνάγκη γὰρ τὸν πιστὸν θλίβεσθαι πάντως. «Πάντες γὰρ οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ, διωχθήσονται»· καὶ πάλιν· «τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον καὶ καρτέρησον». Καλαὶ αἱ ἐπαγγελίαι ἐκ προοιμίων εἰς πειρασμοὺς ἐμπεσεῖν· μεγάλη προτροπὴ καὶ παράκλησις ἐναργὴς τῆς δουλείας κινδύνων εὐθέως ἀπογεύσασθαι. Μεγίστη οὖν καὶ θαυμασία καὶ κέρδος ἔχουσα μέγιστον. Ποῖον δὲ τοῦτο; Ἄκουσον τῶν ἑξῆς· «ὥσπερ γὰρ ἐν πυρὶ δοκιμάζεται χρυσός, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· 'ὥσπερ τὸ χρυσίον τῷ πυρὶ βασανιζόμενον καθαρώτερον γίνεται, οὕτω καὶ ἡ ψυχή, θλίψεσιν ὁμιλοῦσα καὶ κινδύνοις, φαιδροτέρα καὶ λαμπροτέρα ἄνεισι καὶ πᾶσαν ἁμαρτημάτων ἀπορρίψεται κηλῖδα.

Ὅθεν καὶ πρὸς τὸν πλούσιον ἔλεγε ὁ Ἀβραάμ, «ὅτι Λάζαρος ἀπέλαβε τὰ κακά, καὶ ἐνταῦθα παρακαλεῖται». Καὶ Παῦλος Κορινθίοις ἐπιστέλλων ἔγραφε· «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι. Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν». Καὶ τὸν πεπορνευκότα δὲ δι' αὐτὸ τοῦτο παρέδωκεν εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ, δεικνὺς ὅτι σωτηρίαν ὁ παρὼν ἐργάζεται πειρασμός, καὶ οἱ κίνδυνοι τοῖς μετ' εὐχαριστίας αὐτοὺς φέρουσι καθάρσιον ψυχῆς εἰσι μέγιστον. Ὅτι μὲν οὖν ἐθλίβοντο οἱ πιστοὶ καὶ μυρία ἔπασχον δεινὰ καὶ μαθηταὶ καὶ διδάσκαλοι καὶ οὐδὲ μικρὸν ἀνέπνεον, ποικίλοις τισὶ καὶ παντοδαποῖς πάντοθεν περιειστοιχισμένοι πολέμοις, ἱκανῶς ὁ λόγος ἀπέδειξε καὶ πλείω δὲ τῶν εἰρημέ-

---

18. Ρωμ. 8,17.
19. Β' Τιμ. 2,12.
20. Β' Τιμ. 3,12.
21. Σοφ. Σειρ. 2,1–2.
22. Σοφ. Σειρ. 2,5.
23. Λουκᾶ. 16,25.
24. Α' Κορ. 11,30–32.
25. Α' Κορ. 5,1–5.

ἐπίσης μαζί του»[18]· καὶ πάλι· «ἂν ὑπομένουμε, θὰ βασιλέψουμε ὁπωσδήποτε μαζί του»[19].

Εἶναι ἀνάγκη λοιπὸν ὁπωσδήποτε νὰ θλίβεται ὁ πιστός. «Ὅλοι ὅσοι θέλουν νὰ ζοῦν μὲ εὐσέβεια καὶ σύμφωνα μὲ τὸ θέλημα τοῦ Χριστοῦ, θὰ διωχθοῦν»[20]· καὶ πάλι· «παιδί μου, ἂν προσέρχεσαι νὰ ὑπηρετήσεις τὸν Κύριο, ἑτοίμασε τὸν ἑαυτό σου γιὰ πειρασμούς, βάδιζε τὴν εὐθεία καὶ ὁπλίσου μὲ ὑπομονή»[21]. Εἶναι καλὲς οἱ ὑποσχέσεις ἀπὸ τὴν ἀρχὴ ὅτι θὰ πέσουμε σὲ πειρασμούς· εἶναι μεγάλη προτροπὴ καὶ ἰσχυρὴ παρηγοριὰ νὰ δοκιμάσουμε ἀμέσως τὴ δουλεία τῶν κινδύνων. Πολὺ μεγάλη λοιπὸν καὶ θαυμάσια καὶ ποὺ προκαλεῖ πολὺ μεγάλο κέρδος. Καὶ ποιό εἶναι αὐτό; Ἄκουσε τὰ ἑπόμενα· «γιατὶ ὅπως ὁ χρυσὸς δοκιμάζεται στὴ φωτιά, ἔτσι καὶ οἱ ἄνθρωποι γίνονται δεκτοὶ ἐνώπιον τοῦ Κυρίου ἀφοῦ δοκιμασθοῦν στὸ καμίνι τῶν θλίψεων»[22]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ὅπως ὁ χρυσὸς ὅταν δοκιμάζεται στὴ φωτιὰ γίνετι πιὸ καθαρός, ἔτσι καὶ ἡ ψυχὴ ὅταν ἀντιμετωπίζει θλίψεις καὶ κινδύνους βγαίνει φαιδρότερη καὶ λαμπρότερη καὶ θ' ἀποβάλει κάθε κηλίδα ἁμαρτημάτων.

Γι' αὐτὸ καὶ στὸν πλούσιο ἔλεγε ὁ Ἀβραάμ, «ὅτι ὁ Λάζαρος ἀπόλαυσε τὴ δυστυχία καὶ ἐδῶ παρηγορεῖται»[23]. Καὶ ὁ Παῦλος γράφοντας στοὺς Κορινθίους ἔλεγε· «γι' αὐτὸ μεταξύ σας ὑπάρχουν πολλοὶ ἀδύνατοι καὶ ἄρρωστοι. Ἂν κρίναμε τὸν ἑαυτό μας, δὲ θὰ μᾶς τιμωροῦσε ὁ Θεός, ὅταν ὅμως μᾶς τιμωρεῖ ὁ Κύριος μᾶς διαπαιδαγωγεῖ, γιὰ νὰ μὴ καταδικασθοῦμε μαζὶ μὲ τὸν κόσμο»[24]. Γι' αὐτὸ ἀκριβῶς καὶ ἐκεῖνον ποὺ διέπραξε πορνεία τὸν παρέδωσε σὲ ἀφανισμὸ τοῦ σώματος γιὰ νὰ σωθεῖ τὸ πνεῦμα του[25], δείχνοντας ὅτι ὁ πειρασμὸς τῆς παρούσας ζωῆς ἐργάζεται τὴ σωτηρία μας καὶ ὅτι οἱ κίνδυνοι σ' αὐτοὺς ποὺ τοὺς ὑποφέρουν μὲ εὐχαρίστηση γίνονται μέγιστο καθάρσιο τῆς ψυχῆς. Τὸ ὅτι λοιπὸν θλίβονταν οἱ πιστοὶ καὶ ὑπέφεραν ἄπειρα δεινὰ μαθητὲς καὶ διδάκαλοι καὶ δὲν ἔπαιρναν καθόλου ἀναπνοή, περικυκλωμένοι ἀπὸ παντοῦ μὲ ποικίλους καὶ κάθε εἴδους πολέμους, τὸ ἔδειξε ἀρκετὰ ὁ λόγος, ἀλλὰ οἱ φιλόπονοι

νων τοῖς φιλοπόνοις ἔξεστιν ἀναλέξασθαι ἐκ τῶν θείων Γραφῶν.

8. Λοιπὸν δὲ ἐπὶ τὸ προκείμενον τὸν λόγον ἀγάγωμεν. Τί δὲ τὸ προκείμενον ἦν εἰπεῖν; Τίνος ἕνεκεν εἶπεν ὁ Παῦλος, «ἔχοντες Πνεῦμα πίστεως τὸ αὐτό». Τίνος οὖν ἕνεκεν εἶπεν; Ἐθορύβει τοῦτο τοὺς μαθητάς, ὅτι τὰ μὲν δεινὰ ἐν πείρᾳ, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι· καὶ τὰ μὲν παρῆν, τὰ δὲ ἀφειστήκει· καὶ τὰ μὲν ἐγίνετο, τὰ δὲ ἠλπίζετο. Καὶ τί θαυμαστὸν εἰ τότε ἐν ἀρχῇ τοῦ κηρύγματος τοῦτο ἔπασχόν τινες, ὅπου γε καὶ νῦν μετὰ τοσοῦτον χρόνον, μετὰ τὸ πανταχοῦ τῆς οἰκουμένης ἐκταθῆναι τὸ κήρυγμα, μετὰ τὸ λαβεῖν ἀποδείξεις τοσαύτας τῶν ὑποσχέσεων, πολλοὶ οἱ τοῦτο πάσχοντές εἰσιν;

Οὐ τοῦτο δὲ μόνον αὐτοὺς διετάραττεν, ἀλλὰ καὶ ἕτερον οὐκ ἔλαττον τούτου. Ποῖον δὴ τοῦτο; Ἐνενόουν πρὸς ἑαυτούς, ὅτι ἐν τῇ Παλαιᾷ Διαθήκῃ οὐχ οὕτω τὰ πράγματα ᾠκονομήθη, ἀλλὰ τῆς ἀρετῆς τοὺς ἄθλους καὶ τοὺς μισθοὺς εὐθέως ἀπελάμβανον οἱ μετ' ἐπιεικείας καὶ σωφροσύνης προῃρημένοι ζῆν. Οὐ γὰρ μετὰ τὴν τῶν σωμάτων ἀνάστασιν, οὐδὲ ἐν τῇ μελλούσῃ ζωῇ, ἀλλ' ἐνταῦθα καὶ κατὰ τὸν παρόντα βίον πᾶσαι αὐτοῖς ἐπληροῦντο αἱ ὑποσχέσεις. «Ἐὰν γὰρ ἀγαπήσῃς», φησί, «Κύριον τὸν Θεόν σου, εὖ σοι ἔσται καὶ πληθυνεῖ ὁ Θεὸς τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου· οὐκ ἔσται ἐν σοὶ ἄγονον οὐδὲ στεῖρον· οὐκ ἔσται ἐν σοὶ μαλακία», φησίν, «οὐδὲ νόσος». «Ἐξαποστελεῖ ὁ Θεὸς τὴν εὐλογίαν αὐτοῦ εἰς τὰ ταμιεῖα τῶν ἀποθηκῶν σου»· «ἀνοίξει τὸν οὐρανὸν καὶ δώσει σοι ὑετὸν πρώϊμον καὶ ὄψιμον». «Καταλήψεται ὁ ἀλοητὸς τὸν τρυγητὸν καὶ ὁ τρυγητὸς τὸν σπόρον». Καὶ πολλὰ ἕτερα τοιαῦτα αὐτοῖς ἐπηγγείλατο, ἅπερ ἅπαντα κατὰ τὴν παροῦσαν ζωὴν αὐτοῖς ἀπεδίδοτο.

Εἴ τις ὀξύτερος, ἤδη προβλέπει τὴν λύσιν. Ἐπεὶ οὖν σώμα-

---

26. Δευτ. 7,13–15. 28. Δευτ. 11,14.
27. Δευτ. 28,8. 29. Λευϊτ. 26,5.

καὶ περισσότερα ἀπ' αὐτὰ εἶναι δυνατὸ νὰ συγκεντρώσουν ἀπὸ τις θεῖες Γραφές.

8. Τώρα ὅμως ἂς φέρω τὸ λόγο στὸ ζήτημα μας. Καὶ ποιό ἦταν τὸ ζήτημα ποὺ θέλαμε νὰ ἐξετάσουμε; Γιὰ ποιό λόγο ὁ Παῦλος εἶπε, «ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης». Γιὰ ποιό λοιπὸν λόγο εἶπε; Ἀνησυχοῦσε τοὺς μαθητὲς αὐτό, ὅτι δηλαδὴ τὰ δεινὰ τὰ γνώριζαν, ἐνῶ τὰ καλὰ τὰ ἔλπιζαν μόνο· καὶ ἐκεῖνα ἦταν παρόντα ἐνῶ αὐτὰ ἦταν μακριά τους· τὰ δεινὰ τὰ ζούσαν καθημερινά, ἐνῶ τὰ καλὰ ἔλπιζαν νὰ τὰ λάβουν. Καὶ ποιό εἶναι τὸ παράξενο ἂν μερικοὶ πάθαιναν αὐτὸ στὴν ἀρχὴ τοῦ κηρύγματος, ἀφοῦ καὶ σήμερα ὕστερα ἀπὸ τόσα χρόνια, ὕστερα ἀπὸ τὴ διάδοση τοῦ κηρύγματος σὲ ὅλα τὰ σημεῖα τῆς οἰκουμένης, ὕστερα ἀπὸ τόσες ἀποδείξεις γιὰ τὶς ὑποσχέσεις, ὑπάρχουν πολλοὶ ποὺ τὸ παθαίνουν αὐτό;

Καὶ δὲν τοὺς προκαλοῦσε ἀναστάτωση αὐτὸ μόνο, ἀλλὰ καὶ κάποιο ἄλλο ὄχι μικρότερο ἀπ' αὐτό. Ποιό λοιπὸν ἦταν αὐτό; Σκέπτονταν μέσα τους ὅτι στὴν Παλαιὰ Διαθήκη δὲν οἰκονομήθηκαν ἔτσι τὰ πράγματα, ἀλλὰ ἀμέσως ἀπολάμβαναν τὰ βραβεῖα καὶ τοὺς μισθοὺς τῆς ἀρετῆς ὅσοι ἀποφάσιζαν νὰ ζοῦν μὲ δικαιοσύνη καὶ σωφροσύνη. Ὄχι δηλαδὴ μετὰ τὴν ἀνάσταση τῶν σωμάτων, οὔτε στὴ μέλλουσα ζωή, ἀλλὰ ἐδῶ καὶ στὴν παρούσα ζωὴ πραγματοποιοῦνταν σ' αὐτοὺς ὅλες οἱ ὑποσχέσεις. Γιατὶ λέγει, «ἂν ἀγαπήσεις τὸν Κύριο τὸ Θεό σου, θὰ ζήσεις εὐτυχισμένος καὶ θὰ πληθύνει ὁ Θεὸς τὰ κοπάδια τῶν βοδιῶν σου καὶ τὰ κοπάδια τῶν προβάτων σου. Δὲ θὰ ὑπάρχει σὲ σένα τίποτε ἄγονο οὔτε στεῖρο· δὲ θὰ ὑπάρχει σὲ σένα», λέγει, «καμιὰ ἀδιαθεσία οὔτε ἀρρώστια»[26]. «Θὰ ἀποστείλει ὁ Θεὸς τὴν εὐλογία του στὶς ἀποθῆκες σου»[27]. «Θὰ ἀνοίξει τὸν οὐρανὸ καὶ θὰ σοῦ στείλει βροχὴ πρώιμη καὶ ὄψιμη»[28]. «Τὸ ἁλώνισμα τῶν σιτηρῶν θὰ διαρκεῖ μέχρι τὸν τρύγο τῶν ἀμπελιῶν, καὶ ὁ τρύγος μέχρι τὴ σπορά»[29]. Καὶ πολλὰ ἄλλα τέτοια τοὺς ὑποσχέθηκε, τὰ ὁποῖα ὅλα τοὺς τὰ ἔδινε στὴ διάρκεια τῆς παρούσας ζωῆς.

Ἂν κάποιος εἶναι ἐξυπνότερος ἀντιλαμβάνεται πιὰ εἶναι ἡ

τος ὑγίεια καὶ γῆς εὐκληρία καὶ πολυπαιδία καὶ εὐπαιδία καὶ λιπαρὸν γῆρας καὶ ὡρῶν κρᾶσις ἀρίστη καὶ εὐετηρία καὶ ὄμβρων εὐκαιρία καὶ πολλὰ ποίμνια καὶ βουκόλια καὶ πάντα ἁπλῶς τὰ ἀγαθὰ κατὰ τὴν παροῦσαν αὐτοῖς ἐπληροῦτο ζωὴν καὶ οὐδὲν ἐν ἐλπίσιν ἦν οὐδὲ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἀναλογιζόμενοι οὖν ταῦτα οἱ πιστοί, ὅτι τοῖς προγόνοις τοῖς ἑαυτῶν παρὰ πόδας ἅπαντα τὰ ἀγαθὰ ἀπήντα, αὐτοῖς δὲ εἰς τὴν μέλλουσαν ζωὴν τὰ ἔπαθλα καὶ οἱ στέφανοι πάντες εἰσὶ τεταμιευμένοι καὶ ἐν πίστει τὰ τῶν ἐπαγγελιῶν, ἔκαμνον, ἐξελύοντο, τὴν παροῦσαν ζωὴν ἅπασαν διὰ πειρασμῶν ἕλκειν ἀναγκαζόμενοι.

Ταῦτα οὖν ἐννοῶν ὁ Παῦλος καὶ τὸ μέγεθος τῶν ἐπηρτημένων αὐτοῖς δεινῶν, καὶ ὅτι τούτοις μὲν τὸν μισθὸν τῶν πόνων μετὰ τὴν ἐντεῦθεν αὐτοῖς ἀποδημίαν ὁ Θεὸς ἐπηγγείλατο, τοὺς δὲ προγόνους αὐτῶν ἐντεῦθεν ἠμείψατο, καὶ συνορῶν πολλὴν ἐκ τῶν λογισμῶν τούτων ἀκηδίαν ἐγγινομένην αὐτοῖς, βουλόμενος αὐτοὺς ἀναστῆσαι καὶ διδάξαι, ὅτι καὶ ἐπὶ τῶν πατέρων τῶν αὐτῶν οὕτω τὰ πράγματα ᾠκονόμητο καὶ ἐν πίστει πολλοὶ τὸν μισθὸν ἔλαβον, οὐκ ἐν τῇ πείρᾳ, ἀνέμνησεν αὐτοὺς τῆς προφητικῆς ῥήσεως, εἰπών· «ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον· ἐπίστευσα, διὸ ἐλάλησα»· μονονουχὶ λέγων, 'ὅτι καὶ ὁ μέγας Δαβίδ, ὁ θαυμαστὸς καὶ γενναῖος προφήτης ἐκεῖνος, πίστει τὴν ἀμοιβὴν ἐκομίσατο, οὐχὶ τῇ πείρᾳ'· οὐ γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, εἶπεν, «ἐπίστευσα, διὸ καὶ ἐλάλησα». «Ἡ γὰρ πίστις ἐλπιζομένων ἐστὶν ὑπόστασις πραγμάτων, οὐ βλεπομένων»· ὃ δὲ βλέπει τις, οὐ πάντως καὶ ἐλπίζει.

Εἰ τοίνυν ἐπίστευσε, τοῖς ἐλπιζομένοις ἐπίστευσεν. Εἰ δὲ τοῖς ἐλπιζομένοις ἐπίστευσε, τὰ δὲ ἐλπιζόμενα οὐδέπω βλέπεται, οὔπω ἦν ἀπειληφὼς ταῦτα, εἰς ἅπερ ἐπίστευσε· διὰ τοῦτό φησιν, «ἔχοντες τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως», τοῦτ' ἔστι, τὴν

30. Πρβλ. Εβρ. 11,1.

λύση τοῦ προβλήματος. Ἐπειδὴ δηλαδὴ καὶ ὑγεία τοῦ σώματος καὶ εὔφορα χωράφια καὶ πολλὰ καὶ καλὰ παιδιὰ καὶ ἄνετα γηρατειὰ καὶ οἱ ἄριστες καιρικὲς συνθῆκες καὶ πλούσια ἐσοδεία καὶ χρήσιμες βροχὲς καὶ πολλὰ κοπάδια προβάτων καὶ βοδιῶν καὶ ὅλα γενικὰ τὰ ἀγαθὰ πραγματοποιοῦνταν σ' ἐκείνους κατὰ τὴν παροῦσα ζωὴ καὶ δὲν ἦταν τίποτε στὶς ἐλπίδες οὔτε μετὰ τὴν ἀναχώρησή τους ἀπὸ τὴ ζωὴ αὐτή, ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτὰ οἱ πιστοί, ὅτι δηλαδὴ στοὺς προγόνους τους συνέβαιναν ἀμέσως ὅλα τὰ ἀγαθά, ἐνῶ γι' αὐτοὺς ὅλα τὰ ἔπαθλα καὶ τὰ στεφάνια εἶναι φυλαγμένα στὴ μέλλουσα ζωὴ καὶ οἱ ὑποσχέσεις στηρίζονταν στὴν πίστη, κουράζονταν καὶ παρέλυαν, ἀναγκαζόμενοι νὰ περνοῦν ὅλη τὴν παροῦσα ζωή τους μέσα σὲ πειρασμούς.

Αὐτὰ λοιπὸν ἔχοντας στὸ νοῦ του ὁ Παῦλος καὶ τὰ πολλὰ δεινὰ ποὺ τοὺς ἀπειλοῦσαν καὶ ὅτι ὁ Θεὸς ὑποσχέθηκε σ' αὐτοὺς τὴν ἀμοιβὴ τῶν κόπων μετὰ τὸ θάνατό τους, ἐνῶ στοὺς προγόνους τους ἔδωσε τὴν ἀμοιβὴ ἀπὸ τὴ ζωὴ αὐτή, καὶ κατανοώντας πὼς ἀπὸ τὶς σκέψεις αὐτὲς ἔχει προέλθει πολλὴ ἀμέλεια σ' αὐτούς, θέλοντας νὰ τοὺς τονώσει καὶ νὰ τοὺς διδάξει ὅτι καὶ στὴν ἐποχὴ τῶν πατέρων τοὺς ἔτσι εἶχαν οἰκονομηθεῖ τὰ πράγματα καὶ ὅτι πολλοὶ ἔλαβαν τὸ μισθό τους μὲ τὴν πίστη καὶ ὄχι μὲ τὴν πείρα, τοὺς θύμισε τὸ προφητικὸ ρητὸ λέγοντας· «ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης, σύμφωνα μ' ἐκεῖνο ποὺ ἀναφέρει ἡ Γραφή· πίστεψα, γι' αὐτὸ καὶ μίλησα». Σὰν νὰ ἔλεγε ὅτι καὶ ὁ μεγάλος Δαβίδ, ὁ θαυμαστὸς καὶ γενναῖος ἐκεῖνος προφήτης, πῆρε τὴν ἀμοιβὴ μὲ τὴν πίστη καὶ ὄχι μὲ τὴν πείρα. Γιατί, ἂν δὲν ἦταν αὐτὸ δὲ θὰ ἔλεγε· «πίστεψα, γι' αὐτὸ καὶ μίλησα». Γιατὶ ἡ πίστη κάνει βέβαια τὰ πράγματα ἐκεῖνα ποὺ ἐλπίζουμε καὶ δὲ βλέπουμε[30], καὶ αὐτὸ ποὺ βλέπει κανείς, ὁπωσδήποτε δὲν τὸ ἐλπίζει.

Ἂν λοιπὸν πίστεψε, πίστεψε στὰ ἐλπιζόμενα, τὰ ἐλπιζόμενα ὅμως δὲ βλέπονται καὶ δὲν ἀπόλαυσε ἀκόμη αὐτὰ τὰ ὁποῖα πίστεψε. Γι' αὐτὸ λέγει, «ἐπειδὴ ἔχουμε τὸ ἴδιο πνεῦμα τῆς πίστης», δηλαδή, καὶ ἐμεῖς ἔχουμε τὴν ἴδια πίστη ποὺ ὑπάρχει

αὐτὴν πίστιν, τὴν ἐν τῇ Παλαιᾷ, καὶ ἡμεῖς ἔχομεν. Διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι, περὶ τῶν τότε ἁγίων λέγων· «περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος»· εἶτα διδάσκων, ὅτι τὰ δεινὰ μὲν ὑπέμειναν, τοὺς δὲ μισθοὺς οὐδέπω καὶ νῦν ἀπέλαβον, ἐπήγαγε λέγων· «κατὰ τὴν πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι». Καὶ πῶς εἶδον, εἰπέ μοι, τὰς μηδέπω παρούσας; Τοῖς τῆς πίστεως ὀφθαλμοῖς, τοῖς ὑπερβαίνουσι τὸν οὐρανὸν καὶ τὰ ἐκεῖ κατασκοποῦσιν ἅπαντα.

9. Σὺ δέ μοι σκόπει Θεοῦ σοφίαν, πῶς καὶ ἔδειξεν αὐτοῖς τὰ βραβεῖα πόρρωθεν καὶ οὐκ ἔδωκε μὲν εὐθέως, ἵνα μείζονα αὐτῶν ἐργάσηται τὴν ὑπομονήν· ἔδειξε δὲ πόρρωθεν, ἵνα ταῖς ἐλπίσι ταύταις τρεφόμεοι, μηδὲ αἴσθησιν τῶν παρόντων λάβωσι πόνων.

Ἀλλὰ τάχα τις τῶν ὀξύτερον προσεχόντων ἑαυτῷ περιπεπτωκέναι τὸν λόγον ἡγήσεται. Εἰ γὰρ οὐδὲ οἱ πρότεροι, φησίν, ἀπελάμβανον παρὰ πόδας τὰ ἀγαθὰ καὶ τὰς ἀμοιβάς, πῶς ἡμῖν μακρὸν ἀπέτεινας λόγον, ἀπαριθμούμενος ὡρῶν εὐκρασίαν, σώματος ὑγίειαν, εὐπαιδίαν, πολυπαιδίαν, εὐετηρίαν, καρπῶν ἀφθονίαν, βουκόλια, ποίμνια, ἅπασαν τὴν βιωτικὴν εὐπραγίαν; Τί οὖν ἂν εἴποιμεν πρὸς τοῦτο; Ὅτι ἑτέρως μὲν τὸ πλῆθος καὶ τὸν ἀσθενέστερον δῆμον, ἑτέρως δὲ τοὺς γενναίους καὶ τὴν ἐν τῇ Καινῇ φιλοσοφίαν ἤδη μετιόντας ἦγεν ὁ Θεὸς τότε. Τοῖς μὲν γὰρ πολλοῖς καὶ χαμαὶ ἑρπομένοις καὶ οὐδὲν μέγα δυναμένοις ἰδεῖν οὐδὲ ἐκτεῖναι τὴν τῆς ψυχῆς ἐλπίδα πρὸς τὴν τῶν μελλόντων ἀπόλαυσιν ἀγαθῶν, ταῦτα τὰ παρόντα παρεῖχεν ἀγαθά, τὴν ἀσθένειαν τῆς ψυχῆς αὐτῶν παραμυθούμενος καὶ διὰ τούτων αὐτοὺς ὁδηγῶν ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν καὶ εἰς τὴν τῶν καλῶν ἐπιθυμίαν ἐμβάλλων· τὸν δὲ Ἠλίαν καὶ τὸν Ἐλισσαῖον, τὸν Ἰερεμίαν, τὸν Ἠσαΐαν καὶ πάντας δὴ ἁπλῶς τοὺς προφήτας καὶ

---

31. Ἑβρ. 11,37–38.

32. Ἑβρ. 11,13 καὶ 39.

στὴν Παλαιὰ Διαθήκη. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει, μιλώντας γιὰ τοὺς τότε ἁγίους· «περιπλανήθηκαν ντυμένοι μὲ προβιὲς καὶ κατσικίσια δέρματα, ἔζησαν μὲ στερήσεις, ὑπέφεραν θλίψεις καὶ κακουχίες, καὶ ὅλα αὐτὰ τὰ ἔπαθαν ἐκεῖνοι ποὺ ὁ κόσμος δὲν ἦταν ἄξιός τους»[31]. Στὴ συνέχεια, γιὰ νὰ διδάξει ὅτι ὑπέφεραν τὰ δεινὰ ἀλλὰ δὲν ἀπόλαυσαν ἀκόμη καὶ τώρα τοὺς μισθούς, πρόσθεσε λέγοντας· «ὅλοι αὐτοὶ πέθαναν μὲ πίστη, χωρὶς νὰ ἔχουν λάβει τὶς ὑποσχέσεις, ἀλλὰ τὶς εἶδαν ἀπὸ μακριὰ καὶ τὶς ἀποδέχθηκαν»[32]. Καὶ πῶς εἶδαν, πές μου, ἐκεῖνες ποὺ δὲν ὑπῆρχαν ἀκόμη; Μὲ τὰ μάτια τῆς πίστης ποὺ περνοῦν πάνω ἀπὸ τὸν οὐρανὸ καὶ βλέπουν καλὰ ὅλα τὰ ἐκεῖ.

9. Ἐσὺ ὅμως, παρακαλῶ, πρόσεχε τὴ σοφία τοῦ Θεοῦ, πῶς τοὺς ἔδειξε ἀπὸ μακριὰ τὰ βραβεῖα καὶ δὲν τοὺς τὰ ἔδωσε ἀμέσως, γιὰ νὰ τοὺς κάνει μεγαλύτερη τὴν ὑπομονή· τὰ ἔδειξε ἀπὸ μακριά, γιὰ νὰ τρέφονται μὲ τὶς ἐλπίδες αὐτὲς καὶ νὰ μὴν αἰσθανθοῦν τοὺς κόπους τῆς παρούσας ζωῆς.

Ἀλλὰ ἴσως κάποιος ἀπ' αὐτοὺς ποὺ ἔχει περισσότερο συγκεντρωμένη τὴν προσοχή του στὰ λεγόμενα θεωρήσει λανθασμένα τὰ λεγόμενά μου. Γιατί, θὰ πεῖ, ἂν οὔτε οἱ προηγούμενοι ἀπολάμβαναν ἀμέσως τὰ ἀγαθὰ καὶ τὶς ἀμοιβές, πῶς μᾶς εἶπες τόσα πολλά, ἀπαριθμώντας καλὲς καιρικὲς συνθῆκες, ὑγεία σώματος, καλὰ καὶ πολλὰ παιδιά, εὐτυχισμένα χρόνια, ἀφθονία καρπῶν, κοπάδια βοδιῶν καὶ προβάτων, καὶ ὅλα τὰ ὑλικὰ ἀγαθά; Τί θὰ μπορούσαμε λοιπὸν νὰ ποῦμε σ' αὐτό; Ὅτι ὁ Θεὸς ὁδηγοῦσε μὲ ἄλλο τρόπο τὸ πλῆθος καὶ τὸν ἀσθενέστερο λαὸ καὶ μὲ ἄλλο τοὺς γενναίους ποὺ ἀκολουθοῦσαν ἀπὸ τότε ἤδη τὸν τρόπο ζωῆς ποὺ ὑπάρχει στὴ Καινὴ Διαθήκη. Γιατὶ στοὺς πολλοὺς ποὺ ἕρπονται κατὰ γῆς καὶ δὲν μποροῦν νὰ δοῦν κανένα μεγάλο, οὔτε νὰ ἁπλώσουν τὴν ἐλπίδα τῆς ψυχῆς στὴν ἀπόλαυση τῶν μελλοντικῶν ἀγαθῶν, ἔδινε αὐτὰ τὰ παρόντα ἀγαθά, γιὰ νὰ παρηγορήσει τὴν ἀσθένεια τῆς ψυχῆς τους καὶ νὰ τοὺς ὁδηγήσει μ' αὐτὰ στὴν ἄσκηση τῆς ἀρετῆς καὶ νὰ τοὺς ὠθήσει στὴν ἐπιθυμία τῶν καλῶν ἔργων· τὸν Ἠλία ὅμως καὶ τὸν Ἐλισσαῖο, τὸν Ἰερεμία, τὸν Ἠσαΐα καὶ ὅλους γενικὰ τοὺς προφῆτες

ὅσοι τοῦ χοροῦ γεγένηνται τῶν ἁγίων καὶ μεγάλων ἀνδρῶν, ἐπὶ τοὺς οὐρανοὺς ἐκάλει καὶ τὰ ἐκεῖ παρεσκευασμένα τοῖς εὐδοκιμηκόσιν ἀγαθά.

Διὸ καὶ ὁ Παῦλος οὐχ ἁπλῶς πάντας ἀπηριθμήσατο, ἀλλὰ τοὺς ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι, τοὺς ἐν καμίνῳ, τοὺς ἐν δεσμωτηρίῳ, τοὺς ἀποτυμπανισθέντας, τοὺς καταλευσθέντας, τοὺς ἐν λιμῷ, τοὺς ἐν πενίᾳ, τοὺς ἐν ἐρημίαις, τοὺς ἐν σπηλαίοις, τοὺς ἐν ταῖς ὀπαῖς τῆς γῆς, τοὺς τὰ μυρία παθόντας δεινά. Καὶ τότε εἶπε κατὰ πίστιν πάντας τετελευτηκέναι καὶ μηδέπω κεκομίσθαι τὰς ἐπαγγελίας· οὐχὶ τὸ πλῆθος τὸ ἰουδαϊκόν, ἀλλὰ τοὺς κατὰ τὸν Ἠλίαν ἡμῖν αἰνιττόμενος. Εἰ δὲ λέγοι τις· 'αὐτοὶ δὲ οὗτοι τίνος ἕνεκεν οὐδέπω καὶ νῦν ἀπέλαβον τοὺς ὀφειλομένους αὐτοῖς στεφάνους'; μανθανέτω καὶ ταύτην παρὰ Παύλου τὴν αἰτίαν. Εἰπὼν γάρ, «κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας», ἐπήγαγε, «τοῦ Θεοῦ κρεῖττόν τι προβλεψαμένου περὶ ἡμῶν, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι».

Κοινὴ γάρ ἐστι, φησίν, ἡ πανήγυρις, ἐπειδὴ καὶ μείζων ἡδονή, ὅταν κοινῇ στεφανώμεθα πάντες. Τοῦτο καὶ ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι γίνεται· ὁ παλαίσας, ὁ πυκτεύσας, ὁ παγκρατιάσας ἐν διαφόροις μὲν καιροῖς τοὺς ἀγῶνας ὑπομένουσιν, ἐν μιᾷ δὲ καιροῦ ῥοπῇ πάντες ἀνακηρύττονται. Οὕτω καὶ ἐν τοῖς ἀρίστοις γίνεται. Ὅταν γὰρ τῶν δαιτυμόνων οἱ μὲν φθάσωσι προαπαντήσαντες, οἱ δὲ ἔτι μέλλωσι, τιμῶντες τοὺς ἀπολειφθέντας οἱ ἑστιάτορες, τοὺς φθάσαντας ἤδη καὶ παραγενομένους κελεύουσιν ἀναμένειν τοὺς ὑστερήσαντας. Τοῦτο καὶ ὁ Θεὸς πεποίηκεν· ἐπειδὴ γὰρ τοὺς ἐκ τῆς οἰκουμένης ἁπάσης κατὰ διαφόρους καιροὺς εὐδοκιμηκότας ἐπὶ κοινήν τε καὶ πνευματικὴν εὐωχίαν ἐκάλεσε, τοὺς ἤδη φθάσαντας καὶ προαπελθόντας κελεύει τοὺς μετὰ ταῦτα ἀπιέναι μέλλοντας ἀναμένειν, ἵν' οὕτω κοινῇ παραγενομένων ἁπάντων, καὶ ἡ τιμὴ καὶ ἡ ἡδονὴ μία ἅπασι γένηται.

33. Ἑβρ. 11,39–40.

34. Οἱ Ὀλυμπιακοὶ ἀγῶνες ποὺ ἀπὸ τὸ 776 π.Χ. διεξάγονταν κάθε τέσσερα χρόνια καταργήθηκαν ἀπὸ τὸν αὐτοκράτορα Μ. Θεοδόσιο τὸ 394. μ.Χ. ὡς εἰδωλολατρικὴ ἐκδήλωση.

καὶ ὅσους ἀνῆκαν στὸ χορὸ τῶν ἁγίων καὶ μεγάλων ἀνδρῶν τοὺς καλοῦσε στοὺς οὐρανοὺς καὶ στὰ ἐκεῖ ἀγαθά, ποὺ ἔχουν ἑτοιμασθεῖ γιὰ ἐκείνους ποὺ ἔχουν κατορθώσει τὴν ἀρετή.

Γι' αὐτὸ καὶ ὁ Παῦλος δὲν ἀρίθμησε ὅλους γενικά, ἀλλὰ ἐκείνους ποὺ ἦταν ντυμένοι μὲ προβιὲς καὶ μὲ κατσικίσια δέρματα, ποὺ δοκιμάσθηκαν σὲ καμίνι καὶ σὲ φυλακή, ποὺ βασανίσθηκαν ὣς τὸ θάνατο, ποὺ λιθοβολήθηκαν, ποὺ ἔζησαν μὲ πείνα καὶ μὲ φτώχεια, ποὺ πλανήθηκαν σὲ ἐρημιές, σὲ σπηλιὲς καὶ σὲ τρύπες τῆς γῆς, ποὺ ἔπαθαν ἄπειρα κακά. Καὶ ὕστερα εἶπε ὅτι ὅλοι πέθαναν μὲ πίστη καὶ δὲν ἔλαβαν ἀκόμη τὶς ὑποσχέσεις τοῦ Θεοῦ, ὑπονοώντας ὄχι τὸν ἰουδαϊκὸ λαὸ ἀλλὰ ὅσους ἔζησαν ὅπως ὁ Ἠλίας. Καὶ ἂν ἐρωτήσει κανείς· 'αὐτοὶ ὅμως γιὰ ποιό λόγο δὲν ἀπόλαυσαν μέχρι τώρα τὰ βραβεῖα ποὺ δικαιοῦνται;' ἂς μάθει ἀπὸ τὸν Παῦλο καὶ αὐτὴ τὴν αἰτία. Γιατὶ ἀφοῦ εἶπε, «ὅλοι αὐτοὶ πέθαναν μὲ πίστη χωρὶς νὰ ἔχουν λάβει τὶς ὑποσχέσεις», πρόσθεσε· «ἐπειδὴ ὁ Θεὸς εἶχε προβλέψει κάτι καλύτερο γιὰ μᾶς, γιὰ νὰ μὴ φθάσουν ἐκεῖνοι στὴν τελειότητα χωρὶς ἐμᾶς»[33].

Εἶναι καλή, λέγει, ἡ πανήγυρη, ἐπειδὴ καὶ ἡ εὐχαρίστηση εἶναι μεγαλύτερη ὅταν ὅλοι μαζὶ παίρνουμε τὰ βραβεῖα. Τὸ ἴδιο γίνεται καὶ στοὺς Ὀλυμπιακοὺς ἀγῶνες[34]. Ὁ παλαιστής, ὁ πυγμάχος, καὶ ὁ ἀθλητὴς τοῦ παγκρατίου ἀγωνίζονται σὲ διαφορετικὲς ὧρες, τὴν ἴδια ὅμως στιγμὴ ἀνακηρύσσονται ὅλοι νικητές. Ἔτσι συμβαίνει καὶ στὰ δεῖπνα. Γιατὶ ὅταν ἀπὸ τοὺς συνδαιτυμόνες ἄλλοι φθάσουν νωρίτερα καὶ ἄλλοι καθυστερήσουν, οἱ οἰκοδεσπότες τιμώντας τοὺς ἀπόντες παρακαλοῦν αὐτοὺς ποὺ πρόφθασαν καὶ ἦρθαν ἤδη νὰ περιμένουν ὅσους καθυστέρησαν. Αὐτὸ ἔκαμε καὶ ὁ Θεός. Ἐπειδὴ δηλαδὴ κάλεσε σὲ κοινὸ καὶ πνευματικὸ συμπόσιο ἐκείνους ποὺ ἀπ' ὅλη τὴν οἰκουμένη κατόρθωσαν τὴν ἀρετὴ σὲ διάφορες ἐποχές, παραγγέλλει αὐτοὺς ποὺ ἔφθασαν ἤδη καὶ ἔφυγαν πρῶτοι ἀπὸ τὴ ζωὴ αὐτὴ νὰ περιμένουν ἐκείνους ποὺ πρόκειται νὰ φύγουν ἀργότερα, γιὰ νὰ παρουσιασθοῦν ὅλοι μαζὶ καὶ νὰ γίνει ἔτσι μία ἡ τιμὴ καὶ ἡ εὐχαρίστηση γιὰ ὅλους.

10. Ἐννόησον γὰρ ἡλίκον ἐστὶν εἰς τιμῆς λόγον, Παῦλον καὶ τοὺς κατ' ἐκεῖνον ἅπαντας, τὸν Ἀβραάμ, καὶ τοὺς κατ' ἐκεῖνον, καὶ τοὺς πρὸ ἐκείνου πάλιν πρὸ τοσούτων ἐτῶν ἀθλήσαντας καὶ νικήσαντας καθῆσθαι νῦν τὴν ἡμετέραν ἀναμένοντας εὐδοκίμησιν. Ὅτι γὰρ οὐδέπω τὸν στέφανον Παῦλος ἀπείληφεν, οὐδὲ ἄλλος οὐδεὶς τῶν ἐξ ἀρχῆς εὐηρεστηκότων, ἀλλ' οὐδὲ ἀπολήψονται, ἕως ἂν ἅπαντες οἱ μέχρι τέλους στεφανοῦσθαι μέλλοντες ἀφίκωνται, ἄκουσον αὐτοῦ τοῦ Παύλου λέγοντος· «τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ δίκαιος κριτής». Πότε; «Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ».

Καὶ πάλιν ἀλλαχοῦ δεικνύς, ὅτι κοινῇ πᾶσιν ἡ τῶν ἀγαθῶν ἀπόλαυσις δίδοται, Θεσσαλονικεῦσι γράφων ἔλεγεν· «εἴπερ δίκαιον παρὰ Θεῷ ἀποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν». Καὶ πάλιν· «ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας»· διὰ πάντων τούτων δηλῶν, ὅτι κοινῇ πάντας καὶ ὁμοῦ παραγενομένους τῶν οὐρανίων τιμῶν ἀπολαύειν χρή. Τοῦτο καὶ τοῖς φθάσασι πολλὴν φέρει τὴν ἡδονήν, ὅταν μετὰ τῶν οἰκείων μελῶν τῶν ἀπορρήτων ἐκείνων ἀπολαύσωσιν ἀγαθῶν. Καὶ γὰρ πατὴρ τραπέζης μετέχων λαμπρᾶς καὶ πολυτελοῦς, τότε μετὰ πλείονος αὐτῆς ἀπολαύσεται τῆς εὐφροσύνης, ὅταν μετὰ τῶν αὐτοῦ παιδίων μετέχῃ τῆς εὐωχίας καὶ εὐφροσύνης. Οὕτω καὶ Παῦλος καὶ οἱ κατ' ἐκεῖνον ἅπαντες μείζονος αἰσθήσονται τῆς θυμηδίας, ὅταν μετὰ τῶν οἰκείων μελῶν ὄντες ἀπολαύσωσιν αὐτῆς. Οὐ γὰρ τοσαύτην πατέρες περὶ παῖδας ἐπιδείκνυνται φιλοστοργίαν, ὅσην ἐκεῖνοι περὶ τοὺς τὰ αὐτὰ κατωρθωκότας αὐτοῖς ἔχουσι κηδεμονίαν.

---

35. Β' Τιμ. 4,7–8.

36. Β' Θεσ. 1,6–7.

37. Α' Θεσ. 4,15.

10. Σκέψου λοιπὸν πόσο μεγάλη τιμὴ εἶναι ὁ Παῦλος καὶ ὅλοι ὅσοι ἔζησαν ὅπως ἐκεῖνος, ὁ Ἀβραὰμ καὶ ὅσοι τὸν μιμήθηκαν, καθὼς καὶ ὅσοι πρὶν ἀπ' αὐτὸν πάλι ἀγωνίσθηκαν καὶ νίκησαν πρὶν ἀπὸ τόσα χρόνια, νὰ καθήσουν τώρα καὶ νὰ περιμένουν τὴ δική μας εὐδοκίμηση. Ὅτι βέβαια ὁ Παῦλος δὲν ἔλαβε ἀκόμη τὸ στεφάνι τῆς νίκης, οὔτε κανεὶς ἄλλος ἀπὸ ἐκείνους ποὺ ἀπὸ τὴν ἀρχὴ εὐαρέστησαν τὸ Θεό, ἀλλὰ οὔτε θὰ τὸ λάβουν μέχρι ποὺ νὰ φθάσουν ὅλοι ἐκεῖνοι ποὺ πρόκειται ὡς τὸ τέλος νὰ στεφανωθοῦν, ἄκουσε τὸν ἴδιο τὸν Παῦλο νὰ λέγει· «τὸν ἀγώνα τὸν καλὸ ἀγωνίσθηκα, τὸ δρόμο τὸν τελείωσα, τὴν πίστη τὴ φύλαξα. Τώρα πιὰ μὲ περιμένει τὸ στεφάνι τῆς δικαιοσύνης, ποὺ θὰ μοῦ δώσει ὁ δίκαιος κριτής». Πότε; «Τὴν ἡμέρα ἐκείνη· καὶ ὄχι μόνο σὲ μένα, ἀλλὰ καὶ σὲ ὅλους ἐκείνους ποὺ ἀγαποῦν τὴν ἔλευσή του»[35].

Καὶ ἀλλοῦ πάλι γιὰ νὰ δείξει ὅτι ἡ ἀπόλαυση τῶν ἀγαθῶν δίνεται σὲ ὅλους μαζί, γράφοντας στοὺς Θεσσαλονικεῖς ἔλεγε· «πραγματικά, εἶναι δίκαιο στὸ Θεὸ ν' ἀνταποδώσει θλίψη σὲ ὅσους σᾶς θλίβουν, καὶ σὲ σᾶς ποὺ θλίβεστε νὰ δώσει ἀνάπαυση μαζὶ μὲ μᾶς»[36]. Καὶ πάλι· «ἐμεῖς ποὺ θὰ ἔχουμε ἀπομείνει ζωντανοὶ ὡς τὴν παρουσία τοῦ Κυρίου δὲ θὰ φθάσουμε πρὶν ἀπὸ ἐκείνους ποὺ πέθαναν»[37]. Μὲ ὅλα αὐτὰ θέλει νὰ δηλώσει ὅτι πρέπει ἀφοῦ φθάσουν ἐκεῖ ὅλοι, ἀπὸ κοινοῦ καὶ ὅλοι μαζὶ θὰ ἀπολαμβάνουν τὶς οὐράνιες τιμές. Αὐτὸ καὶ σ' ἐκείνους ποὺ ἔφθασαν πρῶτοι παρέχει πολλὴ εὐχαρίστηση, ἐφόσον θὰ συμβεῖ μὲ τὰ δικά τους μέλη ν' ἀπολαύσουν τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά. Γιατὶ καὶ ἕνας πατέρας ποὺ κάθεται σὲ πλούσιο καὶ πολυδάπανο τραπέζι τότε θὰ τὸ ἀπολαύσει μὲ περισσότερη εὐχαρίστηση, ὅταν μαζὶ μὲ τὰ παιδιὰ του παίρνει μέρος στὴν εὐωχία καὶ στὴν εὐφροσύνη αὐτή. Ἔτσι καὶ ὁ Παῦλος καὶ ὅλοι ἐκεῖνοι ποὺ ἔζησαν ὅπως αὐτὸς θὰ αἰσθανθοῦν μεγαλύτερη χαρά, ὅταν θὰ τὴν ἀπολαύσουν μαζὶ μὲ τὰ δικά τους μέλη. Γιατὶ δὲ δείχνουν οἱ πατέρες τόσο μεγάλη ἀγάπη γιὰ τὰ παιδιά τους, ὅση φροντίδα δείχνουν ἐκεῖνοι γιὰ ὅσους κατόρθωσαν τὰ ἴδια μ' αὐτούς.

Ἵν' οὖν καὶ ἡμεῖς τῶν τότε τιμωμένων γενώμεθα, σπουδάζωμεν καταλαβεῖν τοὺς ἁγίους ἐκείνους. Καὶ πῶς δυνησόμεθα, φησί, αὐτοὺς καταλαβεῖν; τίς ἡμῖν δείξει τὴν ἐκεῖ φέρουσαν ὁδόν; Αὐτὸς ὁ τῶν ἁγίων ἐκείνων Δεσπότης, ὃς οὐχ ὅπως αὐτοὺς καταληψώμεθα μόνον διδάσκει, ἀλλὰ καὶ ὅπως ὁμωρόφιοι καὶ σύσκηνοι γενώμεθα πᾶσιν αὐτοῖς· «ποιήσατε γὰρ ὑμῖν φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας», φησίν, ἵν', ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς». Καλῶς εἶπεν, «αἰωνίους». Ἐνταῦθα μὲν γὰρ κἂν λαμπρὰν ἔχῃς οἰκίαν, ἀπολεῖται πάντως φθειρομένη τῷ χρόνῳ· μᾶλλον δὲ καὶ πρὸ τῆς κατὰ τὸν χρόνον φθορᾶς θάνατος ἐμπεσὼν ἐκβάλλει σε τῆς λαμπρᾶς ταύτης οἰκήσεως· πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου πραγμάτων τινῶν δυσκολίαι καὶ συκοφαντῶν ἔφοδοι καὶ ἐπιβουλαὶ ἐκπεσεῖν αὐτῆς παρεσκεύασαν. Ἐκεῖ δὲ οὐδὲν τούτων ἐστὶν ὑποπτεῦσαι, οὐ φθοράν, οὐ θάνατον, οὐ κατάπτωσιν, οὐ συκοφαντῶν ἐπήρειαν, οὐκ ἄλλο οὐδέν, ἀλλ' ἀκίνητος καὶ ἀθάνατός ἐστιν ἡ οἴκησις. Διὰ τοῦτο «αἰωνίους» αὐτὰς ἐκάλεσε. «Ποιήσατε ὑμῖν φίλους», φησίν, «ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας».

11. Ὅρα πόση φιλανθρωπία τοῦ Δεσπότου, πόση χρηστότης καὶ ἐπιείκεια· οὐ γὰρ ἁπλῶς ταύτην τέθεικε τὴν προσθήκην, ἀλλ' ἐπειδὴ πολλοῖς πλουσίοις πλοῦτος συνείλεκται ἐξ ἁρπαγῆς καὶ πλεονεξίας. Κακῶς μέν, φησί, καὶ οὐκ ἐχρῆν σε οὕτω συλλέξαι τὰ χρήματα· πλὴν ἀλλ' ἐπειδὴ συνέλεξας, στῆθι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας καὶ χρῆσαι εἰς δέον τοῖς χρήμασιν. Οὐ λέγω, ἵνα ἁρπάζων ἐλεῇς, ἀλλ' ἵνα τῆς πλεονεξίας ἀποστάς, πρὸς ἐλεημοσύνην καὶ φιλανθρωπίαν ἀποχρήσῃ τῷ πλούτῳ. Εἰ γάρ τις μὴ παύσαιτο τῆς ἁρπαγῆς, οὐδὲ ἐλεημοσύνην ἐργάσεται· ἀλλὰ κἂν μυρία καταβάλῃ χρήματα εἰς τὰς τῶν δεομένων χεῖρας, τὰ ἑτέρων ἁρπάζων καὶ πλεονεκτῶν, τοῖς ἀνδροφόνοις ἐξί-

38. Λουκᾶ. 16,9.

Γιὰ νὰ βρεθοῦμε λοιπὸν καὶ ἐμεῖς ἀνάμεσα σ' ἐκείνους ποὺ θὰ τιμηθοῦν, ἂς προσπαθήσουμε νὰ φθάσουμε ἐκείνους τοὺς ἁγίους. Καὶ πῶς θὰ μπορέσουμε, λέγει, νὰ φθάσουμε αὐτούς; Ποιός θὰ μᾶς δείξει τὸ δρόμο ποὺ ὁδηγεῖ ἐκεῖ; Ὁ ἴδιος ὁ Κύριος ἐκείνων τῶν ἁγίων, ὁ ὁποῖος μᾶς διδάσκει ὄχι μόνο πῶς θὰ φθάσουμε αὐτούς, ἀλλὰ καὶ πῶς νὰ γίνουμε συγκάτοικοι καὶ ὁμόσκηνοι μὲ ὅλους αὐτούς. «Νὰ κάνετε», λέγει, «φίλους σας ἀκόμη καὶ απο τὰ χρήματα τῆς ἀδικίας, ὥστε ὅταν πεθάνετε νὰ σᾶς δεχθοῦν στὶς αἰώνιες κατοικίες τους»[38]. Σωστὰ εἶπε, «αἰώνιες». Γιατὶ ἐδῶ καὶ ἂν ἀκόμη ἔχεις λαμπρὸ σπίτι ὁπωσδήποτε θὰ καταστραφεῖ ἀπὸ τὴ φθορὰ τοῦ χρόνου· ἢ καλύτερα πρὶν ἀπ' αὐτὴ τὴ φθορὰ τοῦ χρόνου θὰ ἔρθει ὁ θάνατος καὶ θὰ σὲ βγάλει ἀπὸ τὸ λαμπρὸ αὐτὸ σπίτι· πολλὲς φορὲς μάλιστα καὶ πρὶν ἀπὸ τὸ θάνατο κάποιες δύσκολες περιστάσεις καὶ συκοφαντικὲς ἐπιθέσεις καὶ ἐπιβουλὲς σὲ ἔκαναν νὰ τὸ χάσεις. Ἐκεῖ ὅμως τίποτε ἀπ' αὐτὰ δὲν εἶναι δυνατὸ νὰ ὑποψιασθεῖ κανείς, οὔτε φθορά, οὔτε θάνατο, οὔτε ἀπώλεια, οὔτε βλάβη τῶν συκοφαντῶν, οὔτε τίποτε ἄλλο, ἀλλὰ ἡ κατοικία εἶναι ἀκίνητη καὶ ἀθάνατη. Γι' αὐτὸ τὶς ὀνόμασε αἰώνιες. «Νὰ κάνετε», λέγει, «φίλους σας ἀπὸ τὰ χρήματα τῆς ἀδικίας»

11. Πρόσεχε πόση εἶναι ἡ φιλανθρωπία τοῦ Κυρίου, πόση εἶναι ἡ καλωσύνη καὶ ἡ ἀγαθότητά του. Δὲν τὸ πρόσθεσε τυχαῖα αὐτό, ἀλλὰ γιατὶ πολλοὶ πλούσιοι συγκέντρωσαν τὸν πλοῦτο ἀπὸ ἁρπαγὲς καὶ πλεονεξία. Κακῶς ἔπραξες, λέγει, καὶ δὲν ἔπρεπε νὰ συγκεντρώσεις ἔτσι τὰ χρήματα· ἀλλ' ὅμως, ἀφοῦ τὰ συγκέντρωσες, σταμάτησε τὴν ἁρπαγὴ καὶ τὴν πλεονεξία καὶ χρησιμοποίησε σωστὰ τὰ χρήματα. Δὲ λέγω, νὰ ἁρπάζεις καὶ νὰ ἐλεεῖς, ἀλλὰ νὰ ἀφήσεις τὴν πλεονεξία καὶ νὰ χρησιμοποιήσεις τὸν πλοῦτο γιὰ ἐλεημοσύνη καὶ φιλανθρωπία. Γιατὶ ἂν δὲ σταματήσει κανεὶς τὴν ἁρπαγή, οὔτε ἐλεημοσύνη θὰ κάνει· ἀλλὰ καὶ ἂν ἀκόμη δώσει πάρα πολλὰ χρήματα στὰ χέρια τῶν ἀνθρώπων ποὺ ἔχουν ἀνάγκη, ὅταν ἁρπάζει τὰ χρήματα τῶν ἄλλων καὶ εἶναι πλεονέκτης, θὰ θεωρηθεῖ ἀπὸ τὸ Θεὸ ὅμοιος μὲ τοὺς δολοφόνους. Γι' αὐτὸ πρέπει κανεὶς πρῶτα νὰ ἀφήνει τὴν

σης λελόγισται τῷ Θεῷ. Διὸ χρὴ πλεονεξίας ἀποστάντα πρότερον, οὕτω τοὺς δεομένους ἐλεεῖν. Πολλὴ γὰρ τῆς ἐλεημοσύνης ἡ δύναμις, περὶ ἧς καὶ τῇ προτεραίᾳ συνάξει πρὸς ὑμᾶς διελέχθημεν καὶ νῦν διαλέξομαι.

Ἀλλὰ μηδεὶς τὴν συνέχειαν τῆς ὑπομνήσεως κατηγορίαν ἡγείσθω τῶν ἀκουόντων. Καὶ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους τῶν δρομέων διεγείρουσιν οἱ θεαταί, οὓς ἂν ἴδωσιν ἐγγὺς τοῦ βραβείου γενομένους καὶ πολλὰς τῆς νίκης ἐλπίδας ἔχοντας. Καὶ ἐγὼ τοίνυν, ἐπειδὴ μετὰ πολλῆς ἀεὶ προθυμίας ὁρῶ τοὺς περὶ ἐλεημοσύνης δεχομένους λόγους ὑμᾶς, διὰ τοῦτο καὶ αὐτὸς συνεχέστερον τὴν ὑπὲρ τούτων κινῶ παραίνεσιν. Ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ πένητες, εὐεργέται καὶ προστάται· οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις· δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτῷ τὸν Δεσπότην. Ὁρᾷς ὅτι οὐκ ἴση ἡ ἀντίδοσις; Ταῦτα ἐπὶ γῆς, ἐκεῖνα ἐν οὐρανῷ· ταῦτα ἀπόλλυται, ἐκεῖνα διανέμει· ταῦτα φθείρεται, ἐκεῖνα πάσης ἐστὶν ἀνώτερα ἀπωλείας. Διὰ τοῦτο καὶ πρὸ τῶν θυρῶν τῶν οἴκων τῶν εὐκτηρίων ἔστησαν τοὺς πένητας οἱ πατέρες οἱ ἡμέτεροι, ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον αὐτὴ τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης.

Ὅταν γὰρ ἑστήκῃ χορὸς γερόντων, συγκεκυφότων, ῥάκια περιβεβλημένων, αἰχμαλώτων, ῥυπώντων, βακτηρίας ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων, πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομένων καὶ τὸ σῶμα ὅλον ἀναπήρων, τίς οὕτω λίθινος, τίς οὕτως ἀδάμας, ὡς καὶ τῆς ἡλικίας καὶ τῆς ἀσθενείας καὶ τῆς πηρώσεως καὶ τῆς πενίας καὶ τῆς εὐτελοῦς στολῆς καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικλώντων αὐτόν, ἀντιστῆναι καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀνένδοτος; Διὰ ταῦτα πρὸ τῶν θυρῶν ἡμῶν ἑστήκασι παντὸς λόγου δυνατώτεροι, διὰ τῆς ὄψεως ἐπισπώμενοι, πρὸς φιλανθρωπίαν τοὺς εἰσιόντας ἐκκαλούμενοι. Καθάπερ γὰρ κρήνας εἶναι ἐν ταῖς αὐλαῖς τῶν εὐκτηρίων οἴκων νενόμισται, ἵνα οἱ μέλλοντες εὔχεσθαι τῷ Θεῷ, πρότερον ἀπονιψάμενοι τὰς χεῖρας, οὕτως αὐτὰς εἰς εὐχὴν ἀνατείνωσιν, οὕτω

πλεονεξία καὶ μετὰ νὰ ἐλεεῖ ἐκείνους ποὺ ἔχουν ἀνάγκη. Γιατὶ εἶναι μεγάλη ἡ δύναμη τῆς ἐλεημοσύνης, γιὰ τὴν ὁποία καὶ στὴν προηγούμενη σύναξη σᾶς μίλησα καὶ τώρα πάλι θὰ σᾶς μιλήσω.

Ἀλλὰ κανεὶς ἂς μὴ θεωρήσει τὴ συχνὴ ὑπόμνηση ὡς κατηγορία τῶν ἀκροατῶν. Γιατὶ καὶ στοὺς ἀγῶνες ὁ θεατὲς παροτρύνουν ἐκείνους τοὺς δρομεῖς ποὺ θὰ δοῦν νὰ πλησιάζουν τὸ βραβεῖο καὶ νὰ ἔχουν πολλὲς ἐλπίδες γιὰ τὴ νίκη. Καὶ ἐγὼ λοιπόν, ἐπειδὴ βλέπω νὰ δέχεστε μὲ πολλὴ προθυμία πάντοτε τοὺς λόγους γιὰ τὴν ἐλεημοσύνη, γι' αὐτὸ ἀκριβῶς πιὸ συχνὰ σᾶς προτρέπω γι' αὐτήν. Οἱ φτωχοὶ εἶναι γιατροὶ τῶν ψυχῶν μας, εὐεργέτες καὶ προστάτες. Γιατὶ δὲ δίνεις τόσο, ὅσο παίρνεις· δίνεις χρήματα, καὶ παίρνεις τὴ βασιλεία τῶν οὐρανῶν· ἀνακουφίζεις τὴ φτώχεια καὶ συμφιλιώνεις τὸν Κύριο μὲ τὸν ἑαυτό σου. Βλέπεις ὅτι δὲν εἶναι ἴση ἡ ἀνταπόδοση; Αὐτὰ εἶναι στὴ γῆ, ἐκεῖνα στὸν οὐρανό· αὐτὰ χάνονται, ἐκεῖνα παραμένουν· αὐτὰ καταστρέφονται, ἐκεῖνα δὲν παθαίνουν καμιὰ φθορά. Γι' αὐτὸ τὸ λόγο καὶ οἱ πατέρες μας ἔστησαν τοὺς φτωχοὺς μπροστὰ στὶς πόρτες τῶν ναῶν γιὰ νὰ ὑπευνθυμίζει ἡ ὄψη τους τὴν ἐλεημοσύνη καὶ στὸν πιὸ ἀδιάφορο καὶ στὸν πιὸ ἀπάνθρωπο.

Γιατὶ ὅταν στέκονται πολλοὶ γέροντες, κυρτωμένοι, ρακένδυτοι, αἰχμάλωτοι, ἀκάθαρτοι, κρατώντας βακτηρίες, ποὺ μόλις μποροῦν νὰ στηρίζονται, καὶ πολλὲς φορὲς χωρὶς μάτια καὶ ἀνάπηροι σὲ ὅλο τὸ σῶμα, ποιός εἶναι τόσο ἀναίσθητος, τόσο σκληρός, ὥστε ν' ἀντισταθεῖ καὶ στὴν ἡλικία καὶ στὴν ἀρρώστια καὶ στὴν ἀναπηρία καὶ στὴ φτώχεια καὶ στὴ φθαρμένη ἐνδυμασία καὶ σὲ ὅλα γενικὰ ποὺ τὸν προκαλοῦν γιὰ συμπάθεια καὶ νὰ μείνει ἀσυγκίνητος μπροστὰ σὲ ὅλα αὐτά; Γι' αὐτὸ στέκονται μπροστὰ στὶς πόρτες μας πιὸ δυνατοὶ ἀπὸ κάθε λόγο καὶ μὲ τὴν ἐμφάνισή τους προσελκύουν τὴν προσοχή μας καὶ καλοῦν γιὰ φιλανθρωπία αὐτοὺς ποὺ εἰσέρχονται στὸ ναό. Γιατὶ ὅπως ἔχει καθιερωθεῖ νὰ ὑπάρχουν βρύσες στὶς αὐλὲς τῶν ναῶν, ὥστε ὅσοι πρόκειται νὰ προσευχηθοῦν στὸ Θεὸ πρῶτα νὰ πλένουν τὰ χέρια τους καὶ ὕστερα νὰ τὰ σηκώσουν γιὰ προ-

καὶ τοὺς πένητας ἀντὶ πηγῶν καὶ κρηνῶν ἔστησαν οἱ πατέρες πρὸ τῶν θυρῶν, ἵν', ὥσπερ ὕδατι τὰς χεῖρας ἀπονίπτομεν, οὕτω φιλανθρωπίᾳ τὴν ψυχὴν ἀποσμήχοντες πρότερον, οὕτως εὐχώμεθα.

12. Οὐδὲ γὰρ οὕτως ὕδατος φύσις ἀπονίπτει κηλῖδας σώματος, ὡς ἐλεημοσύνης δύναμις ἀποσμήχει ῥύπον ψυχῆς. Ὥσπερ οὖν οὐ τολμᾷς ἀνίπτοις χερσὶν εἰσελθὼν εὔξασθαι, καίτοι ἔλαττον τὸ ἔγκλημα ἐκεῖνο, οὕτω μήτε χωρὶς ἐλεημοσύνης ἐπ' εὐχὴν ἔλθῃς ποτέ. Καίτοι καὶ καθαρὰς πολλάκις ἔχοντες τὰς χεῖρας, ἂν μὴ πρότερον αὐτὰς ἀποπλύνωμεν ὕδατι, οὐκ ἀνατείνομεν εἰς εὐχήν· τοσοῦτόν ἐστιν ἡ συνήθεια. Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν· κἂν μηδὲν ἑαυτοῖς ὦμεν συνειδότες μέγα ἁμάρτημα, ὅμως ἀποσμήχωμεν τὸ συνειδὸς διὰ τῆς ἐλεημοσύνης.

Πολλὰ ἀπὸ τῆς ἀγορᾶς ἐπεσπάσω δεινά· ἐχθρὸς παρώξυνε, δικαστὴς ἠνάγκασέ τι ποιῆσαι τῶν οὐ προσηκόντων πραγμάτων, ῥήματα πολλάκις ἐξέβαλες ἄτοπα, φίλος ἐδυσώπησεν ἐργάσασθαί τι τῶν ἁμαρτίαν ἐχόντων, ἕτερα προσετρίψω πολλά, οἷα εἰκὸς ἄνθρωπον ὄντα προστρίβεσθαι, ἐν ἀγορᾷ στρεφόμενον, δικαστηρίοις προσεδρεύοντα, τὰ τῆς πόλεως πράττοντα πράγματα· ὑπὲρ τούτων ἁπάντων εἰσέρχῃ τὸν Θεὸν αἰτήσων συγγνώμην καὶ ἀπολογησάμενος. Κατάβαλε τοίνυν ἀργύριον εἰς τὰς τῶν πενήτων χεῖρας, καὶ ἀπόσμηξον τὰς κηλῖδας ἐκείνας, ἵνα μετὰ παρρησίας καλέσῃς αἰτούμενος τὸν δυνάμενόν σοι ταῦτα ἀφεῖναι τὰ ἁμαρτήματα. Ἂν ἐν συνηθείᾳ καταστήσῃς σαυτὸν μηδέποτε χωρὶς ἐλεημοσύνης τῶν ἱερῶν τούτων προθύρων ἐπιβαίνειν, οὐδέποτε (οὔτε ἑκὼν οὔτε ἄκων) ὑστερήσεις τῆς καλῆς ταύτης ἐργασίας· τοιοῦτον γὰρ ἡ συνήθεια. Καὶ ὥσπερ οὖν ἀεί, ὅτι οὖν γένοιτο, χερσὶν ἀνίπτοις οὐχ ὑπομένεις εὔξασθαι, ἐπειδὴ κατέστης εἰς συνήθειαν ἅπαξ, οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης, ἂν τοῦτον σαυτῷ ἐπιθήσῃς τὸν νόμον, καὶ ἑκὼν καὶ

σευχή, ἔτσι καὶ τοὺς φτωχοὺς τοὺς ἔστησαν οἱ πατέρες μπροστὰ ἀπὸ τὶς πόρτες ἀντὶ γιὰ πηγὲς καὶ βρύσες, γιὰ νὰ καθαρίζουμε πρῶτα τὴν ψυχή μας μὲ τὴ φιλανθρωπία, ὅπως πλένουμε τὰ χέρια μας μὲ τὸ νερό, καὶ ὕστερα νὰ προσευχόμαστε.

12. Γιατὶ οὔτε ἡ φύση τοῦ νεροῦ καθαρίζει τόσο πολὺ τὶς κηλίδες τοῦ σώματος, ὅσο ἡ δύναμη τῆς ἐλεημοσύνης καθαρίζει τὸ ρύπο τῆς ψυχῆς. Ὅπως λοιπὸν δὲν τολμᾶς μὲ ἄπλυτα χέρια νὰ μπεῖς καὶ νὰ προσευχηθεῖς, παρ' ὅλο ποὺ τὸ παράπτωμα αὐτὸ εἶναι μικρότερο, ἔτσι χωρὶς ἐλεημοσύνη νὰ μὴν ἔρθεις ποτὲ γιὰ προσευχή. Καὶ βέβαια πολλὲς φορὲς ἂν καὶ ἔχουμε καθαρὰ χέρια δὲν τὰ σηκώνουμε γιὰ προσευχή, ἂν δὲν τὰ πλύνουμε πρῶτα μὲ νερό. Αὐτὸ ἂς κάνουμε καὶ στὴν ἐλεημοσύνη· καὶ ἂν ἀκόμη δὲν καταλογίζουμε κανένα μεγάλο ἁμάρτημα στὸν ἑαυτό μας, ὅμως ἂς καθαρίζουμε τὴ συνείδησή μας μὲ τὴν ἐλεημοσύνη.

Πολλὰ κακὰ συγκέντρωσες ἀπὸ τὴν ἀγορά· ἐχθρὸς σὲ ἐξόργισε, δικαστὴς σὲ ἀνάγκασε νὰ κάνεις κάτι ἀπὸ τὰ ἀνάρμοστα πράγματα, πολλὲς φορὲς ξεστόμισες ἄπρεπα λόγια, φίλος σὲ πίεσε νὰ πράξεις κάτι ἁμαρτωλό, ἔκαμες πολλὰ ἄλλα, τὰ ὁποῖα εἶναι φυσικὸ νὰ κάνει ὁ ἄνθρωπος ὅταν γυρίζει στὴν ἀγορὰ καὶ κάθεται στὰ δικαστήρια καὶ ἀσχολεῖται μὲ τὶς ὑποθέσεις τῆς πόλης· γιὰ ὅλα αὐτὰ ἔρχεσαι στὴν ἐκκλησία γιὰ νὰ ζητήσεις συγγνώμη ἀπὸ τὸ Θεὸ καὶ γιὰ νὰ ἀπολογηθεῖς. Ρίξε λοιπὸν χρήματα στὰ χέρια τῶν φτωχῶν καὶ καθάρισε αὐτὲς τὶς κηλίδες, γιὰ νὰ καλέσεις μὲ παρρησία στὴν προσευχή σου ἐκεῖνον ποὺ μπορεῖ νὰ σοῦ συγχωρήσει αὐτὰ τὰ ἁμαρτήματα. Ἂν ἀποκτήσεις τὴ συνήθεια νὰ μὴν περνᾶς ποτὲ τὰ ἱερὰ αὐτὰ προπύλαια χωρὶς ἐλεημοσύνη, δὲ θὰ ὑστερήσεις ποτὲ (οὔτε μὲ τὴ θέλησή σου οὔτε χωρὶς νὰ τὸ θέλεις) στὴν καλὴ αὐτὴ πράξη, γιατὶ τέτοια εἶναι ἡ συνήθεια. Καὶ ὅπως λοιπὸν πάντοτε, ὅ,τι καὶ ἂν γίνει, δὲν ἀνέχεσαι νὰ προσευχηθεῖς μὲ ἄπλυτα χέρια, ἐπειδὴ ἀπέκτησες τὴ συνήθεια πιά, ἔτσι καὶ στὴν ἐλεημοσύνη, ἂν θέσεις στὸν ἑαυτό σου αὐτὴ τὴν ἀρχή, θὰ τὴν ἐκπληρώνεις

ἄκων αὐτὸν καθ' ἑκάστην ἐκπληρώσεις ἡμέραν ὑπὸ τῆς συνηθείας ἑλκόμενος.

Πῦρ ἐστιν ἡ εὐχή, μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς· ἀλλὰ τὸ πῦρ τοῦτο καὶ ἐλαίου δεῖται, ἵνα αὐτῶν ἅψηται τῶν οὐρανίων ἀψίδων· ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ ἐλεημοσύνη. Ἐπίχεε τοίνυν τὸ ἔλαιον δαψιλές, ἵνα εὐφραινόμενος ἐπὶ τῷ κατορθώματι, ματὰ παρρησίας πλείονος καὶ προθυμίας μείζονος τὰς εὐχάς σου ἐπιτελῇς. Ὥσπερ γὰρ οἱ μηδὲν ἑαυτοῖς συνειδότες ἀγαθόν, κατορθώσαντές τι, καὶ μετὰ τὴν δικαιοσύνην ἐκείνην ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι, τῇ μνήμῃ τοῦ κατορθώματος εὐφραινόμενοι, μετὰ πλείονος τῆς προθυμίας ποιοῦνται τὴν ἱκετηρίαν.

Ἵν' οὖν καὶ κατὰ τοῦτο δυνατωτέρα ἡμῖν ἡ εὐχὴ γένηται, γρηγορούσης ἡμῖν τῆς διανοίας ἐν ταῖς δεήσεσιν ἀπὸ τῆς τῶν κατορθωμάτων μνήμης, μετὰ τῆς ἐλεημοσύνης ἐπὶ τὰς εὐχὰς ἐρχώμεθα, καὶ μνημονεύωμεν μετὰ ἀκριβειάς ἅπαντα τὰ εἰρημένα· καὶ πρό γε τῶν ἄλλων ἁπάντων ἐκείνην μοι τὴν εἰκόνα διατηρεῖτε διηνεκῶς, καθ' ἣν εἶπον τοὺς πένητας πρὸ τῶν θυρῶν ἑστάναι τῶν εὐκτηρίων οἴκων, ταύτην ἐπὶ τῆς ψυχῆς ἀναπληροῦντες τὴν χρείαν, ἣν ἐπὶ τοῦ σώματος ἡ κρήνη.

Ἂν γὰρ τοῦτο ὦμεν διηνεκῶς μεμνημένοι, συνεχῶς ἀπονιπτόμενοι τὸν λογισμόν, καθαρὰς μὲν δυνησόμεθα τὰς εὐχὰς ἐπιτελεῖν, πολλὴν δὲ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ τὴν παρρησίαν, καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κάθε ἡμέρα καὶ μὲ τὴ θέλησή σου καὶ χωρὶς νὰ τὸ θέλεις ὁδηγούμενος ἀπὸ τὴ συνήθεια.

Φωτιὰ εἶναι ἡ προσευχή, καὶ προπάντων ὅταν ἀναπέμπεται ἀπὸ νηφάλια καὶ φλογισμένη ψυχή. Ἀλλὰ ἡ φωτιὰ αὐτὴ χρειάζεται καὶ λάδι γιὰ νὰ ἀγγίξει τὶς οὐράνιες ἀψίδες· καὶ λάδι τῆς φωτιᾶς αὐτῆς δὲν εἶναι τίποτε ἄλλο παρα ἡ ἐλεημοσύνη. Χύνε λοιπὸν τὸ λάδι ἄφθονο, γιὰ νὰ αἰσθάνεσαι χαρὰ γιὰ τὸ κατόρθωμά σου καὶ νὰ κάνεις τὶς προσευχές σου μὲ περισσότερο θάρρος καὶ μεγαλύτερη προθυμία. Γιατὶ ὅπως ἐκεῖνοι ποὺ δὲν ἔκαναν κανένα καλὸ δὲν μποροῦν νὰ προσευχηθοῦν μὲ θάρρος, ἔτσι αὐτοὶ ποὺ κατόρθωσαν κάτι καὶ ἔρχονται ὕστερα ἀπὸ τὴ δίκαιη αὐτὴ πράξη νὰ προσευχηθοῦν, γεμάτοι χαρὰ ἀπὸ τὴν ἀνάμνηση τοῦ κατορθώματος κάνουν τὴν προσευχή τους μὲ περισσότερη προθυμία.

Γιὰ νὰ γίνει λοιπὸν καὶ σ' αὐτὸ πιὸ δυνατὴ ἡ προσευχή μας, ἐπαγρυπνώντας ὁ νοῦς μας στὶς προσευχὲς ἀπὸ τὴν ἀνάμνηση τῶν κατορθωμάτων, ἂς ἐρχόμαστε στὶς προσευχὲς μὲ τὴν ἐλεημοσύνη καὶ ἂς θυμόμαστε μὲ ἀκρίβεια ὅλα αὐτὰ ποὺ λέχθηκαν. Καὶ πάνω ἀπ' ὅλα τὰ ἄλλα, σᾶς παρακαλῶ, νὰ διατηρεῖτε διαρκῶς ἐκείνη τὴν εἰκόνα, ποὺ εἶπα δηλαδὴ ὅτι οἱ φτωχοὶ στέκονται μπροστὰ στὶς πόρτες τῶν ναῶν ἀναπληρώνοντας ἐκείνη τὴν ἀνάγκη τῆς ψυχῆς τὴν ὁποία ἡ βρύση ἀναπληρώνει στὸ σῶμα.

Ἂν λοιπὸν τὸ θυμόμαστε αὐτὸ διαρκῶς, καθαρίζοντας συνεχῶς τὴ σκέψη μας θὰ μπορέσουμε νὰ ἀναπέμπουμε καθαρὲς τὶς προσευχές μας καὶ νὰ ἀποσπάσουμε μεγάλη παρρησία ἀπὸ τὸ Θεό, ὥστε νὰ ἐπιτύχουμε τὴ βασιλεία τῶν οὐρανῶν μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

«ΟΦΕΛΟΝ ΑΝΕΙΧΕΣΘΕ ΜΟΥ ΜΙΚΡΟΝ ΤΗι ΑΦΡΟΣΥΝΗι»




ΟΜΙΛΙΑ 390

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ

«ΟΦΕΛΟΝ ΑΝΕΙΧΕΣΘΕ ΜΟΥ ΜΙΚΡΟΝ ΤΗι ΑΦΡΟΣΥΝΗι»

1. *Ἅπαντας μὲν φιλῶ τοὺς ἁγίους, μάλιστα δὲ τὸν μακάριον Παῦλον, τὸ σκεῦος τῆς ἐκλογῆς, τὴν σάλπιγγα τὴν οὐράνιον, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. Τοῦτο δὲ εἶπον καὶ ὃν περὶ αὐτὸν ἔρωτα ἔχω εἰς μέσον ἐξήνεγκα, ἵνα καὶ ὑμᾶς κοινωνοὺς ποιήσω τοῦ φίλτρου. Οἱ μὲν γὰρ τὸν σωματικὸν ἔρωτα ἐρῶντες εἰκότως αἰσχύνονται ὁμολογεῖν, ἅτε καὶ ἑαυτοὺς καταισχύνοντες καὶ τοὺς ἀκούοντας βλάπτοντες, οἱ δὲ τὸν πνευματικὸν μηδέποτε ὁμολογοῦντες παυέσθωσαν· καὶ γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς ἀκούοντας ὠφελοῦσι διὰ τῆς καλῆς ταύτης ὁμολογίας. Ἐκεῖνος μὲν γὰρ ὁ ἔρως ἔγκλημα, οὗτος δὲ ἐγκώμιον· ἐκεῖνος μὲν πάθος ψυχῆς διαβεβλημένον ἐστίν, οὗτος δὲ εὐφροσύνη ψυχῆς καὶ ἀγαλλίαμα καὶ κόσμος ἄριστος· ἐκεῖνος εἰσάγει πόλεμον εἰς τὴν τῶν ἐρώντων διάνοιαν, οὗτος καὶ τὸν ὄντα πόλεμον ἐκβάλλει καὶ ἐν εἰρήνῃ πολλῇ τοὺς ἐρῶντας καθίστησι. Κἀκεῖθεν μὲν οὐδὲν ὄφελος γίνεται ἀλλὰ καὶ πολλὴ ζημία χρημάτων καὶ δαπάνη τις ἀνόητος καὶ ζωῆς ἀνατροπὴ καὶ οἰκιῶν ὁλόκληροι διαφθοραί, ἐντεῦθεν δὲ πολὺς ὁ πλοῦτος τῶν κατορθωμάτων, πολλὴ ἡ περιουσία τῆς ἀρετῆς.*

Πρὸς δὲ τοῖς εἰρημένοις, οἱ μὲν σωμάτων εὐμόρφων ἐρῶν-



ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ

«ΘΑ ΗΘΕΛΑ ΝΑ ΑΝΕΧΘΕΙΤΕ ΜΙΑ ΜΙΚΡΗ ΑΝΟΗΣΙΑ ΜΟΥ»

1. Ὅλους βέβαια τοὺς ἁγίους τοὺς ἀγαπῶ, ἰδιαίτερα ὅμως τὸ μακάριο Παῦλο, τὸ ἐκλεκτὸ ὄργανο, τὴν οὐράνια σάλπιγγα, τὸν παράνυμφο τοῦ Χριστοῦ. Τὸ εἶπα αὐτὸ καὶ σᾶς φανέρωσα τὸν ἔρωτα ποὺ ἔχω γι' αὐτόν, γιὰ νὰ σᾶς κάνω καὶ σᾶς κοινωνοὺς τῆς ἀγάπης αὐτῆς. Γιατὶ ἐκεῖνοι ποὺ εἶναι κυριευμένοι ἀπὸ τὸ σωματικὸ ἔρωτα εὔλογα ντρέπονται νὰ τὸν ὁμολογοῦν, ἐπειδὴ καὶ τὸν ἑαυτό τους ντροπιάζουν καὶ ὅσους τοὺς ἀκοῦν βλάπτουν, ἐνῶ αὐτοὶ ποὺ εἶναι κυριευμένοι ἀπὸ τὸν πνευματικὸ ἂς μὴ σταματήσουν ποτὲ νὰ τὸν ὁμολογοῦν, γιατὶ πραγματικὰ καὶ τὸν ἑαυτό τους καὶ ὅσους τοὺς ἀκοῦν ὠφελοῦν μὲ τὴν καλὴ αὐτὴ ὁμολογία. Ἐκεῖνος λοιπὸν ὁ ἔρωτας εἶναι ἄξιος κατηγορίας, ἐνῶ αὐτὸς ἄξιος ἐπαίνου· ἐκεῖνος εἶναι πάθος τῆς ψυχῆς ἀξιοκατάκριτο, ἐνῶ αὐτὸς εἶναι εὐφροσύνη τῆς ψυχῆς καὶ ἀγαλλίαση καὶ ἄριστο στολίδι· ἐκεῖνος εἰσάγει πόλεμο στὴ διάνοια τῶν ἐραστῶν, αὐτὸς καὶ τὸν πόλεμο ποὺ ὑπάρχει τὸν διώχνει καὶ κάνει τοὺς ἐραστὲς νὰ ζοῦν μέσα σὲ πολλὴ εἰρήνη. Καὶ ἀπὸ ἐκεῖ δὲν προέρχεται κανένα ὄφελος, ἀλλὰ καὶ μεγάλη ζημία χρημάτων καὶ κάποια ἀνόητα ἔξοδα καὶ ἀνατροπὴ τῆς ζωῆς καὶ ὁλόκληρες καταστροφὲς σπιτιῶν, ἐνῶ ἀπὸ ἐδῶ εἶναι πολὺς ὁ πλοῦτος τῶν κατορθωμάτων καὶ μεγάλη ἡ περιουσία τῆς ἀρετῆς.

Καὶ ἀκόμη μαζὶ μ' αὐτὰ ποὺ λέχθηκαν, αὐτοὶ ποὺ ἐρωτεύο-

τες καὶ πρὸς τὰς λαμπρὰς τῶν ὄψεων κεχηνότες, ἂν ὦσιν αἰσχροὶ καὶ δυσειδεῖς, οὐδὲν ἐκ τῆς ἐκείνων ἐπιθυμίας εἰς ἀπαλλαγὴν τῆς οἰκείας κερδαίνουσιν ἀμορφίας, ἀλλὰ καὶ αἰσχρότεροι κρίνονται καὶ εἰδεχθέστεροι· ἐπὶ δὲ τοῦ ἔρωτος τούτου τοὐναντίον ἅπαν. Ὁ γὰρ ψυχῆς ἁγίας ἐρῶν καὶ εὐμόρφου καὶ λαμπρᾶς καὶ περικαλοῦς, κἂν αὐτὸς αἰσχρὸς ᾖ καὶ δυσειδὴς κἂν ἁπάντων ἀνθρώπων αἴσχιστος, ἐμμένων τῷ ἔρωτι τῶν ἁγίων, ταχέως ἔσται τοιοῦτος, οἷος ὁ ἐρώμενος. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔργον, τὸ σῶμα μὲν ἄμορφον καὶ πεπηρωμένον μὴ δύνασθαι διορθοῦν, ψυχὴν δὲ αἰσχρὰν καὶ δυσειδῆ δύνασθαι λαμπρὰν καὶ περικαλλῆ ποιεῖν. Ἀπὸ γὰρ τῆς εὐμορφίας τῆς ἐκείνου οὐδὲν ἂν γένοιτο κέρδος· ἀπὸ δὲ τοῦ κάλλους τοῦ ταύτης τοσαῦτα ἔξεστι καρπώσασθαι ἀγαθά, ὅσα εἰκὸς κεκτῆσθαι τὸν ἐραστὴν ἔχοντα τὸν Θεόν. Περὶ ταύτης τῆς εὐμορφίας καὶ ὁ Δαυῒδ ἐν ψαλμοῖς ᾄδων, «ἄκουσον», φησί, «θύγατερ, καὶ εἶδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»· κάλλος ἐνταῦθα λέγων τὸ κατὰ ψυχήν, ὅπερ δι' ἀρετῆς καὶ εὐλαβείας συνίσταται.

2. Ἐπεὶ οὖν τοσοῦτόν ἐστι τὸ κέρδος τοῖς κοινωνοῦσι τῶν ἁγίων, κοινωνήσατέ μοι τοῦ ἔρωτος καὶ φιλήσωμεν τὸν ἅγιον τοῦτον μετὰ πολλῆς τῆς ὑπερβολῆς. Ἂν γὰρ οὗτος εἰς τὴν ψυχὴν τὴν ἡμετέραν ὁ ἔρως εἰσέλθῃ καὶ φλόγα ἀνάψῃ λαμπράν, κἂν ἀκανθῶδες κἂν λιθῶδές τι καὶ σκληρὸν καὶ ἀναίσθητον ἐν τοῖς λογισμοῖς εὕρῃ τοῖς ὑμετέροις, τὸ μὲν ἀναλώσας, τὸ δὲ μαλάξας, βαθεῖάν τινα καὶ λιπαρὰν ἄρουραν τὴν ἡμετέραν ἐργάσεται ψυχὴν καὶ πρὸς τὴν τῶν θείων σπερμάτων καταβολὴν ἐπιτηδείαν. Καὶ μή μοι λεγέτω τις, ὅτι 'νῦν οὐ πάρεστιν, οὐδὲ ὁρᾶται τοῖς ἡμετέροις ὀφθαλμοῖς ὁ Παῦλος· καὶ πῶς δυνατὸν φιλεῖν τὸν μὴ βλεπόμενον;' Οὐδὲν γὰρ τῷ ἔρωτι τούτῳ κώλυμα γίνε-

1. Ψαλμ. 11,7.

νται ὄμορφα σώματα καὶ προσέχουν μὲ ἀνοιχτὸ στόμα στὰ λαμπρὰ πρόσωπα, ἂν εἶναι ἄσχημοι καὶ δύσμορφοι, τίποτε δὲν κερδίζουν ἀπὸ τὴν ἐπιθυμία τους γιὰ ἐκεῖνα στὸ ν' ἀπαλλαγοῦν ἀπὸ τὴ δική τους ἀσχήμια, ἀλλὰ θεωροῦνται καὶ πιὸ ἄσχημοι καὶ πιὸ ἀποκρουστικοί, ἐνῶ στὴν περίπτωση τοῦ ἔρωτα αὐτοῦ συμβαίνει τὸ ἐντελῶς ἀντίθετο. Γιατὶ ὅποιος ἐρωτεύεται μία ψυχὴ ἁγία καὶ ὄμορφη καὶ λαμπρὴ καὶ πολὺ ὡραία, καὶ ἂν ἀκόμη αὐτὸς εἶναι ἄσχημος καὶ δύσμορφος, καὶ ἂν ἀκόμη εἶναι ὁ πιὸ ἄσχημος ἀπ' ὅλους τοὺς ἀνθρώπους, ἐπιμένοντας στὸν ἔρωτα τῶν ἁγίων, γρήγορα θὰ γίνει τέτοιος, ὅπως καὶ αὐτὸς ποὺ ἀγαπάει. Γιατὶ πραγματικὰ καὶ αὐτὸ εἶναι ἔργο τῆς φιλανθρωπίας τοῦ Θεοῦ, τὸ νὰ μὴν μπορεῖ κανεὶς νὰ διορθώνει ἕνα σῶμα ἄσχημο καὶ ἀνάπηρο, νὰ μπορεῖ ὅμως μιὰ ψυχὴ ἄσχημη καὶ δύσμορφη νὰ τὴν κάνει λαμπρὴ καὶ πολὺ ὡραία. Γιατὶ ἀπὸ τὴν ὀμορφιὰ ἐκείνου δὲν μπορεῖ νὰ προκύψει κανένα κέρδος, ἐνῶ ἀπὸ τὸ κάλλος αὐτῆς εἶναι δυνατὸ νὰ κερδίσει κανεὶς τόσα ἀγαθά, ὅσα εἶναι φυσικὸ ν' ἀποκτήσει αὐτὸς ποὺ ἔχει ἐραστή του τὸ Θεό. Γι' αὐτὴ τὴν ὀμορφιὰ καὶ ὁ Δαβὶδ ψάλλοντας στοὺς ψαλμοὺς λέγει, «ἄκουσε, κόρη μου, καὶ πρόσεξε καὶ σκύψε τὸ αὐτί σου καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι, καὶ τότε ὁ βασιλιὰς θὰ ἐπιθυμήσει τὸ κάλλος σου»[1], ὀνομάζοντας ἐδῶ κάλλος τὸ κάλλος τῆς ψυχῆς, ποὺ ἀποτελεῖται ἀπὸ ἀρετὴ καὶ εὐσέβεια.

2. Ἀφοῦ λοιπὸν τόσο πολὺ εἶναι τὸ κέρδος σ' αὐτοὺς ποὺ ἐπικοινωνοῦν μὲ τοὺς ἁγίους, πάρτε μέρος μαζί μου στὸν ἔρωτα αὐτὸ καὶ ἂς ἀγαπήσουμε αὐτὸν τὸν ἅγιο μὲ ὅλη τὴ δύναμή μας. Γιατὶ ἂν αὐτὸς ὁ ἔρωτας μπεῖ στὴν ψυχή μας καὶ ἀνάψει δυνατὴ φλόγα, καὶ ἂν ἀκόμη βρεῖ στὶς σκέψεις σας κάτι ἀκανθωτὸ ἢ πέτρινο καὶ σκληρὸ καὶ ἀναίσθητο, ἀφοῦ ἐξαφανίσει τὸ ἕνα καὶ μαλακώσει τὸ ἄλλο θὰ κάνει τὴν ψυχή μας μιὰ ὀργωμένη καὶ εὔφορη γῆ καὶ κατάλληλη γιὰ τὴ σπορὰ τῶν θείων λόγων. Καὶ ἂς μὴ μοῦ πεῖ κανείς, 'τώρα δὲν εἶναι παρὼν ὁ Παῦλος, οὔτε τὸν βλέπουν τὰ μάτια μας· πῶς λοιπὸν εἶναι δυνατὸ ν' ἀγαπάει κανεὶς αὐτὸν ποὺ δὲ βλέπει;' Γιατὶ στὸν ἔρωτα αὐτὸν δὲν ὑπάρχει

ται· ἔξεστι γὰρ καὶ ἀπελθόντα φιλεῖν, καὶ μὴ ὁρώμενον ἀγαπᾶν, καὶ μάλιστα ὅταν τοσαῦτα καὶ τοιαῦτα τῆς ἀρετῆς ἐκείνου καθ' ἑκάστην ἡμέραν ὑπομνήματα βλέπωμεν, τὰς πανταχοῦ τῆς γῆς ἐκκλησίας, τῆς ἀσεβείας τὴν ἀνατροπήν, τοῦ πονηροῦ βίου τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, τῆς πλάνης τὴν ἀπαλλαγήν, τοὺς ἀνατραπέντας βωμούς, τοὺς ἀποκεκλεισμένους ναούς, τὴν τῶν δαιμόνων σιγήν. Πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα τῆς Παύλου γλώττης ἡ δύναμις ὑπὸ τῆς τοῦ Θεοῦ χάριτος ἐμπνεομένη κατέβαλε καὶ λαμπρὰν πανταχοῦ τῆς εὐσεβείας ἀνῆψε τὴν φλόγα. Ἔχομεν μετὰ τῶν κατορθωμάτων τούτων καὶ τὰς ἐπιστολὰς ἐκείνου τὰς ἁγίας, αἳ τὸν χαρακτῆρα τῆς μακαρίας ἐκείνης ψυχῆς ἀκριβῶς ἡμῖν ὑπογράφουσιν. Ὡς οὖν αὐτῷ τῷ Παύλῳ διαλεγόμενοι παρόντι καὶ συγγινομένῳ, οὕτω μετὰ προθυμίας πειθώμεθα τοῖς γεγραμμένοις, ἀναπτύξωμεν τὰ ἔνδον εἰρημένα, μάθωμεν τί ποτέ ἐστιν ὅπερ σήμερον ἐβόα λέγων· «ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ».

Τί λέγεις, ὦ Παῦλε; ὁ κελεύων τοῖς μαθηταῖς ἐν σοφίᾳ περιπατεῖν πρὸς τοὺς ἔξω, ὁ λέγων, «ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι», ὁ πᾶσιν ἐπευχόμενος, ἵνα σοφίας πληρωθῶσι πνευματικῆς, αὐτὸς λέγεις, ὅτι «εἴθε ἀνείχεσθέ μου μικρὸν τῆς ἀνοίας;» Οὐκ ἤρκει σοι τὸ φθέγξασθαί τι ἀφροσύνης ῥῆμα, ἀλλὰ καὶ εἰς τοὺς μαθητὰς τοῦτο ἐκφέρεις; καὶ οὐκ εἰς τοὺς μαθητὰς ἐκφέρεις μόνον, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα πᾶσι γινομένοις ἀνθρώποις διὰ τῆς ἐπιστολῆς τοῦτο δῆλον ποιεῖς; Ὁρᾶτε πῶς οὐχ ἁπλῶς δεῖ παρατρέχειν τὰ λεγόμενα, ἀλλ' ἕκαστον περισκοπεῖν ἀκριβῶς; Τοῦτο μὲν γὰρ ἁπλῶς μὲν ἀναγινωσκόμενον περιΐσταται τοῖς ἀκροαταῖς, ἐρευνηθὲν δὲ πολλὴν δείκνυσι τοῦ Παύλου τὴν σοφίαν, μεγάλην τὴν σύνεσιν, ἄφατον τὴν κηδεμονίαν.

---

2. Β' Κορ. 11,1–2.
3. Κολ. 4,6.

κανένα ἐμπόδιο, ἀφοῦ εἶναι δυνατὸ καὶ ὅταν φύγει νὰ τὸν ἀγαπᾶμε καὶ ὅταν δὲ φαίνεται νὰ τὸν ἀγαπᾶμε καὶ μάλιστα ὅταν κάθε ἡμέρα βλέπουμε τόσο πολλὲς καὶ τόσο μεγάλες ὑπομνήσεις τῆς ἀρετῆς του, τὶς ἐκκλησίες ποὺ βρίσκονται παντοῦ στὴ γῆ, τὴν ἐξαφάνιση τῆς ἀσέβειας, τὴ μεταβολὴ τῆς ἁμαρτωλῆς ζωῆς πρὸς τὸ καλύτερο, τὴν ἀπαλλαγὴ ἀπὸ τὴν πλάνη, τοὺς γκρεμισμένους βωμούς, τοὺς κλειστοὺς εἰδωλολατρικοὺς ναούς, τὴ σιωπὴ τῶν δαιμόνων. Γιατὶ ὅλα αὐτὰ καὶ τὰ παρόμοια τὰ νίκησε ἡ ἐμπνεόμενη ἀπὸ τὴ χάρη τοῦ Θεοῦ δύναμη τῆς γλώσσας τοῦ Παύλου καὶ ἄναψε παντοῦ λαμπερὴ τὴ φλόγα τῆς εὐσέβειας. Καὶ μαζὶ μὲ τὰ κατορθώματα αὐτὰ ἔχουμε καὶ τὶς ἅγιες ἐπιστολές του, ποὺ μᾶς περιγράφουν μὲ ἀκρίβεια τὸ χαρακτήρα τῆς μακάριας ἐκείνης ψυχῆς. Σὰ νὰ μιλοῦμε λοιπὸν μὲ τὸν ἴδιο τὸν Παῦλο ποὺ εἶναι παρὼν καὶ βρίσκεται ἀνάμεσά μας, ἔτσι μὲ προθυμία ἂς πιστεύουμε σὲ ὅσα εἶναι γραμμένα, ἂς ἀναπτύξουμε τὰ βαθύτερα νοήματά τους, ἂς μάθουμε τί ἀκριβῶς σημαίνει αὐτὸ ποὺ σήμερα ἔλεγε βροντοφωνάζοντας· «θὰ ἤθελα νὰ δείξετε ἀνοχὴ σὲ μιὰ μικρὴ ἀνοησία μου, καὶ πιστεύω πὼς θὰ τὴν ἀνεχθεῖτε· σᾶς ζηλεύω μὲ θεῖο ζῆλο»[2].

Τί λέγεις, Παῦλε; ἐσὺ ποὺ πρόσταζες τοὺς μαθητὲς νὰ συμπεριφέρονται μὲ σύνεση πρὸς τοὺς ἄλλους ἀνθρώπους, ἐσὺ ποὺ ἔλεγες, «τὰ λόγια σας νὰ εἶναι πάντοτε μὲ χάρη καὶ ὄχι ἀνούσια, καὶ νὰ ξέρετε πῶς νὰ ἀπαντᾶτε στὸν καθένα»[3], ἐσὺ ποὺ εὐχόσουν σὲ ὅλους νὰ γεμίσουν ἀπὸ πνευματικὴ σοφία, ὁ ἴδιος λέγεις «θὰ ἤθελα νὰ δείξετε ἀνοχὴ σὲ μιὰ μικρή μου ἀνοησία»; Δὲ σοῦ ἔφθανε νὰ πεῖς τὴ λέξη τῆς ἀνοησίας, ἀλλὰ τὴν ἀναφέρεις καὶ στοὺς μαθητές; Καὶ δὲν τὴν ἀναφέρεις μόνο στοὺς μαθητές, ἀλλὰ τὴν κάνεις γνωστὴ μὲ τὴν ἐπιστολὴ καὶ σὲ ὅλους τοὺς μεταγενέστερους ἀνθρώπους; Βλέπετε πῶς δὲν πρέπει νὰ προσπερνᾶμε ἐπιπόλαια τὰ λεγόμενα, ἀλλὰ νὰ ἐξετάζουμε τὸ καθένα μὲ ἀκρίβεια; Γιατὶ αὐτὸ ὅταν διαβάζεται ἐπιπόλαια διαφεύγει τὴν προσοχὴ τῶν ἀκροατῶν, ὅταν ὅμως ἐξετασθεῖ καλὰ δείχνει πολλὴ τὴ σοφία τοῦ Παύλου, μεγάλη τὴ σύνεσή σου, ἀπερίγραπτη τὴ φροντίδα του.

3. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; Ψευδαπόστολοι πολλοὶ ἦσαν παρὰ τοῖς Κορινθίοις, διαφθείροντες αὐτούς, κατηγοροῦντες τοῦ Παύλου, ὑπορύττοντες αὐτοῦ τὴν δόξαν, ἣν παρὰ τοῖς μαθηταῖς εἶχεν, εἰς εἰρωνείαν αὐτὸν σκώπτοντες, ὡς ἀλαζόνος κατηγοροῦντες. Πρὸς τούτου καὶ διατεινόμενος πολλαχοῦ τῆς ἐπιστολῆς φαίνεται. Καὶ γὰρ ὅταν λέγῃ, «οὐκ ἐσμεν ὥσπερ οἱ λοιποί, καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ»· καὶ πάλιν εἰπών, «ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα», καὶ ὑποσχόμενος διαπαντὸς τοῦτον ἀκίνητον διατηρῆσαι τὸν νόμον («ἔστι» γάρ, φησίν, «ἀλήθεια Χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησίς μου αὕτη οὐ φραγήσεται ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας»), ἐν τῇ τῆς αἰτίας ἐπαγωγῇ ἠνίξατο τοὺς μιαροὺς ἐκείνους οὕτως εἰπών· «διατί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; Ὁ Θεὸς οἶδεν. Ἀλλ' ὃ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν»· καὶ ἀνωτέρω δὲ τούτων παρακαλεῖ τοὺς μαθητὰς μὴ καταστῆσαι αὐτὸν εἰς ἀνάγκην τοῦ τὴν οἰκείαν ἐπιδεῖξαι δύναμιν αὐτοῖς, οὑτωσὶ λέγων· «δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας».

Αὐτοὶ γὰρ οὗτοι, περὶ ὧν ταῦτά φησιν, εἰς εἰρωνείαν αὐτὸν διαβάλλοντες, οὕτως ἔλεγον, ὅτι αἱ μὲν ἐπιστολαὶ Παύλου πολὺν ἔχουσιν ὄγκον καὶ ρημάτων ἀπόνοιαν, αὐτὸς δὲ οὐδαμινὸς καὶ εὐτελὴς καὶ ἀπερριμμένος. Ἐπειδὰν γοῦν ἐνταῦθα παραγένηται, οὐδενὸς ἄξιος φαίνεται λόγου· ὅπερ οὖν καὶ αὐτὸ πάλιν ἐμφαίνων ἔλεγεν, «ἵνα δὲ μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν· ὅτι αἱ μὲν ἐπιστολαί», φησί, «βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ λόγος ἐξουθενημένος». Εἶτα αὐτοῖς ἐγκαλῶν τοῖς Κορινθίοις τοῖς ἀναπειθομένοις, φησίν· «ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν, ἵν' ὑμεῖς ὑψωθῆτε;». Καὶ ἀποδυόμενος δὲ τὸ ἔγκλημα αὐτὸ ἐκεῖνο πάλιν

4. Β' Κορ. 2,17.
5. Β' Κορ. 11,9.
6. Β' Κορ. 11,10.
7. Β' Κορ. 11,11-12.
8. Β' Κορ. 10,2.
9. Β' Κορ. 10,9-10.
10. Β' Κορ. 11,7.

3. Ποιό λοιπὸν εἶναι αὐτὸ ποὺ ἐννοεῖ μὲ τὰ λεγόμενά του; Ὑπῆρχαν πολλοὶ ψευδαπόστολοι ἀνάμεσα στοὺς Κορινθίους, ποὺ τοὺς διέφθειραν, κατηγοροῦσαν τὸν Παῦλο, ὑπονομεύοντας τὴ φήμη του ποὺ εἶχε στοὺς μαθητές, τὸν εἰρωνεύονταν καὶ τὸν κατηγοροῦσαν ὡς ἀλαζόνα. Σ' αὐτοὺς φαίνεται ν' ἀπευθύνεται σὲ πολλὰ σημεῖα τῆς ἐπιστολῆς. Γιατὶ πραγματικὰ ὅταν λέγει, «δὲν εἴμαστε ὅπως οἱ ἄλλοι ποὺ ἐμπορεύονται τὸ λόγο τοῦ Θεοῦ»[4], καὶ πάλι λέγοντας, «δὲν ἐπιβάρυνα κανένα ἀπὸ σᾶς»[5], καὶ ὑποσχόταν πὼς θὰ κρατήσει γιὰ πάντοτε σταθερὸ αὐτὸν τὸ νόμο, γιατὶ λέγει, ὅπως εἶναι βέβαιο πὼς ἡ ἀλήθεια τοῦ Χριστοῦ εἶναι μέσα μου, ἔτσι τὸ καύχημά μου αὐτὸ στὰ μέρη τῆς Ἀχαΐας δὲ θὰ μοῦ ἀποκλεισθεῖ»[6], μὲ τὴν προσθήκη τῆς αἰτίας ὑπαινίχθηκε τοὺς μιαροὺς ἐκείνους λέγοντας αὐτά· «γιὰ ποιό λόγο; μήπως γιατὶ δὲ σᾶς ἀγαπῶ; Ὁ Θεὸς ξέρει ὅτι σᾶς ἀγαπῶ. Αὐτὸ ὅμως τὸ κάνω, καὶ θὰ τὸ κάνω, γιὰ νὰ ἀφαιρέσω τὴν ἀφορμὴ ἀπ' αὐτοὺς ποὺ ζητοῦν ἀφορμή»[7]. Καὶ πρὶν ἀπ' αὐτὰ παρακαλεῖ τοὺς μαθητὲς νὰ μὴν τὸν φέρουν στὴν ἀνάγκη νὰ τοὺς φανερώσει τὴ δύναμή του, λέγοντας αὐτὰ ἀκριβῶς· «παρακαλῶ, ὅταν θὰ εἶμαι κοντά σας, νὰ μὴν ἀναγκασθῶ νὰ φανῶ θαρραλέος στὶς ἀπόψεις μου καὶ νὰ δείξω τὴν τόλμη ποὺ νομίζω ὅτι χρειάζονται μερικοί, ποὺ μᾶς θεωροῦν ὅτι συμπεριφερόμαστε κατὰ τρόπο κοσμικό»[8].

Πραγματικὰ αὐτοὶ οἱ ἴδιοι, γιὰ τοὺς ὁποίους τὰ λέγει αὐτά, τὸν εἰρωνεύονταν καὶ τὸν διέβαλλαν λέγοντας πὼς οἱ ἐπιστολὲς τοῦ Παύλου ἔχουν μεγάλη σπουδαιότητα καὶ μεγαλοπρέπεια λόγων, ὁ ἴδιος ὅμως εἶναι μηδαμινὸς καὶ ἀσήμαντος καὶ τιποτένιος. Ὅταν λοιπὸν ἔρθει ἐδῶ, θὰ φανεῖ πὼς δὲν ἀξίζει τίποτε. Καὶ αὐτὸ ἀκριβῶς φανερώνοντας πάλι ἔλεγε· «δὲ θέλω νὰ φανῶ πὼς σᾶς ἐκφοβίζω μὲ τὶς ἐπιστολές μου, γιατὶ λένε, 'οἱ ἐπιστολές του εἶναι σοβαρὲς καὶ δυνατές, ἐνῶ ἡ σωματική του ἐμφάνιση εἶναι ἀσθενικὴ καὶ ὁ προφορικός του λόγος τιποτένιος'»[9]. Ἔπειτα κατηγορώντας τοὺς Κορινθίους ποὺ παρασύρονταν ἔλεγε· «μήπως ἔκανα ἁμαρτία ποὺ ταπείνωσα τὸν ἑαυτό μου γιὰ νὰ ἐξυψωθεῖτε ἐσεῖς;»[10]. Καὶ ἀπορρίπτοντας αὐτὴ τὴν κατηγο-

λέγει· «ὅτι οἷοί ἐσμεν δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ». Ἐπεὶ οὖν πολλοὶ παρ' αὐτοῖς ἦσαν ψευδαπόστολοι, οὓς καὶ ἐργάτας δολίους καλεῖ, οὕτω λέγων· «οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. Καὶ οὐ θαυμαστόν· καὶ γὰρ αὐτὸς ὁ Σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. Οὐ μέγα οὖν, εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης».

Ἐπεὶ οὖν οὗτοι μυρίας εὑρόντες κατ' αὐτοῦ διαβολάς, τοὺς μαθητὰς ἔβλαπτον, οὐ τὴν προσήκουσαν περὶ αὐτοῦ πείθοντες αὐτοὺς ἔχειν δόξαν, ἀναγκάζεται λοιπὸν εἰς διήγησιν τῶν οἰκείων ἐγκωμίων ἐμπεσεῖν· οὐδὲ γὰρ ἦν τὸ σιγᾶν λοιπὸν ἀσφαλές. Ἐπεὶ οὖν μέλλει τοὺς οἰκείους ἄθλους ἡμῖν ἐξηγεῖσθαι καὶ τὰς ἀποκαλύψεις, ἃς εἶδε, καὶ τοὺς μόχθους, οὓς ἐμόχθησε, βουλόμενος δεῖξαι πᾶσιν, ὅτι ἄκων καὶ βιαζόμενος τοῦτο ποιεῖ καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀφροσύνης αὐτὸ πρᾶγμα ἐκάλεσεν, οὕτως εἰπών· «ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ». Μέλλω, φησί, πρᾶγμα ἀνόητον ποιεῖν καὶ ἐγκωμιάζειν καὶ ἐπαινεῖν· ἀλλ' οὐκ ἐγὼ τούτων αἴτιος, ἀλλ' οἱ εἰς τοιαύτην με ἀνάγκην ἐμβαλόντες· διὰ τοῦτο παρακαλῶ ὑμᾶς ἀνασχέσθαι, κἀκείνοις τὴν αἰτίαν λογίσασθαι.

4. Καὶ ὅρα τὴν Παύλου σύνεσιν· εἰπών, «ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου· ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ», οὐκ εὐθέως ἦλθεν ἐπὶ τὴν διήγησιν τῶν ἐγκωμίων, ἀλλὰ μεταξὺ πάλιν ἐνθεὶς ῥήματα, οὕτω πώς φησιν· «πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μήγε, κἂν ὡς ἄφρονα δέξασθέ με». Καὶ οὐδὲ οὕτως ἥψατο τῆς διηγήσεως, ἀλλὰ πάλιν ἐπάγει καὶ λέγει· «ὃ λαλῶ οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως».

---

11. Β' Κορ. 10,11. 12. Β' Κορ. 11,13–15. 13. Β' Κορ. 11,16.

ρία λέγει πάλι ἐκεῖνο· «ὅποιοι εἴμαστε μὲ ὅσα γράφουμε στὶς ἐπιστολὲς κατὰ τὴν ἀπουσία μας, οἱ ἴδιοι εἴμαστε καὶ μὲ τὰ ἔργα μας ὅταν εἴμαστε παρόντες»[11]. Ἐπειδὴ λοιπὸν ὑπῆρχαν ἀνάμεσά τους πολλοὶ ψευδαπόστολοι, ποὺ τοὺς ὀνομάζει ἐργάτες δόλιους, λέγει αὐτά· «τέτοιοι ἄνθρωποι εἶναι ψευδαπόστολοι, ἐργάτες δόλιοι, μεταμφιεζόμενοι σὲ ἀποστόλους τοῦ Χριστοῦ. Καὶ δὲν εἶναι παράξενο αὐτό, γιατὶ καὶ ὁ ἴδιος ὁ σατανὰς μεταμφιέζεται σὲ ἄγγελο φωτός. Δὲν εἶναι λοιπὸν μεγάλο πράγμα, ὅταν καὶ οἱ ὑπηρέτες του μεταμφιέζονται σὲ ὑπηρέτες τῆς δικαιοσύνης»[12].

Ἐπειδὴ λοιπὸν αὐτοὶ ἐπινοώντας ἐναντίον του ἄπειρες συκοφαντίες ἔβλαπταν τοὺς μαθητές, πείθοντάς τους νὰ μὴν ἔχουν τὴ γνώμη ποὺ ἅρμοζε γι' αὐτόν, ἀναγκάζεται στὴ συνέχεια νὰ ἔρθει στὴ διήγηση τῶν δικῶν του ἐπαίνων, γιατὶ ἡ σιωπὴ δὲν τοῦ παρεῖχε πιὰ ἀσφάλεια. Ἐπειδὴ λοιπὸν πρόκειται νὰ μᾶς διηγηθεῖ τὰ δικά του κατορθώματα καὶ τὶς ἀποκαλύψεις ποὺ εἶδε καὶ τοὺς κόπους ποὺ κατέβαλε, θέλοντας νὰ δείξει σὲ ὅλους πὼς χωρὶς νὰ θέλει καὶ ἀναγκαζόμενος τὸ κάνει αὐτὸ καὶ βλέποντας ὅτι ὑπῆρχε ἀνάγκη, ὅμως τὸ ὀνόμασε αὐτὸ τὸ πράγμα ἀνοησία, λέγοντας, «θὰ ἤθελα νὰ μοῦ ἀνεχθεῖτε μιὰ μικρὴ ἀνοησία». Πρόκειται, λέγει, νὰ κάνω πράγμα ἀνόητο, δηλαδὴ νὰ ἐγκωμιάσω καὶ νὰ ἐπαινέσω τὸν ἑαυτό μου. Δὲν εἶμαι ὅμως ἐγὼ αἴτιος γι' αὐτά, ἀλλὰ ἐκεῖνοι ποὺ μὲ ὁδήγησαν σὲ μιὰ τέτοια ἀνάγκη. Γι' αὐτὸ σᾶς παρακαλῶ νὰ μὲ ἀνεχθεῖτε καὶ νὰ καταλογίσετε σ' ἐκείνους τὴν αἰτία.

4. Καὶ πρόσεχε τὴ σύνεση τοῦ Παύλου. Ἀφοῦ εἶπε, «θὰ ἤθαλα νὰ μοῦ ἀνεχθεῖτε μιὰ μικρὴ ἀνοησία, καὶ εἶμαι βέβαιος πὼς θὰ τὴν ἀνεχθεῖτε· σᾶς ζηλεύω μὲ θεῖο ζῆλο», δὲν ἦρθε ἀμέσως στὴ διήγηση τῶν ἐγκωμίων, ἀλλὰ παρεμβάλλοντας πάλι ἀνάμεσα κάποια λόγια, λέγει τὰ ἑξῆς· «σᾶς ἐπαναλαμβάνω, μὴ μὲ θεωρήσει κανεὶς ἀνόητο· ἂν ὅμως δὲ γίνεται διαφορετικά, δεχθεῖτε με ἔστω καὶ ὡς ἀνόητο»[13]. Καὶ οὔτε ἔτσι καταπιάστηκε μὲ τὴ διήγηση, ἀλλὰ πάλι προσθέτει καὶ λέγει· «αὐτὸ ποὺ λέγω δὲν τὸ λέγω μὲ ἐντολὴ τοῦ Κυρίου, ἀλλὰ σὰν ἕνας

Καὶ οὐδὲ μετὰ ταῦτα τὰ ρήματα ἐτόλμησε καθεῖναι, ἀλλὰ πάλιν ὁρμήσας ἀνακρούεται καί φησιν· «ἐπειδὴ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι· ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες». Εἶτα πάλιν ἀναδύεται καὶ ὀκνεῖ καὶ ἕτερά τινα εἰπών, πάλιν ἐπάγει· «ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ».

Καὶ τότε μόλις μετὰ τοσαύτας προδιορθώσεις κατετόλμησε τῆς διηγήσεως τῶν ἐγκωμίων. Καὶ καθάπερ ἵππος κρημνὸν ἀπότομον ὑπερβαίνειν μέλλων, ὁρμᾷ μὲν ὡς ὑπερβάλλεσθαι μέλλων, τὸ δὲ βάθος ἰδὼν ναρκᾷ καὶ συστέλλεται, εἶτα τὸν ἐπιβάτην ὁρῶν σφοδρότερον ἀναγκάζοντα, πάλιν ἐπιχειρεῖ καὶ τὸ αὐτὸ τοῦτο πάσχει, καὶ τὴν ἀνάγκην ἐνδεικνύμενος καὶ τὴν βίαν, ἵσταται ἐπὶ πολὺ χρεμετίζων ἐπὶ τοῦ χείλους τῆς φάραγγος, ὅπως παραθαρρύνας ἑαυτὸν κατατολμήσῃ, οὕτω καὶ ὁ μακάριος Παῦλος καθάπερ ἐπὶ κρημνόν τινα μέλλων ἑαυτὸν ἀφιέναι, τῶν οἰκείων ἐγκωμίων τὴν διήγησιν, καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις ἀναδύεται οὕτω λέγων· «ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ»· καὶ πάλιν, «μή τις με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με»· καί, «ὃ λαλῶ, οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως»· καὶ πάλιν, «ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι· ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων, φρόνιμοι ὄντες»· καὶ πάλιν, «ἐν ᾧ δ' ἂν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ».

Καὶ μυριάκις ἑαυτὸν ἄφρονα καλέσας καὶ ἀνόητον, τότε μόλις ἐτόλμησεν ἐλθεῖν εἰς τοὺς ἐπαίνους τοὺς ἑαυτοῦ· «Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· διάκονοι Χριστοῦ εἰσι; κἀγώ». Καὶ οὐδὲ ἐνταῦθα ἐπελάβετο ἑαυτοῦ, ἀλλὰ πάλιν τίθησι τὴν προδιόρθωσιν, οὕτως ἐπάγων· «παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ». Καὶ οὐδὲ ἐνταῦθα

---

14. Β' Κορ. 11,17.
15. Β' Κορ. 11,18–19.
16. Β' Κορ. 11,21.
17. Β' Κορ. 11,22.23.

ἀνόητος ποὺ νομίζει ὅτι ἔχει τὸ δικαίωμα νὰ καυχηθεῖ»[14]. Καὶ οὔτε ὕστερα ἀπ' αὐτὰ τὰ λόγια τόλμησε νὰ προχωρήσει, ἀλλὰ πάλι, ἀφοῦ ξεκίνησε, ἐπανέρχεται καὶ λέγει· «ἀφοῦ πολλοὶ καυχιῶνται γιὰ κοσμικὰ πράγματα, θὰ καυχηθῶ καὶ ἐγώ. Γιατὶ παρ' ὅλο ποὺ εἶστε φρόνιμοι ἀνέχεστε μὲ εὐχαρίστηση τοὺς ἀνόητους»[15]. Στὴ συνέχεια πάλι ὑποχωρεῖ καὶ διστάζει, καὶ ἀφοῦ εἶπε κάποια ἄλλα προσθέτει πάλι· «γιὰ ὁ,τιδήποτε ὅμως τολμάει κανεὶς νὰ καυχηθεῖ –μιλῶ σὰν ἀνόητος– τολμῶ καὶ ἐγώ»[16].

Καὶ μόλις τότε, ὕστερα ἀπὸ τόσες δικαιολογίες, τόλμησε νὰ διηγηθεῖ τοὺς ἐπαίνους του. Καὶ ὅπως ἀκριβῶς ἕνα ἄλογο ποὺ πρόκειται νὰ πηδήσει ἀπότομο γκρεμὸ ὁρμάει μὲ σκοπὸ νὰ τὸν πηδήσει, ὅταν ὅμως δεῖ τὸ βάθος μουδιάζει καὶ σταματάει, ἔπειτα βλέποντας τὸν ἀναβάτη νὰ τὸ ἐξαναγκάζει ἐντονότερα ξαναεπιχειρεῖ, ἀλλὰ τὸ ἴδιο πάλι παθαίνει, καὶ φανερώνοντας καὶ τὴν ἀνάγκη καὶ τὴ βία στέκεται γιὰ πολὺ χρεμετίζοντας στὴν ἄκρη τοῦ φαραγγιοῦ γιὰ νὰ ἐνθαρρύνει τὸν ἑαυτό του καὶ νὰ τὸ τολμήσει, ἔτσι καὶ ὁ μακάριος Παῦλος σὰν νὰ πρόκειται νὰ πέσει σὲ κάποιο γκρεμὸ ἀναβάλλει τὴ διήγηση τῶν δικῶν του ἐπαίνων καὶ μιὰ φορὰ καὶ δυὸ καὶ τρεῖς καὶ πολλὲς φορὲς λέγοντας αὐτά· «θὰ ἤθελα νὰ μοῦ ἀνεχθεῖτε μιὰ μικρὴ ἀνοησία»· καὶ πάλι, «μὴ μὲ θεωρήσει κανεὶς ἀνόητο· ἂν ὅμως δὲ γίνεται ἀλλιῶς, δεχθεῖτε με τουλάχιστο ὡς ἀνόητο», καί, «αὐτὸ ποὺ λέγω δὲν τὸ λέγω μὲ ἐντολὴ τοῦ Κυρίου, ἀλλὰ σὰν ἕνας ἀνόητος ποὺ νομίζει ὅτι ἔχει τὸ δικαίωμα νὰ καυχηθεῖ». Ἐπίσης, «ἀφοῦ πολλοὶ καυχιένται γιὰ κοσμικὰ πράγματα, θὰ καυχηθῶ καὶ ἐγώ, γιατὶ παρ' ὅλο ποὺ εἶστε φρόνιμοι ἀνέχεστε μὲ εὐχαρίστηση τοὺς ἀνόητους»· καὶ πάλι, «γιὰ ὁ,τιδήποτε ὅμως τολμάει κανεὶς νὰ καυχηθεῖ– μιλῶ σὰν ἀνόητος– τολμῶ καὶ ἐγώ».

Καὶ ἀφοῦ ὀνόμασε τὸν ἑαυτό του ἄπειρες φορὲς ἄφρονα καὶ ἀνόητο, τότε μόλις τόλμησε νὰ ἔρθει στοὺς δικούς του ἐπαίνους. «Ἑβραῖοι εἶναι αὐτοί; καὶ ἐγὼ εἶμαι. Εἶναι Ἰσραηλίτες; καὶ ἐγώ. Εἶναι ἀπόγονοι τοῦ Ἀβραάμ; καὶ ἐγώ. Εἶναι ὑπηρέτες τοῦ Χριστοῦ; καὶ ἐγὼ εἶμαι»[17]. Καὶ οὔτε ἐδῶ ἀσχολήθηκε μὲ τὸν ἑαυτό του, ἀλλὰ πάλι ἀναφέρει τὴ δικαιολογία, προσθέ-

ἔστη, ἀλλὰ μετὰ τὸ διηγήσασθαι πάντα αὐτοῦ τὰ ἐγκώμια, λέγει· «γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε». Ὡσεὶ ἔλεγεν, 'ἐκείνων μοι λόγος οὐδεὶς ἦν, εἰ τὰ ὑμέτερα ἦν ἐρρωμένα, εἰ μὴ παρετρέπεσθε μηδὲ ἐσαλεύεσθε. Καὶ γὰρ εἰ διαπαντὸς ἡμᾶς ἔλεγον ἐκεῖνοι κακῶς, οὐδεμία μοι βλάβη διὰ τῆς ἐκείνων ἐγίνετο κακηγορίας. Ἐπειδὴ δὲ εἶδον τὸ ποίμνιον διαφθειρόμενον, τοὺς μαθητὰς ἀποπηδῶντας, κατεφρόνησα φορτικοῦ πράγματος καὶ ἐπαχθοῦς καὶ ἠναγκάσθην ἄφρων γενέσθαι, τὰ ἐμαυτοῦ λέγων ἐγκώμια δι' ὑμᾶς καὶ τὴν ὑμετέραν σωτηρίαν'.

6. *Τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἔθος· εἰ μέν τι πράξαιεν φαῦλον, ἐκπομπεύουσιν αὐτὸ καὶ καθ' ἑκάστην ἡμέραν θρηνοῦσι καὶ πᾶσι ποιοῦσι κατάδηλον· εἰ δέ τι γενναῖον καὶ μέγα, ἀποκρύπτουσι καὶ λήθῃ παραπέμπουσιν. Αὐτὸς γοῦν οὗτος ὁ ἅγιος τὰ μὲν ἁμαρτήματα καὶ μηδενὸς βιαζομένου, συνεχῶς ἔστρεφε καὶ ἐξεπόμπευε, νῦν μὲν λέγων, «Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ»· νῦν δὲ λέγων, «χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ»· καὶ πάλιν, «ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί· ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»· καὶ πάλιν, «ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη».*

Ὁρᾷς πῶς οὐ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ ἁπλῶς τῶν πιστῶν ἁπάντων ἔσχατον ἑαυτὸν καλεῖ, «ἐμοὶ τῷ ἐλαχιστοτέρῳ», εἰπών, «πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη»; Οὕτως οὐδὲ τῆς σωτηρίας, δι' ἧς ἐσώθη, ἄξιος εἶναί φησιν· εἰπὼν

---

18. Β' Κορ. 12,11.
19. Α' Τιμ. 1,15.
20. Α' Τιμ. 1,12–13.
21. Α' Κορ. 15,8–9.
22. Ἐφ. 3,8.

τοντας αὐτά· «μιλῶ σὰν ἀνόητος –ἐγὼ εἶμαι μὲ τὸ παραπάνω». Καὶ οὔτε ἐδῶ σταμάτησε ἀλλά, ἀφοῦ διηγήθηκε ὅλους τοὺς ἐπαίνους του, λέγει· «ἔγινα ἀνόητος μὲ τὸ νὰ καυχιέμαι. Ἐσεῖς μὲ ἀναγκάσατε»[18]. Σὰν νὰ ἔλεγε· 'δὲ θὰ ἔκανα κανένα λόγο γι' αὐτά, ἂν ἐσεῖς ἤσασταν δυνατοί, ἂν δὲν παρασυρόσασταν, ἂν δὲν κλονιζόσασταν'. Γιατὶ πραγματικά, ἂν ἐκεῖνοι μὲ κακολογοῦσαν συνέχεια, δὲ θὰ μοῦ συνέβαινε καμιὰ βλάβη ἀπὸ τὴ δική τους κατηγορία. Ἐπειδὴ ὅμως εἶδα τὸ ποίμνιο νὰ καταστρέφεται, τοὺς μαθητὲς νὰ ἀπομακρύνονται, περιφρόνησα ἕνα πράγμα ἐνοχλητικὸ καὶ μισητὸ καὶ ἀναγκάσθηκα νὰ γίνω ἀνόητος λέγοντας τοὺς δικούς μου ἐπαίνους γιὰ σᾶς καὶ γιὰ τὴ δική σας σωτηρία.

5. Γιατὶ τέτοια εἶναι ἡ συνήθεια τῶν ἁγίων· ἂν πράξουν κάτι κακό, τὸ παρουσιάζουν δημόσια καὶ κάθε ἡμέρα θρηνοῦν καὶ τὸ κάνουν γνωστὸ σὲ ὅλους· ἂν ὅμως πράξουν κάτι σπουδαῖο καὶ μεγάλο, τὸ κρύβουν καὶ τὸ παραπέμπουν στὴ λησμονιά. Αὐτὸς λοιπὸν ὁ ἴδιος ὁ ἅγιος καὶ χωρὶς νὰ τὸν πιέζει κανεὶς συλλογιζόταν συνέχεια τὰ ἁμαρτήματά του καὶ τὰ φανέρωνε σὲ ὅλους λέγοντας τὴ μιὰ φορά, «ὁ Ἰησοῦς Χριστὸς ἦρθε στὸν κόσμο γιὰ νὰ σώσει τοὺς ἁμαρτωλούς, ἀνάμεσα στοὺς ὁποίους πρῶτος εἶμαι ἐγώ»[19], καὶ τὴν ἄλλη, «εὐγνωμονῶ αὐτὸν ποὺ μοῦ ἔδωσε τὴ δύναμη, τὸ Χριστό, γιατὶ μοῦ ἔδειξε ἐμπιστοσύνη, ὁρίζοντας στὴν ὑπηρεσία του ἐμένα ποὺ προηγουμένως ἤμουν βλάσφημος καὶ διώκτης καὶ ὑβριστής του· ὅμως μὲ ἐλέησε, γιατὶ ὅ,τι ἔκανα τὸ ἔκανα ἀπὸ ἄγνοια ὅταν ἤμουν ἀκόμη ἄπιστος»[20]· καὶ πάλι, «τελευταῖα ἀπ' ὅλους, σὰν σὲ ἔκτρωμα, ἐμφανίσθηκε καὶ σὲ μένα, γιατὶ ἐγὼ εἶμαι ὁ ἐλάχιστος ἀπὸ τοὺς ἀποστόλους, ποὺ δὲν εἶμαι ἄξιος νὰ ὀνομάζομαι ἀπόστολος, γιατὶ καταδίωξα τὴν Ἐκκλησία τοῦ Θεοῦ»[21]· καὶ πάλι, «σὲ μένα, τὸν πιὸ ἐλάχιστο ἀπ' ὅλους τοὺς πιστούς, δόθηκε αὐτὴ ἡ χάρη»[22].

Βλέπεις πῶς ὀνομάζει τὸν ἑαυτό του τελευταῖο ὄχι μόνο ἀπὸ τοὺς ἀποστόλους ἀλλὰ καὶ γενικὰ ἀπ' ὅλους τοὺς πιστούς, λέγοντας, «σὲ μένα, τὸν πιὸ ἐλάχιστο ἀπ' ὅλους τοὺς πιστούς, δόθηκε ἡ χάρη αὐτή»; Ἔτσι λέγει πὼς δὲν εἶναι ἄξιος οὔτε γιὰ

γὰρ ὅτι «Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ», ἄκουσον καὶ διὰ ποίαν αἰτίαν τοῦτο λέγει· «ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρῶτον ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον». Ὃ δὲ λέγει τοῦτό ἐστιν· 'οὐ διὰ τὴν ἀξίαν μετάθεσιν τοῦ βίου ἠλεήθην, μὴ τοῦτο νομίσῃς, ἀλλ' ἵνα μηδεὶς ἀπογνῷ τῶν ἐν κακίᾳ βεβιωκότων, μηδὲ τῶν τῷ Χριστῷ πολεμησάντων, τὸν πάντων ἔσχατον καὶ μεθ' ὃν οὐδεὶς ἦν ἕτερος οὕτω πολέμιος τῷ Χριστῷ, σωθέντα ὁρῶν. Καὶ ὁ μὲν Χριστός φησιν, «ὅτι σκεῦος ἐκλογῆς μοί ἐστι τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων», οὗτος δὲ οὐδὲν ὑπὸ τῶν ἐγκωμίων ἐκείνων φυσηθείς, μένει ταλανίζων ἑαυτὸν μετὰ τοσαύτην παρρησίαν, πρῶτον τῶν ἁμαρτωλῶν ἑαυτὸν καλῶν, καὶ διὰ τοῦτο ἠλεῆσθαι λέγων, ἵνα μηδεὶς τῶν πρὸς ἐσχάτην ἐληλακότων κακίαν ἀπογνῷ τῆς οἰκείας σωτηρίας, πρὸς αὐτὸν καὶ τὴν εἰς αὐτὸν γενομένην φιλανθρωπίαν βλέπων.

6. *Τὰ μὲν οὖν ἁμαρτήματα καὶ μηδεμιᾶς οὔσης ἀνάγκης ἐκπομπεύει καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ πάσαις στηλιτεύων καὶ δῆλα ποιῶν οὐχὶ τοῖς τότε μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα ἐσομένοις πᾶσι· τὰ δὲ ἐγκώμια καὶ ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ὀκνεῖ καὶ ἀναδύεται διηγήσασθαι. Καὶ τοῦτο δῆλον μὲν ἐξ ὧν μυριάκις ἀφροσύνην τὸ πρᾶγμα ἐκάλεσε, δῆλον δὲ καὶ ἀπὸ τοῦ χρόνου παντός, ὃν ἐσίγησε τὴν θαυμαστὴν καὶ θείαν ἀποκάλυψιν ἐκείνην· οὐ γὰρ δὴ τότε, οὐδὲ πρὸ δύο καὶ τριῶν καὶ δέκα ἐτῶν, ἀλλὰ πολλῷ πλειόνων ἦν αὐτὴν ἑωρακώς. Διὰ τοῦτο καὶ τὸν χρόνον αὐτὸν τίθησιν οὕτω λέγων· «οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων ἁρπαγέντα ἕως τρί-*

---

23. Α' Τιμ. 1,16.

24. Πράξ. 9,15.

τὴ σωτηρία, μὲ τὴν ὁποία σώθηκε. Γιατί, ἀφοῦ εἶπε, «ὁ Ἰησοῦς Χριστὸς ἦρθε στὸν κόσμο γιὰ νὰ σώσει τοὺς ἁμαρτωλούς, ἀνάμεσα στοὺς ὁποίους πρῶτος εἶμαι ἐγώ», ἄκουσε καὶ γιὰ ποιά αἰτία τὸ λέγει αὐτό· «ἀκριβῶς γι' αὐτὸ μὲ ἐλέησε, γιὰ νὰ δείξει ὁ Ἰησοῦς Χριστὸς σὲ μένα πρῶτα ὅλη του τὴ μακροθυμία, γιὰ νὰ γίνω παράδειγμα σ' ἐκείνους ποὺ πρόκειται νὰ πιστέψουν σ' αὐτὸν καὶ νὰ ὁδηγηθοῦν στὴν αἰώνια ζωή»[23]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· δὲ μὲ ἐλέησε γιὰ τὴ σημαντικὴ ἀλλαγὴ τῆς ζωῆς μου –μὴ τὸ νομίσεις αὐτό–, ἀλλὰ γιὰ νὰ μὴ ἀπελπισθεῖ κανεὶς ἀπὸ ἐκείνους ποὺ ζοῦν στὴν ἁμαρτία οὔτε ἀπὸ ἐκείνους ποὺ πολέμησαν τὸ Χριστό, βλέποντας νὰ ἔχει σωθεῖ αὐτὸς ποὺ ἦταν ὁ τελευταῖος ἀπὸ ὅλους καὶ μετὰ ἀπὸ τὸν ὁποῖο δὲν ὑπῆρξε κανεὶς ἄλλος τόσο ἐχθρὸς τοῦ Χριστοῦ. Καὶ ὁ Χριστὸς βέβαια λέγει, «αὐτὸν τὸν διάλεξα ἐγὼ γιὰ νὰ τὸν χρησιμοποιήσω ὡς ὄργανο νὰ φέρει τὸ ὄνομά μου στὰ ἔθνη καὶ στοὺς βασιλεῖς»[24], ὁ ἴδιος ὅμως χωρὶς νὰ ὑπερηφανεύεται ἀπὸ τοὺς ἐπαίνους αὐτοὺς ἐπιμένει νὰ ταλανίζει τὸν ἑαυτό του ὕστερα ἀπὸ τόση μεγάλη παρρησία, ὀνομάζοντας τὸν ἑαυτό του πρῶτο ἀπὸ τοὺς ἁμαρτωλοὺς καὶ λέγοντας πὼς γι' αὐτὸ τὸν ἐλέησε ὁ Χριστός, γιὰ νὰ μὴν ἀπελπισθεῖ κανεὶς ἀπὸ ἐκείνους ποὺ ἔφτασαν στὴ χειρότερη ἁμαρτία γιὰ τὴ δική του σωτηρία, βλέποντας σ' αὐτὸν καὶ στὴ φιλανθρωπία ποὺ τοῦ ἔγινε.

6. Τὰ ἁμαρτήματα λοιπὸν καὶ χωρὶς νὰ ὑπάρχει καμία ἀνάγκη τὰ παρουσιάζει καθημερινὰ στὶς ἐπιστολές του ὅλες, γνωστοποιώντας καὶ φανερώνοντας αὐτὰ ὄχι μόνο στοὺς τότε ἀνθρώπους ἀλλὰ καὶ σὲ ὅλους τοὺς μεταγενέστερους, τοὺς ἐπαίνους ὅμως, ἂν καὶ ἔβλεπε ὅτι ὑπάρχει ἀνάγκη, δειλιάζει καὶ διστάζει νὰ τοὺς διηγηθεῖ. Και αὐτὸ φαίνεται βέβαια ἀπὸ τὸ ὅτι ἄπειρες φορὲς ὀνόμασε τὸ πράγμα ἀνοησία καὶ ἀκόμη ἀπὸ τὸν πολὺ καιρὸ ποὺ παρασιώπησε τὴ θαυμαστὴ καὶ θεία ἐκείνη ἀποκάλυψη· γιατὶ δὲν τὴν εἶχε δεῖ τότε οὔτε πρὶν ἀπὸ δύο και τρία καὶ δέκα χρόνια ἀλλὰ πρὶν ἀπὸ πολλὰ χρόνια. Γι' αὐτὸ καὶ ἀναφέρει αὐτὸν τὸ χρόνο λέγοντας ἔτσι, «ξέρω ἕναν ἄνθρωπο ποὺ πρὶν ἀπὸ δεκατέσσερα χρόνια ἁρπάχθηκε μέχρι τὸν τρίτο

του οὐρανοῦ»· ἵνα σὺ μάθῃς, ὅτι οὐκ ἂν οὐδὲ τότε ἐφθέγξατο, εἰ μὴ πολλὴν εἶδεν ἀνάγκην ἐπικειμένην. Εἰ γὰρ ἐβούλετο τοὺς οἰκείους ἐπαίνους διεξιέναι, εὐθέως ἂν αὐτὴν εἶπεν, ὅτε εἶδεν, ἢ τῷ πρώτῳ καὶ δευτέρῳ καὶ τρίτῳ ἔτει· νυνὶ δὲ ἔτη δεκατέσσαρα ἐκαρτέρησε καὶ ἐσίγησε καὶ πρὸς οὐδένα ἐξεῖπεν, ἀλλὰ πρὸς Κορινθίους μόνον. Καὶ πότε; Ὅτε τοὺς ψευδαποστόλους εἶδεν ἐπιφυέντας, δεικνὺς ὅτι οὐδ' ἂν τότε ἐφθέγξατο, εἰ μὴ τοσαύτην ἑώρα διαφθορὰν ἐν τοῖς μαθηταῖς γενομένην.

Ἀλλ' οὐχ ἡμεῖς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν ποιοῦμεν· τῶν μὲν ἁμαρτημάτων οὐδὲ μίαν μεμνήμεθα ἡμέραν, ἀλλὰ κἂν ἑτέρων μνησθέντων ἀκούσωμεν, ἀγανακτοῦμεν, δυσχεραίνομεν, ὕβριν τὸ πρᾶγμα λογιζόμεθα, μυρίαις αὐτοὺς πλύνομεν λοιδορίαις· εἰ δέ τι μικρὸν ἐργασόμεθα ἀγαθόν, τοῦτο συνεχῶς στρέφομεν, καὶ τοῖς μεμνημένοις αὐτὸ χάριν ἴσμεν, καὶ φίλους τοὺς τοιούτους εἶναι νομίζομεν· καίτοι γε ὁ Χριστὸς τὸ ἐναντίον ἐπέταξε, κατορθωμάτων μὲν ἐπιλελῆσθαι, ἁμαρτημάτων δὲ μεμνῆσθαι. Καὶ τοῦτο δῆλον μὲν ἡμῖν ἐποίησε καὶ δι' ὧν τοῖς μαθηταῖς παρῄνει λέγων, «ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι 'ἀχρεῖοι δοῦλοί ἐσμεν'», καὶ διὰ τῆς τοῦ Φαρισαίου παραβολῆς, τὸν τελώνην αὐτοῦ προθείς. Ὥσπερ γὰρ τοῦτον ἡ μνήμη τῶν ἁμαρτημάτων ἐδικαίωσεν, οὕτως ἐκεῖνον ἡ μνήμη τῶν κατορθωμάτων ἀπώλεσε. Καὶ Ἰουδαίοις δὲ ὁ Θεὸς τὰ αὐτὰ δὴ ταῦτα παραινεῖ, λέγων οὕτως· «ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ· σὺ δὲ μνήσθητι».

7. Τοιοῦτον τῶν ἀποστόλων τὸ ἦθος ἦν, τοιοῦτον τῶν προφητῶν καὶ τῶν δικαίων ἁπάντων. Ὁ γοῦν Δαυῒδ τῆς μὲν ἁμαρτίας τῆς ἑαυτοῦ συνεχῶς ἐμέμνητο, τῶν δὲ κατορθωμάτων οὐδαμοῦ, πλὴν εἴποτε κατηναγκάσθη. Ὅτε γοῦν ὁ βαρβαρικὸς ἐκεῖνος πόλεμος τὴν Ἰουδαίαν κατέλαβε καὶ πάντα κινδύνων ἦν μεστά, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος, καταλιπὼν τὰ πρόβα-

---

25. Β' Κορ. 12,2.

26. Λουκᾶ 17,10.

27. Ἡσ. 43,25.

οὐρανό»[25], γιὰ νὰ μάθεις ἐσὺ ὅτι οὔτε τότε θὰ μιλοῦσε, ἂν δὲν ἔβλεπε πὼς ὑπῆρχε μεγάλη ἀνάγκη. Γιατὶ ἂν ἤθελε νὰ διηγηθεῖ τοὺς δικούς του ἐπαίνους, ἀμέσως θὰ τὴν ἔλεγε αὐτὴν ὅταν τὴν εἶδε ἢ τὸν πρῶτο καὶ τὸ δεύτερο καὶ τὸν τρίτο χρόνο. Τώρα ὅμως περίμενε δεκατέσσερα χρόνια καὶ σιώπησε καὶ σὲ κανένα δὲν τὴν εἶπε παρὰ μόνο στοὺς Κορινθίους. Καὶ πότε; Ὅταν εἶδε νὰ φυτρώνουν οἱ ψευδαπόστολοι, ἀποδεικνύοντας πὼς οὔτε τότε θὰ μιλοῦσε, ἂν δὲν ἔβλεπε νὰ γίνεται τόσο μεγάλη διαφθορὰ στοὺς μαθητές.

Ἐμεῖς ὅμως δὲν κάνουμε τὸ ἴδιο ἀλλὰ ἐντελῶς τὸ ἀντίθετο. Τὰ ἁμαρτήματά μας δὲν τὰ θυμόμαστε οὔτε μία ἡμέρα, ἀλλὰ καὶ ἂν ἀκούσουμε νὰ μᾶς τὰ θυμίζουν ἄλλοι, ἀγανακτοῦμε, δυσανασχετοῦμε, θεωροῦμε ὑβριστικὸ τὸ πράγμα καὶ λούζουμε αὐτοὺς μὲ ἄπειρες ὕβρεις· ἂν ὅμως πράξουμε κάποιο μικρὸ καλό, συνέχεια τὸ συλλογιζόμαστε, εὐγνωμονοῦμε αὐτοὺς ποὺ μᾶς τὸ θυμίζουν καὶ θεωροῦμε αὐτοὺς τοὺς ἀνθρώπους φίλους μας. Καὶ ὅμως ὁ Χριστὸς πρόσταξε τὸ ἀντίθετο, νὰ ξεχνᾶμε τὰ κατορθώματα καὶ νὰ θυμόμαστε τὰ ἁμαρτήματά μας. Καὶ τοῦτο μᾶς τὸ φανέρωσε καὶ μ' αὐτὰ ποὺ συμβούλευε στοὺς μαθητές του λέγοντας, «ὅταν τὰ κάνετε ὅλα, νὰ λέτε, εἴμαστε ἀνάξιοι δοῦλοι»[26], καὶ μὲ τὴν παραβολὴ τοῦ Φαρισαίου, τοποθετώντας μπροστὰ ἀπ' αὐτὸν τὸν τελώνη. Γιατί, ὅπως ἀκριβῶς ἡ μνήμη τῶν ἁμαρτημάτων δικαίωσε αὐτόν, ἔτσι ἡ μνήμη τῶν κατορθωμάτων κατέστρεψε ἐκεῖνον. Ἄλλωστε καὶ στοὺς Ἰουδαίους ὁ Θεὸς συμβουλεύει ἀκριβῶς τὰ ἴδια λέγοντας· «ἐγὼ εἶμαι ἐκεῖνος ποὺ ἐξαλείφει τὶς ἁμαρτίες σου καὶ δὲ θὰ τὶς θυμηθῶ· ἐσὺ ὅμως νὰ τὶς θυμᾶσαι»[27].

7. Τέτοιο ἦταν τὸ ἦθος τῶν ἀποστόλων, τέτοιο τῶν προφητῶν καὶ ὅλων τῶν δικαίων. Ὁ Δαβὶδ λοιπὸν θυμόταν συνέχεια τὴν ἁμαρτία του ἐνῶ τὰ κατορθώματά του πουθενά, ἐκτὸς ἂν κάποτε ἀναγκάσθηκε. Ὅταν λοιπὸν ὁ βαρβαρικὸς ἐκεῖνος πόλεμος βρῆκε τὴν Ἰουδαία καὶ ὅλα ἦταν γεμάτα κινδύνους, ἐνῶ ἦταν ἀκόμη νέος καὶ ἄπειρος ἀπὸ πολέμους, ἀφοῦ ἐγκατέλειψε τὰ πρόβατα καὶ ἦρθε στὴ μάχη, βλέποντας πὼς ὅλοι ἔχασαν τὸ

τὰ καὶ εἰς τὴν παράταξιν ἐλθών, πάντας κατεπτηχότας βλέπων καὶ δεδοικότας καὶ τρέμοντας, οὐδὲν ἔπαθεν ἀνθρώπινον οὐδὲ ἐγένετο δειλότερος τοὺς οἰκείους τεταπεινωμένους ὁρῶν· ἀλλὰ τῇ πίστει πάντα τὰ βλεπόμενα ὑπερβὰς καὶ πρὸς τὸν Βασιλέα τῶν οὐρανῶν ἰδὼν καὶ πολλῆς ἑαυτὸν ἐμπλήσας προθυμίας, προσῆλθε τοῖς στρατιώταις καὶ τοῖς ἀδελφοῖς, ἐπαγγελλόμενος ἀπαλλάσσειν αὐτοὺς τοῦ κατέχοντος κινδύνου. Ὡς δὲ ἐγέλασαν τὸ εἰρημένον οἱ ἀδελφοὶ (οὐ γὰρ ἑώρων τὸν ἔνδον αὐτὸν ἀλείφοντα Θεὸν οὐδὲ τὴν ψυχὴν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη καὶ πολλῆς γέμουσαν φιλοσοφίας), καταλιπὼν ἐκείνους, πρὸς ἑτέρους ἀπῆλθεν. Ὡς δὲ πρὸς τὸν βασιλέα αὐτὸν εἰσήγαγον καὶ εὗρεν αὐτὸν ἀποτεθνηκότα τῷ δέει, πρῶτον αὐτοῦ διανίστησι τὸ φρόνημα, οὕτω λέγων· «μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου ἐπ' αὐτόν, ὅτι ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου». Ἐπειδὴ δὲ ἐκεῖνος ἠπίστει λέγων, «οὐ δυνήσῃ πορευθῆναι· σὺ παιδάριον εἶ, αὐτὸς δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ», ἐν ἀπορίᾳ ὢν λοιπὸν ὁ Δαυῒδ ἀναγκάζεται τὰ οἰκεῖα διηγεῖσθαι ἐγκώμια. Ὅτι γὰρ οὐκ ἐβούλετο, διὰ τῶν προτέρων ἔδειξεν, οὔτε πρὸς τοὺς ἀδελφοὺς εἰπών τι τῶν αὐτοῦ κατορθωμάτων, οὔτε πρὸς τοὺς στρατιώτας, ἀλλ' οὐδὲ πρὸς αὐτὸν τὸν βασιλέα, ἕως εἶδεν αὐτὸν ἀπιστοῦντα καὶ ἀγωνιῶντα καὶ κωλύοντα τὴν ἔφοδον τὴν κατ' ἐκείνου. Τί γὰρ ἔδει πρᾶξαι λοιπόν; σιγῆσαι τὰ ἐγκώμια; Ἀλλ' οὐκ ἂν ἐπέτρεψεν ἀπελθεῖν οὐδὲ ἀπαλλάξαι τῶν κατεχόντων κινδύνων. Διὰ τοῦτο σιγήσας ἡνίκα ἔδει, ἐπειδὴ τὸν καιρὸν εἶδε καταναγκάζοντα εἰπεῖν, οὐκ ἔτι σιγᾷ, ἀλλά φησι πρὸς αὐτόν.

«Ποιμαίνων ἤμην ὁ δοῦλός σου ἐν τῷ ποιμνίῳ τοῦ πατρός μου καὶ ὅταν ἤρχετο λέων ἢ ἄρκτος καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης, ἐξηρχόμην κατόπισθεν αὐτοῦ καὶ ἐπάτασσον αὐτὸν καὶ ἐξέσπων ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἐκράτουν τοῦ φάρυγγος

---

28. Α' Βασ. 17,32.
29. Α' Βασ. 17,33.

θάρρος τους καὶ φοβοῦνταν καὶ ἔτρεμαν, δὲν ἔπαθε τίποτε ἀνθρώπινο οὔτε ἔγινε πιὸ δειλὸς καθὼς ἔβλεπε τοὺς δικούς τους νὰ ἔχουν ταπεινωθεῖ, ἀλλά, ἀφοῦ ξεπέρασε μὲ τὴν πίστη ὅλα ὅσα ἔβλεπε καὶ εἶδε πρὸς τὸ βασιλιὰ τῶν οὐρανῶν καὶ ἀφοῦ γέμισε τὸν ἑαυτό του μὲ πολλὴ προθυμία, ἦρθε κοντὰ στοὺς στρατιῶτες καὶ τοὺς ἀδελφούς, ὑποσχόμενος νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὸν κίνδυνο ποὺ τοὺς ἀπειλοῦσε. Μόλις ὅμως οἱ ἀδελφοὶ γέλασαν γι' αὐτὸ ποὺ εἶπε (γιατὶ δὲν ἔβλεπαν τὸ Θεὸ ποὺ τὸν ἐνθάρρυνε μέσα του, οὔτε ἐκείνη τὴν ψυχὴ τὴ γενναία καὶ οὐράνια καὶ γεμάτη πολλὴ πίστη), τοὺς ἄφησε ἐκείνους καὶ ἦρθε σὲ ἄλλους.

Καὶ ὅταν μετὰ τὸν ὁδήγησαν στὸν ἴδιο τὸ βασιλιὰ καὶ τὸν βρῆκε πεθαμένο ἀπὸ τὸ φόβο, πρῶτα τοῦ ἐξυψώνει τὸ φρόνημα λέγοντας, «ἂς μὴ πτοηθεῖ ἡ καρδιὰ τοῦ κυρίου μου ἐξ αἰτίας του, γιατὶ ὁ δοῦλος σου θὰ πάει καὶ θὰ πολεμήσει ἐναντίον αὐτοῦ τοῦ ξένου»[28]. Ἐπειδὴ ὅμως ἐκεῖνος δυσπιστοῦσε λέγοντας, «δὲν εἶναι δυνατὸ νὰ βαδίσεις ἐναντίον του· ἐσὺ εἶσαι μικρός, ἐνῶ ἐκεῖνος εἶναι πολεμιστὴς ἀπὸ τὴ νεανική του ἡλικία»[29], ὁ Δαβὶδ βρισκόμενος πιὰ σὲ δύσκολη θέση ἀναγκάζεται νὰ διηγηθεῖ τοὺς δικούς του ἐπαίνους. Ὅτι βέβαια δὲν ἤθελε κάτι τέτοιο τὸ ἀπέδειξε μὲ τὰ προηγούμενα, ἀφοῦ δὲν ἀνέφερε κανένα ἀπὸ τὰ κατορθώματά του οὔτε στοὺς ἀδελφούς του οὔτε στοὺς στρατιῶτες ἀλλ' οὔτε καὶ στὸν ἴδιο τὸ βασιλιά, μέχρι ποὺ τὸν εἶδε νὰ δυσπιστεῖ καὶ νὰ ἀγωνιᾶ καὶ νὰ ἐμποδίζει τὴν ἐπίθεση ἐναντίον ἐκείνου. Τί λοιπὸν ἔπρεπε νὰ πράξει τότε; νὰ παρασιωπήσει τοὺς ἐπαίνους; Ἀλλὰ δὲ θὰ τὸν ἐπέτρεπε νὰ φύγει, οὔτε νὰ τοὺς ἀπαλλάξει ἀπὸ τοὺς κινδύνους ποὺ τοὺς ἀπειλοῦσαν. Γι' αὐτό, ἀφοῦ σιώπησε ὅταν ἔπρεπε, ὅταν εἶδε πὼς ἡ περίσταση τὸν ἀνάγκαζε νὰ μιλήσει, δὲ σιωπᾶ πιὰ ἀλλὰ λέγει σ' αὐτόν.

«Ἐγὼ ὁ δοῦλος σου ἤμουν βοσκὸς στὰ πρόβατα τοῦ πατέρα μου καὶ ὅταν ἐρχόταν λιοντάρι ἢ ἀρκούδα καὶ ἅρπαζε πρόβατο ἀπὸ τὸ κοπάδι, ἔτρεχα πίσω του καὶ τὸ χτυποῦσα καὶ ἀποσποῦσα τὸ πρόβατο ἀπὸ τὸ στόμα του καὶ τὸ ἔπιανα ἀπὸ τὸ λαι-

αὐτοῦ καὶ ἐθανάτουν αὐτόν· καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἔτυπτεν ὁ δοῦλός σου· καὶ ἔσται ὁ ἀλλόφυλος οὗτος καὶ ἀπερίτμητος, ὡς ἓν τούτων». Ὁρᾷς πῶς ἐδήλωσε, τίνος ἕνεκεν εἶπε τὰ οἰκεῖα κατορθώματα; Τότε δή, τότε θαρρήσας ὁ βασιλεὺς λοιπὸν ἐκέλευσεν ἀπελθεῖν. Καὶ ἀπῆλθε καὶ παρετάξατο καὶ ἐνίκησεν. Εἰ δὲ μὴ ἐγκώμια εἶπεν, οὐκ ἂν αὐτῷ τὴν μονομαχίαν ἐκείνην ἐπίστευσεν ὁ βασιλεύς· μὴ πιστεύσας δέ, οὐκ ἂν ἀφῆκεν αὐτὸν εἰς τὴν παράταξιν ἀπελθεῖν· μὴ ἀφεὶς δέ, διεκώλυσεν ἂν τὸ κατόρθωμα· τοῦ δὲ κατορθώματος κωλυθέντος, οὔτε ὁ Θεὸς ἂν ἐδοξάσθη τότε, οὔτε ἡ πόλις τῶν ἐπικειμένων ἀπηλλάγη κινδύνων. Ἵν' οὖν μὴ τοσαῦτα γένηται ἄτοπα, μηδὲ οἰκονομίας μέγεθος κωλυθῇ τοσοῦτον, ἠναγκάσθη τοὺς οἰκείους ἄθλους εἰπεῖν ὁ Δαυΐδ. Ὥσπερ γὰρ σιγᾶν ἴσασιν, οὐδεμιᾶς οὔσης ἀνάγκης, οὕτω καὶ λέγειν ἐπίστανται, ἐπειδὰν πολλὴν ἴδωσι βίαν ἐπικειμένην.

8. Οὐκ ἐπὶ τούτου δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Σαμουὴλ τὸ αὐτὸ τοῦτο γεγενημένον ἴδοι τις ἄν. Καὶ γὰρ ἐκεῖνος ἔτη τοσαῦτα προστὰς τοῦ δήμου τῶν Ἰουδαίων οὕτως, ὡς ὁ Θεὸς ἤθελε, καὶ μηδὲν μηδέποτε μέγα περὶ ἑαυτοῦ φθεγξάμενος, καίτοι πολλὰ ἔχων, εἴπερ ἐβούλετο, λέγειν, τὴν ἐκ πρώτης ἡλικίας ἀνατροφήν, τὴν ἐν τῷ ναῷ διατριβήν, τὴν ἐκ σπαργάνων αὐτοῦ προφητείαν, τοὺς μετὰ ταῦτα πολέμους, τὰς νίκας ἃς ἐνίκησεν, οὐχ ὅπλοις χρώμενος, ἀλλὰ μετὰ τῆς εὐνοίας τοῦ Θεοῦ παρατατττόμενος, ἐν τοῖς ἔμπροσθεν χρόνοις οὐδὲν τούτων εἶπεν. Ἐπειδὴ δὲ ἔμελλεν ἀφίστασθαι τῆς προστασίας καὶ τὴν ἀρχὴν ἐγχειρίζειν ἑτέρῳ, τότε λοιπὸν ἠναγκάσθη τὰ ἐγκώμια αὐτοῦ διεξελθεῖν καὶ ταῦτα ὑφειμένως. Καὶ καλέσας τὸν δῆμον ἅπαντα, παρόντος καὶ τοῦ Σαούλ, οὕτω πώς φησιν· «ἰδοὺ ἤκουσα τῆς φωνῆς ὑμῶν καὶ ἐβασίλευσα ἐφ' ὑμᾶς βασιλέα· καὶ ἐγὼ ἰδοὺ ἀνέστραμμαι ἐνώπιον ὑμῶν ἐκ νεότητός μου καὶ ἕως τῆς ἡμέρας ταύτης καὶ γεγήρακα. Ἀποκρίθητε κατ' ἐμοῦ ἐνώπιον τοῦ

30. Α' Βασ. 17,34–36.

μὸ καὶ τὸ θανάτωνα· ὁ ἀλλόφυλος λοιπὸν αὐτὸς καὶ ἀπερίτμητος θὰ γίνει σὰν ἕνα ἀπὸ τὰ θηρία αὐτά»[30]. Βλέπεις πῶς φανέρωσε γιὰ ποιό λόγο ἀνέφερε τὰ κατορθώματά του; Τότε λοιπόν, τότε μόνο πῆρε θάρρος πιὰ ὁ βασιλιὰς καὶ τὸν πρόσταξε νὰ πάει. Καὶ πῆγε, καὶ πολέμησε, καὶ νίκησε. Ἂν ὅμως δὲν ἀνέφερε τοὺς ἐπαίνους, δὲ θὰ τοῦ ἐμπιστευόταν ὁ βασιλιὰς τὴ μονομαχία ἐκείνη· καὶ ἂν δὲν τὸν ἐμπιστευόταν, δὲ θὰ τὸν ἄφηνε νὰ πάει στὴ μάχη· καὶ ἂν δὲν τὸν ἄφηνε, θὰ ἐμπόδιζε τὸ κατόρθωμα· ἂν ὅμως ἐμποδιζόταν τὸ κατόρθωμα, οὔτε ὁ Θεὸς θὰ δοξαζόταν τότε, οὔτε ἡ πόλη θ' ἀπαλλασσόταν ἀπὸ τοὺς ἐπικείμενους κινδύνους. Γιὰ νὰ μὴν γίνουν λοιπὸν τόσα πολλὰ ἄτοπα οὔτε νὰ ἐμποδισθεῖ ἕνα τόσο σημαντικὸ γεγονὸς τῆς θείας οἰκονομίας, ἀναγκάσθηκε ὁ Δαβὶδ νὰ πεῖ τοὺς δικούς του ἄθλους. Ὅπως λοιπὸν γνωρίζουν νὰ σιωποῦν, ὅταν δὲν ὑπάρχει καμιὰ ἀνάγκη, ἔτσι ξέρουν καὶ νὰ μιλοῦν, ὅταν δοῦν ὅτι ὑπάρχει μεγάλη ἀνάγκη.

8. Καὶ ὄχι μόνο σ' αὐτόν, ἀλλὰ καὶ στὸ Σαμουὴλ μπορεῖ νὰ δεῖ κανεὶς νὰ γίνεται ἀκριβῶς τὸ ἴδιο. Γιατι καὶ ἐκεῖνος, ἀφοῦ κυβέρνησε τόσα πολλὰ χρόνια τὸν ἰουδαϊκὸ λαὸ ἔτσι ὅπως ἤθελε ὁ Θεὸς καὶ δὲν εἶπε ποτὲ τίποτε μεγάλο γιὰ τὸν ἑαυτό του, παρ' ὅλο ποὺ μποροῦσε, ἂν βέβαια ἤθελε, νὰ πεῖ πολλά, τὴν ἀνατροφή του ἀπὸ τὴν παιδική του ἡλικία, τὴν ὑπακοή του στὸ ναό, τὸ προφητικό του χάρισμα ποὺ εἶχε ἀπὸ τὰ σπάργανα, τοὺς κατοπινοὺς πολέμους, τὶς νίκες ποὺ ἐπέτυχε χωρὶς νὰ χρησιμοποιεῖ ὅπλα ἀλλὰ πολεμώντας μὲ τὴν εὔνοια τοῦ Θεοῦ, στὰ προηγούμενα χρόνια δὲν εἶπε τίποτε ἀπ' αὐτά. Ὅταν ὅμως ἐπρόκειτο ν' ἀπομακρυνθεῖ ἀπὸ τὴν ἀρχὴ καὶ νὰ ἐμπιστευθεῖ τὴν ἐξουσία σ' ἄλλον, τότε πιὰ ἀναγκάσθηκε νὰ διηγηθεῖ τοὺς ἐπαίνους του καὶ αὐτοὺς μὲ μετριοπάθεια. Καὶ ἀφοῦ κάλεσε ὅλο τὸ λαό, ἐνῶ ἦταν παρὼν καὶ ὁ Σαούλ, εἶπε τὰ ἑξῆς· «νά, ἄκουσα τὴ φωνή σας καὶ ἐγκατέστησα σὲ σᾶς βασιλιά· καὶ νὰ ἐγὼ πέρασα τὴ ζωή μου ἀνάμεσά σας ἀπὸ τὴ νεότητά μου καὶ μέχρι τὴν ἡμέρα αὐτὴ καὶ ἔχω γεράσει. Ἐνώπιον τοῦ Κυρίου καὶ τοῦ βασιλιᾶ μιλῆστε ἂν ἔχετε κανένα παράπονο ἐναντίον

Κυρίου καὶ ἐνώπιον χριστοῦ αὐτοῦ· μόσχον τίνος ὑμῶν εἴληφα; ἢ ὄνον τίνος εἴληφα; ἢ τίνα ὑμῶν κατεδυνάστευσα; ἢ τίνα ἐξεπίεσα ὑμῶν; ἢ ἐκ χειρὸς τίνος ὑμῶν εἴληφα ἐξίλασμα ἢ ὑπόδημα καὶ ἀπέκρυψα τοὺς ὀφθαλμούς μου ἐν αὐτῷ; Εἴπατε κατ' ἐμοῦ καὶ ἀποδώσω ὑμῖν».

Καὶ ποία ἦν ἀνάγκη ταῦτα λέγειν, φησί; Πολλὴ καὶ μεγάλη. Ἐπειδὴ γὰρ ἄρχοντα ἔμελλεν εἰσάγειν αὐτοῖς τὸν Σαούλ, ἐν τῇ καθ' ἑαυτὸν ἀπολογίᾳ διδάξαι βουλόμενος ἐκεῖνον, πῶς προΐστασθαι δεῖ καὶ κήδεσθαι τῶν ἀρχομένων, αὐτοὺς τοὺς ὑπηκόους μάρτυρας αὐτοῦ τῆς φιλοσοφίας παράγει. Καὶ οὐ ποιεῖ τοῦτο ἐν τῷ καιρῷ τῆς ἀρχῆς, ἵνα μή τις εἴπῃ, ὅτι 'δεδοικότες αὐτὸν καὶ φοβούμενοι τὰ μὴ ὄντα ἐμαρτύρησαν', ἀλλ' ὅτε παρελύθη τὰ τῆς δημαγωγίας καὶ εἰς ἕτερον μετέστη τὰ τῆς προστασίας καὶ κίνδυνος οὐδεὶς ἦν τῷ κατηγοροῦντι λοιπόν, τότε δικάζεται πρὸς αὐτούς. Καίτοι γε εἰ ἕτερός τις ἦν, ἐμνησικάκησεν ἂν τοῖς Ἰουδαίοις καὶ οὐκ ἂν ἠθέλησε τὸν ἄρχοντα τὸν μετ' αὐτὸν ἐπιεικῆ γενέσθαι καὶ μέτριον, οὐ διὰ μνησικακίαν δὲ μόνον, ἀλλ' ἵνα καὶ αὐτὸς ἐπαινῆται μειζόνως.

9. Καὶ γὰρ νόσημα τοῦτο δεινὸν τοῖς ἄρχουσιν ἔνεστι· τοὺς μετ' αὐτοὺς ἐπὶ τὴν ἀρχὴν ἐρχομένους εὔχονται φαύλους εἶναι καὶ πονηρούς. Ἄν τε γὰρ γενναῖοι τύχωσιν ὄντες, λαμπροτέρους αὐτοὺς φανεῖσθαι νομίζουσι, τῶν διαδεξαμένων τὴν ἀρχὴν οὐκ ὄντων τοιούτων· ἄν τε σκαιοὶ καὶ διεφθαρμένοι, ἀπολογίαν τῆς οἰκείας ἔσεσθαι πονηρίας τοῦ μετὰ ταῦτα ἄρχοντος τὴν κακίαν. Ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτος· ἀλλ' ἠβούλετο καὶ ηὔχετο καὶ ἐπεθύμει πολλῷ βελτίονος αὐτοὺς ἀπολαῦσαι τῆς προστασίας· οὕτω φιλόστοργος ἦν, οὕτω φθόνου καθαρός, οὕτω κενοδοξίας ἀπηλλαγμένος. Καίτοι γε ἓν μόνον ἐζήτει, τῶν ἀνθρώπων τὴν σωτηρίαν. Διὰ τοῦτο καὶ τὸν ἄρχοντα αὐτοῖς ἐν τῇ καθ' ἑαυτὸν ἐρρύθμιζεν ἀπολογίᾳ. Ἐπειδὴ γὰρ τὸ μὲν καλέσαι τὸν βασιλέα καὶ εἰπεῖν, 'ἐπιεικὴς ἔσο καὶ μέτριος καὶ ἀδωροδόκητος, καὶ μηδένα βιάζου μηδὲ ἀδίκει μηδὲ πλεονέκτει', φορτικὸν

---

31. Α' Βασ. 12,1–3.

μου· μήπως πῆρα ἀπὸ κανένα σας τὸ μοσχάρι ἢ τὸ γαϊδούρι του; μήπως τυράννησα ἢ καταπίεσα κανέναν ἀπὸ σᾶς; μήπως πῆρα ἀπὸ τὸ χέρι κανενός σας δῶρο γιὰ ἐξιλέωση ἢ ὑπόδημα καὶ ἔκρυψα τὰ μάτια μου ἀπὸ παράπτωμά του; Μιλῆστε ἐναντίον μου καὶ θὰ σᾶς τὰ ἐπιστρέψω»[31].

Καὶ ποιά ἀνάγκη, λέγει, ὑπῆρχε νὰ τὰ πεῖ αὐτά; Πολλὴ καὶ μεγάλη ἀνάγκη. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ παρουσιάσει σ' αὐτοὺς τὸ Σαούλ, θέλοντας μὲ τὴ δική του ἀπολογία νὰ διδάξει ἐκεῖνον πῶς πρέπει νὰ κυβερνάει καὶ νὰ φροντίζει γιὰ τοὺς πολίτες, τοὺς ἴδιους τοὺς ὑπηκόους παρουσιάζει μάρτυρες τῆς καλῆς συμπεριφορᾶς του. Καὶ δὲν τὸ κάνει αὐτὸ τὸν καιρὸ τῆς ἐξουσίας του, γιὰ νὰ μὴ πεῖ κανεὶς ὅτι ἀπὸ τρόμο καὶ φόβο πρὸς αὐτὸν ἐπιβεβαίωσαν ἐκεῖνα ποὺ δὲν ἔγιναν, ἀλλὰ ὅταν τελείωσε ἡ καθοδήγηση τοῦ λαοῦ καὶ ἡ ἐξουσία πέρασε σ' ἄλλον καὶ δὲν ὑπῆρχε πιὰ κανεὶς κίνδυνος γιὰ τὸν κατήγορο, τότε ἀπολογεῖται ἐνώπιόν τους. Καὶ ὅμως ἂν ἦταν κάποιος ἄλλος, θὰ κρατοῦσε κακία στοὺς Ἰουδαίους καὶ δὲ θὰ ἤθελε νὰ γίνει ὁ ἐπόμενος ἄρχοντας μαλακὸς καὶ μετριοπαθής, ὄχι μόνο ἀπὸ μνησικακία ἀλλὰ καὶ γιὰ νὰ ἐπαινεῖται αὐτὸς περισσότερο.

9. Γιατὶ πραγματικὰ ὑπάρχει στοὺς ἄρχοντες αὐτὴ ἡ φοβερὴ ἀρρώστια· εὔχονται νὰ εἶναι κακοὶ καὶ διεφθαρμένοι ὅσοι ἔρχονται στὴν ἐξουσία ὕστερα ἀπ' αὐτούς. Γιατί, ἂν τύχει νὰ εἶναι γενναῖοι, νομίζουν πὼς φαίνονται λαμπρότεροι ἂν ὁ διάδοχοί τους στὴν ἐξουσία δὲν εἶναι τέτοιοι. Καὶ ἂν εἶναι σκληροὶ καὶ διεφθαρμένοι νομίζουν πὼς ἡ κακία τοῦ ἑπόμενου ἄρχοντα θ' ἀποτελέσει δικαιολογία τῆς δικῆς τους κακίας. Ὅμως ὁ μακάριος αὐτὸς δὲν ἦταν τέτοιος, ἀλλ' ἤθελε καὶ εὐχόταν καὶ ἐπιθυμοῦσε νὰ ἀπολαύσουν αὐτοὶ πολὺ καλύτερη διοίκηση· τόσο φιλόστοργος ἦταν, τόσο καθαρὸς ἀπὸ φθόνο, τόσο ἀπαλλαγμένος ἀπὸ τὴ ματαιοδοξία. Ὅμως ἕνα μόνο ζητοῦσε, τὴ σωτηρία τῶν ἀνθρώπων. Γι' αὐτὸ καὶ στὴν ἀπολογία του ἔδινε ὁδηγίες στὸν ἄρχοντά τους. Ἐπειδὴ βέβαια τὸ νὰ καλοῦσε τὸ βασιλιὰ καὶ νὰ τοῦ ἔλεγε, 'νὰ εἶσαι ἤπιος καὶ μετριοπαθὴς καὶ ἀδωροδόκητος, καὶ κανέναν νὰ μὴν καταπιέζεις οὔτε ν' ἀδικεῖς οὔτε νὰ γίνεσαι

ἦν καὶ ἐπαχθὲς τῷ μέλλοντι ταῦτα ἀκούειν, τὸ δὲ σιγῆσαι πάλιν προδοσία τοῦ δήμου ἐγίνετο, ἐν ἀπολογίας προσχήματι ἀμφότερα ταῦτα κατώρθωσε, κἀκεῖνον ἐδίδαξεν ὁποῖον εἶναι χρὴ τὸν βασιλεύοντα, καὶ τὴν ἐκ τοῦ διδάσκειν ἐπάχθειαν ἔφυγε.

Καὶ δοκεῖ μὲν ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀγωνίζεσθαι· παιδεύειν δὲ ἐκεῖνον πῶς καὶ τίνι τρόπῳ τῶν ἀρχομένων ἐπιμελεῖσθαι χρή. Σὺ δέ μοι σκόπει πῶς μετὰ ἀκριβείας ἁπάσης καθαρὸν ἑαυτὸν ἔδειξε λημμάτων. Οὐδὲ γὰρ εἶπε, 'μὴ ἀγρούς τινος ὑμῶν ἔλαβον; μὴ χρυσίον;' ἀλλ' ὃ πάντων εὐτελέστερον ἦν, «μὴ ὑπόδημα»; φησίν. Εἶτα καὶ ἑτέραν ἑαυτοῦ πολλὴν ἡμῖν ἐδήλωσεν ἀρετήν. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀρχόντων, ὅταν μὲν κλέπτωσιν ἐπιεικεῖς εἰσι καὶ μέτριοι καὶ προσηνεῖς οὐκ οἴκοθεν, ἀλλὰ διὰ τὴν ἀνάγκην τοῦ συνειδότος, ἐκ τῶν κλεμμάτων περιῃρημένοι τὴν παρρησίαν, οἱ δὲ ἀδωροδόκητοι φορτικοὶ καὶ ἐπαχθεῖς, οὐδὲ αὐτοὶ πάλιν οἴκοθεν, ἀλλ' ὑπό τινος κενοδοξίας καὶ τοῦ καθαροὶ λημμάτων εἶναι (ἀμφότερα δὲ οὐκ ἄν τις ἴδοι ῥᾳδίως συνελθόντα εἰς ἕνα), δεῖξαι βουλόμενος ὁ ἅγιος οὗτος, ὅτι ἀμφοτέρων περιεγένετο, καὶ λημμάτων ἐκράτει καὶ ὀργῆς, εἰπών, «μὴ μόσχον τινὸς ὑμῶν εἴληφα;» οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, «ἢ κατεδυνάστευσά τινα ὑμῶν ἢ ἐξεπίεσα;» τοῦτ' ἔστιν, ἐξέθλιψα; Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· 'οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν, ὅτι οὐκ ἔλαβον μέν, ἐπειδὴ δὲ οὐκ ἔλαβον, φορτικὸς ἐγενόμην καὶ ἐπαχθὴς καὶ ὠμὸς καὶ ἄγριος'. Διὰ τοῦτο ἔλεγεν, «ἢ κατεδυνάστευσά τινα ὑμῶν;»

Τί οὖν ἐκεῖνοι; «Οὔτε κατεδυνάστευσας ἡμᾶς, οὔτε ἐξεπίεσας, οὐδὲ εἴληφας ἐκ χειρὸς ἡμῶν οὐδέν». Καὶ ἵνα μάθῃς, ὅτι καὶ τὸν βασιλέα αὐτὸν παιδεύων ταῦτα ἔλεγεν, ἐπήγαγε· «μάρτυς Κύριος, καὶ μάρτυς ὁ χριστὸς αὐτοῦ»· τοῦτο δὲ ἡμῖν αὐτὸ παραδηλῶν καὶ δεικνύς, ὡς οὐκ ἦν ἡ μαρτυρία κεχαρισμένη,

32. Α' Βασ. 12,4.
33. Α' Βασ. 12,5.

πλεονέκτης', ἦταν βαρὺ καὶ ἐνοχλητικὸ γι' αὐτὸν ποὺ ἐπρόκειτο νὰ τὰ ἀκούει αὐτά, ἀλλὰ καὶ τὸ νὰ σιωπήσει πάλι ἦταν προδοσία τοῦ λαοῦ, μὲ τὸ πρόσχημα τῆς ἀπολογίας τὰ ἐπέτυχε καὶ τὰ δύο αὐτά, καὶ ἐκεῖνον δίδαξε πῶς πρέπει νὰ εἶναι ὁ βασιλιὰς καὶ τὴν ἐνόχληση ἀπὸ τὴ διδασκαλία ἀπέφυγε.

Καὶ φαίνεται βέβαια πὼς ἀγωνίζεται γιὰ τὸν ἑαυτό του, ἐνῶ στὴν πραγματικότητα διδάσκει ἐκεῖνον πῶς καὶ μὲ ποιό τρόπο πρέπει νὰ φροντίζει γιὰ τοὺς ὑπηκόους του. Ἐσὺ ὅμως πρόσεχε, παρακαλῶ, πῶς μὲ κάθε ἀκρίβεια ἀπέδειξε τὸν ἑαυτό του καθαρὸ ἀπὸ δωροληψίες. Γιατὶ δὲν εἶπε, 'μήπως πῆρα χωράφια ἀπὸ κανένα σας ἢ χρυσάφι;' ἀλλὰ ἐκεῖνο ποὺ ἦταν πιὸ ἀσήμαντο ἀπ' ὅλα λέγει· «μήπως πῆρα ὑπόδημα;». Στὴ συνέχεια μᾶς φανέρωσε καὶ ἄλλη δική του μεγάλη ἀρετή. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἀπὸ τοὺς ἄρχοντες, ὅταν κλέβουν εἶναι ἤπιοι καὶ μετριοπαθεῖς καὶ εὐγενικοὶ ὄχι γιατὶ τὸ θέλουν οἱ ἴδιοι αὐτοπροαίρετα ἀλλὰ γιατὶ τοὺς ἀναγκάζει ἡ συνείδηση, ἀφοῦ τὰ κλοπιμαῖα τοὺς ἀφαιροῦν τὴν παρρησία, ἐνῶ οἱ ἀδωροδόκητοι εἶναι φορτικοὶ καὶ ἐνοχλητικοί, ὄχι καὶ αὐτοὶ πάλι ἀπὸ δική τους θέληση, ἀλλὰ ἀπὸ κάποια ματαιοδοξία καὶ ἀπὸ τὸ ὅτι εἶναι καθαροὶ ἀπὸ κλοπὲς –καὶ τὰ δυὸ ὅμως δὲν μπορεῖ κανεὶς νὰ τὰ δεῖ συγκεντρωμένα σ' ἕναν ἄνθρωπο–, θέλοντας ὁ ἅγιος αὐτὸς ν' ἀποδείξει ὅτι νίκησε καὶ τὰ δύο καὶ ὅτι ἦταν ἀνώτερος καὶ ἀπὸ τὶς κλοπὲς καὶ ἀπὸ τὴν ὀργή, ἀφοῦ εἶπε «μήπως πῆρα ἀπὸ κανένα σας τὸ μοσχάρι;» δὲ σιώπησε, ἀλλὰ πρόσθεσε, «μήπως τυράννησα ἢ καταπίεσα κανέναν ἀπὸ σᾶς;», δηλαδὴ τὸν στενοχώρησα πολύ; Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· κανεὶς δὲν μπορεῖ νὰ πεῖ αὐτό, ὅτι δηλαδὴ δὲν πῆρα βέβαια ἀπὸ σᾶς τίποτε, ἐπειδὴ ὅμως δὲν πῆρα, ἔγινα φορτικός, ἐνοχλητικός, σκληρὸς καὶ ἄγριος. Γι' αὐτὸ ἔλεγε, «μήπως τυράννησα κανέναν ἀπὸ σᾶς;».

Τί λοιπὸν ἀπάντησαν ἐκεῖνοι; «Οὔτε μᾶς τυράννησες οὔτε μᾶς καταπίεσες καὶ τίποτε δὲν πῆρες ἀπὸ τὰ χέρια μας»[32]. Καὶ γιὰ νὰ μάθεις ὅτι τὰ ἔλεγε αὐτὰ γιὰ νὰ διδάξει καὶ τὸν ἴδιο τὸ βασιλιά, πρόσθεσε· «μάρτυρας ἂς εἶναι ὁ Κύριος καὶ ὁ χρισμένος ἀπ' αὐτόν»[33]. Γιὰ νὰ φανερώσει καὶ ν' ἀποδείξει σὲ μᾶς ὅτι

αὐτὸν ἐκάλεσε μάρτυρα τὸν τὰ ἀπόρρητα τῆς διανοίας εἰδότα, ὅπερ ἐστὶ καθαροῦ συνειδότος ἀπόδειξις. Οὐδεὶς γάρ, οὐδείς, εἰ μὴ σφόδρα ἦν μεμηνὼς καὶ ἐξεστηκώς, τοῦ συνειδότος τοῦ ἑαυτοῦ καλέσειεν ἄν ποτε μάρτυρα τὸν Θεόν, εἰ μὴ σφόδρα ἑαυτῷ θαρροίη. Μαρτυρησάντων τοίνυν ἐκείνων ἐπὶ τοῖς εἰρημένοις αὐτῷ, καὶ ἑτέραν ἑαυτοῦ δείκνυσιν αὐτὸς ἀρετήν· καὶ τῶν παλαιῶν ἀναμνήσας ἁπάντων τῶν κατὰ τὴν Αἴγυπτον, καὶ τῆς τοῦ Θεοῦ προστασίας, καὶ τῶν μετ' ἐκείνους πολέμων, ἀναμιμνήσκει τῆς μάχης τῆς ἐπ' αὐτοῦ γενομένης καὶ τῆς νίκης τῆς παραδόξου· καὶ εἰπὼν πῶς πολλάκις διὰ τὰς οἰκείας ἁμαρτίας τοῖς πολεμίοις παραδοθέντων, ἐκάλεσεν αὐτὸς τὸν Θεὸν καὶ ἀπήλλαξεν αὐτοὺς τῶν πολεμίων, συνάπτων τοῖς παλαιοῖς τὰ νέα, ἐπάγει καὶ λέγει· «ἐξαπέστειλε Κύριος τὸν Ἱεροβάαλ, τὸν Γεδεών, καὶ τὸν Βαράκ, καὶ τὸν Ἰεφθάε, καὶ τὸν Σαμουήλ, καὶ ἐξείλετο ὑμᾶς κύκλωθεν ἐκ χειρὸς τῶν ἐχθρῶν ὑμῶν, καὶ κατοικεῖτε πεποιθότες».

10. Ὁρᾷς πῶς ἔθος τοῖς ἁγίοις μὴ τὰ ἑαυτῶν κατορθώματα λέγειν, εἰ μή ποτε καταναγκασθεῖεν; Διὰ τοῦτο καὶ ὁ Παῦλος πρὸς τούτους βλέπων καὶ παιδευόμενος ἀκριβῶς, ὅτι τὸ αὐτόν τινα περὶ ἑαυτοῦ λέγειν ἐπαχθὲς καὶ φορτικόν, ἔλεγεν· «ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ»· οὐ μέγα, ἀλλὰ μικρόν τι. Οὐδὲ γὰρ ἀνάγκης οὔσης μετὰ δαψιλείας ἐκχεῖν ἑαυτὸν εἰς τὴν διήγησιν τῶν ἐγκωμίων παρεσκεύασται, ἀλλὰ διὰ βραχέων αὐτὰ παρατρέχει· καὶ αὐτὸ δὴ τοῦτο δι' ἐκείνους καὶ τὴν ἐκείνων σωτηρίαν. Ὥσπερ γὰρ οὐκ οὔσης ἀνάγκης λέγειν τὰ οἰκεῖα κατορθώματα ἀνοίας ἐστὶν ἐσχάτης, οὕτως ἀνάγκης ἐπικειμένης καὶ βίας ὠθούσης πάλιν προδοσία ἐστὶ τὸ σιγᾶν τὰ αὐτῶν πεπραγμένα.

Ἀλλ' ὅμως ὁ Παῦλος καὶ ἀνάγκην οὖσαν ὁρῶν, ἀπώκνει καὶ τὸ πρᾶγμα ἀφροσύνην ἐκάλει, ἵνα μάθῃς αὐτοῦ τὴν σύνεσιν καὶ τὴν σοφίαν καὶ τὴν πολλὴν ἀσφάλειαν. Καὶ γὰρ εἰπών, «ὃ

34. Α' Βασ. 12,11.

ἡ μαρτυρία δὲν ἦταν χαρισμένη κάλεσε μάρτυρα αὐτὸν ποὺ γνωρίζει τὰ ἀπόρρητα τοῦ νοῦ, πράγμα ποὺ εἶναι ἀπόδειξη καθαρῆς συνείδησης. Γιατὶ κανείς, πραγματικὰ κανείς, ἐκτὸς ἂν ἦταν ὑπερβολικὰ τρελὸς καὶ παράφρονας, δὲ θὰ καλοῦσε ποτὲ μάρτυρα τῆς συνείδησής του τὸ Θεό, ἂν δὲν εἶχε ὑπερβολικὴ ἐμπιστοσύνη στὸν ἑαυτό του. Ἀφοῦ λοιπὸν ἐκεῖνοι ἐπιβεβαίωσαν ὅσα αὐτὸς εἶπε, δείχνει καὶ κάποια ἄλλη ἀρετή του. Καὶ ἀφοῦ τοὺς ὑπενθύμισε ὅλους τοὺς παλαιοὺς ποὺ ἔζησαν στὴν Αἴγυπτο, τὴν προστασία τοῦ Θεοῦ καὶ τοὺς πολέμους ποὺ ἔγιναν ὕστερα ἀπ' αὐτούς, τοὺς ὑπενθυμίζει τὴ μάχη ποὺ ἔγινε στὶς ἡμέρες του καθὼς καὶ στὴν παράξενη νίκη· καὶ ἀφοῦ εἶπε πῶς, ὅταν παραδόθηκαν πολλὲς φορὲς στοὺς ἐχθροὺς ἐξ αἰτίας τῶν ἁμαρτιῶν τους, αὐτὸς κάλεσε τὸ Θεὸ καὶ τοὺς ἀπάλλαξε ἀπὸ τοὺς ἐχθρούς, συνδέοντας μὲ τὰ παλαιὰ τὰ νέα, προσθέτει καὶ λέγει· «ἔστειλε ὁ Κύριος τὸν Ἱεροβάαλ, δηλαδὴ τὸ Γεδεών, τὸ Βαράκ, τὸν Ἰεφθάε καὶ μένα τὸν Σαμουὴλ καὶ σᾶς γλύτωσε ἀπὸ τὰ χέρια τῶν γύρω ἐχθρῶν σας καὶ κατοικεῖτε ἔτσι ἐδῶ ἀσφαλεῖς»[34].

10. Βλέπεις πῶς συνηθίζουν οἱ ἅγιοι νὰ μὴ λέγουν τὰ δικά τους κατορθώματα, ἐκτὸς ἂν κάποτε ἐξαναγκασθοῦν; Γι' αὐτὸ καὶ ὁ Παῦλος, βλέποντας σ' αὐτοὺς καὶ μαθαίνοντας καλὰ ὅτι τὸ νὰ μιλάει κανεὶς γιὰ τὸν ἑαυτό του εἶναι πράγμα ἐνοχλητικὸ καὶ φορτικό, ἔλεγε· «θὰ ἤθελα νὰ μοῦ ἀνεχθεῖτε μιὰ μικρὴ ἀνοησία», ὄχι μεγάλη, ἀλλὰ μικρή. Παρ' ὅλο ποὺ ὑπῆρχε ἀνάγκη, ὅμως δὲν ἄφησε τὸν ἑαυτό του νὰ μιλήσει μὲ πολλὰ γιὰ τοὺς ἐπαίνους του, ἀλλὰ τοὺς προσπερνάει μὲ λίγα λόγια. Καὶ αὐτὸ βέβαια γιὰ ἐκείνους καὶ τὴ σωτηρία τους. Γιατί, ὅπως εἶναι δεῖγμα τῆς χειρότερης ἀνοησίας τὸ νὰ λέγει κανεὶς τὰ δικά του κατορθώματα χωρὶς νὰ ὑπάρχει ἀνάγκη, ἔτσι πάλι εἶναι προδοσία τὸ νὰ ἀποσιωπᾶ τὰ ἔργα του ὅταν ὑπάρχει ἀνάγκη καὶ πιέζει ἡ περίσταση.

Ἀλλ' ὅμως ὁ Παῦλος, μολονότι ὑπῆρχε ἀνάγκη, ἀπέφευγε καὶ ὀνόμαζε τὸ πράγμα ἀνοησία, γιὰ νὰ μάθεις τὴ σύνεσή του, τὴ σοφία του καὶ τὴ μεγάλη του βεβαιότητα. Γιατί, ἀφοῦ εἶπε,

λαλῶ, οὐ λαλῶ κατὰ Κύριον», προσέθηκεν, «ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως». Μὴ νομίσῃς, φησί, καθόλου με τοῦτο λέγειν. Ὥστε διὰ τοῦτο αὐτὸν μάλιστα ἐπαινῶ καὶ θαυμάζω καὶ σοφώτατον καλῶ, ὅτι πρᾶγμα ἀφροσύνης εἶναι ἐνόμισε τὸ ἑαυτὸν ἐγκωμιάζειν καὶ ἐπαινεῖν. Εἰ δὲ οὗτος ἀνάγκην οὖσαν ὁρῶν, ἀφροσύνην τοῦτο ἐκάλει, τίνος ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας, οἱ μηδὲ ἀνάγκης οὔσης περὶ ἑαυτῶν λέγοντες μεγάλα ἢ καὶ ἑτέρους λέγειν καταναγκάζοντες;

Ταῦτ᾽ οὖν εἰδότες, μὴ ἐπαινῶμεν τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ μιμησώμεθα καὶ ζηλώσωμεν, καὶ κατορθωμάτων ἐπιλανθανόμενοι, τῶν ἁμαρτημάτων ἀεὶ μνημονεύωμεν, ἵνα καὶ μετριάζειν δυνώμεθα καὶ πρὸς τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, τὸ βραβεῖον λάβωμεν τῆς ἄνω κλήσεως, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

35. Β΄ Κορ. 11,17.

«αὐτὸ ποὺ θὰ πῶ δὲ θὰ τὸ πῶ μὲ ἐντολὴ τοῦ Κυρίου», πρόσθεσε, «ἀλλὰ σὰν ἕνας ἀνόητος ποὺ νομίζει ὅτι ἔχει τὸ δικαίωμα νὰ καυχηθεῖ»[35]. Μὴ νομίσεις λέγει, ὅτι τὸ λέγω αὐτὸ ἔτσι τυχαῖα. Ἑπομένως γι' αὐτὸ κυρίως τὸν ἐπαινῶ καὶ τὸν θαυμάζω καὶ τὸν ὀνομάζω σοφότατο, γιατὶ θεώρησε πράξη ἀνοησίας τὸ νὰ ἐγκωμιάζει καὶ νὰ ἐπαινεῖ τὸν ἑαυτό του. Ἂν ὅμως αὐτός, βλέποντας νὰ ὑπάρχει ἀνάγκη, ὀνόμαζε αὐτὸ ἀνοησία, γιὰ ποιά συγγνώμη καὶ γιὰ ποιά ἀπολογία μποροῦν νὰ εἶναι ἄξιοι ἐκεῖνοι ποὺ χωρὶς νὰ ὑπάρχει ἀνάγκη λέγουν μεγάλα γιὰ τὸν ἑαυτό τους ἢ ἀναγκάζουν καὶ ἄλλους νὰ λέγουν γι' αὐτούς;

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴν ἐπαινοῦμε μόνο τὰ λεγόμενα, ἀλλὰ καὶ ἂς τὰ μιμηθοῦμε καὶ ἂς τὰ πραγματοποιήσουμε μὲ ζῆλο, καὶ ξεχνώντας τὰ κατορθώματά μας ἂς θυμόμαστε πάντοτε τὰ ἁμαρτήματά μας, γιὰ νὰ μποροῦμε νὰ γινόμαστε μετριόφρονες καὶ προχωρώντας ὅλο καὶ πρὸς τὰ ἐμπρὸς νὰ λάβουμε τὸ βραβεῖο τῆς οὐράνιας κλήσης, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμὴ τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΕΙΣ ΔΕΟΝ ΧΡΩΜΕΝΟΥΣ ΤΩι ΑΠΟΣΤΟΛΙΚΩι ΡΗΤΩι ΤΩι ΛΕΓΟΝΤΙ,

«ΕΙΤΕ ΠΡΟΦΑΣΕΙ ΕΙΤΕ ΑΛΗΘΕΙΑι ΧΡΙΣΤΟΣ ΚΑΤΑΓΓΕΛΛΕΤΑΙ»

ΚΑΙ ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ



ΟΜΙΛΙΑ

ΠΡΟΣ ΤΟΥΣ ΟΥΚ ΕΙΣ ΔΕΟΝ ΧΡΩΜΕΝΟΥΣ ΤΩι ΑΠΟΣΤΟΛΙΚΩι ΡΗΤΩι ΤΩι ΛΕΓΟΝΤΙ,

«ΕΙΤΕ ΠΡΟΦΑΣΕΙ ΕΙΤΕ ΑΛΗΘΕΙΑι ΧΡΙΣΤΟΣ ΚΑΤΑΓΓΕΛΛΕΤΑΙ»

Καὶ περὶ ταπεινοφροσύνης

1. Τοῦ Φαρισαίου καὶ τοῦ τελώνου μνημονεύσαντες πρῴην καὶ ἅρματα δύο τῷ λόγῳ ζεύξαντες ἐξ ἀρετῆς καὶ κακίας, ἑκάτερον ἐδείξαμεν, ὅσον μὲν τῆς ταπεινοφροσύνης τὸ κέρδος, ὅσον δὲ τῆς ἀπονοίας τὸ βλάβος. Αὕτη μὲν γὰρ καὶ δικαιοσύνῃ συμβεβλημένη καὶ νηστείαις καὶ δεκάταις, ὑστέρησεν, ἐκείνη δὲ καὶ μετὰ ἁμαρτίας ζευχθεῖσα προέλαβε τὸ τοῦ Φαρισαίου ζεῦγος, καίτοι καὶ τὸν ἡνίοχον ἔχουσα φαῦλον. Τί γὰρ τελώνου χεῖρον; Ἀλλ' ὅμως ἐπειδὴ συνέτριψεν αὐτοῦ τὴν ψυχὴν καὶ ἁμαρτωλὸν ἑαυτὸν ἐκάλεσεν, ὅπερ ἦν, ὑπερέβη τὸν Φαρισαῖον καὶ νηστείας ἔχοντα εἰπεῖν καὶ δεκάτας καὶ κακίας πάσης ἀπηλλαγμένον. Τίνος ἕνεκεν καὶ διὰ τί; Ὅτι εἰ καὶ πλεονεξίας καὶ ἁρπαγῆς ἀπήλλακτο, τὴν μητέρα τῶν κακῶν πάντων κενοδοξίαν τε καὶ ἀπόνοιαν εἶχεν ἐρριζωμένην ἐπὶ τῆς ψυχῆς. Διὰ τοῦτο καὶ ὁ Παῦλος παρακαλεῖ καὶ λέγει· «ἕκαστος τὸ ἑαυτοῦ ἔργον δοκιμαζέτω, καὶ τότε εἰς ἑαυτὸν τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον».

Ἐκεῖνος δὲ τῆς οἰκουμένης ἁπάσης παρῆλθεν εἰς μέσον

---

1. Φιλ. 1,8 2. Γαλ. 6,4.



ΟΜΙΛΙΑ

ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ ΠΟΥ ΔΕ ΧΡΗΣΙΜΟΠΟΙΟΥΝ ΟΠΩΣ ΠΡΕΠΕΙ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΕΙΤΕ ΜΕ ΥΠΟΚΡΙΣΙΑ ΕΙΤΕ ΜΕ ΕΙΛΙΚΡΙΝΕΙΑ Ο ΧΡΙΣΤΟΣ κηρύσσεται»[1]. Καὶ γιὰ τὴν ταπεινοφροσύνη

1. Ὅταν ἀναφέραμε σὲ προηγούμενη ὁμιλία τὸ Φαρισαῖο καὶ τὸν τελώνη καὶ ὅταν ζέψαμε μὲ τὸ λόγο δύο ἅρματα ἀπὸ ἀρετὴ καὶ κακία, δείξαμε καὶ τὰ δύο, πόσο εἶναι τὸ κέρδος ἀπὸ τὴν ταπεινοφροσύνη καὶ πόση εἶναι ἡ ζημία ἀπὸ τὴν ὑπερηφάνεια. Γιατὶ αὐτὴ ἂν καὶ ἑνωμένη μὲ δικαιοσύνη καὶ νηστεῖες καὶ προσφορὲς ὑστέρησε, ἐνῶ ἐκείνη ἂν καὶ ζεμένη μὲ τὴν ἁμαρτία ξεπέρασε τὸ ζευγάρι τοῦ Φαρισαίου, παρ' ὅλο ποὺ εἶχε καὶ ἀσήμαντο ἡνίοχο. Γιατὶ τί ὑπάρχει χειρότερο ἀπὸ τὸν τελώνη; Ἀλλ' ὅμως ἐπειδὴ συνέτριψε τὴν ψυχή του καὶ ὀνόμασε τὸν ἑαυτό του ἁμαρτωλό, πράγμα ποὺ ἦταν, ξεπέρασε τὸ Φαρισαῖο, ποὺ εἶχε νὰ πεῖ καὶ νηστεῖες καὶ προσφορὲς καὶ ἦταν ἀπαλλαγμένος ἀπὸ κάθε κακία. Γιὰ ποιό λόγο καὶ γιατί; Ἐπειδή, ἂν καὶ ἦταν ἀπαλλαγμένος ἀπὸ τὴν πλεονεξία καὶ τὴν ἁρπαγή, εἶχε ριζωμένη στὴν ψυχή του τὴ μητέρα ὅλων τῶν κακῶν, τὴ ματαιοδοξία καὶ τὴν ὑπερηφάνεια. Γι' αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει καὶ λέγει· «ἂς ἐξετάζει καθένας τὰ ἔργα του, καὶ τότε, ἂν καυχηθεῖ, θὰ τὸ κάνει μόνο γιὰ τὸν ἑαυτό του καὶ ὄχι σὲ σύγκριση μὲ τὸν ἄλλο»[1α].

Ἐκεῖνος ὅμως παρουσιάσθηκε κατήγορος ὅλης τῆς οἰκου-

κατήγορος καὶ πάντων τῶν ὄντων ἀνθρώπων ἑαυτὸν ἔφησεν εἶναι βελτίω. Καίτοι καὶ εἰ δέκα μόνον καὶ εἰ πέντε καὶ εἰ δύο καὶ εἰ ἑνὸς ἑαυτὸν προὔθηκεν, οὐδὲ τοῦτο ἀνεκτὸν ἦν· νυνὶ δὲ οὐχὶ προὔθηκεν ἑαυτὸν μόνον τῆς οἰκουμένης, ἀλλὰ καὶ κατηγόρησεν ἁπάντων. Διὰ τοῦτο ὑστέρησε κατὰ τὸν δρόμον. Καὶ καθάπερ ναῦς μυρία διαδραμοῦσα κύματα καὶ πολλοὺς ἐκφυγοῦσα χειμῶνας, εἶτα ἐν αὐτῷ τῷ στόματι τοῦ λιμένος σκοπέλῳ τινὶ προσαράξασα πάντα τὸν ἐναποκείμενον ἀπόλλυσι θησαυρόν, οὕτω δὴ καὶ ὁ Φαρισαῖος οὗτος, τοὺς πόνους τῆς νηστείας ὑπομείνας καὶ τῆς ἄλλης ἁπάσης, ἐπειδὴ γλώττης οὐκ ἐκράτησεν, ἐν αὐτῷ τῷ λιμένι τὸ φορτικὸν ναυάγιον ὑπέμεινε. Τὸ γὰρ ἐξ εὐχῆς, ὅθεν κερδαίνειν ἔδει, τοσαῦτα βλαβέντα μᾶλλον ἀπελθεῖν, οὐδὲν ἕτερόν ἐστιν ἢ ἐν λιμένι ναυάγιον ὑπομεῖναι.

2. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, κἂν εἰς αὐτὴν τῆς ἀρετῆς τὴν κορυφὴν ἀνέλθωμεν, πάντων ἑαυτοὺς ἐσχάτους νομίζωμεν, μαθόντες ὅτι καὶ ἐξ αὐτῶν τῶν οὐρανῶν ἀπόνοια δύναται κατενεγκεῖν τὸν μὴ προσέχοντα, καὶ ἐξ αὐτῆς τῆς ἀβύσσου τῶν ἁμαρτημάτων ἀνενεγκεῖν εἰς ὕψος ταπεινοφροσύνη τὸν μετριάζειν εἰδότα. Αὕτη γὰρ πρὸ τοῦ Φαρισαίου τὸν τελώνην ἔστησεν, ἐκείνη δέ, ἡ ἀπόνοια λέγω καὶ ἡ ὑπερηφανία, καὶ ἀσωμάτου περιεγένετο δυνάμεως τοῦ διαβόλου· ἡ δὲ ταπεινοφροσύνη καὶ τῶν οἰκείων ἁμαρτημάτων ἡ ἐπίγνωσις εἰς παράδεισον τὸν λῃστὴν εἰσήγαγε πρὸ τῶν ἀποστόλων. Εἰ δὲ οἱ τὰ οἰκεῖα ὁμολογοῦντες ἁμαρτήματα, τοσαύτην ἑαυτοῖς προξενοῦσι τὴν παρρησίαν, οἱ πολλὰ μὲν ἑαυτοῖς συνειδότες ἀγαθά, ταπεινοῦντες δὲ ἑαυτῶν τὴν ψυχήν, πόσων οὐκ ἐπιτεύξονται στεφάνων; Ὅταν γὰρ ἁμαρτία συμβεβλημένη ᾖ τῇ ταπεινοφροσύνῃ, οὕτω τρέχει μετ' εὐκολίας, ὡς δικαιοσύνην μετ' ἀπονοίας οὖσαν ὑπερβῆναι καὶ προλαβεῖν. Ἂν τοίνυν μετὰ δικαιοσύνης αὐτὴν συνάψῃς,

μένης καὶ εἶπε ὅτι αὐτὸς εἶναι καλύτερος ἀπ' ὅλους τοὺς ἀνθρώπους. Καὶ ὅμως, ἂν θεωροῦσε τὸν ἑαυτό του ἀνώτερο ἀπὸ δέκα ἢ πέντε ἢ δύο ἢ καὶ ἀπὸ ἕνα, οὔτε καὶ αὐτὸ θὰ ἦταν ἀνεκτό· τώρα ὅμως ὄχι μόνο ἔβαλε τὸν ἑαυτο του μπροστὰ ἀπ' ὅλη τὴν οἰκουμένη, ἀλλὰ καὶ τοὺς κατηγόρησε ὅλους. Γι' αὐτὸ ὑστέρησε κατὰ τὸ δρόμο. Καὶ ὅπως ἕνα πλοῖο, ὅταν διατρέξει ἄπειρα κύματα καὶ γλυτώσει ἀπὸ πολλὲς θύελλες, στὸ τέλος χάνει ὅλο τὸ θησαυρὸ ποὺ ἔχει μέσα του, ὅταν στὴν ἴδια τὴν εἴσοδο τοῦ λιμανιοῦ χτυπήσει σὲ κάποιο σκόπελο, ἔτσι ἀκριβῶς καὶ αὐτὸς ὁ Φαρισαῖος, ἀφοῦ ὑπέμεινε ὅλους τοὺς κόπους τῆς νηστείας καὶ κάθε ἄλλης ἀρετῆς, ἐπειδὴ δὲ συγκράτησε τὴ γλώσσα του, ἔπεθε τὸ φοβερὸ ναυάγιο μέσα στὸ ἴδιο τὸ λιμάνι. Γιατὶ τὸ νὰ φύγει ἀπὸ τὴν προσευχή, ἀπὸ τὴν ὁποία ἔπρεπε νὰ κερδίσει, ἀφοῦ ἔπαθε τόσο μεγάλη ζημία, τίποτε ἄλλο δὲ σημαίνει παρὰ τὸ ὅτι ἔπαθε τὸ ναυάγιο στὸ λιμάνι.

2. Γνωρίζοντας λοιπὸν αὐτά, ἀγαπητοί, καὶ ἂν ἀκόμη ἀνεβοῦμε στὴν ἴδια τὴν κορυφὴ τῆς ἀρετῆς, ἂς θεωροῦμε τοὺς ἑαυτούς μας τελευταίους ἀπ' ὅλους, ἀφοῦ μάθαμε ὅτι καὶ ἀπὸ τοὺς ἴδιους τοὺς οὐρανοὺς ἡ ἀλαζονεία μπορεῖ νὰ καταρρίψει ἐκεῖνον ποὺ δὲν προσέχει, καὶ ὅτι ἀπὸ τὴ ἴδια τὴν ἄβυσσο τῶν ἁμαρτημάτων ἡ ταπεινοφροσύνη μπορεῖ νὰ ἀνεβάσει ὑψηλὰ ἐκεῖνον ποὺ ξέρει νὰ συμπεριφέρεται μὲ μετριοφροσύνη. Γιατὶ αὐτὴ ἔστησε τὸν τελώνη μπροστὰ ἀπὸ τὸ Φαρισαῖο, ἐνῶ ἐκείνη, δηλαδὴ ἡ ἀλαζονεία καὶ ἡ ὑπερηφάνεια, νίκησε καὶ ἀσώματη δύναμη, τὸ διάβολο, ἐνῶ ἡ ταπεινοφροσύνη καὶ ἡ ἐπίγνωση τῶν ἁμαρτημάτων του εἰσήγαγε τὸ ληστὴ στὸν παράδεισο πρὶν ἀπὸ τοὺς ἀποστόλους. Ἂν ὅμως αὐτοὶ ποὺ ὁμολογοῦν τὰ δικά τους ἁμαρτήματα χαρίζουν στὸν ἑαυτό τους τόσο μεγάλη παρρησία, ἐκεῖνοι ποὺ ἀναγνωρίζουν στὸν ἑαυτό τους πολλὰ ἀγαθὰ καὶ ταπεινώνουν τὴν ψυχή τους, πόσα στεφάνια δὲ θὰ ἐπιτύχουν; Γιατὶ ὅταν ἡ ἁμαρτία εἶναι ἑνωμένη μὲ τὴν ταπεινοφροσύνη τρέχει μὲ τόση εὐκολία ὥστε νὰ ξεπερνάει καὶ νὰ προλαβαίνει τὴ δικαιοσύνη ποὺ συνυπάρχει μὲ τὴν ἀλαζονεία. Ἂν λοιπὸν τὴ συνδέσεις μὲ τὴ δικαιοσύνη ποῦ δὲ θὰ φθάσει; πό-

ποῦ οὐκ ἀφίξεται; πόσους οὐ διαβήσεται οὐρανούς; Παρ' αὐτὸν πάντως στήσεται τοῦ Θεοῦ τὸν θρόνον ἀνὰ μέσον τῶν ἀγγέλων μετὰ παρρησίας πολλῆς. Πάλιν εἰ μετὰ δικαιοσύνης ἡ ἀπόνοια ζευχθεῖσα, τῇ τῆς οἰκείας κακίας ὑπερβολῇ καὶ βαρύτητι καθελκύσαι τὴν ἐκείνης παρρησίαν ἴσχυσεν, ἂν μετὰ ἁμαρτίας ᾖ συμβεβλημένη, εἰς πόσην οὐ κατακρημνίσαι δυνήσεται τὸν ἔχοντα αὐτὴν γέενναν;

Ταῦτα λέγω οὐχ ἵνα ἀμελῶμεν δικαιοσύνης, ἀλλ' ἵνα φύγωμεν ἀπόνοιαν· οὐχ ἵνα ἁμαρτάνωμεν, ἀλλ' ἵνα μετριάζωμεν. Θεμέλιος γάρ ἐστι τῆς καθ' ἡμᾶς φιλοσοφίας ἡ ταπεινοφροσύνη. Κἂν μυρία ἄνωθεν οἰκοδομήσῃς, κἂν ἐλεημοσύνην, κἂν εὐχάς, κἂν νηστείαν, κἂν πᾶσαν ἀρετήν, ταύτης μὴ προκαταβληθείσης, πάντα εἰκῇ καὶ μάτην ἐποικοδομηθήσεται καὶ καταπεσεῖται ῥᾳδίως κατὰ τὴν οἰκοδομὴν ἐκείνην τὴν ἐπὶ τῆς ψάμμου τεθεῖσαν. Οὐδὲν γάρ ἐστιν, οὐδὲν τῶν ἡμετέρων κατορθωμάτων, ὃ οὐ ταύτης δεῖται· οὐδέν ἐστιν, ὃ χωρὶς ταύτης στῆναι δυνήσεται. Ἀλλὰ κἂν σωφροσύνην εἴπῃς, κἂν παρθενίαν κἂν χρημάτων ὑπεροψίαν, κἂν ὁτιοῦν, πάντα ἀκάθαρτα καὶ ἐναγῆ καὶ βδελυρὰ ταπεινοφροσύνης ἀπούσης. Πανταχοῦ τοίνυν αὐτὴν παραλαμβάνωμεν, ἐν ῥήμασιν, ἐν πράγμασιν, ἐν ἐνθυμήμασι, καὶ μετὰ ταύτης ταῦτα οἰκοδομῶμεν.

3. Ἀλλὰ τὰ μὲν περὶ ταπεινοφροσύνης ἱκανῶς εἴρηται, οὐ πρὸς τὴν ἀξίαν τοῦ κατορθώματος – οὐδεὶς γὰρ αὐτὴν κατ' ἀξίαν ὑμνῆσαι δυνήσεται–, ἀλλὰ πρὸς τὴν σύνεσιν τῆς ὑμετέρας ἀγάπης. Εὖ γὰρ οἶδ' ὅτι καὶ ἀπὸ ὀλίγων τῶν εἰρημένων μετὰ πολλῆς αὐτὴν ἐπισπάσεσθε τῆς σπουδῆς. Ἐπειδὴ δὲ ἀνάγκη καὶ τὴν ἀποστολικὴν ῥῆσιν τὴν σήμερον ἀναγνωσθεῖσαν, πολλοῖς δοκοῦσαν παρέχειν ῥᾳθυμίας πρόφασιν, ποιῆσαι φανερὰν καὶ δήλην, ὥστε μὴ ψυχράν τινα ἀπολογίαν ἐντεῦθέν τινας ποριζομένους τῆς οἰκείας ἀμελεῖν σωτηρίας, φέρε ἐπὶ ταύτην τὸν λόγον ἀγάγωμεν. Τίς οὖν ἐστιν ἡ ῥῆσις; «Εἴτε προφάσει», φησίν, «εἴτε

σους οὐρανοὺς δὲ θὰ περάσει; Ὁπωσδήποτε θὰ σταθεῖ κοντὰ στὸ θρόνο τοῦ Θεοῦ ἀνάμεσα στοὺς ἀγγέλους μὲ πολλὴ παρρησία. Ἂν πάλι ἡ ἀλαζονεία ποὺ συνδέθηκε μὲ τὴ δικαιοσύνη μπόρεσε μὲ τὴν ὑπερβολὴ καὶ τὴ βαρύτητα τῆς δικῆς της κακίας νὰ ταπεινώσει τὴν παρρησία ἐκείνης, ἂν εἶναι ἑνωμένη μὲ τὴν ἁμαρτία, σὲ πόση γέεννα δὲ θὰ μπορέσει νὰ γκρεμίσει αὐτὸν ποὺ τὴν ἔχει;

Αὐτὰ τὰ λέγω, ὄχι γιὰ νὰ ἀδιαφοροῦμε γιὰ τὴ δικαιοσύνη, ἀλλὰ γιὰ ν' ἀποφύγουμε τὴν ἀλαζονεία· ὄχι γιὰ νὰ ἁμαρτάνουμε, ἀλλὰ γιὰ νὰ εἴμαστε μετριόφρονες. Γιατὶ ἡ ταπεινοφροσύνη εἶναι θεμέλιο τῆς δικῆς μας ἀρετῆς. Καὶ ἂν ἀκόμη οἰκοδομήσεις ἐπάνω ἄπειρα, εἴτε ἐλεημοσύνη εἴτε προσευχὲς εἴτε νηστεία εἴτε κάθε ἀρετή, ἂν δὲν τεθεῖ αὐτὴ πρῶτα, ὅλα θὰ οἰκοδομηθοῦν ἄσκοπα καὶ μάταια, καὶ θὰ πέσουν εὔκολα κάτω, ὅπως ἡ οἰκοδομὴ ἐκείνη ποὺ κτίσθηκε πάνω στὴν ἄμμο. Γιατὶ δὲν ὑπάρχει κανένα, πραγματικὰ κανένα ἀπὸ τὰ δικά μας κατορθώματα ποὺ νὰ μὴν τὴ χρειάζεται· δὲν ὑπάρχει τίποτε ποὺ νὰ μπορεῖ νὰ σταθεῖ χωρὶς αὐτήν. Ἀλλά, εἴτε τὴ σωφροσύνη πεῖς εἴτε τὴν παρθενία εἴτε τὴν περιφρόνηση τῶν χρημάτων εἴτε ὁ,τιδήποτε ἄλλο, ὅλα εἶναι ἀκάθαρτα καὶ μολυσμένα καὶ βδελυρὰ ὅταν ἀπουσιάζει ἡ ταπεινοφροσύνη. Παντοῦ λοιπὸν ἂς τὴν ἔχουμε μαζί μας, στὰ λόγια, στὶς πράξεις, στὶς σκέψεις, καὶ μαζί της ἂς τὰ κτίζουμε αὐτά.

3. Ἀλλὰ γιὰ τὴν ταπεινοφροσύνη ἀρκετὰ ἔχουν λεχθεῖ, ὄχι βέβαια ὅπως ἀξίζει στὴν ἀρετὴ αὐτὴ –γιατὶ κανεὶς δὲ θὰ μπορέσει νὰ τὴν ὑμνήσει σύμφωνα μὲ τὴν ἀξία της–, ἀλλὰ σὲ σχέση μὲ τὴ σύνεση τῆς δικῆς σας ἀγάπης. Γιατὶ γνωρίζω καλὰ ὅτι καὶ ἀπὸ τὰ λίγα ποὺ λέχθηκαν θὰ τὴν ἐπιδιώξετε μὲ μεγάλη προθυμία. Ἐπειδὴ ὅμως καὶ τὸ ἀποστολικὸ ρητό, ποὺ διαβάστηκε σήμερα, φαίνεται σὲ πολλοὺς νὰ παρέχει ἀφορμὴ γιὰ ἀδιαφορία, εἶναι ἀνάγκη νὰ τὸ κάνουμε φανερὸ καὶ σαφές, ὥστε νὰ μὴν ἀμελοῦν μερικοὶ γιὰ τὴ σωτηρία τους βρίσκοντας ἀπὸ ἐδῶ κάποια ἀνίσχυρη ἀπολογία, ἐμπρός, ἂς φέρουμε τὸ λόγο σ' αὐτό. Ποιό λοιπὸν εἶναι αὐτὸ τὸ ρητό; «εἴτε μὲ προφά-

ἀληθείᾳ Χριστὸς καταγγέλλεται». Τοῦτο πολλοὶ περιφέρουσιν ἁπλῶς καὶ ὡς ἔτυχεν, οὐ τὰ πρότερα, οὐ τὰ μετὰ ταῦτα ἀναγινώσκοντες ἀλλά, τῆς ἀκολουθίας τῶν λοιπῶν ἀποκόψαντες μελῶν ἐπ' ὀλέθρῳ τῆς ἑαυτῶν ψυχῆς, τοῖς ῥᾳθυμοτέροις προβάλλονται.

Ἐπιχειροῦντες γὰρ αὐτοὺς τῆς ὑγιοῦς ἀπάγειν πίστεως, εἶτα ὁρῶντες δεδοικότας καὶ τρέμοντας, ὡς οὐκ ἀκίνδυνον ὂν τοῦτο ποιεῖν, καὶ βουλόμενοι τὸν φόβον αὐτῶν ἐκλῦσαι, τὴν ἀποστολικὴν ταύτην παράγουσιν ῥῆσιν, λέγοντες· 'ὁ Παῦλος συνεχώρησε τοῦτο, εἰπών· «εἴτε προφάσει, εἴτε ἀληθειᾳ Χριστὸς καταγγελέσθω»'. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Πρῶτον μὲν γὰρ οὐκ εἴρηκε, 'καταγγελλέσθω', ἀλλά, «καταγγέλλεται»· πολὺ δὲ τὸ μέσον τούτου κἀκείνου. Τὸ μὲν γὰρ εἰπεῖν, 'καταγγελλέσθω', νομοθετοῦντός ἐστι, τὸ δὲ εἰπεῖν «καταγγέλλεται», τὸ συμβαῖνον ἀπαγγέλλοντος. Ὅτι δὲ οὐ νομοθετεῖ Παῦλος αἱρέσεις εἶναι, ἀλλὰ ἀπάγει πάντας τοὺς αὐτῷ προσέχοντας, ἄκουσον τί φησιν· «εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω, κἂν ἐγὼ κἂν ἄγγελος ἐξ οὐρανῶν». Οὐκ ἂν δὲ ἀνεθεμάτισε καὶ ἑαυτὸν καὶ ἄγγελον, εἰ τὸ πρᾶγμα ἀκίνδυνον ᾔδει. Καὶ πάλιν, «ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ», φησίν· «ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνήν. Φοβοῦμαι δὲ μήποτε ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν». Ἰδοὺ καὶ ἁπλότητα τέθεικε καὶ συγγνώμην οὐκ ἔδωκεν. Εἰ γὰρ ἦν συγγνώμη, κίνδυνος οὐκ ἦν, εἰ δὲ κίνδυνος οὐκ ἦν, οὐκ ἂν ἐφοβήθη Παῦλος· καὶ οὐχ ὁ Χριστὸς δὲ τὰ ζιζάνια κἂν ἐκέλευσε κατακαῆναι, εἰ πρᾶγμα ἀδιάφορον ἦν καὶ τούτῳ κἀκείνῳ καὶ ἑτέρῳ προσέχειν καὶ πᾶσιν ἁπλῶς.

4. Τί ποτ' οὖν ἐστι τὸ λεγόμενον; Μικρὸν ἄνωθεν ὑμῖν τὴν

---

2. Φιλιπ. 1,18.

3. Γαλ. 1,9.8.

σεις», λέγει, «εἴτε μὲ εἰλικρίνεια ὁ Χριστὸς κηρύσσεται»[2]. Πολλοὶ τὸ λένε αὐτὸ ἐπιπόλαια καὶ ὅπως τύχει χωρὶς νὰ διαβάζουν τὰ προηγούμενα οὔτε τὰ ἑπόμενα, ἀλλά, ἀφοῦ τὸ ἀπέκοψαν ἀπὸ τὴ συνέχεια τῶν ὑπόλοιπων μερῶν πρὸς καταστροφὴ τῆς ψυχῆς τους, τὸ προβάλλουν στοὺς πιὸ ἀδιάφορους.

Ἐπιχειρώντας λοιπὸν νὰ τοὺς ἀπομακρύνουν ἀπὸ τὴν ὀρθὴ πίστη καὶ στὴ συνέχεια βλέποντάς τους νὰ φοβοῦνται καὶ νὰ τρέμουν, ἀφοῦ δὲν εἶναι ἀκίνδυνο νὰ τὸ κάνουν αὐτό, καὶ θέλοντας νὰ διαλύσουν τὸ φόβο τους, παρουσιάζουν αὐτὸ τὸ ἀποστολικὸ ρητὸ λέγοντας· ὁ Παῦλος τὸ ἐπέτρεψε αὐτὸ ἀφοῦ εἶπε, «εἴτε μὲ προφάσεις εἴτε μὲ εἰλικρίνεια ἂς κηρύσσεται ὁ Χριστός». Ἀλλὰ δὲν εἶναι αὐτὸ σωστό, δὲν εἶναι. Πρῶτα γιατὶ δὲν εἶπε 'ἂς κηρύσσεται', ἀλλὰ «κηρύσσεται»· καὶ ὑπάρχει μεγάλη διαφορὰ μεταξὺ αὐτοῦ καὶ ἐκείνου. Γιατὶ τὸ νὰ πεῖ, 'ἂς κηρύσσεται', σημαίνει πὼς νομοθετεῖ νὰ γίνεται αὐτό, ἐνῶ τὸ «κηρύσσεται» σημαίνει αὐτὸ ποὺ γίνεται. Ὅτι ὅμως ὁ Παῦλος δὲ νομοθετεῖ νὰ ὑπάρχουν αἱρέσεις, ἀλλὰ ἀπομακρύνει ἀπ' αὐτὲς ὅλους ὅσοι τὸν προσέχουν, ἄκουσε τί λέγει· «ἂν κανεὶς σᾶς κηρύξει διαφορετικὸ εὐαγγέλιο ἀπὸ ἐκεῖνο ποὺ παραλάβατε, ἂς εἶναι ἀνάθεμα, εἴτε εἶμαι ἐγώ, εἴτε κάποιος ἄγγελος ἀπὸ τοὺς οὐρανούς»[3]. Δὲ θὰ ἀναθεμάτιζε ὅμως καὶ τὸν ἑαυτό του καὶ τὸν ἄγγελο, ἂν γνώριζε ὅτι τὸ πράγμα ἦταν ἀκίνδυνο. Καὶ πάλι λέγει· «σᾶς ζηλεύω μὲ θεῖο ζῆλο, γιατὶ σᾶς ἀρραβώνιασα μ' ἕναν ἄνδρα, γιὰ νὰ σᾶς παρουσιάσω σὰν ἁγνὴ παρθένο. Φοβᾶμαι ὅμως μήπως, ὅπως τὸ φίδι μὲ τὴν πανουργία του ἐξαπατησε τὴν Εὔα, ἔτσι κάποιοι διαφθείρουν τὶς σκέψεις σας καὶ ἀπομακρυνθεῖτε ἀπὸ τὴ χριστιανική σας ἁπλότητα»[4]. Νὰ καὶ ἁπλότητα ἀνέφερε καὶ συγγνώμη δὲν ἔδωσε. Γιατὶ ἂν ὑπῆρχε συγγνώμη δὲ θὰ ὑπῆρχε κίνδυνος, ἂν ὅμως δὲν ὑπῆρχε κίνδυνος δὲ θὰ φοβόταν ὁ Παῦλος· καὶ οὔτε ὁ Χριστὸς θὰ πρόσταζε βέβαια νὰ κατακαοῦν τὰ ζιζάνια, ἂν ἦταν ἀδιάφορο πράγμα νὰ προσέχει κανεὶς καὶ σ' αὐτὸν καὶ σ' ἐκεῖνον καὶ σὲ ἄλλον καὶ σὲ ὅλους γενικά.

4. Τί λοιπὸν σημαίνει τὸ λεγόμενο; Θέλω νὰ σᾶς διηγηθῶ

ἱστορίαν ἅπασαν διηγήσασθαι βούλομαι· δεῖ γὰρ εἰδέναι ἐν τίσιν ὁ Παῦλος ἦν, ἡνίκα ταῦτα ἐπέστελλεν. Ἐν τίσι τοίνυν ἦν τότε; Ἐν δεσμωτηρίῳ καὶ ἁλύσεσι καὶ κινδύνοις ἀφορήτοις. Πόθεν τοῦτο δῆλον; Ἐξ αὐτῆς τῆς ἐπιστολῆς. Ἀνωτέρω γὰρ τούτου φησί· «γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ Εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς ἅπασι· καὶ τοὺς πλείονας δὲ τῶν ἀδελφῶν πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν». Νέρων δὲ ἦν αὐτὸν ἐμβεβληκὼς τότε τῷ δεσμωτηρίῳ.

Καθάπερ γάρ τις λῃστὴς τῆς οἰκίας ἐπιβάς, καθευδόντων ἁπάντων, τὰ πάντα ὑφαιρούμενος, ἐπειδὰν ἴδῃ τινὰ λύχνον ἅψαντα, καὶ τὸ φῶς σβέννυσι καὶ τὸν λυχνοῦχον ἀναιρεῖ, ἵνα μετὰ ἀδείας αὐτῷ τὰ τῶν ἄλλων ὑφαιρεῖσθαι καὶ ἁρπάζειν ἐξῇ, οὕτω δὴ καὶ Νέρων ὁ Καῖσαρ τότε, ὥσπερ τις λῃστὴς καὶ τοιχωρύχος, καθευδόντων ἁπάντων βαθύν τινα καὶ ἀναίσθητον ὕπνον, τὰ πάντων ἁρπάζων, γάμους διορύττων, οἰκίας ἀνατρέπων, ἅπαν κακίας εἶδος ἐπιδεικνύμενος, ἐπειδὴ τὸν Παῦλον εἶδε λύχνον ἅψαντα κατὰ τὴν οἰκουμένην, τὸν τῆς διδασκαλίας λόγον, καὶ ἐλέγχοντα αὐτοῦ τὴν πονηρίαν, ἐσπούδαζε καὶ τὸ κήρυγμα σβέσαι καὶ τὸν διδάσκαλον ἀνελεῖν, ἵνα μετ' ἐξουσίας αὐτῷ πάντα ποιεῖν ἐξῇ, καὶ δήσας τὸν ἅγιον ἐκεῖνον ἐνέβαλεν εἰς δεσμωτήριον. Τότε τοίνυν ταῦτα ἔγραφεν ὁ μακάριος Παῦλος.

Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη καὶ θαυμάσειεν ἂν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη ψυχήν, ὅτι δεδεμένος ἐν Ῥώμῃ καὶ καθειργμένος, ἀπὸ τοσούτου διαστήματος Φιλιππησίοις ἐπέστελλεν; Ἴστε γὰρ ὅσον τὸ μέσον Μακεδονίας καὶ Ῥώμης. Ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος καὶ τὰ ἐπάλληλα δεινά, οὔτε ἄλλο οὐδὲν

---

5. Φιλιπ. 1,12–24.

ὅλη τὴν ἱστορία ἀπὸ λίγο πιὸ πάνω, γιατὶ πρέπει νὰ γνωρίζει κανεὶς σὲ ποιά κατάσταση ἦταν ὁ Παῦλος ὅταν ἔγραφε αὐτά. Σὲ ποιά λοιπὸν κατάσταση ἦταν τότε; Στὴ φυλακὴ καὶ στὶς ἁλυσίδες καὶ σὲ φοβεροὺς κινδύνους. Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἀπὸ τὴν ἴδια τὴν ἐπιστολή. Γιατὶ πιὸ πάνω ἀπ' αὐτὸ λέγει· «θέλω νὰ γνωρίζετε, ἀδελφοί, ὅτι ὅσα μοῦ συνέβηκαν βοήθησαν περισσότερο στὴν πρόοδο τοῦ εὐαγγελίου, ὥστε νὰ γίνει γνωστὸ σὲ ὅλο τὸ πραιτώριο καὶ σὲ ὅλους τοὺς ἄλλους ὅτι εἶμαι φυλακισμένος γιὰ χάρη τοῦ Χριστοῦ καὶ οἱ περισσότεροι ἀδελφοὶ παίρνοντας θάρρος ἀπὸ τὰ δεσμά μου τολμοῦν ἀκόμη περισσότερο νὰ κηρύττουν χωρὶς φόβο τὸ λόγο τοῦ Θεοῦ»[5]. Ὁ Νέρων ἦταν ἐκεῖνος ποὺ τὸν εἶχε ρίξει τότε στὴ φυλακή.

Ὅπως δηλαδὴ ἕνας ληστὴς ὅταν ἐπιτεθεῖ στὸ σπίτι τὴν ὥρα ποὺ κοιμοῦνται ὅλοι καὶ κλέβει τὰ πάντα, μόλις δεῖ ν' ἀνάψει κάποιο λυχνάρι καὶ τὸ φῶς σβήνει καὶ αὐτὸν ποὺ κρατάει τὸ λυχνάρι σκοτώνει γιὰ νὰ μπορέσει ἄφοβα νὰ κλέψει καὶ νὰ ἁρπάξει τὰ πράγματα τῶν ἄλλων, ἔτσι ἀκριβῶς καὶ ὁ τότε καίσαρας Νέρων σὰν κάποιος ληστὴς καὶ κλέφτης, ἐνῶ ὅλοι κοιμοῦνταν βαθιὰ βαθιὰ καὶ ἀναίσθητα, ἁρπάζοντας τὰ πράγματα ὅλων, ὑπονομεύοντας γάμους, γκρεμίζοντας σπίτια, φανερώνοντας κάθε εἶδος κακίας, ἐπειδὴ εἶδε ὅτι ὁ Παῦλος ἄναψε ἕνα λυχνάρι στὴν οἰκουμένη, δηλαδὴ τὸ λόγο τῆς διδασκαλίας, καὶ ὅτι ἐλέγχει τὴν κακία του, φρόντιζε καὶ τὸ κήρυγμα νὰ σβήσει καὶ τὸ διδάσκαλο νὰ ἐξοντώσει, γιὰ νὰ μπορεῖ ἐλεύθερος νὰ τὰ κάνει ὅλα, καὶ δένοντας τὸν ἅγιο ἐκεῖνον τὸ ἔκλεισε στὴ φυλακή. Τότε λοιπὸν τὰ ἔγραφε αὐτὰ ὁ μακάριος Παῦλος.

Ποιός μπορεῖ νὰ μὴν ἐκπλαγεῖ; ποιός μπορεῖ νὰ μὴ θαυμάσει; ἢ καλύτερα ποιός μπορεῖ νὰ ἐκπλαγεῖ καὶ νὰ θαυμάσει ὅπως ἀξίζει τὴ γενναία ἐκείνη καὶ οὐρανομήκη ψυχή, ποὺ ἂν καὶ δεμένος καὶ φυλακισμένος στὴ Ρώμη ἔστελνε ἀπὸ τόσο μακριὰ ἐπιστολὴ στοὺς Φιλιππησίους; Γιατὶ γνωρίζετε πόση εἶναι ἡ ἀπόσταση τῆς Μακεδονίας ἀπὸ τὴ Ρώμη. Οὔτε ὅμως ἡ μεγάλη ἀπόσταση, οὔτε τὰ πολλὰ χρόνια, οὔτε ἡ ἐνόχληση τῶν πραγμάτων, οὔτε ὁ κίνδυνος καὶ τὰ διαδοχικὰ δεινά, οὔτε τίπο-

τὴν ἀγάπην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶχεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ· καὶ οὐχ οὕτως αὐτῷ τοῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεντο, ὡς τῷ πόθῳ τῶν μαθητῶν ἡ ψυχὴ συνεδέδετο καὶ προσήλωτο, ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἐν τῷ προοιμίῳ τῆς ἐπιστολῆς ἔλεγε· «διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ μου ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ Εὐαγγελίου». Καὶ καθάπερ βασιλεὺς ἐπὶ τὸν θρόνον ἀναβὰς ὑπὸ τὴν ἕω καὶ καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται πανταχόθεν ἐπιστολάς, οὕτω δὴ κἀκεῖνος, καθάπερ ἐν βασιλικαῖς αὐλαῖς τῷ δεσμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ ἐδέχετο καὶ ἔπεμπε τὰ γράμματα, τῶν πανταχόθεν ἐθνῶν ἐπὶ τὴν ἐκείνου σοφίαν ὑπὲρ τῶν καθ' ἑαυτοὺς πραγμάτων ἀναφερόντων ἅπαντα· καὶ τοσούτῳ πλείονα πράγματα τοῦ βασιλεύοντος ᾠκονόμει, ὅσῳ μείζονα ἀρχὴν ἐμπεπίστευτο.

Οὐ γὰρ δὴ τοὺς τὴν Ρωμαίων οἰκοῦντας χώραν μόνον, ἀλλὰ καὶ τοὺς βαρβάρους ἅπαντας, καὶ γῆν καὶ θάλατταν φέρων εἰς τὰς ἐκείνου χεῖρας ἐνέθηκεν ὁ Θεός. Καὶ τοῦτο δηλῶν Ρωμαίοις ἔλεγεν· «οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις ἐλθεῖν προεθέμην πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν, καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν· Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμί». Καθ' ἑκάστην τοίνυν ἐφρόντιζε τὴν ἡμέραν, τοῦτο δὴ Κορινθίοις, τοῦτο δὴ Μακεδόσι, πῶς Φιλιππήσιοι, πῶς Καππαδόκαι, πῶς Γαλάται, πῶς Ἀθηναῖοι, πῶς οἱ τὸν Πόντον οἰκοῦντες, πῶς ἅπαντες ἄνθρωποι. Ἀλλ' ὅμως τὴν γῆν ἅπασαν ἐγκεχειρισμένος οὐχ ὑπὲρ ἐθνῶν ὁλοκλήρων ἐμερίμνα μόνον, ἀλλὰ καὶ ὑπὲρ ἑνὸς ἀνθρώπου· καὶ νῦν μὲν δι' Ὀνήσιμον τὴν ἐπιστολὴν ἔπεμπε, νῦν δὲ διὰ τὸν παρὰ Κορινθίοις πεπορνευκότα. Οὐδὲ γὰρ τοῦτο ἐσκόπει, ὅτι εἷς ἦν ὁ ἁμαρτὼν καὶ δε-

---

6. Φιλιπ. 1,7.
7. Ρωμ. 1,13–14.

τε ἄλλο ἀπομάκρυνε τὴν ἀγάπη καὶ τὴ μνήμη τῶν μαθητῶν του, ἀλλὰ τοὺς εἶχε ὅλους στὸ νοῦ του. Καὶ τὰ χέρια του δὲν ἦταν ἔτσι δεμένα μὲ τὶς ἁλυσίδες, ὅπως ἡ ψυχή του ἦταν δεμένη καὶ ἀφοσιωμένη στὸν πόθο τῶν μαθητῶν, πράγμα ποὺ δηλώνοντάς το στὸ προοίμιο τῆς ἐπιστολῆς ἔλεγε· «γιατὶ σᾶς ἔχω μέσα στὴν καρδιά μου καὶ στὰ δεσμά μου καὶ κατὰ τὴν ἀπολογία καὶ τὴ βεβαίωση τοῦ εὐαγγελίου»[6]. Καὶ ὅπως ἀκριβῶς ἕνας βασιλιὰς ποὺ ἀνέβηκε πολὺ πρωὶ στὸ θρόνο καὶ κάθισε στὶς βασιλικὲς αὐλὲς δέχεται ἀμέσως ἀπὸ παντοῦ ἄπειρες ἐπιστολές, ἔτσι λοιπὸν καὶ ἐκεῖνος, σὰν νὰ καθόταν σὲ βασιλικὲς αὐλὲς στὸ δεσμωτήριο, δεχόταν καὶ ἔστελνε πολὺ περισσότερα γράμματα, ἀφοῦ ἀπὸ παντοῦ τὰ ἔθνη ἀνέφεραν στὴ δική του σοφία γιὰ τὰ δικά τους πράγματα· καὶ φρόντιζε γιὰ πράγματα τόσο περισσότερα ἀπὸ τὸ βασιλιά, ὅσο καὶ μεγαλύτερη ἦταν ἡ ἐξουσία ποὺ εἶχε ἀναλάβει.

Πραγματικὰ ὁ Θεὸς ὄχι μόνο αὐτοὺς ποὺ κατοικοῦσαν στὸ ρωμαϊκὸ κράτος, ἀλλὰ καὶ τοὺς βαρβάρους ὅλους καὶ τὴ γῆ καὶ τὴ θάλασσα τὰ ἔφερε καὶ τὰ ἀνέθεσε στὰ χέρια ἐκείνου. Καὶ δηλώνοντας αὐτὸ στοὺς Ρωμαίους ἔλεγε· «δὲ θέλω, ἀδελφοί, ν' ἀγνοεῖτε ὅτι πολλὲς φορὲς εἶχα τὴν πρόθεση νὰ ἔρθω σὲ σᾶς, ἀλλὰ μέχρι τώρα κάτι μὲ ἐμπόδισε, γιὰ νὰ δώσω κάποιον καρπὸ καὶ σὲ σᾶς, ὅπως καὶ στὰ ἄλλα ἔθνη· εἶμαι ὀφειλέτης σὲ Ἕλληνες καὶ σὲ βαρβάρους, σὲ σοφοὺς καὶ σὲ ἀνόητους»[7]. Κάθε ἡμέρα λοιπὸν φρόντιζε, πότε γιὰ τοὺς Κορινθίους καὶ πότε γιὰ τοὺς Μακεδόνες, πῶς ἦταν οἱ Φιλιππήσιοι, πῶς οἱ Καππαδόκες, πῶς οἱ Γαλάτες, πῶς οἱ Ἀθηναῖοι, πῶς αὐτοὶ ποὺ κατοικοῦσαν στὸν Πόντο, πῶς ὅλοι οἱ ἄνθρωποι. Ἀλλ' ὅμως, ἂν καὶ εἶχε ἀναλάβει ὁλόκληρη τὴ γῆ, δὲ μεριμνοῦσε μόνο γιὰ ἔθνη ὁλόκληρα, ἀλλὰ καὶ γιὰ ἕναν ἄνθρωπο· καὶ ἄλλοτε ἔστελνε τὴν ἐπιστολὴ γιὰ τὸν Ὀνήσιμο καὶ ἄλλοτε γι' αὐτὸν ποὺ διέπραξε πορνεία στὴν Κόρινθο. Γιατὶ δὲ σκεπτόταν αὐτό, ὅτι δηλαδὴ ἕνας ἦταν αὐτὸς ποὺ ἁμάρτησε καὶ χρειαζόταν προστασία, ἀλλὰ ὅτι ἦταν ἄνθρωπος, ἄνθρωπος τὸ πιὸ πολύτιμο ὂν γιὰ τὸ Θεὸ

όμενος προστασίας, ἀλλ' ὅτι ἄθρωπος ἦν καὶ δι' ὃν οὐδὲ τοῦ Μονογενοῦς ὁ Πατὴρ ἐφείσατο.

5. *Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι 'δραπέτης ὁ δεῖνα καὶ λῃστὴς καὶ κλέπτης καὶ μυρίων γέμων κακῶν', ἢ ὅτι 'πτωχὸς καὶ ἀπερριμμένος καὶ εὐτελὴς καὶ οὐδενὸς ἄξιος λόγου', ἀλλ' ἐννόησον ὅτι καὶ ὑπὲρ τούτου Χριστὸς ἀπέθανε, καὶ ἀρκεῖ σοι τοῦτο εἰς πάσης προνοίας ὑπόθεσιν. Ἐννόησον ὁποῖόν τινα ἐκεῖνον εἶναι χρή, ὃν τοσούτου Χριστὸς ἐτιμήσατο, ὡς μηδὲ τοῦ αἵματος φείσασθαι τοῦ ἑαυτοῦ. Οὐδὲ γάρ, εἰ βασιλεὺς ὑπέρ τινος εἵλετο καταθῦσαι ἑαυτόν, ἐζητήσαμεν ἂν ἑτέραν ἀπόδειξιν τοῦ μέγαν τινὰ εἶναι καὶ περισπούδαστον ἐκεῖνον τῷ βασιλεῖ; οὐκ ἔγωγε οἶμαι· ἤρκει γὰρ ἡ τελευτὴ δεῖξαι τοῦ τετελευτηκότος τὴν περὶ αὐτὸν ἀγάπην. Νυνὶ δὲ οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλ' αὐτὸς ὁ τῶν οὐρανῶν Δεσπότης, αὐτὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ σάρκα περιβαλόμενος ἐπέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν. Οὐ πάντα οὖν ποιήσομεν καὶ πραγματευσόμεθα, ὥστε τοὺς οὕτω τιμηθέντας ἀνθρώπους πάσης ἀπολαῦσαι παρ' ἡμῶν προνοίας; Καὶ ποίαν ἕξομεν ἀπολογίαν; τίνα συγγνώμην; Τοῦτο γοῦν αὐτὸ καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· «μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, δι' ὃν Χριστὸς ἀπέθανε». Τοὺς γὰρ καταφρονοῦντας τῶν ἀδελφῶν καὶ ὡς ἀσθενούντων ὑπερορῶντας βουλόμενος ἐντρέψαι καὶ εἰς σπουδὴν ἀγαγεῖν καὶ πεῖσαι κήδεσθαι τῶν πλησίον, ἀντὶ πάντων τὸν τοῦ Δεσπότου θάνατον τέθεικε.*

Καθήμενος τοίνυν ἐν τῷ δεσμωτηρίῳ τοῖς Φιλιππησίοις ἐπέστελλεν ἐκ τοσούτου τοῦ διαστήματος. Τοιαύτη γὰρ ἡ κατὰ Θεὸν ἀγάπη· οὐδενὶ τῶν ἀνθρωπίνων διακόπτεται, ἄνωθεν ἔχουσα τὰς ῥίζας ἐκ τῶν οὐρανῶν καὶ τὰς ἀμοιβάς. Καὶ τί φησι; «Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί». Εἶδες πρόνοιαν ὑπὲρ μαθητῶν; εἶδες διδασκάλου κηδεμονίαν; Ἄκουσον καὶ φιλοστοργίαν μαθητῶν περὶ τὸν διδάσκαλον, ἵνα ἴδῃς ὅτι τοῦτο ἦν

8. Ρωμ. 14,15.

9. Φιλιπ. 1,12.

καὶ γιὰ τὸν ὁποῖο ὁ Πατέρας δὲ λυπήθηκε οὔτε τὸν Μονογενὴ Υἱό του.

5. Μὴ μοῦ πεῖς λοιπὸν ὅτι ὁ τάδε εἶναι δραπέτης καὶ ληστὴς καὶ κλέφτης καὶ γεμάτος ἄπειρα κακὰ ἢ ὅτι εἶναι φτωχὸς καὶ παραπεταμένος καὶ τιποτένιος καὶ τελείως ἀσήμαντος, ἀλλὰ σκέψου ὅτι καὶ γι' αὐτὸν πέθανε ὁ Χριστὸς καὶ σοῦ ἀρκεῖ αὐτὸ γιὰ ἀφορμὴ κάθε φροντίδας γι' αὐτόν. Σκέψου πόσο σπουδαῖος πρέπει νὰ εἶναι ἐκεῖνος ποὺ τὸν τίμησε τόσο πολὺ ὁ Χριστός, ὥστε οὔτε τὸ δικό του αἷμα νὰ λυπηθεῖ. Γιατί, ἂν ἕνας βασιλιὰς προτιμοῦσε νὰ θυσιάσει τὴ ζωή του γιὰ κάποιον, θὰ ζητούσαμε ἄλλη ἀπόδειξη γιὰ τὸ ὅτι ἐκεῖνος ἦταν σπουδαῖος καὶ πολυπόθητος γιὰ τὸ βασιλιά; ἐγὼ νομίζω ὄχι· γιατὶ ἀρκοῦσε ὁ θάνατος νὰ δείξει τὴν ἀγάπη τοῦ πεθαμένου γι' αὐτόν. Τώρα ὅμως ὄχι ἄνθρωπος, οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, ἀλλ' ὁ ἴδιος ὁ Κύριος τῶν οὐρανῶν, ὁ ἴδιος ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἔλαβε σάρκα καὶ πρόσφερε θυσία τὸν ἑαυτό του γιὰ μᾶς. Δὲ θὰ κάνουμε λοιπὸν τὰ πάντα καὶ δὲ θὰ τὰ ἐπιχειρήσουμε, ὥστε αὐτοὶ οἱ ἄνθρωποι ποὺ τόσο τιμήθηκαν ν' ἀπολαύσουν κάθε φροντίδα ἀπὸ μᾶς; Καὶ ποιά δικαιολογία θὰ ἔχουμε; ποιά συγγνώμη; Αὐτὸ ἀκριβῶς φανερώνοντας καὶ ὁ Παῦλος ἔλεγε· «μὴ καταστρέφεις μὲ τὸ φαγητό σου ἐκεῖνον γιὰ τὸν ὁποῖο ὁ Χριστὸς πέθανε»[8]. Θέλοντας λοιπὸν νὰ ἐλέγξει ἐκείνους ποὺ περιφρονοῦν τοὺς ἀδελφοὺς καὶ τοὺς παραβλέπουν γιατὶ τάχα εἶναι ἀδύνατοι στὴν πίστη, νὰ τοὺς κινήσει τὸ ἐνδιαφέρον καὶ νὰ τοὺς πείσει νὰ φροντίζουν γιὰ τοὺς συνανθρώπους τους, ἀνέφερε ἀντὶ γιὰ ὅλα τὰ ἄλλα τὸ θάνατο τοῦ Κυρίου.

Κλεισμένος λοιπὸν στὴ φυλακὴ ἔγραφε ἀπὸ τόσο μακριὰ στοὺς Φιλιππησίους. Γιατὶ τέτοια εἶναι ἡ σύμφωνη μὲ τὸ νόμο τοῦ Θεοῦ ἀγάπη· μὲ τίποτε ἀπὸ τὰ ἀνθρώπινα δὲ διακόπτεται, ἐπειδὴ ψηλὰ στοὺς οὐρανοὺς ἔχει τὶς ρίζες καὶ τὶς ἀμοιβές της. Καὶ τί λέγει; «Θέλω ἀδελφοὶ νὰ γνωρίζετε»[9]. Εἶδες μέριμνα γιὰ τοὺς μαθητές; εἶδες φροντίδα διδασκάλου; Ἄκουσε καὶ τὴ φιλοστοργία τῶν μαθητῶν γιὰ τὸ διδάσκαλο, γιὰ νὰ δεῖς ὅτι ἐκεῖνο ποὺ τοὺς ἔκανε αὐτοὺς δυνατοὺς καὶ ἀκαταμάχητους ἦταν

τὸ ποιοῦν ἰσχυροὺς ἐκείνους καὶ ἀκαταγωνίστους, τὸ συνδεδέσθαι ἀλλήλοις. Εἰ γὰρ «ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά», πολλῷ μᾶλλον τοσοῦτοι συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς, πᾶσαν ἂν ἀπεκρούσαντο τὴν τοῦ πονηροῦ δαίμονος ἐπιβουλήν. Ὅτι μὲν οὖν ὁ Παῦλος συνεδέδετο τοῖς μαθηταῖς, οὐδὲ ἀποδείξεως δεῖ λοιπὸν ἡμῖν, οὐδὲ λόγου, ὅπου γε καὶ δεδεμένος αὐτῶν ἐμερίμνα, καὶ καθ' ἑκάστην ἡμέραν καὶ ὑπὲρ αὐτῶν ἀπέθνησκε τῷ πόθῳ πυρούμενος.

6. Ὅτι δὲ καὶ οἱ μαθηταὶ τῷ Παύλῳ συνδεδεμένοι μετὰ ἀκριβείας ἦσαν ἁπάσης, καὶ οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναῖκες, ἄκουσον τί φησι περὶ τῆς Φοίβης· «συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφήν, διάκονον οὖσαν τῆς ἐκκλησίας τῆς ἐν Κεγχρέαις, ἵνα προσδέξησθε αὐτὴν ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων καὶ παραστῆτε αὐτῇ, ἐν ᾧ ἂν ὑμῶν πράγματι χρήζῃ, ἥτι προστάτις πολλῶν ἐγενήθη, καὶ αὐτοῦ ἐμοῦ». Ἀλλ' ἐνταῦθα μὲν μέχρι προστασίας ἐμαρτύρησεν αὐτῇ τὴν σπουδήν· Πρίσκιλλα δὲ καὶ Ἀκύλας καὶ μέχρι θανάτου διὰ τὸν Παῦλον ἐχώρησαν, καὶ περὶ αὐτῶν δὲ οὕτω γράφει λέγων· «ἀσπάζονται ὑμᾶς Ἀκύλας καὶ Πρίσκιλλα, οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν», εἰς θάνατον δηλονότι. Καὶ περὶ ἑτέρου πάλιν αὐτοῖς τούτοις γράφων, φησίν· «ὅτι ἤγγισεν ἕως θανάτου, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα τὸ ὑμῶν ὑστέρημα ἀναπληρώσῃ τῆς πρός με λειτουργίας». Εἶδες πῶς ἐφίλουν τὸν διδάσκαλον; πῶς πρὸ τῆς ψυχῆς τῆς ἑαυτῶν τὴν ἄνεσιν ἐσκόπουν τὴν ἐκείνου; Διὰ τοῦτο οὐδεὶς αὐτῶν περιεγένετο τότε.

Ταῦτα δὲ λέγω, οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλὰ ἵνα καὶ μιμώμεθα· καὶ οὐ πρὸς τοὺς ἀρχομένους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἄρχοντας ἡμῖν ὁ λόγος ἀποτείνεται, ἵνα καὶ οἱ μαθηταὶ πολλὴν περὶ τοὺς διδασκάλους κηδεμονίαν ἐπιδεικνύωνται, καὶ οἱ διδάσκαλοι τὴν αὐτὴν τῷ Παύλῳ φιλοστοργίαν περὶ τοὺς ὑποτασσομένους ἔχωσιν, οὐχὶ τοὺς παρόντας μόνον, ἀλλὰ καὶ

---

10. Παροιμ. 18,19.
11. Ρωμ. 16,1-2.
12. Ρωμ. 16,3.4.
13. Φιλιπ. 2,30.

αὐτό, τὸ ὅτι δηλαδὴ ἦταν συνδεδεμένοι μεταξύ τους. Γιατὶ ἂν «ἕνας ἀδελφὸς ὅταν βοηθιέται ἀπὸ ἄλλον ἀδελφὸ εἶναι σὰν πόλη ὀχυρωμένη»[10], πολὺ περισσότερο τόσοι ἄνθρωποι δεμένοι μὲ τὰ δεσμὰ τῆς ἀγάπης θὰ μποροῦσαν ν' ἀποκρούσουν τὴν ἐπιβουλὴ τοῦ πονηροῦ δαίμονα. Ὅτι βέβαια ὁ Παῦλος ἦταν συνδεδεμένος μὲ τοὺς μαθητές του δὲ χρειάζεται νὰ τὸ ἀποδείξω ἄλλο οὔτε νὰ σᾶς μιλήσω γι' αὐτό, ἀφοῦ καὶ ὅταν ἦταν φυλακισμένος μεριμνοῦσε γι' αὐτοὺς καὶ κάθε ἡμέρα πέθαινε καὶ γι' αὐτοὺς φλογισμένος ἀπὸ τὸν πόθο του γι' αὐτούς.
6. Ὅτι ὅμως καὶ οἱ μαθητὲς ἦταν πάρα πολὺ συνδεδεμένοι μὲ τὸν Παῦλο, καὶ ὄχι μόνο οἱ ἄνδρες ἀλλὰ καὶ οἱ γυναῖκες, ἄκουσε τί λέγει γιὰ τὴ Φοίβη· «σᾶς συστήνω τὴ Φοίβη τὴν ἀδελφή μας, ποὺ εἶναι διακόνισσα τῆς ἐκκλησίας στὶς Κεγχρεές, γιὰ νὰ τὴ δεχθεῖτε στὸ ὄνομα τοῦ Κυρίου ὅπως ἀξίζει σὲ Χριστιανοὺς καὶ νὰ τὴ συμπαρασταθεῖτε σὲ ὅ,τι σᾶς ἔχει ἀνάγκη, γιατὶ καὶ αὐτὴ βοήθησε πολλοὺς καὶ μένα τὸ ἴδιο»[11]. Ἀλλὰ ἐδῶ ἐπιβεβαίωσε τὸ ἐνδιαφέρον της ποὺ ἔφθανε μέχρι τὴν προστασία, ἐνῶ ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας προχώρησαν καὶ μέχρι τὸ θάνατο γιὰ τὸν Παῦλο· καὶ γι' αὐτοὺς γράφοντας λέγει, «σᾶς χαιρετοῦν ὁ Ἀκύλας καὶ ἡ Πρίσκιλλα, οἱ ὁποῖοι γιὰ χάρη μου κινδύνεψαν νὰ ἀποκεφαλισθοῦν»[12], δηλαδὴ νὰ θανατωθοῦν. Καὶ γιὰ κάποιον ἄλλο πάλι γράφοντας στοὺς ἴδιους λέγει· «γιατὶ ἔφθασε κοντὰ στὸ θάνατο, βάζοντας σὲ κίνδυνο τὴ ζωή του, γιὰ νὰ ἀναπληρώσει τὸ ὑστέρημα τῆς δικῆς σας ὑπηρεσίας πρὸς ἐμένα»[13]. Εἶδες πῶς ἀγαποῦσαν τὸ διδάσκαλο; πῶς περισσότερο ἀπὸ τὴ ζωή τους σκέπτονταν τὴ δική του ἄνεση; Γι' αὐτὸ κανεὶς δὲν τοὺς ξεπέρασε τότε.

Αὐτὰ ὅμως τὰ λέγω, ὄχι γιὰ νὰ τὰ ἀκοῦμε μόνο, ἀλλὰ καὶ γιὰ νὰ τὰ μιμούμαστε. Καὶ ὄχι μόνο πρὸς τοὺς ἀρχόμενους ἀλλὰ καὶ πρὸς τοὺς ἄρχοντες ἀπευθύνεται ὁ λόγος, γιὰ νὰ δείχνουν καὶ οἱ μαθητὲς μεγάλη φροντίδα γιὰ τοὺς διδασκάλους καὶ οἱ διδάσκαλοι νὰ ἔχουν τὴν ἴδια μὲ τὸν Παῦλο φιλοστοργία γιὰ τοὺς μαθητές, ὄχι μόνο γιὰ τοὺς παρόντες ἀλλὰ καὶ γι' αὐτοὺς ποὺ βρίσκονται μακριά. Γιατὶ πραγματικὰ ὁ Παῦλος διοικώντας

τοὺς πόρρωθεν ὄντας. Καὶ γὰρ ὁ Παῦλος καθάπερ μίαν οἰκῶν οἰκίαν τὴν οἰκουμένην ἅπασαν, οὕτω τῆς πάντων ἐφρόντιζε σωτηρίας, καὶ τὰ αὑτοῦ πάντα ἀφεὶς δεσμὰ καὶ θλίψεις καὶ πληγὰς καὶ στενοχωρίας, ἐπεσκόπει καὶ ἐπυνθάνετο καθ' ἑκάστην ἡμέραν, πῶς τὰ τῶν μαθητῶν ἔχοι· καὶ πολλάκις δι' αὐτὸ τοῦτο μόνον ἔπεμψε, νῦν μὲν Τιμόθεον, νῦν δὲ Τυχικόν· καὶ περὶ μὲν ἐκείνου φησίν, «ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν», περὶ δὲ Τιμοθέου, «ἔπεμψα αὐτὸν πρὸς ὑμᾶς μηκέτι στέγων, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων»· καὶ Τίτον πάλιν ἀλλαχοῦ καὶ ἄλλον ἑτέρωσε. Ἐπειδὴ γὰρ αὐτὸς τῇ τῶν δεσμῶν ἀνάγκῃ πολλάκις ἐν ἑνὶ κατεχόμενος τόπῳ συγγενέσθαι τοῖς αὑτοῦ σπλάγχνοις οὐκ ἠδύνατο, διὰ τῶν μαθητῶν αὐτοῖς συνεγένετο.

7. *Καὶ τότε τοίνυν ἐν δεσμοῖς ὢν γράφει τοῖς Φιλιππησίοις λέγων· «γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί», τοὺς μαθητὰς ἀδελφοὺς καλῶν. Τοιοῦτον γὰρ ἡ ἀγάπη· πᾶσαν ἀνωμαλίαν ἐκβάλλει καὶ ὑπεροχὴν καὶ ἀξίαν οὐκ οἶδεν, ἀλλὰ κἂν ἁπάντων ὑψηλότερος ᾖ τις, πρὸς τὸν πάντων κάτεισι ταπεινότερον, ὅπερ καὶ Παῦλος ἐποίει. Ἀλλ' ἀκούσωμεν τί βούλεται γινώσκειν αὐτούς· «ὅτι τὰ κατ' ἐμέ», φησί, «μᾶλλον εἰς προκοπὴν τοῦ Εὐαγγελίου ἐλήλυθεν». Εἰπέ μοι, πῶς καὶ τίνι τρόπῳ; Ἆρα τῶν δεσμῶν ἀφέθης; ἆρα ἀπέθου τὴν ἅλυσιν καὶ μετὰ ἀδείας κηρύττεις ἐν τῇ πόλει; ἆρα εἰς ἐκκλησίαν εἰσελθών, μακροὺς καὶ πολλοὺς κατέτεινας λόγους περὶ τῆς πίστεως καὶ πολλοὺς λαβὼν μαθητὰς ἀπῆλθες; ἆρα νεκροὺς ἤγειρας καὶ ἐθαυμαστώθης; ἆρα λεπροὺς ἐκάθηρας καὶ ἐξεπλάγησαν ἅπαντες; ἆρα δαίμονας ἀπήλασας καὶ ἀνυψώθης; Οὐδὲν τούτων, φησί. Πῶς οὖν ἡ προκοπὴ γέγονε τοῦ Εὐαγγελίου; εἰπέ. «Ὥστε τοὺς δεσμούς μου», φησί, «φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι».*

Τί λέγεις; τοῦτο ἄρα, τοῦτο ἡ προκοπή; τοῦτο ἡ ἐπίδοσις;

---

14. Ἐφ. 6,22.
15. Α' Θεσ. 3,5.
16. Φιλιπ. 1,12.
17. Φιλιπ. 1,13.

ὁλόκληρη τὴν οἰκουμένη σὰν ἕνα σπίτι ἔτσι φρόντιζε γιὰ τὴ σωτηρία ὅλων καὶ ἀφήνοντας ὅλα τὰ δικά του, δεσμὰ καὶ θλίψεις καὶ πληγὲς καὶ στενοχώριες, σκεπτόταν συνέχεια καὶ καθημερινὰ ἐρωτοῦσε νὰ μάθει πῶς ἔχουν τὰ πράγματα τῶν μαθητῶν. Καὶ πολλὲς φορὲς γι' αὐτὸ μόνο ἔστειλε ἄλλοτε τὸν Τιμόθεο καὶ ἄλλοτε τὸν Τυχικό. Καὶ γι' αὐτὸν λέγει· «γιὰ νὰ μάθει τὰ δικά σας νέα καὶ νὰ παρηγορήσει τὶς καρδιές σας»[14]. Καὶ γιὰ τὸν Τιμόθεο· «σᾶς τὸν ἔστειλα γιατὶ δὲν ἄντεχα ἄλλο, μήπως ὑποκύψατε στὸν πειρασμὸ τοῦ σατανᾶ»[15]. Καὶ ἀλλοῦ πάλι ἔστειλε τὸν Τίτο καὶ ἀλλοῦ κάποιον ἄλλον. Ἐπειδὴ λοιπὸν αὐτὸς ἐξ αἰτίας τῶν δεσμῶν του ἦταν πολλὲς φορὲς ὑποχρεωμένος νὰ μένει σ' ἕναν τόπο καὶ γι' αὐτὸ δὲν μποροῦσε νὰ βρεθεῖ μαζὶ μὲ τὰ πνευματικὰ παιδιά του, ἐπικοινωνοῦσε μαζί τους μὲ τοὺς μαθητές του.

7. Καὶ τότε λοιπὸν ἐνῶ ἦταν φυλακισμένος γράφει στοὺς Φιλιππησίους λέγοντας· «θέλω, ἀδελφοί, νὰ γνωρίζετε», ὀνομάζοντας ἀδελφοὺς τοὺς μαθητές. Γιατὶ τέτοια εἶναι ἡ ἀγάπη· διώχνει κάθε ἀνισότητα καὶ δὲν ἀναγνωρίζει ὑπεροχὴ καὶ ἀξίωμα, ἀλλὰ καὶ ἂν ἀκόμη κάποιος εἶναι ἀνώτερος κατεβαίνει στὸν ταπεινότερο ἀπ' ὅλους, πράγμα ποὺ ἔκαμνε καὶ ὁ Παῦλος. Ἂς ἀκούσουμε ὅμως τί ἤθελε νὰ γνωρίζουν αὐτοί. «Ὅτι ὅσα μοῦ συνέβηκαν», λέγει, «βοήθησαν περισσότερο στὴν πρόοδο τοῦ εὐαγγελίου»[16]. Πές μου, πῶς καὶ μὲ ποιό τρόπο; Μήπως ἐλευθερώθηκες ἀπὸ τὰ δεσμά; μήπως πέταξες τὶς ἁλυσίδες καὶ κηρύττεις ἐλεύθερα στὴν πόλη; μήπως μπῆκες σ' ἐκκλησία καὶ ἔβγαλες μακροὺς καὶ πολλοὺς λόγους γιὰ τὴν πίστη καὶ ἔφυγες ἀποκτώντας πολλοὺς μαθητές; μήπως ἀνάστησες νεκροὺς καὶ σὲ θαύμασαν γι' αὐτό; μήπως καθάρισες λεπροὺς καὶ ἔνιωσαν ὅλοι κατάπληξη; μήπως ἔδιωξες δαιμόνια καὶ ἀνυψώθηκες πολύ; Τίποτε ἀπ' αὐτά, λέγει. Πὲς τότε πῶς ἔγινε ἡ πρόοδος τοῦ εὐαγγελίου; «Ὥστε να γίνει γνωστό», λέγει, «σὲ ὅλο τὸ πραιτώριο καὶ σὲ ὅλους τοὺς ἄλλους ὅτι εἶμαι φυλακισμένος γιὰ χάρη τοῦ Χριστοῦ»[17].

Τί λέγεις; αὐτὸ πραγματικὰ εἶναι ἡ πρόοδος; αὐτὸ εἶναι ἡ

τοῦτο ἡ αὔξησις τοῦ κηρύγματος, ὅτι πάντες ἔμαθον ὅτι δέδεσαι; Ναί, φησίν. Ἄκουσον γοῦν τῶν ἑξῆς, ἵνα μάθῃς ὅτι τὰ δεσμὰ οὐ μόνον οὐκ ἐγίνετο κώλυμα, ἀλλὰ καὶ ὑπόθεσις πλείονος παρρησίας· «ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν». Τί λέγεις, ὦ Παῦλε; οὐκ ἀγωνίαν ἀνέβαλεν, ἀλλὰ θάρσος τὰ δεσμά; οὐ φόβον, ἀλλὰ πόθον; Οὐκ ἔχει τὰ λεγόμενα ἀκολουθίαν. Οἶδα κἀγώ. Οὐδὲ γὰρ κατὰ ἀνθρωπίνων πραγμάτων ἀκολουθίαν ταῦτα συνέβαινε, φησίν· ἀλλ' ὑπὲρ φύσιν ἦν τὰ γινόμενα καὶ θείας χάριτος τὰ κατορθώματα. Διὰ τοῦτο ὃ τοῖς ἄλλοις ἀγωνίαν ἐποίει, τοῦτο ἐπ' ἐκείνῳ θάρσος παρεῖχε. Καὶ γὰρ σταρατηγὸν ἐὰν λαβών τις καὶ καθείρξας ποιήσῃ φανερὸν τοῦτο, εἰς φυγὴν ἐμβάλλει τὸ στρατόπεδον ἅπαν· καὶ ποιμένα δὲ ἐάν τις τῆς ποίμνης ἀπαγάγῃ, μετὰ πολλῆς τῆς ἀδείας ἀπελαύνει τὰ πρόβατα. Ἀλλ' οὐκ ἐπὶ Παύλου οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν. Ὁ στρατηγὸς γὰρ ἐδέδετο, καὶ οἱ στρατιῶται προθυμότεροι ἐγίνοντο καὶ μετὰ πλείονος τῆς παρρησίας τοῖς ἐναντίοις ἐπεπήδων· ὁ ποιμὴν καθεῖρκτο, καὶ τὰ πρόβατα οὐκ ἀνηλοῦτο οὐδὲ ἐσκορπίζετο.

8. Τίς εἶδε, τίς ἤκουσεν ἐν τοῖς τῶν διδασκάλων δεινοῖς πλείονα παράκλησιν λαμβάνοντας τοὺς μαθητάς; Πῶς οὐκ ἔδεισαν; πῶς οὐκ ἐφοβήθησαν; πῶς οὐκ εἶπον πρὸς τὸν Παῦλον, '«ἰατρέ, θεράπευσον σεαυτόν», ἀπάλλαξον σεαυτὸν τῶν πολυπλόκων δεινῶν καὶ τότε ἡμῖν τὰ μυρία προξενήσεις ἀγαθά'; Πῶς ταῦτα οὐκ εἶπον; Πῶς; ὅτι πεπαιδευμένοι ἦσαν παρὰ τῆς τοῦ Πνεύματος χάριτος, ὅτι ταῦτα οὐκ ἐξ ἀσθενείας ἐγίνετο, ἀλλ' ἐκ τῆς τοῦ Χριστοῦ συγχωρήσεως, ἵνα μειζόνως ἡ ἀλήθεια διαλάμπῃ, διὰ δεσμῶν καὶ φυλακῶν καὶ θλίψεων καὶ στενοχωριῶν αὐξανομένη καὶ πρὸς μεῖζον αἰρομένη μέγεθος. Οὕτως ἡ δύναμις τοῦ Χριστοῦ ἐν ἀσθενείᾳ τελειοῦται. Εἰ μὲν γὰρ ὑπεσκέλισε τὸν Παῦλον τὰ δεσμὰ καὶ δειλότερον ἐποίησεν, ἢ αὐτὸν

18. Φιλιπ. 1,14.
19. Λουκᾶ 4,23.
20. Β' Κορ. 12,9.

προκοπή; αὐτὸ εἶναι ἡ αὔξηση τοῦ κηρύγματος, τὸ ὅτι ὅλοι ἔμαθαν πὼς εἶσαι φυλακισμένος; Ναί, λέγει. Ἄκουσε λοιπὸν τὰ ἑπόμενα γιὰ νὰ μάθεις πὼς τὰ δεσμὰ ὄχι μόνο δὲν ἔγιναν ἐμπόδιο ἀλλὰ καὶ προϋπόθεση περισσότερης παρρησίας· «ὥστε οἱ περισσότεροι χριστιανοὶ ἀδελφοὶ παίρνοντας θάρρος ἀπὸ τὰ δεσμά μου τολμοῦν ἀκόμη περισσότερο νὰ κηρύττουν χωρὶς φόβο τὸ λόγο τοῦ Θεοῦ»[18]. Τί λέγεις, Παῦλε; Δὲν προξένησαν τὰ δεσμὰ ἀγωνία, ἀλλὰ θάρρος; ὄχι φόβο, ἀλλὰ πόθο; Δὲν ἔχουν τὰ λεγόμενα λογικὴ ἀκολουθία. Τὸ γνωρίζω καὶ ἐγώ. Γιατὶ δὲ συνέβαιναν αὐτά, λέγει, σύμφωνα μὲ τὴ λογικὴ τῶν ἀνθρώπινων πραγμάτων, ἀλλὰ ὅσα γίνονταν ἦταν ὑπερφυσικὰ καὶ κατορθώματα τῆς θείας χάριτος. Γι' αὐτὸ ἐκεῖνο ποὺ στοὺς ἄλλους προκαλοῦσε ἀγωνία, αὐτὸ σ' ἐκεῖνον ἔδινε θάρρος. Γιατὶ πραγματικὰ ἂν κάποιος συλλάβει ἕνα στρατηγὸ καὶ τὸν φυλακίσει καὶ τὸ κάνει γνωστὸ αὐτό, τρέπει σὲ φυγὴ ὅλο τὸ στράτευμα· καὶ ἂν κάποιος ἁρπάξει ἕναν ποιμένα ἀπὸ τὴν ποίμνη μὲ πολλὴ ἄνεση ἀπομακρύνει τὰ πρόβατα. Στὸν Παῦλο ὅμως δὲ συνέβηκε αὐτό, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετο. Γιατὶ ὁ στρατηγὸς βέβαια εἶχε δεθεῖ, οἱ στρατιῶτες ὅμως γίνονταν προθυμότεροι καὶ μὲ περισσότερο θάρρος ὁρμοῦσαν στοὺς ἐχθρούς· ὁ ποιμένας εἶχε φυλακισθεῖ, ἀλλὰ τὰ πρόβατα δὲ χάνονταν οὔτε σκορπίζονταν.

8. Ποιός εἶδε, ποιός ἄκουσε νὰ παίρνουν οἱ μαθητὲς περισσότερη παρηγοριὰ ἀπὸ τὰ βάσανα τῶν διδασκάλων; Πῶς δὲ δείλιασαν; πῶς δὲ φοβήθηκαν; πῶς δὲν εἶπαν στὸν Παῦλο, «γιατρέ, θεράπευσε τὸν ἑαυτό σου»[19], γλύτωσε τὸν ἑαυτό σου ἀπὸ τὰ πολύπλοκα δεινὰ καὶ τότε θὰ μᾶς χαρίσεις τὰ ἄπειρα ἀγαθά; Πῶς δὲν τὰ εἶπαν αὐτά; Πῶς; Γιατὶ εἶχαν διδαχθεῖ ἀπὸ τὴ χάρη τοῦ Πνεύματος ὅτι αὐτὰ δὲ γίνονταν ἀπὸ ἀδυναμία, ἀλλὰ ἀπὸ τὸ ὅτι ἐπέτρεπε ὁ Χριστός, γιὰ νὰ λάμπει περισσότερο ἡ ἀλήθεια, καθὼς αὐξανόταν μὲ τὰ δεσμά, τὶς φυλακές, τὶς θλίψεις καὶ τὶς στενοχώριες καὶ ἁπλωνόταν πιὸ πολύ. Ἔτσι ἡ δύναμη τοῦ Χριστοῦ φανερώνεται ὁλόκληρη στὴν ἀδυναμία[20]. Γιατί, ἂν τὰ δεσμὰ κατέβαλλαν τὸν Παῦλο καὶ τὸν ἔκαμναν πε-

ἢ τοὺς ἐκείνῳ προσήκοντας ἔδει διαπορεῖν· εἰ δὲ μᾶλλον θαρρεῖν παρεσκεύασε καὶ εἰς πλείονα δόξαν ἤγαγεν, ἐκπλήττεσθαι δεῖ καὶ θαυμάζειν, πῶς διὰ πράγματος ἀτιμίαν ἔχοντος δόξα τῷ μαθητῇ προεξενεῖτο, διὰ πράγματος δειλίαν ἐμβάλλοντος θάρσος καὶ παράκλησις πᾶσιν ἐκείνοις ἐγένετο.

Τίς γὰρ αὐτὸν οὐκ ἐξεπλήττετο τότε, ὁρῶν ἅλυσιν περικείμενον; Τότε δαίμονες ἐδραπέτευον μᾶλλον, ὅτε ἑώρων αὐτὸν ἐν δεσμωτηρίῳ διατρίβοντα. Οὐ γὰρ οὕτω βασιλικὴν κεφαλὴν λαμπρὰν τὸ διάδημα ποιεῖ, ὡς τὰς ἐκείνου χεῖρας ἡ ἅλυσις, οὐ παρὰ τὴν οἰκείν φύσιν, ἀλλὰ παρὰ τὴν ἐπανθοῦσαν αὐταῖς χάριν. Διὰ τοῦτο πολλὴ παράκλησις ἐγίνετο τοῖς μαθηταῖς. Καὶ γὰρ ἑώρων τὸ μὲν σῶμα δεδεμένον, τὴν δὲ γλῶτταν οὐ δεδεμένην· τὰς μὲν χεῖρας ἐσφιγμένας, τὸν δὲ λόγον λελυμένον καὶ τῆς ἀκτῖνος τῆς ἡλιακῆς ταχύτερον τὴν οἰκουμένην ἐπιτρέχοντα πᾶσαν. Καὶ τοῦτο αὐτοῖς παράκλησις ἐγίνετο διὰ τῶν ἔργων μανθάνουσιν, ὅτι οὐδὲν τῶν παρόντων δεινόν. Καὶ γὰρ ὅταν ὑπὸ θείου πόθου καὶ ἔρωτος ἡ ψυχὴ βαφεῖσα τύχῃ γνησίως, πρὸς οὐδὲν ἐπιστρέφεται τῶν παρόντων· ἀλλ' ὥσπερ οἱ μαινόμενοι καὶ πυρὸς καὶ σιδήρου καὶ θηρίων καὶ πελάγους καὶ πάντων κατατολμῶσιν, οὕτω καὶ οὗτοι μανίαν ἀπὸ σωφροσύνης γινομένην, πάντων καταγέλων τῶν ὁρωμένων. Διὰ τοῦτο δεδεμένον ὁρῶντες τὸν διδάσκαλον, μᾶλλον ἐσκίρτων, μᾶλλον ἠγάλλοντο, διὰ τῶν ἔργων τοῖς ἐναντίοις δόντες ἀπόδειξιν, ὅτι πάντοθέν εἰσιν ἀνάλωτοι καὶ ἀχείρωτοι.

9. Τότε τοίνυν, ὅτε ἐν τούτοις τὰ πράγματα ἦν, τινὲς τῶν ἐχθρῶν τῶν Παύλου βουλόμενοι τὸν πόλεμον ἀναρριπίσαι χαλεπώτερον καὶ μείζονα τοῦ τυράννου ποιῆσαι τὴν πρὸς αὐτὸν ἀπέχθειαν, προσεποιοῦντο καὶ αὐτοὶ κηρύττειν, καὶ ἐκήρυττον τὴν ὀρθὴν καὶ ὑγιῆ πίστιν ὑπὲρ τοῦ τὸ δόγμα ἐπιδοῦναι μειζόνως· τοῦτο δὲ ἐποίουν, οὐχὶ τὴν πίστιν σπεῖραι βουλόμενοι, ἀλλ'

ρισσότερο δειλὸ ἢ αὐτὸν ἢ τοὺς μαθητές του, ἔπρεπε νὰ ἀπορεῖ κανείς· ἂν ὅμως προξενοῦσαν περισσότερο θάρρος καὶ ὁδηγοῦσαν σὲ μεγαλύτερη δόξα, πρέπει νὰ ἐκπλήσσεται κανεὶς καὶ νὰ θαυμάζει πῶς μ' ἕνα πράγμα ποὺ εἶχε ντροπὴ προξενοῦνταν στὸ μαθητὴ δόξα, πῶς μ' ἕνα πράγμα ποὺ προκαλοῦσε δειλία δημιουργήθηκε θάρρος καὶ παρηγοριὰ σὲ ὅλους ἐκείνους.

Πραγματικὰ ποιός δὲν ἔνιωθε κατάπληξη τότε, ὅταν τὸν ἔβλεπε δεμένο μὲ ἁλυσίδες; Οἱ δαίμονες τότε δραπέτευαν περισσότερο, ὅταν τὸν ἔβλεπαν νὰ βρίσκεται στὴ φυλακή. Γιατὶ δὲν κάνει τόσο λαμπρὸ τὸ κεφάλι τοῦ βασιλιᾶ τὸ στέμμα, ὅσο τὰ χέρια ἐκείνου οἱ ἁλυσίδες, ὄχι ἀπὸ τὴ δική τους φύση, ἀλλὰ ἀπὸ τὴ χάρη ποὺ ἔβγαινε ἀπ' αὐτές. Γι' αὐτὸ τὸ λόγο δινόταν μεγάλη παρηγοριὰ στοὺς μαθητές. Γιατὶ πραγματικὰ ἔβλεπαν τὸ σῶμα νὰ εἶναι δεμένο ἐνῶ τὴ γλώσσα λυμένη, τὰ χέρια σφιγμένα ἐνῶ τὸ λόγο ἐλεύθερο καὶ νὰ τρέχει σὲ ὅλη τὴν οἰκουμένη πιὸ γρήγορα ἀπὸ τὶς ἀκτίνες τοῦ ἥλιου. Καὶ αὐτὸ γινόταν παρηγοριὰ σ' ἐκείνους, ποὺ μάθαιναν ἀπὸ τὰ ἴδια τὰ πράγματα πὼς τίποτε ἀπὸ τὰ παρόντα δὲν εἶναι κακό. Πραγματικὰ ἡ ψυχὴ ὅταν τύχει νὰ βαφεῖ γνήσια ἀπὸ τὸ θεῖο πόθο καὶ ἔρωτα δὲν ἐπιστρέφει σὲ τίποτε ἀπὸ τὰ παρόντα· καὶ ὅπως οἱ τρελλοὶ ἀψηφοῦν καὶ τὴ φωτιὰ καὶ τὸ σίδερο καὶ τὰ θηρία καὶ τὸ πέλαγος καὶ ὅλα τὰ ἄλλα, ἔτσι καὶ αὐτοὶ ἔχοντας τὴν πιὸ καλὴ καὶ τὴν πιὸ πνευματικὴ τρέλλα, τὴν τρέλλα ποὺ προέρχεται ἀπὸ τὴ σωφροσύνη, περιφρονοῦσαν ὅλα τὰ ὁρατὰ πράγματα. Γι' αὐτό, ἂν καὶ ἔβλεπαν δεμένο τὸ διδάσκαλο, περισσότερο πηδοῦσαν ἀπὸ χαρά, περισσότερο ἀγάλλονταν, γιατὶ ἀπέδειξαν μὲ τὰ ἔργα στοὺς ἐχθρούς τους ὅτι ἀπὸ παντοῦ εἶναι ἀκατάβλητοι καὶ ἀκατανίκητοι.

9. Τότε λοιπὸν ποὺ τὰ πράγματα βρίσκονταν σὲ τέτοια κατάσταση μερικοὶ ἀπὸ τοὺς ἐχθροὺς τοῦ Παύλου, θέλοντας νὰ ἀναζωπυρώσουν πιὸ ἐπικίνδυνα τὸν πόλεμο καὶ νὰ καταστήσουν μεγαλύτερο τὸ μίσος τοῦ τυράννου ἐναντίον του, προσποιοῦνταν ὅτι καὶ αὐτοὶ κήρυτταν, καὶ μάλιστα κήρυτταν τὴν ὀρθὴ καὶ γνήσια πίστη γιὰ νὰ προοδεύει περισσότερο ἡ διδασκαλία

ἵνα μαθὼν ὁ Νέρων, ὅτι τὸ κήρυγμα αὔξεται καὶ τὸ δόγμα ἐπιδίδωσι, ταχύτερον τὸν Παῦλον ἐπὶ τὸ βάραθρον ἀπαγάγῃ. Δύο τοίνυν ἦν διδασκαλεῖα, τῶν Παύλου μαθητῶν, καὶ τῶν ἐχθρῶν τῶν τοῦ Παύλου· τῶν μὲν ἐξ ἀληθείας κηρυττόντων, τῶν δὲ ἀπὸ φιλονεικίας καὶ τῆς πρὸς τὸν Παῦλον ἀπεχθείας. Καὶ ταῦτα δηλῶν ἔλεγε· «τινὲς μὲν διὰ φθόνον καὶ ἔριν τὸν Χριστὸν κηρύττουσιν», ἐκείνους ἐμφαίνων τοὺς ἐχθρούς· «τινὲς δὲ καὶ δι' εὐδοκίαν», περὶ τῶν ἑαυτοῦ μαθητῶν τοῦτο λέγων. Εἶπε πάλιν περὶ ἐκείνων, «οἱ μὲν ἐξ ἐριθείας», οἱ ἐχθροί, οὐχ ἁγνῶς, οὐχ ὑγιῶς, ἀλλ' «οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου», οἱ δὲ ἐξ ἀγάπης (πάλιν τοῦτο περὶ τῶν ἀδελφῶν τῶν ἑαυτοῦ), «εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ Εὐαγγελίου κεῖμαι. Τί γάρ; Πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει, εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται».

Ὥστε μάτην καὶ εἰκῇ ἐπὶ τῶν αἱρέσεων τοῦτο τὸ ρῆμα παραλαμβάνεται. Οἱ γὰρ τότε κηρύττοντες οὐχὶ δόγμα διεφθαρμένον ἐκήρυττον, ἀλλὰ πίστιν ὑγιῆ καὶ ὀρθήν. Εἰ γὰρ δόγμα διεφθαρμένον ἐκήρυττον καὶ ἕτερα παρὰ τὸν Παῦλον ἐδίδασκον, οὐκ ἔμελλεν αὐτοῖς προχωρεῖν, ὅπερ ἐβούλοντο. Τί δε ἐβούλοντο; Τῆς πίστεως αὐξηθείσης καὶ πολλῶν γινομένων τῶν Παύλου μαθητῶν, εἰς μείζονα πόλεμον τὸν Νέρωνα διεγεῖραι. Εἰ δὲ ἕτερα δόγματα ἐκήρυττον, οὐκ ἂν πολλοὺς ἐποίησαν τοὺς Παύλου μαθητάς· μὴ ποιοῦντες δέ, οὐκ ἂν παρώξυναν τὸν τύραννον. Οὐ τοίνυν τοῦτό φησιν, ὅτι διεφθαρμένα δόγματα εἰσῆγον, ἀλλ' ὅτι ἡ αἰτία, ἀφ' ἧς ἐκήρυττον, αὕτη ἦν διεφθαρμένη. Ἕτερον γάρ ἐστι λαλεῖν τὴν πρόφασιν τοῦ κηρύγματος, καὶ ἕτερον αὐτὸ τὸ κήρυγμα μὴ εἶναι ὑγιές. Τὸ μὲν γὰρ κήρυγμα οὐ γίνεται ὑγιές, ὅταν τὰ δόγματα ᾖ πλάνης γέμοντα, ἡ πρόφασις δὲ οὐ γίνεται

21. Φιλ. 1,15.
21α. Φιλιπ. 1,16.
22. Φιλιπ. 1,18.
23. Φιλιπ. 1,18.

τοῦ εὐαγγελίου· καὶ τὸ ἔκαναν αὐτό, ὄχι γιατὶ ἤθελαν νὰ σπείρουν τὴν πίστη, ἀλλὰ γιὰ νὰ μάθει ὁ Νέρων ὅτι τὸ κήρυγμα αὐξάνει καὶ ἡ διδασκαλία τοῦ εὐαγγελίου προοδεύει καὶ ἔτσι νὰ ὁδηγήσει πιὸ γρήγορα τὸν Παῦλο στὸ θάνατο. Ὑπῆρχαν λοιπὸν δύο διδασκαλεῖα, τῶν μαθητῶν τοῦ Παύλου καὶ τῶν ἐχθρῶν τοῦ Παύλου· οἱ πρῶτοι κήρυτταν ἀπὸ εἰλικρίνεια καὶ οἱ δεύτεροι ἀπὸ ἀνταγωνιστικὴ διάθεση καὶ μίσος πρὸς τὸν Παῦλο. Καὶ αὐτὰ δηλώνοντας ἔλεγε· «μερικοὶ ἀπὸ φθόνο καὶ ἀπὸ ἀνταγωνιστικὴ πρὸς ἐμένα διάθεση κηρύττουν τὸ Χριστό», φανερώνοντας ἐκείνους τοὺς ἐχθρούς, «μερικοὶ ὅμως ἀπὸ ἀγαθὴ πρόθεση»[21], λέγοντας αὐτὸ γιὰ τοὺς μαθητές του. Εἶπε πάλι γιὰ ἐκείνους, «ἄλλοι ἀπὸ διάθεση γιὰ φιλονεικία», δηλαδὴ οἱ ἐχθροί, ὄχι ἀπὸ ἁγνὰ ἐλατήρια καὶ ὀρθὴ κρίση, ἀλλὰ «γιατὶ νομίζουν ὅτι θὰ προσθέσω θλίψη στὰ δεσμά μου»[21α], ἐνῶ οἱ ἄλλοι ἀπὸ ἀγάπη (πάλι αὐτὸ τὸ λέγει γιὰ τοὺς ἀδελφούς του), «γιατὶ γνωρίζουν ὅτι μοῦ ἔχει ἀνατεθεῖ ἡ ὑπεράσπιση τοῦ εὐαγγελίου»[22]. «Καὶ τί σημασία ἔχουν αὐτά; Ἕνα πράγμα μόνο ἔχει σημασία, ὅτι μὲ κάθε τρόπο, εἴτε μὲ προφάσεις εἴτε μὲ εἰλικρίνεια, ὁ Χριστὸς κηρύσσεται»[23].

Ἑπομένως μάταια καὶ ἄσκοπα χρησιμοποιεῖται τὸ ρητὸ αὐτὸ πρὸς δικαιολογία τῶν αἱρέσεων. Γιατὶ αὐτοὶ ποὺ κήρυτταν τότε δὲν κήρυτταν δόγμα διεφθαρμένο, ἀλλὰ πίστη γνήσια καὶ ὀρθή. Γιατὶ ἂν κήρυτταν δόγμα διεφθαρμένο καὶ δίδασκαν διαφορετικὰ ἀπὸ τὸν Παῦλο, δὲ θὰ ἦταν δυνατὸ νὰ πραγματοποιηθεῖ αὐτὸ ποὺ ἤθελαν. Καὶ τί ἤθελαν; Νὰ ξεσηκώσουν τὸ Νέρωνα σὲ μεγαλύτερο πόλεμο, ὅταν αὐξηθεῖ ἡ πίστη καὶ γίνουν πολλοὶ οἱ μαθητὲς τοῦ Παύλου. Ἂν ὅμως κήρυτταν ἄλλα δόγματα, δὲ θὰ ἔκαναν πολλοὺς τοὺς μαθητὲς τοῦ Παύλου· καὶ ἂν δὲν τοὺς ἔκαναν, δὲ θὰ ἐξόργιζαν τὸν τύραννο.

Δὲ λέγει λοιπὸν αὐτό, ὅτι δηλαδὴ παρουσίαζαν διεφθαρμένα δόγματα, ἀλλ' ὅτι ἡ αἰτία ἀπὸ τὴν ὁποία κήρυτταν ἦταν διεφθαρμένη. Γιατὶ ἄλλο εἶναι νὰ λέγει κανεὶς ὅτι τὰ κίνητρα τοῦ κηρύγματος δὲν εἶναι ὑγιὴ καὶ ἄλλο ὅτι τὸ ἴδιο τὸ κήρυγμα δὲν εἶναι ὑγιές. Γιατὶ τὸ κήρυγμα δὲν εἶναι ὑγιές, ὅταν τὰ δόγματα

ὑγιής, ὅταν τὸ μὲν κήρυγμα ὑγιές ᾖ, οἱ δὲ κηρύττοντες μὴ διὰ τὸν Θεὸν κηρύττωσιν, ἀλλ' ἢ πρὸς ἔχθραν ἢ πρὸς χάριν ἑτέρων.

10. Οὐ τοίνυν τοῦτό φησιν, ὅτι αἱρέσεις εἰσῆγον, ἀλλ' ὅτι οὐκ ἀπὸ προφάσεως ὀρθῆς, οὐδὲ δι' εὐλάβειαν ἐκήρυττον, ὅπερ ἐκήρυττον. Οὐ γὰρ ἵνα τὸ Εὐαγγέλιον αὐξήσωσι τοῦτο ἐποίουν, ἀλλ' ἵνα αὐτὸ πολεμήσωσι καὶ εἰς μείζονα αὐτὸν ἐμβάλωσι κίνδυνον· διὰ τοῦτο αὐτοῖς ἐγκαλεῖ. «Οἰόμενοι θλῖψιν», φησίν, «ἐπιφέρειν τοῖς δεσμοῖς μου». Οὐκ εἶπεν, 'ἐπιφέροντεςν, ἀλλ', «οἰόμενοι ἐπιφέρειν», τουτέστι 'νομίζοντες', δεικνὺς ὅτι εἰ καὶ ἐκεῖνοι νομίζουσιν, ἀλλ' οὐκ αὐτὸς οὕτω διάκειται, ἀλλὰ καὶ χαίρει διὰ τὴν τοῦ κηρύγματος ἐπίδοσιν. Ἐπήγαγεν οὖν λέγων· «Ἀλλὰ καὶ ἐν τούτῳ χαίρω καὶ χαρήσομαι»· εἰ δὲ πλάνην τὰ δόγματα εἶχε καὶ αἱρέσεις εἰσῆγον ἐκεῖνοι, οὐκ ἠδύνατο χαίρειν ὁ Παῦλος. Ἐπειδὴ δὲ ὑγιὲς καὶ ἀνόθευτον τὸ δόγμα, διὰ τοῦτό φησι, «χαίρω καὶ χαρήσομαι».

Τί γὰρ εἰ ἑαυτοὺς ἀπολλύουσιν ἐκεῖνοι, ἐξ ἀπεχθείας τοῦτο ποιοῦντες; Ἀλλὰ τὰ ἐμὰ καὶ ἄκοντες αὔξουσιν. Εἶδες πόση τοῦ Παύλου ἡ δύναμις; πῶς οὐδενὶ τῶν τοῦ διαβόλου μηχανημάτων ἁλίσκεται; Καὶ οὐ μόνον οὐχ ἁλίσκεται, ἀλλὰ καὶ αὐτοῖς τούτοις αὐτὸν χειροῦται. Πολλὴ μὲν γὰρ οὖν καὶ ἡ τοῦ διαβόλου κακουργία καὶ τῶν ἐκείνῳ διακονούντων ἡ πονηρία· ἐν προσχήματι γὰρ τοῦ τὰ αὐτὰ φρονεῖν, σβέσαι τὸ κήρυγμα ἐβούλοντο. Ἀλλ' «ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν», οὐ συνεχώρει τοῦτο γενέσθαι τότε. Τοῦτο γοῦν αὐτὸ ἐμφαίνων ὁ Παῦλος ἔλεγε· «τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν». Ἐκεῖνοι μὲν γὰρ τοῖς παρούσης με-ζωῆς ἐκβαλεῖν ἐπιθυμοῦσι καὶ πάντα διὰ τοῦτο ὑπομένουσιν· ὁ δὲ Θεὸς οὐκ ἀφίησι δι' ὑμᾶς.

---

24. Α' Κορ. 1,19.
25. Φιλιπ. 1,24–25.

εἶναι γεμάτα πλάνη· ἐνῶ τὰ κίνητρα δὲν εἶναι ὑγιὴ ὅταν τὸ κήρυγμα εἶναι ὑγιὲς ἀλλὰ οἱ κήρυκες δὲν κηρύττουν γιὰ τὸ Θεὸ ἀλλὰ ἀπὸ ἔχθρα ἢ γιὰ χάρη ἄλλων.

10. Δὲ λέγει λοιπὸν αὐτό, ὅτι εἰσήγαγαν αἱρέσεις, ἀλλὰ ὅτι δὲν κήρυτταν ἀπὸ κίνητρα ὀρθὰ οὔτε αὐτὸ ποὺ κήρυτταν τὸ κήρυτταν ἀπὸ εὐλάβεια. Γιατὶ δὲν τὸ ἔκαναν αὐτὸ γιὰ νὰ αὐξήσουν τὸ εὐαγγέλιο, ἀλλὰ γιὰ νὰ τὸ πολεμήσουν καὶ νὰ τὸ ὁδηγήσουν σὲ μεγαλύτερο κίνδυνο· γι' αὐτὸ τοὺς κατηγορεῖ. Καὶ πρόσεχε πῶς μὲ ἀκρίβεια τὸ ἀνέφερε αὐτό· «γιατὶ νομίζουν», λέγει, «ὅτι θὰ προσθέσουν θλίψη στὰ δεσμά μου». Δὲν εἶπε, 'προσθέτουν', ἀλλὰ «φαντάζονται ὅτι θὰ προσθέσουν», δηλαδή, νομίζουν, γιὰ νὰ δείξει πὼς ἂν καὶ ἐκεῖνοι νομίζουν αὐτὸς ὅμως δὲν αἰσθάνεται ἔτσι, ἀλλὰ καὶ χαίρεται γιὰ τὴν πρόοδο τοῦ κηρύγματος. Γιατὶ πρόσθεσε λέγοντας· «καὶ γι' αὐτὸ χαίρομαι καὶ θὰ χαρῶ». Ἂν ὅμως τὰ δόγματα εἶχαν πλάνη καὶ ἐκεῖνοι εἰσήγαγαν αἱρέσεις, δὲ θὰ μποροῦσε νὰ χαρεῖ ὁ Παῦλος. Ἐπειδὴ ὅμως τὸ δόγμα ἦταν ὑγιὲς καὶ ἀνόθευτο γι' αὐτὸ λέγει, «χαίρομαι καὶ θὰ χαρῶ».

Τί σημασία ἔχει ἂν ἐκεῖνοι καταστρέφουν τὸν ἑαυτό τους κάνοντας αὐτὸ ἀπὸ μίσος; Ἀλλὰ τὸ ἔργο μου καὶ χωρὶς τὴ θέλησή τους τὸ αὐξάνουν. Εἶδες πόση εἶναι ἡ δύναμη τοῦ Παύλου; πῶς δὲ συλλαμβάνεται ἀπὸ κανένα τέχνασμα τοῦ διαβόλου; Καὶ ὄχι μόνο δὲ συλλαμβάνεται, ἀλλὰ καὶ μ' αὐτὰ τὰ ἴδια τὸν αἰχμαλωτίζει. Γιατὶ ἀσφαλῶς εἶναι μεγάλη ἡ δολιότητα τοῦ διαβόλου καὶ ἡ κακία ἐκείνων ποὺ τὸν ὑπηρετοῦν, ἀφοῦ μὲ τὸ πρόσχημα πὼς φρονοῦν τὰ ἴδια ἤθελαν νὰ σβήσουν τὸ κήρυγμα. Ἀλλὰ «αὐτὸς ποὺ συλλαμβάνει τοὺς σοφοὺς στὴν πανουργία τους»[24], δὲν ἐπέτρεπε νὰ γίνει τότε αὐτό. Αὐτὸ ἀκριβῶς φανερώνοντας ὁ Παῦλος ἔλεγε· «τὸ νὰ παραμείνω ὅμως στὴ ζωὴ εἶναι πιὸ ἀπαραίτητο γιὰ σᾶς, καὶ μ' αὐτὴ τὴν πεποίθηση ξέρω ὅτι θὰ μείνω καὶ θὰ εἶμαι ἀνάμεσα σὲ ὅλους σας»[25]. Ἐκεῖνοι δηλαδὴ ἐπιθυμοῦν νὰ μὲ ἀπομακρύνουν ἀπὸ τὴν παρούσα ζωή, καὶ γι' αὐτὸ ὑπομένουν τὰ πάντα, ὁ Θεὸς ὅμως δὲν τὸ ἐπιτρέπει γιὰ χάρη σας.

11. Ταῦτα τοίνυν μετὰ ἀκριβείας ἅπαντα μνημονεύετε, ἵνα τοὺς ἁπλῶς καὶ ὡς ἔτυχε ταῖς Γραφαῖς κεχρημένους καὶ ἐπ' ὀλέθρῳ τῶν πλησίον, μετὰ πάσης σοφίας δύνησθε διορθοῦν. Δυνησόμεθα δὲ καὶ μεμνῆσθαι τῶν εἰρημένων καὶ ἑτέρους διορθοῦν, ἂν εἰς εὐχὰς ἀεὶ καταφεύγωμεν καὶ παρακαλῶμεν τὸν Θεὸν τὸν διδόντα λόγον σοφίας, δοῦναι καὶ σύνεσιν ἀκροάσεως καὶ φυλακὴν τῆς πνευματικῆς ταύτης παρακαταθήκης ἀκριβῆ καὶ ἀχείρωτον. Ἃ γὰρ οὐκ ἰσχύομεν πολλάκις ἐξ οἰκείας κατορθῶσαι σπουδῆς, ταῦτα δυνησόμεθα ἀνύσαι εὐμαρῶς δι' εὐχῶν, εὐχῶν δὲ λέγω τῶν διηνεκῶν. Ἀεὶ γὰρ καὶ ἀδιαλείπτως εὔχεσθαι χρή, καὶ τὸν ἐν θλίψει, καὶ τὸν ἐν ἀνέσει, καὶ τὸν ἐν δεινοῖς, καὶ τὸν ἐν ἀγαθοῖς ὄντα· τὸν μὲν ἐν ἀνέσει καὶ πολλοῖς ἀγαθοῖς, ἵνα ἀκίνητα καὶ ἀμετάβλητα ταῦτα μένῃ καὶ μηδέποτε μεταπέσῃ, τὸν δὲ ἐν θλείψει καὶ πολλοῖς τοῖς δεινοῖς, ἵνα τινὰ χρηστὴν αὐτῷ ἴδῃ γενομένην μεταβολὴν καὶ εἰς γαλήνην παρηγορίας μεταβληθῇ.

Ἐν γαλήνῃ εἶ; Οὐκοῦν παρακάλει τὸν Θεὸν βεβαίαν σοι μένειν τὴν γαλήνην ταύτην. Χειμῶνα εἶδες ἐπαναστάντα; Παρακάλει ἐκτενῶς τὸν Θεὸν παρενέγκαι τὸ κλυδώνιον καὶ γαλήνην ἀπὸ χειμῶνος ποιῆσαι. Ἠκούσθης; Ἐπὶ τούτῳ εὐχαρίστησον, ἐπειδὴ ἠκούσθης. Οὐκ ἠκούσθης; Παράμεινον, ἵνα ἀκουσθῇς. Κἂν γὰρ ἀναβάληταί ποτε τὴν δόσιν ὁ Θεός, οὐχὶ μισῶν οὐδὲ ἀποστρεφόμενος, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως διηνεκῶς σε παρ' ἑαυτῷ κατέχειν βουλόμενος, καθάπερ καὶ πατέρες φιλόστοργοι ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι τῶν ῥᾳθυμοτέρων παίδων τὴν διηνεκῆ προεδρίαν τῇ τῆς δόσεως ἀναβολῇ σοφίζονται. Οὐ χρείᾳ σοι μεσιτῶν ἐπὶ τοῦ Θεοῦ, οὐδὲ πολλῆς τῆς περιδρομῆς καὶ τοῦ κολακεῦσαι ἑτέρους· ἀλλὰ κἂν ἔρημος ᾖς κἂν ἀπροστάτευτος, αὐτὸς διὰ σαυτοῦ παρακαλέσας τὸν Θεὸν ἐπιτεύξῃ πάν-

11. Ὅλα λοιπὸν αὐτὰ νὰ τὰ θυμᾶστε μὲ ἀκρίβεια, γιὰ νὰ μπορεῖτε μὲ κάθε σοφία νὰ διοθρώνετε ἐκείνους ποὺ χρησιμοποιοῦν τὶς Γραφὲς ἐπιπόλαια καὶ πρὸς καταστροφὴ τῶν συνανθρώπων τους. Θὰ μπορέσουμε ὅμως καὶ ὅσα λέχθηκαν νὰ θυμηθοῦμε καὶ ἄλλους νὰ διοθρώνουμε, ἂν καταφεύγουμε πάντοτε στὶς προσευχὲς καὶ παρακαλοῦμε τὸ Θεὸ ποὺ δίνει λόγο σοφίας νὰ μᾶς δώσει καὶ σύνεση πρὸς ἀκρόαση καὶ δύναμη νὰ φυλάξουμε ἀνόθευτη καὶ ἀπρόσβλητη τὴν πνευματικὴ αὐτὴ παρακαταθήκη. Γιατὶ ἐκεῖνα ποὺ δὲν μποροῦμε πολλὲς φορὲς νὰ τὰ ἐπιτύχουμε μὲ τὴ δική μας προσπάθεια θὰ μπορέσουμε νὰ τὰ ἐκτελέσουμε εὔκολα μὲ τὶς προσευχές, καὶ ἐννοῶ τὶς συνεχεῖς προσευχές. Γιατὶ πρέπει νὰ προσεύχεται κανεὶς πάντοτε καὶ ἀσταμάτητα, καὶ ἐκεῖνος ποὺ βρίσκεται σὲ θλίψη καὶ ἐκεῖνος ποὺ εἶναι σὲ ἀνέσεις καὶ ἐκεῖνος ποὺ βρίσκεται σὲ συμφορὲς καὶ ἐκεῖνος ποὺ ἔχει ἀγαθά· ἐκεῖνος ποὺ ἔχει ἀνέσεις καὶ πολλὰ ἀγαθὰ γιὰ νὰ διατηροῦνται αὐτὰ ἀμετακίνητα καὶ ἀμετάβλητα καὶ ποτὲ νὰ μὴ χάνονται, ἐνῶ ἐκεῖνος ποὺ βρίσκεται σὲ θλίψη καὶ σὲ πολλὲς συμφορὲς γιὰ νὰ δεῖ νὰ τοῦ συμβαίνει κάποια καλὴ ἀλλαγὴ ποὺ θὰ τοῦ χαρίσει γαλήνη καὶ παρηγοριά.

Βρίσκεσαι σὲ γαλήνη; Νὰ παρακαλεῖς τότε τὸ Θεὸ νὰ σοῦ μένει σταθερὴ αὐτὴ ἡ γαλήνη. Εἶδες νὰ σηκώνεται θύελλα; Νὰ παρακαλεῖς ἀκατάπαυστα τὸ Θεὸ νὰ παραμερίσει τὴν τιμωρία καὶ νὰ δημιουργήσει ἀπὸ τὴ θύελλα γαλήνη. Εἰσακούσθηκες; Εὐχαρίστησε γι' αὐτό, ἐπειδὴ εἰσακούσθηκες. Δὲν εἰσακούσθηκες; Νὰ ἐπιμένεις γιὰ νὰ εἰσακουσθεῖς. Γιατὶ καὶ ἂν ἀκόμη ἀναβάλει κάποτε τὴ δόση ὁ Θεός, δὲν τὸ κάνει ἀπὸ μίσος οὔτε ἀποστρεφόμενός σε, ἀλλ' ἐπειδὴ θέλει μὲ τὴν ἀναβολὴ τῆς χορήγησης νὰ σὲ κρατάει συνεχῶς κοντά του, ὅπως ἀκριβῶς κάνουν καὶ οἱ φιλόστοργοι πατέρες. Γιατὶ πραγματικὰ καὶ ἐκεῖνοι σοφίζονται τὴν ἀναβολὴ κάποιας χορήγησης γιὰ νὰ κρατοῦν διαρκῶς κοντά τους τὰ πιὸ ἀδιάφορα ἀπὸ τὰ παιδιά τους. Δὲ χρειάζεσαι μεσίτες γιὰ τὸ Θεό, οὔτε πολλὰ τρεξίματα καὶ νὰ κολακέψεις ἄλλους, ἀλλὰ καὶ ἂν ἀκόμη εἶσαι ἔρημος καὶ ἀπροστάτευτος, ἂν παρακαλέσεις μόνος σου τὸ Θεὸ ὁπωσδήποτε θὰ

τως. Οὐχ οὕτω δι' ἑτέρων ὑπὲρ ἡμῶν παρακαλούμενος ἐπινεύειν εἴωθεν, ὡς δι' ἡμῶν αὐτῶν τῶν δεομένων, κἂν μυρίων ὦμεν γέμοντες κακῶν. Εἰ γὰρ ἐπ' ἀνθρώπων κἂν μυρία προσκεκρουκότες ὦμεν, ὅταν καὶ ὑπὸ τὴν ἕω καὶ μέσης ἡμέρας καὶ ἐν ἑσπέρᾳ φαινώμεθα τοῖς πρὸς ἡμᾶς λελυπημένοις, τῇ συνεχείᾳ καὶ τῇ διηνεκεῖ τῆς ὄψεως συντυχίᾳ καταλύομεν ῥᾳδίως αὐτῶν τὴν ἔχθραν, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο γένοιτ' ἄν.

12. Ἀλλ' ἀνάξιος εἶ; Γενοῦ τῇ προσεδρείᾳ ἄξιος. Ὅτι γὰρ καὶ τὸν ἀνάξιον δυνατὸν ἄξιον ἐκ τῆς προσεδρείας γενέσθαι καὶ δι' ἡμῶν αὐτῶν μᾶλλον ἢ δι' ἑτέρων παρακαλούμενος ὁ Θεὸς ἐπινεύει, καὶ ὅτι τὴν δόσιν ἀναβάλλεται πολλάκις οὐχ ἡμᾶς ἐξαπορῆσαι βουλόμενος οὐδὲ κεναῖς ἐκπέμψαι χερσίν, ἀλλ' ἵνα μειζόνων ἡμῖν ἀγαθῶν αἴτιος γένηται, τὰ τρία ταῦτα διὰ τῆς παραβολῆς τῆς σήμερον ἀναγνωσθείσης ὑμῖν πειράσομαι ποιῆσαι φανερά. Προσῆλθε τῷ Χριστῷ ἡ Χαναναία ὑπὲρ θυγατρὸς δεομένη δαιμονιζομένης καὶ βοῶσα μετὰ πολλῆς ἐκτενείας, φησίν· «ἐλέησόν με, Κύριε, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται». Ἰδοὺ ἀλλόφυλος ἡ γυνὴ καὶ βάρβαρος καὶ τῆς πολιτείας τῆς ἰουδαϊκῆς ἐκτός. Καὶ τί γὰρ ἕτερον ἢ κύων καὶ ἀνάξιος τοῦ λαβεῖν τὴν αἴτησιν; «Οὐ γάρ ἐστι», φησί, «καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι τοῖς κυναρίοις». Ἀλλ' ὅμως ἀπὸ τῆς προσεδρείας γέγονεν ἀξία. Οὐ γὰρ μόνον εἰς τὴν τῶν παίδων αὐτὴν εὐγένειαν εἰσήγαγε, κύνα οὖσαν, ἀλλὰ καὶ μετὰ πολλῶν τῶν ἐγκωμίων ἐξέπεμψεν, εἰπών· «ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις». Ὅταν δὲ ὁ Χριστὸς λέγῃ, «μεγάλη ἡ πίστις», μηδεμίαν ἑτέραν ἀπόδειξιν ζήτει τῆς μεγαλοψυχίας τῆς κατὰ τὴν γυναῖκα.

Εἶδες πῶς ἐκ τῆς προσεδρείας γέγονεν ἀξία, ἀναξία οὖσα ἡ γυνή; Βούλει μαθεῖν καὶ ὅτι δι' ἡμῶν αὐτῶν μᾶλλον ἢ δι' ἑτέρων παρακαλοῦντες αὐτὸν ἀνύομεν; Ἔκραξεν αὕτη καὶ προσελθόντες οἱ μαθηταὶ λέγουσιν· «ἀπόλυσον αὐτήν, ὅτι κράζει

---

26. Ματθ. 15,22.
27. Ματθ. 15,26.
28. Ματθ. 15,28.

ἐπιτύχεις στὸ αἴτημά σου. Γιατὶ συνήθως ὁ Θεὸς ὅταν ἄλλοι τὸν παρακαλοῦν γιὰ μᾶς δὲ συγκατανεύει τόσο, ὅσο ὅταν τὸν παρακαλοῦμε ἐμεῖς οἱ ἴδιοι ποὺ ἔχουμε ἀνάγκη, ἔστω καὶ ἂν εἴμαστε γεμάτοι ἀπὸ ἄπειρα κακά. Γιατί, ἂν κατὰ τὶς σχέσεις μας μὲ τοὺς ἀνθρώπους, ἔστω καὶ ἂν ἔχουμε φιλονικήσει ἄπειρες φορὲς μὲ κάποιους καὶ εἶναι σταναχωρημένοι μαζί μας, παρουσιαζόμενοι σ' αὐτοὺς καὶ τὸ πρωὶ καὶ τὸ μεσημέρι καὶ τὸ βράδυ, διαλύουμε εὔκολα τὴν ἔχθρα τους μὲ τὴ συνεχὴ καὶ διαρκὴ συνάντηση, πολὺ περισσότερο μπορεῖ νὰ γίνει αὐτὸ μὲ τὸ Θεό.

12. Μήπως εἶσαι ἀνάξιος; Γίνε μὲ τὴν ἐπιμονὴ ἄξιος. Γιατὶ τὸ ὅτι καὶ ὁ ἀνάξιος μπορεῖ νὰ γίνει μὲ τὴν ἐπιμονὴ ἄξιος, καὶ ὅτι ὁ Θεὸς συγκατανεύει περισσότερο ὅταν παρακαλεῖται ἀπὸ μᾶς τοὺς ἴδιους παρὰ ἀπὸ ἄλλους, καὶ ὅτι πολλὲς φορὲς ἀναβάλλει κάποια χορηγία, ὄχι γιατὶ θέλει νὰ μᾶς τὴ στερήσει οὔτε γιατὶ θέλει νὰ μᾶς ἐξαποστείλει μὲ ἄδεια χέρια, ἀλλὰ γιὰ νὰ μᾶς χαρίσει μεγαλύτερα ἀγαθά, τὰ τρία αὐτὰ θὰ προσπαθήσω μὲ τὴν περικοπὴ ποὺ διαβάστηκε σήμερα νὰ σᾶς τὰ κάνω φανερά. Πλησίασε τὸ Χριστὸ ἡ Χαναναία ποὺ τὸν παρακαλοῦσε γιὰ τὴ δαιμονισμένη θυγατέρα της καὶ φωνάζοντας πολὺ δυνατὰ τοῦ λέγει· «ἐλέησέ με, Κύριε, ἡ θυγατέρα μου βασανίζεται ἀπὸ δαιμόνιο»[26]. Νὰ μιὰ ἀλλόφυλη γυναίκα καὶ βάρβαρη καὶ ξένη πρὸς τὴν ἰουδαϊκὴ πολιτεία. Γιατὶ τί ἄλλο ἦταν παρὰ σκυλὶ καὶ ἀνάξια νὰ λάβει ἱκανοποίηση τοῦ αἰτήματός της; Γιατὶ λέγει, «δὲν εἶναι σωστὸ νὰ πάρει κανεὶς τὸ ψωμὶ τῶν παιδιῶν καὶ νὰ τὸ ρίξει στὰ σκυλιά»[27]. Ἀπὸ τὴν ἐπιμονή της ὅμως ἔγινε ἄξια. Γιατὶ ὄχι μόνο τὴν εἰσήγαγε στὴν εὐγένεια τῶν παιδιῶν, ἂν καὶ ἦταν σκυλί, ἀλλὰ καὶ τὴν ἔστειλε μὲ πολλοὺς ἐπαίνους λέγοντας· «μεγάλη εἶναι ἡ πίστη σου, γυναίκα· ἂς γίνει ὅπως θέλεις»[28]. Καὶ ὅταν ὁ Χριστὸς λέγει, «μεγάλη εἶναι ἡ πίστη», μὴ ζητᾶς ἄλλη ἀπόδειξη τῆς μεγαλοψυχίας αὐτῆς τῆς γυναίκας.

Εἶδες πῶς ἡ γυναίκα αὐτὴ μὲ τὴν ἐπιμονή της ἔγινε ἄξια, ἐνῶ ἦταν ἀνάξια; Θέλεις νὰ μάθεις ὅτι περισσότερο κατορθώνουμε κάτι ὅταν παρακαλοῦμε μόνοι μας τὸ Θεὸ καὶ ὄχι μὲ ἄλλους; Φώναξε δυνατὰ αὐτὴ καὶ πλησιάζοντας οἱ μαθητὲς λέ-

ὄπισθεν ἡμῶν»· καὶ πρὸς μὲν ἐκείνους φησίν, «οὐκ ἀπεστάλην, εἰ μὴ εἰς πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»· ὅτε δὲ αὐτὴ δι' ἑαυτῆς προσῆλθε καὶ ἐπέμενε βοῶσα καὶ λέγουσα, «ναί, Κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν», τότε τὴν χάριν ἔδωκε καί φησι· «γενηθήτω σοι ὡς θέλεις». Εἶδες πῶς, ὅτε μὲν ἐκεῖνοι παρεκάλουν διεκρούσατο, ὅτε δὲ αὐτὴ ἡ δεομένη τῆς δωρεᾶς ἐβόησεν, ἐπένευσεν; Ἐκείνοις μὲν γάρ φησιν, «οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ», ταύτῃ δὲ εἶπε, «μεγάλη σου ἡ πίστις· γεννηθήτω σοι ὡς θέλεις».

Πάλιν παρὰ μὲν τὴν ἀρχὴν καὶ ἐν προοιμίῳ τῆς αἰτήσεως οὐδὲν ἀπεκρίνατο· ἐπειδὴ δὲ καὶ ἅπαξ και δεύτερον καὶ τρὶς προσῆλθε, τότε τὴν χάριν ἔδωκε, διὰ τοῦ τέλους ἡμᾶς πείθων, ὅτι τὴν δόσιν ἀνεβάλετο, οὐχ ἵνα αὐτὴν διακρούσηται, ἀλλ' ἵνα πᾶσιν ἡμῖν δείξῃ τὴν ὑπομονὴν τῆς γυναικός. Εἰ γὰρ ἵνα αὐτὴν διακρούσηται ἀνεβάλετο, οὐδ' ἂν πρὸς τῷ τέλει ἔδωκεν, ἐπειδὴ δὲ ἀνέμενε δεῖξαι πᾶσιν αὐτῆς τὴν φιλοσοφίαν, διὰ τοῦτο ἐσίγα. Εἰ γὰρ εὐθέως ἔδωκε καὶ παρὰ τὴν ἀρχήν, οὐκ ἂν ἔγνωμεν τὴν ἀνδρείαν τῆς γυναικός. «Ἀπόλυσον αὐτήν», φησίν, «ὅτι κράζει ὄπισθεν ἡμῶν». Τί δὲ ὁ Χριστός; Ὑμεῖς φωνὴν ἀκούετε, ἐγὼ δὲ τὴν διάνοιαν ὁρῶ· οἶδα τί μέλλει λέγειν. Οὐ βούλομαι τὸν ἐγκεκρυμμένον αὐτῆς τῇ διανοίᾳ θησαυρὸν ἀφεῖναι λαθεῖν, ἀλλ' ἀναμένω καὶ σιγῶ, ἵνα αὐτὸν ἐκκαλύψας εἰς τὸ μέσον καταθῶμαι καὶ πᾶσι ποιήσω φανερόν.

13. Ταῦτ' οὖν ἅπαντα μαθόντες, κἂν ἐν ἁμαρτήμασιν ὦμεν, καὶ τοῦ λαβεῖν ἀνάξιοι, μὴ ἀπογινώσκωμεν, εἰδότες ὅτι τῇ προσεδρείᾳ τῆς ψυχῆς δυνησόμεθα γενέσθαι τῆς αἰτήσεως ἄξιοι. Κἂν ἀπροστάτευτοι καὶ ἔρημοι ὦμεν, μὴ ἀπαγορεύωμεν, εἰδότες ὅτι μεγάλη προστασία, τὸ αὐτὸν δι' ἑαυτοῦ προσελθεῖν

---

29. Ματθ. 15,23.
30. Ματθ. 15,24.
31. Ματθ. 15,27.

γουν· «διῶξε την, γιατὶ φωνάζει ἀπὸ πίσω μας»[29]. Καὶ σ' ἐκείνους λέγει, «δὲν ἔχω ἀποσταλεῖ γιὰ τίποτε ἄλλο παρὰ μόνο γιὰ τὰ χαμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ»[30], ὅταν ὅμως αὐτὴ πλησίασε μόνη της καὶ μὲ ἐπιμονὴ φώναζε καὶ ἔλεγε, «ναί, Κύριε, ἀλλὰ καὶ τὰ σκυλιὰ τρώγουν ἀπὸ τὸ τραπέζι τῶν κυρίων τους»[31], τότε ἔδωσε τὴ χάρη του καὶ λέγει· «ἂς γίνει ὅπως θέλεις». Εἶδες πῶς ὅταν ἐκεῖνοι παρακαλοῦσαν αὐτὸς δὲν ἱκανοποίησε τὸ αἴτημά τους, ἐνῶ ὅταν φώναξε αὐτὴ ποὺ εἶχε ἀνάγκη ἀπὸ τὴ δωρεὰ συγκατένευσε; Γιατὶ σ' ἐκείνους λέγει, «δὲν ἔχω ἀποσταλεῖ γιὰ τίποτε ἄλλο παρὰ μόνο γιὰ τὰ χαμένα πρόβατα τοῦ ἰσραηλιτικοῦ λαοῦ», ἐνῶ σ' αὐτὴν εἶπε, «μεγάλη εἶναι ἡ πίστη σου· ἂς γίνει ὅπως θέλεις».

Βέβαια πάλι ἀμέσως καὶ στὴν ἀρχὴ τῆς παράκλησης δὲν ἀποκρίθηκε τίποτε, ὅταν ὅμως αὐτὴ πλησίασε καὶ μιὰ καὶ δυὸ καὶ τρεῖς φορὲς τότε ἔδωσε τὴ χάρη του, γιὰ νὰ πείσει ἐμᾶς μὲ τὸ τέλος ὅτι ἀνέβαλε τὴ δωρεὰ ὄχι γιὰ νὰ τὴν ἀπομακρύνει, ἀλλὰ γιὰ νὰ δείξει σὲ ὅλους μας τὴν ὑπομονὴ τῆς γυναίκας. Γιατὶ ἂν ἀνέβαλε γιὰ νὰ τὴν ἀπομακρύνει δὲ θὰ τῆς ἔδινε τὴ χάρη του στὸ τέλος· ἐπειδὴ ὅμως περίμενε νὰ δείξει σὲ ὅλους τὴ μεγάλη πίστη της, γι' αὐτὸ σιωποῦσε. Γιατὶ ἂν τῆς ἔδινε ἀμέσως καὶ στὴν ἀρχὴ τὴ χάρη, δὲ θὰ γνωρίζαμε τὴν ἀρετὴ τῆς γυναίκας. «Διῶξε την», λέγει, «γιατὶ φωνάζει ἀπὸ πίσω μας». Καὶ τί ἀπάντησε ὁ Χριστός; Ἐσεῖς ἀκοῦτε τὴ φωνή, ἐγὼ ὅμως βλέπω τὴ σκέψη της· ξέρω τί θὰ πεῖ. Δὲ θέλω ν' ἀφήσω νὰ μείνει ἀπαρατήρητος ὁ κρυμμένος μέσα στὴ σκέψη της θησαυρός, ἀλλὰ περιμένω καὶ σιωπῶ, γιὰ νὰ τὸν ἀποκαλύψω πρῶτα καὶ ὕστερα νὰ τὸν παρουσιάσω στὴ μέση καὶ νὰ τὸν φανερώσω σὲ ὅλους.

13. Ἀφοῦ λοιπὸν μάθαμε ὅλα αὐτά, καὶ ἂν ἀκόμη εἴμαστε ἁμαρτωλοὶ καὶ ἀνάξιοι νὰ λάβουμε τὴ χάρη, ἂς μὴν ἀπελπιζόμαστε, γιατὶ γνωρίζουμε ὅτι μὲ τὴν ἐπιμονὴ τῆς ψυχῆς θὰ μπορέσουμε νὰ γίνουμε ἄξιοι γιὰ τὴν ἱκανοποίηση τοῦ αἰτήματός μας. Καὶ ἂν εἴμαστε ἀπροστάτευτοι καὶ ἔρημοι, ἂς μὴν ἀποκάμνουμε, γιατὶ γνωρίζουμε ὅτι εἶναι μεγάλη προστασία τὸ νὰ

τῷ Θεῷ μετὰ προθυμίας πολλῆς. Κἂν μέλλῃ καὶ ἀναβάληται πρὸς τὴν δόσιν, μὴ ἀναπέσωμεν, μαθόντες ὅτι ἡ μέλλησις καὶ ἀναβολὴ κηδεμονίας καὶ φιλανθρωπίας ἐστὶ τεκμήριον. Ἂν οὕτως ὦμεν πεπεικότες ἑαυτούς, καὶ μετὰ ψυχῆς ὀδυνωμένης καὶ θερμῆς καὶ διεγηγερμένης προαιρέσεως, καὶ τοιαύτης οἵας ἡ Χαναναία προσῆλθεν, αὐτῷ προσίωμεν καὶ ἡμεῖς, κἂν κύνες ὦμεν, κἂν ὁτιοῦν εἰργασμένοι δεινόν, καὶ τὰ οἰκεῖα ἀποκρουσόμεθα κακὰ καὶ τοσαύτην ληψόμεθα παρρησίαν, ὡς καὶ ἑτέρων προστῆναι· ὃν τρόπον καὶ αὕτη ἡ Χαναναία οὐ μόνον αὐτὴ παρρησίας ἀπέλαυσε καὶ μυρίων ἐγκωμίων, ἀλλὰ καὶ τὸ θυγάτριον τῶν ἀφορήτων ἴσχυσεν ἐξαρπάσαι δεινῶν. Οὐδὲν γάρ, οὐδὲν εὐχῆς δυνατώτερον πεπυρωμένης καὶ γνησίας. Αὕτη καὶ τὰ παρόντα διαλύει δεινὰ καὶ τῶν κατ' ἐκεῖνον τὸν καιρὸν συμβαινόντων ἐξαρπάζει κολάσεων.

Ἵν' οὖν καὶ τὸν παρόντα βίον μετ' εὐκολίας διανύσωμεν κἀκεῖ μετὰ παρρησίας ἀπέλθωμεν, πολλῇ σπουδῇ καὶ προθυμίᾳ ταύτην ἐπιτελέσωμεν διηνεκῶς. Οὕτω γὰρ δυνησόμεθα καὶ τῶν ἀποκειμένων τυχεῖν ἀγαθῶν καὶ τῶν χρηστῶν ἀπολαύειν ἐλπίδων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

πλησιάσει κανεὶς μόνος του τὸ Θεὸ καὶ μὲ μεγάλη προθυμία. Καὶ ἂν καθυστερεῖ καὶ ἀναβάλλει τὴ χορήγηση τῆς δωρεᾶς, ἂς μὴ χάσουμε τὸ θάρρος μας, γιατὶ γνωρίζουμε ὅτι ἡ καθυστέρηση καὶ ἡ ἀναβολὴ εἶναι ἀπόδειξη φροντίδας καὶ φιλανθρωπίας. Ἂν ἔχουμε τέτοια πεποίθηση καὶ τὸν πλησιάσουμε καὶ ἐμεῖς μὲ ψυχὴ θλιμμένη καὶ μὲ πρόθεση θερμὴ καὶ φλογισμένη καὶ ὅμοια μὲ ἐκείνη ποὺ τὸν πλησίασε ἡ Χαναναία, εἴτε εἴμαστε σκυλιὰ εἴτε ὁποιοδήποτε κακὸ ἔχουμε διαπράξει, καὶ τὰ δικά μας κακὰ θ' ἀπομακρύνουμε καὶ τόσο μεγάλο θάρρος θὰ πάρουμε, ὥστε καὶ ἄλλους νὰ ὑπερασπισθοῦμε, ὅπως καὶ αὐτὴ ἡ Χαναναία ὄχι μόνο ἡ ἴδια ἀπόλαυσε παρρησία καὶ ἄπειρους ἐπαίνους, ἀλλὰ καὶ τὴ μικρή της θυγατέρα μπόρεσε νὰ γλυτώσει ἀπὸ τὰ ἀφόρητα δεινά. Γιατὶ τίποτε, πραγματικὰ τίποτε δὲν εἶναι ἰσχυρότερο ἀπὸ τὴ θερμὴ καὶ γνήσια προσευχή. Αὐτὴ καὶ τὰ παρόντα δεινὰ διαλύει καὶ ἀπὸ τὶς τιμωρίες ποὺ ἐπιβάλλονται στὴν ἄλλη ζωὴ γλυτώνει.

Γιὰ νὰ περάσουμε λοιπὸν καὶ τὴν παρούσα ζωὴ εὔκολα καὶ νὰ φύγουμε γιὰ τὴν ἄλλη ζωὴ μὲ θάρρος, ἂς προσευχόμαστε συνέχεια μὲ πολὺ ζῆλο καὶ προθυμία. Γιατὶ ἔτσι θὰ μπορέσουμε καὶ τὰ ἀγαθὰ ποὺ ἐπιφυλάσσονται ἐκεῖ νὰ ἐπιτύχουμε καὶ τὶς ἀγαθὲς ἐλπίδες ν' ἀπολαύσομε, τὰ ὁποῖα εὔχομαι ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία καὶ τὴν εὐσπλαγχνία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνωςκαὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΧΗΡΑ ΚΑΤΑΛΕΓΕΣΘΩ ΜΗ ΕΛΑΤΤΩΝ ΕΤΩΝ ΕΞΗΚΟΝΤΑ ΓΕΓΟΝΥΙΑ»

ΚΑΙ ΠΕΡΙ ΠΑΙΔΩΝ ΑΝΑΤΡΟΦΗΣ

ΚΑΙ ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΧΗΡΑ ΚΑΤΑΛΕΓΕΣΘΩ ΜΗ ΕΛΑΤΤΩΝ ΕΤΩΝ ΕΞΗΚΟΝΤΑ ΓΕΓΟΝΥΙΑ»

Καὶ περὶ παίδων ἀνατροφυῆς καὶ περὶ ἐλεημοσύνης

1. Εἰς καιρὸν ἡ τοῦ Πνεύματος ᾠκονόμησε χάρις ταύτην τῆς ἀποστολικῆς ἐπιστολῆς ἀναγνωσθῆναι τὴν περικοπήν, ἣν ἠκούσατε σήμερον· ἔχει γάρ τινα πρὸς τὰ πρῴην εἰρημένα συγγένειαν καὶ ἀκολουθίαν πολλήν, εἰ καὶ μὴ ἐν τοῖς ῥήμασιν, ἀλλ' ἐν τοῖς νοήμασι. Τὸ μὲν γὰρ πρῴην ἀναγνωσθὲν τοῦτο ἦν· «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί», καὶ πολλὰ περὶ ἀναστάσεως ἐλέχθη τότε, τὸ γενναίως τὰ τοιαῦτα φέρειν πάθη καὶ εὐχαριστεῖν τῷ λαμβάνοντι τοὺς προσήκοντας ἡμῖν Θεῷ. Σήμερον τὸ ἀναγνωσθὲν τοῦτό ἐστι· «χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα». Ἐπεὶ οὖν ἀπὸ θανάτου χηρεία γίνεται, καὶ τοῦτο μάλιστά ἐστι τὸ τὴν ὀδύνην ἐπετεῖνον καὶ διεγεῖρον τὸ πένθος, μεμνημένοι τῶν πρῴην εἰρημένων, ἃ τοὺς πενθοῦντας παρακαλοῦντες εἰρήκαμεν, καὶ ταῦτα μετὰ πάσης ὑποδεξάμενοι τῆς σπουδῆς μετ' ἐκείνων εἰς τὰ ταμιεῖα τῆς διανοίας ἀπόθεσθε.

Τὸ γὰρ τῆς χηρείας ὄνομα δοκεῖ μὲν εἶναι συμφορᾶς ὄνομα, οὐκ ἔστι δέ, ἀλλ' ἀξίωμα καὶ τιμὴ καὶ δόξα μεγίστη· οὐκ ὄνειδος, ἀλλὰ στέφανος. Εἰ γὰρ καὶ ἄνδρα οὐκ ἔχει συνοικοῦντα ἡ

1. Α' Τιμ. 5,9.
2. Α' Θεσ. 4,12.



ΟΜΙΛΙΑ

ΣΤΟ

«ΧΗΡΑ ΝΑ ΚΑΤΑΓΡΑΦΕΤΑΙ ΚΑΠΟΙΑ, ΑΝ ΕΧΕΙ ΣΥΜΠΛΗΡΩΣΕΙ ΤΑ ΕΞΗΝΤΑ ΤΗΣ ΧΡΟΝΙΑ»[1]

Ἐπίσης περὶ ἀνατροφῆς τῶν παιδιῶν καὶ περὶ ἐλεημοσύνης

1. Στὸν κατάλληλο καιρὸ ἡ χάρη τοῦ Πνεύματος οἰκονόμησε νὰ διαβασθεῖ αὐτὴ ἡ περικοπὴ τῆς ἀποστολικῆς ἐπιστολῆς ποὺ ἀκούσατε σήμερα. Γιατὶ ἔχει κάποια συγγένεια καὶ μεγάλη σχέση μὲ τὰ ὅσα λέχθηκαν προηγουμένως, ἂν καὶ ὄχι στὰ λόγια, ἀλλὰ στὰ νοήματα. Ἐκεῖνο δηλαδὴ ποὺ διαβάσθηκε τὴν προηγούμενη φορὰ ἦταν αὐτό· «θέλω νὰ ξέρετε, ἀδελφοί, γι' αὐτοὺς ποὺ πέθαναν»[2]. Καὶ τότε λέχθηκαν πολλὰ γιὰ τὴν ἀνάσταση, τὸ νὰ ὑποφέρουμε γενναῖα αὐτὰ τὰ πάθη καὶ νὰ εὐχαριστοῦμε τὸ Θεὸ ποὺ παίρνει τοὺς συγγενεῖς μας. Σήμερα αὐτὸ ποὺ διαβάσθηκε εἶναι τὸ ἑξῆς· «χήρα νὰ καταγράφεται κάποια, ἂν ἔχει συμπληρώσει τὸ ἑξηκοστὸ ἔτος τῆς ἡλικίας της». Ἐπειδὴ λοιπὸν ἀπὸ τὸ θάνατο προέρχεται ἡ χηρεία καὶ αὐτὸ εἶναι κυρίως ποὺ αὐξάνει τὸν πόνο καὶ διεγείρει τὸ πένθος, ἀφοῦ θυμηθεῖτε ἐκεῖνα ποὺ λέχθηκαν στὴν προηγούμενη ὁμιλία, ποὺ τὰ εἶπα γιὰ νὰ παρηγορήσω ὅσους πενθοῦν, καὶ ἀφοῦ δεχθεῖτε καὶ αὐτὰ μὲ κάθε προθυμία, νὰ τὰ τοποθετήσετε στὸ θησαυροφυλάκιο τῆς ψυχῆς σας μαζὶ μ' ἐκεῖνα.

Τὸ ὄνομα λοιπὸν τῆς χηρείας φαίνεται πὼς εἶναι ὄνομα συμφορᾶς, στὴν πραγματικότητα ὅμως δὲν εἶναι, ἀλλὰ εἶναι ἀξίωμα καὶ τιμὴ καὶ πολὺ μεγάλη δόξα· δὲν εἶναι ντροπή, ἀλλὰ

χήρα, ἀλλὰ τὸν Χριστὸν ἔχει συνοικοῦντα, τὸν πάντα ἀποκρουόμενον τὰ ἐπιόντα δεινά. Ἀρκεῖ γὰρ ἐν ταῖς ἐπιιούσαις ἐπηρείαις τῆς χήρας, εἰσελθεῖν καὶ γόνυ κλῖναι καὶ στενάξαι πικρὸν καὶ δάκρυα προχεῖν καὶ πᾶσαν ἀποκρούσασθαι τῶν ἐπηρεαζόντων τὴν ἐπιβουλήν· τὰ γὰρ ὅπλα τῆς χήρας τοιαῦτα, δάκρυα, καὶ στεναγμοί, καὶ εὐχαὶ διηνεκεῖς· διὰ τούτων οὐκ ἀνθρωπίνην ἐπήρειαν μόνον, ἀλλὰ καὶ δαιμονικὰς ἐφόδους ἀποκρούσασθαι δύναται. Ἡ χήρα τῶν μὲν βιωτικῶν ἀπήλλακται πραγμάτων, πρὸς δὲ τὸν οὐρανὸν ὁδεύει λοιπὸν καὶ ἣν περὶ τὸν ἄνδρα ἐπεδείκνυτο σπουδὴν καὶ θεραπείαν, ταύτην εἰς τὰ πνευματικὰ πράγμτα ἀναλῶσαι δυνήσεται. Εἰ δὲ λέγοις, ὅτι 'τὸ παλαιὸν συμφορὰ ἦν τὸ πρᾶγμα', ἐκεῖνο ἂν εἴποιμι, ὅτι καὶ ὁ θάνατος κατάρα ἦν, ἀλλὰ γέγονε τιμὴ καὶ ἀξίωμα τοῖς γενναίως αὐτὸν φέρουσιν ἐπιόντα. Οὕτω γοῦν οἱ μάρτυρες στεφανοῦνται· τὸν αὐτὸν τρόπον καὶ ἡ χήρα πρὸς ἀξίωμα μέτεισι μέγα.

2. *Βούλει μαθεῖν ὅσον ἐστὶ χήρα; πῶς ἐστι τιμία τῷ Θεῷ καὶ ἐπέραστος καὶ συνήγορος μεγίστη; καὶ τοὺς καταδικασθέντας καὶ τοὺς ἀπεγνωσμένους καὶ τοὺς παρρησίαν οὐκ ἔχοντας καὶ τοὺς ἐκπεπολεμωμένους τῷ Θεῷ καὶ πάσης ἐστερημένους ἀπολογίας φανεῖσα ἐξαρπάζει καὶ καταλλάττει καὶ οὐχὶ συγγνώμης αὐτοῖς κομίζει μόνον, οὐδὲ ἀπαλλαγὴν τιμωρίας, ἀλλὰ καὶ πολλὴν τὴν παρρησίαν καὶ τὴν λαμπρότητα, καὶ τῶν ἡλιακῶν ἀκτίνων καθαρωτέρους ἐργάζεται, κἂν ἁπάντων ὦσι κατερρυπωμένοι μᾶλλον ἀνθρώπων; Ἄκουσον αὐτοῦ τοῦ Θεοῦ λέγοντος πρὸς Ἰουδαίους· «ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις». Ἀλλ' ὅμως τούτοις μιαροῖς τοῖς ἀνδροφόνοις, τοῖς ἀπαρρησιάστοις, τοῖς ἠτιμωμένοις ἐπαγγέλλεται καταλλάττεσθαι, εἰ βοηθήσειαν ἀδικουμέναις χήραις. Μετὰ γὰρ τὸ εἰπεῖν,*

---

3. Ἠσ. 1,15.

ἔπαινος. Γιατὶ ἂν καὶ ἡ χήρα δὲν ἔχει ἄνδρα νὰ ζεῖ μαζί της, ἔχει ὅμως τὸ Χριστὸ ποὺ ζεῖ μαζί της καὶ ἀποκρούει ὅλα τὰ ἐπερχόμενα κακά. Γιατὶ ἀρκεῖ σὲ ὅλες τὶς ἐπερχόμενες θλίψεις νὰ μπεῖ στὸ ναὸ ἡ χήρα, νὰ γονατίσει, νὰ στενάξει πικρὰ καὶ νὰ χύσει δάκρυα, καὶ νὰ ἀποκρούσει ἔτσι κάθε ἐπιβουλὴ ἐκείνων ποὺ θέλουν νὰ τὴ βλάψουν· γιατὶ τέτοια εἶναι τὰ ὅπλα τῆς χήρας, δάκρυα, στεναγμοὶ καὶ ἀδιάκοπες προσευχές. Μ' αὐτὰ ὄχι μόνο τὴν ἀνθρώπινη ἀπειλή, ἀλλὰ καὶ τὶς ἐπιθέσεις τῶν δαιμόνων μπορεῖ ν' ἀποκρούσει. Ἡ χήρα εἶναι ἐλεύθερη ἀπὸ τὰ βιοτικὰ πράγματα καὶ βαδίζει πιὰ πρὸς τὸν οὐρανό· καὶ τὸ ἐνδιαφέρον καὶ τὴν περιποίηση ποὺ ἔδειχνε γιὰ τὸν ἄνδρα της θὰ μπορέσει νὰ τὴν ἐξαντλήσει στὰ πνευματικὰ πράγματα. Ἂν ὅμως λέγεις ὅτι τὸ πράγμα ἦταν συμφορὰ τὴν παλαιὰ ἐποχή, ἐκεῖνο θὰ μποροῦσα νὰ σοῦ πῶ, ὅτι καὶ ὁ θάνατος ἦταν κατάρα, ἀλλὰ ἔγινε τιμὴ καὶ ἀξίωμα σ' ἐκείνους ποὺ ὅταν ἔρχεται τὸν ὑποφέρουν γενναῖα. Ἔτσι λοιπὸν στεφανώνονται οἱ μάρτυρες. Μὲ τὸν ἴδιο τρόπο καὶ ἡ χήρα μεταβαίνει σὲ ἀξίωμα μεγάλο.

2. Θέλεις νὰ μάθεις πόσο μεγάλο πράγμα εἶναι ἡ χήρα; πῶς ἔχει μεγάλη ἀξία γιὰ τὸ Θεὸ καὶ εἶναι ἀξιαγάπητη καὶ πολὺ μεγάλη συνήγορος; καὶ ὅτι τοὺς καταδικασμένους καὶ τοὺς ἀπελπισμένους καὶ ἐκείνους ποὺ δὲν ἔχουν παρρησία καὶ ἐκείνους ποὺ ἔγιναν ἐχθροὶ τοῦ Θεοῦ καὶ στερήθηκαν κάθε ἀπολογία, ἐρχόμενη αὐτὴ τοὺς γλυτώνει καὶ τοὺς συμφιλιώνει, καὶ ὄχι μόνο τοὺς παρέχει συγγνώμη, οὔτε μόνο ἀπαλλαγὴ ἀπὸ τὴν τιμωρία, ἀλλὰ τοὺς δίνει καὶ πολλὴ παρρησία καὶ λαμπρότητα καὶ τοὺς κάνει πιὸ καθαροὺς ἀπὸ τὶς ἀκτίνες τοῦ ἥλιου, ἔστω καὶ ἂν εἶναι λερωμένοι περισσότερο ἀπ' ὅλους τοὺς ἀνθρώπους; Ἄκουσε τὸν ἴδιο τὸ Θεὸ ποὺ λέγει στοὺς Ἰουδαίους· «ὅταν ἁπλώνετε τὰ χέρια σας, θὰ στρέψω ἀλλοῦ τὰ μάτια μου ἀπὸ σᾶς, καὶ ἂν πληθύνετε τὶς δεήσεις σας, δὲ θὰ σᾶς ἀκούσω, γιατὶ τὰ χέρια σας εἶναι γεμάτα ἀπὸ αἷμα»[3]. Ἀλλ' ὅμως μ' αὐτοὺς τοὺς μιαροὺς ἀνθρωποκτόνους, τοὺς στερημένους παρρησίας, τοὺς ἀτιμασμένους, ὑπόσχεται νὰ συμφιλιωθεῖ, ἂν βοηθήσουν τὶς ἀδικούμενες χῆρες. Γιατί, ἀφοῦ εἶπε, «θὰ στρέψω ἀλλοῦ τὰ

«ἀποστρέψω τοὺς ὀφθαλμούς μου καὶ οὐκ εἰσακούσομαι», φησί· «κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήραν· καὶ δεῦτε καὶ διαλεχθῶμεν· καὶ ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ».

Εἶδες πόσην ἔχει δύναμιν ἡ χήρα; ποῦ τὴν προστασίαν ἐπιδείκνυται τὴν ἑαυτῆς, οὐ παρὰ ἄρχοντι καὶ βασιλεῖ τῶν ἐπι τῆς γῆς, ἀλλὰ παρ' αὐτῷ τῷ τῶν οὐρανῶν βασιλεῖ; πόσην δύναται καταλῦσαι ὀργήν, καταλλάξαι τὸν Δεσπότην τοῖς ἀνίατα νενοσηκόσιν, ἐξαρπάσαι τιμωρίας ἀφορήτου ψυχὴν βαφεῖσαν τῷ τῶν ἁμαρτημάτων ῥύπῳ, τῆς κηλῖδος ἐκπλῦναι ἐκείνης καὶ πρὸς τὴν ἄκραν ἀγαγεῖν καθαρότητα; Μὴ τοίνυν καταφρονῶμεν χήρας γυναικός, ἀλλὰ πᾶσαν περὶ αὐτὴν ἐπιμέλειαν ἐπιδείξωμεν. Προστάτις ἡμῶν ἐστιν ἡ ὄντως χήρα. Ἄξιον δὲ ἐπιστάντας ἰδεῖν περὶ ποίας ἐνταῦθα χήρας φησί. Καὶ γὰρ καὶ ἐκεῖναι χῆραι λέγονται, αἱ εἰς εὐτέλειαν ἐσχάτην καταπεσοῦσαι καὶ ἐγγεγραμμέναι καὶ ἐκ τῶν ἐκκλησιαστικῶν τρεφόμεναι χρημάτων, καθάπερ οὖν ἐπὶ τῶν ἀποστόλων. «Ἐγένετο», γάρ, φησί, «γογγυσμὸς μεταξὺ τῶν Ἑλληνιστῶν, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν». Οὐχ αὗται δὲ μόνον χῆραι λέγονται, ἀλλὰ κἀκεῖναι αἱ μηδενὸς μὲν δεόμεναι, ἀλλ' εὐπορίας ἀπολαύουσαι καὶ οἰκίας προεστῶσαι, τὸν δὲ ἄνδρα ἀποβαλοῦσαι μόνον.

Ἴδωμεν οὖν περὶ ποίας χήρας ἐνταῦθά φησι λέγων, «χήρα καταλεγέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα»· ἆρα περὶ τῆς δεομένης βοηθείας καὶ χρείαν ἐχούσης ἐξ ἐκκλησιαστικῶν τρέφεσθαι χρημάτων, ἢ περι τῆς ἀνενδεοῦς καὶ ἐν εὐπορίᾳ ζώσης; Εὔδηλον ὅτι περὶ ταύτης. Περὶ μὲν γὰρ ἐκείνης ὅταν λέγῃ, τῆς λιμῷ διαφθειρομένης, οὐ χρόνον τίθησιν, οὐκ ἀκρίβειαν ἀπαιτεῖ τρόπων, ἀλλ' ἁπλῶς, «εἴ τις πιστὸς ἢ πιστή», φησί, «χήρας ἔχει, ἐπαρκείτω αὐταῖς καὶ μὴ βαρείσθω ἡ Ἐκκλησία». Οὐκ εἶπεν, 'ὅταν ἑξήκοντα ἐτῶν γένηται'· οὐκ εἶπεν, 'εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψε'· καὶ μάλα εἰκότως.

---

4. Ἠσ. 1,17–18. 5. Πράξ. 6,1. 6. Α' Τιμ. 5,16.

μάτια μου καὶ δὲ θὰ σᾶς ἀκούσω», λέγει· «ἀποδῶστε δίκαιο στὸ ὀρφανὸ καὶ δικαιῶστε τὴ χήρα, καὶ ἐλᾶτε νὰ συζητήσουμε. Καὶ ἂν οἱ ἁμαρτίες σας εἶναι κόκκινες, ἐγὼ θὰ τὶς κάνω λευκὲς σὰν τὸ χιόνι»[4].

Εἶδες πόση δύναμη ἔχει ἡ χήρα; ποῦ φανερώνει τὴν προστασία της, ὄχι στὸν ἄρχοντα καὶ βασιλιὰ τῆς γῆς, ἀλλὰ στὸν ἴδιο τὸ βασιλιὰ τῶν οὐρανῶν; πόση ὀργὴ μπορεῖ νὰ ἀφανίσει, νὰ συμφιλιώσει τὸν Κύριο μ' αὐτοὺς ποὺ εἶναι ἀθεράπευτα ἄρρωστοι, νὰ σώσει ἀπὸ ἀβάστακτη τιμωρία μιὰ ψυχὴ ποὺ βάφτηκε μὲ τὸ ρύπο τῆς ἁμαρτίας, ξεπλένοντάς την ἀπὸ τὴν κηλίδα αὐτὴ καὶ παρέχοντάς της τέλεια καθαρότητα; Ἂς μὴν περιφρονοῦμε λοιπὸν χήρα γυναίκα, ἀλλὰ ἂς δείξουμε γι' αὐτὴν κάθε φροντίδα. Ἡ πραγματικὴ χήρα εἶναι προστάτιδά μας. Καὶ ἀξίζει νὰ προσέξουμε καὶ νὰ δοῦμε γιὰ ποιά χήρα μιλάει ἐδῶ. Γιατὶ βέβαια καὶ ἐκεῖνες λέγονται χῆρες, ποὺ ἔπεσαν στὴ χειρότερη φτώχεια καὶ εἶναι γραμμένες στοὺς καταλόγους καὶ τρέφονται ἀπὸ τὰ χρήματα τῆς ἐκκλησίας, ὅπως ἀκριβῶς συνέβαινε κατὰ ἐποχὴ τῶν ἀποστόλων. Γιατὶ λέγει, «ἄρχισε ἕνας γογγυσμὸς ἀνάμεσα στοὺς ἑλληνόφωνους ὅτι παραβλέπονται οἱ χῆρες τους στὴν καθημερινὴ διανομὴ τροφίμων»[5]. Καὶ δὲ λέγονται αὐτὲς μόνο χῆρες, ἀλλὰ καὶ ἐκεῖνες ποὺ δὲν ἔχουν βέβαια ἀνάγκη ἀπὸ τίποτε, ἀλλ' εἶναι πλούσιες καὶ προστατεύουν σπίτι, ἔχασαν ὅμως μόνο τὸν ἄνδρα τους.

Ἂς δοῦμε λοιπὸν γιὰ ποιά χήρα μιλάει ἐδῶ λέγοντας, «χήρα νὰ καταγράφεται κάποια, ἂν ἔχει συμπληρώσει τὸ ἑξηκοστὸ ἔτος τῆς ἡλικίας της». Μήπως γιὰ ἐκείνη ποὺ χρειάζεται βοήθεια καὶ ἔχει ἀνάγκη νὰ τρέφεται ἀπὸ τὰ χρήματα τῆς ἐκκλησίας ἢ γι' αὐτὴν ποὺ δὲν ἔχει ἀνάγκη καὶ ζεῖ πλούσια; Εἶναι ὁλοφάνερο πὼς μιλάει γι' αὐτή. Γιατὶ ὅταν μιλάει γιὰ ἐκείνη, ποὺ πεθαίνει ἀπὸ πείνα, δὲν ἀναφέρει χρόνο οὔτε ἀπαιτεῖ αὐστηρότητα συμπεριφορᾶς, ἀλλὰ ἁπλῶς λέγει· «ὅποιος πιστὸς ἢ πιστὴ ἔχει χῆρες, νὰ φροντίζει γι' αὐτὲς καὶ νὰ μὴν ἐπιβαρύνεται ἡ ἐκκλησία»[6]. Δὲν εἶπε ὅταν γίνει ἑξήντα ἐτῶν· δὲν εἶπε ἂν φιλοξένησε, ἂν ἔπλυνε πόδια ἁγίων· καὶ πολὺ σωστά. Γιατὶ ὅπου

Ἔνθα μὲν γὰρ ἂν πενίαν διορθῶσαι δέοι, οὐκ ἀναμένει χρόνον. Τί γὰρ εἰ πεντήκοντα ἐτῶν οὖσα λιμῷ διαφθείροιτο; τί δὲ ἐὰν ἐν νεότητι τὸ σῶμα ἀνάπηρος οὖσα τύχοι; καθευδεῖται ἀναμένουσα τὸ ἑξηκοστὸν ἔτος; Ἀλλ' ἀπανθρωπίας τοῦτο ἐσχάτης. Διὰ τοῦτο, ὅταν μὲν λιμὸν παραμυθήσασθαι δέοι, οὐδὲν περὶ χρόνων καὶ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀκριβολογεῖται, ὅταν δὲ μὴ ᾖ διορθώσασθαι πενίαν, ἀλλὰ τιμὴν κατ' ἀξίαν χαρίσασθαι, εἰκότως τοσαύτην ποιεῖται τρόπων ἐξέτασιν.

3. Καθάπερ γάρ εἰσι παρθένων χοροί, οὕτω καὶ χηρῶν τὸ παλαιὸν ἦσαν χοροί, καὶ οὐκ ἐξῆν αὐταῖς ἁπλῶς εἰς τὰς χήρας ἐγγράφεσθαι. Οὐ περὶ ἐκείνης οὖν λέγει τῆς ἐν πενίᾳ ζώσης καὶ δεομένης βοηθείας, ἀλλὰ περὶ ταύτης τῆς ἑλομένης χηρείαν. Τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τεύτης ἀπαιτεῖ χρόνον; Οἶδεν ὅτι πυρα τίς ἐστιν ἡ νεότης καὶ πέλαγος κυμάτων γέμον καὶ πολλὰς ἔχον ἐπαναστάσεις. Ἐπειδὰν οὖν μέλλωσιν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχειν καὶ ὥσπερ ἐν λιμένι διατρίβωσι τῷ γήρᾳ, τῶν ἐπιθυμιῶν αὐταῖς σβεσθεισῶν, μετὰ ἀδείας αὐτὰς εἰς τὸν χορὸν εἰσάγει τοῦτον. Τί οὖν; οὐχὶ πολλαί, φησί, καὶ μετὰ εἰκοστὸν ἔτος ἀρξάμενοι μέχρι τέλους διέλαμψαν, καὶ τὸν ζυγὸν ἤνεγκαν, καὶ ἀποστολικὸν ἐπεδείξαντο βίον; κωλύσομεν οὖν ἐκείνας, εἰπέ μοι, καὶ βουλομένας ἐν χηρείᾳ ζῆν ἀναγκάσομεν δευτέροις ὁμιλῆσαι γάμοις; καὶ ποῦ τοῦτο ἄξιον ἀποστολικῆς γνώμης; Τί οὖν ἐστι τὸ λεγόμενον;

Προσέχετε μετὰ ἀκριβείας, ἀγαπητοί, αὐτῇ τῇ σημασίᾳ τῆς λέξεως. Οὐ γὰρ εἶπε, 'χήρα γινέσθω μὴ ἐλάττων ἐτῶν ἑξήκοντα γεγονυῖα', ἀλλά, «χήρα καταλεγέσθω»· καὶ πάλιν οὐκ εἶπε, 'χῆραι νεώτεραι μὴ καταλεγέσθωσαν', ἀλλά, «τὰς νεωτέρας δὲ χήρας παραιτοῦ»· πρὸς γὰρ τὸν Τιμόθεον ταῦτα διαλέγεται. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων εὐχείρωτοι περὶ κατηγορίας εἰσὶ καὶ τὰς γλώττας κατὰ τῶν τῆς Ἐκκλησίας προεστώτων

7. Α' Τιμ. 5,11.

εἶναι ἀνάγκη νὰ διορθώσει τὴ φτώχεια, δὲν περιμένει τὸ χρόνο. Καὶ τί σημασία ἔχει ἂν εἶναι πενήντα ἐτῶν καὶ πεθαίνει ἀπὸ τὴν πείνα; καὶ τί ἂν τύχει στὴν νεανική της ἡλικία νὰ εἶναι ἀνάπηρη στὸ σῶμα; θὰ κάθεται καὶ θὰ περιμένει τὸ ἑξηκοστὸ ἔτος; Ἀλλ' αὐτὸ εἶναι δεῖγμα τῆς χειρότερης ἀπανθρωπιᾶς. Γι' αὐτό, ὅταν χρειάζεται νὰ ἀνακουφίσει τὴν πείνα, δὲν ἀκριβολογεῖ γιὰ τὰ χρόνια καὶ τὴν ἀρετὴ τῆς ψυχῆς, ὅταν ὅμως δὲν εἶναι νὰ διορθωθεῖ ἡ φτώχεια, ἀλλὰ νὰ δοθεῖ ἡ τιμὴ ποὺ τῆς ἀξίζει, εὔλογα κάνει τόση μεγάλη ἐξέταση τῆς διαγωγῆς της.

3. Ὅπως ὑπάρχουν ὁμάδες παρθένων, ἔτσι ὑπῆρχαν τὴν παλαιὰ ἐποχὴ καὶ ὁμάδες χηρῶν, καὶ δὲν ἐπιτρεπόταν σ' αὐτὲς ἁπλῶς νὰ καταγράφονται στοὺς καταλόγους τῶν χηρῶν. Δὲ λέγει λοιπὸν γιὰ ἐκείνη ποὺ ζεῖ στὴ φτώχεια καὶ χρειάζεται βοήθεια, ἀλλὰ γιὰ ἐκείνη ποὺ προτίμησε τὴ χηρεία. Γιὰ ποιόν ὅμως λόγο καὶ σ' αὐτὴ ἀπαιτεῖ χρόνο; Γνωρίζει ὅτι ἡ νεότητα εἶναι μία φωτιὰ καὶ ἕνα πέλαγος γεμάτο ἀπὸ κύματα καὶ πολλὲς ἀναστατώσεις. Ὅταν λοιπὸν συμβαίνει ἀπὸ τὴν ἡλικία νὰ ἔχουν ἀτέλεια καὶ σὰν σὲ λιμάνι περνοῦν τὸν καιρό τους στὰ γηρατειά, ἀφοῦ οἱ ἐπιθυμίες τους σβήστηκαν, τὶς εἰσάγει ἄφοβα στὴν ὁμάδα αὐτή. Τί λοιπόν; δὲν εἶναι πολλές, λέγει, ἐκεῖνες ποὺ ἄρχισαν μετὰ τὸ εἰκοστὸ ἔτος ποὺ καὶ διέλαμψαν μέχρι τέλος καὶ ὑπέφεραν τὸ ζυγὸ καὶ παρουσίασαν ἀποστολικὸ βίο; θὰ τὶς ἐμποδίσουμε λοιπὸν ἐκεῖνες, πές μου, καί, ἐνῶ θέλουν νὰ ζοῦν σὲ χηρεία, θὰ τὶς ἀναγκάσουμε νὰ συνάψουν δεύτερο γάμο; καὶ πῶς αὐτὸ εἶναι σύμφωνο μὲ τὴν ἀποστολικὴ σκέψη; Τί λοιπὸν σημαινει τὸ λεγόμενο;

Προσέχετε πάρα πολύ, ἀγαπητοί, στὴ ἴδια τὴ σημασία τῆς λέξης. Γιατὶ δὲν εἶπε, 'χήρα νὰ μὴ γίνεται κάποια, ἂν δὲν ἔχει συμπληρώσει τὸ ἑξηκοστὸ ἔτος τῆς ἡλικίας της', ἀλλά, «χήρα νὰ καταγράφεται». Καὶ πάλι δὲν εἶπε, 'χῆρες νεότερες νὰ μὴ καταγράφονται', ἀλλά, «τὶς νεότερες χῆρες νὰ ἀποφεύγεις νὰ τὶς γράφεις στὸν κατάλογο τῶν χηρῶν»[7]· γιατὶ αὐτὰ λέγει πρὸς τὸν Τιμόθεο. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἄνθρωποι εἶναι εὔκολοι στὶς συκοφαντίες καὶ ἀκόνισαν τὴ γλώσσα τους ἐναντίον τῶν

ἠκονήκασι, βουλόμενος ἐξαρπάσαι τὸν ἄρχοντα τῶν ἐγκλημάτων, τούτους τίθησι τοὺς νόμους καί φησι· 'σὺ παραιτοῦ, καὶ σὺ μὴ κατάλεγε. Ἂν αὐτὴ βούληται οἴκοθεν καὶ παρ' ἑαυτῆς αἱρεῖσθαι ταῦτα, ποιείτω· σὺ μέντοι μὴ καταδέξῃ μηδέπω, ἵνα μὴ λέγωσιν ὅτι νεωτέραν οὖσαν, γήμασθαι βουλομένην, οἰκίας προστῆναι, ὁ δεῖνα κατηνάγκασε· διὰ τοῦτο ἔπεσε καὶ ὑπεσκελίσθη. Σὺ μὴ καταλέξῃς αὐτήν, ἵνα, κἂν πέσῃ, τῶν ἐγκλημάτων ᾖς ἀπηλλαγμένος· κἂν μὴ πέσῃ, μετὰ πλείονος ἀσφαλείας τῷ προσήκοντι καιρῷ καταλέξῃς'.

Εἰ δὲ λέγει, «βούλομαι νεωτέρας χήρας γαμεῖν, τεκνογονεῖν», ἄκουσον ποίας φησὶ νεωτέρας, τὰς μετὰ τὸ καταστρηνιᾶσαι τοῦ Χριστοῦ βουλομένας γαμεῖν, τὰς φλυάρους, τὰς περιέργους, τὰς περιερχομένας τὰς οἰκίας, τὰς λαλούσας τὰ μὴ δέοντα, τὰς ἐκτραπείσας ὀπίσω τοῦ σατανᾶ. Οὐ γὰρ εἰπὼν ἁπλῶς, «βούλομαι νεωτέρας γαμεῖν», ἐσίγησεν, ἀλλὰ λέγει καὶ ποίας νεωτέρας, καὶ τὰ πτώματα αὐτῶν ἔπεισι. Ποῖα πτώματα; «Ὅταν κταστρηνιάσωσι», φησί, «τοῦ Χριστοῦ, γαμεῖσθαι θέλουσι καὶ ἀργαὶ μανθάνουσι καὶ περίεργοι, περιερχόμεναι τὰς οἰκίας, λαλοῦσαι τὰ μὴ δέοντα, καὶ ἐξετράπησαν. Τίνος ὀπίσω; «Τοῦ σατανᾶ». Ἐπεὶ οὖν μετὰ τὸ χηρείαν ἑλέσθαι καὶ ταύτην πᾶσαν ὑπομεῖναι τὴν ἀσχημοσύνην, βούλονται γαμῆσαι πάλιν, βέλτιον πρὶν ἔχεσθαι καὶ τὰς πρὸς τὸν Χριστὸν καταπατῆσαι συνθήκας, ἐπὶ τοῦτο ἐλθεῖν· ὡς εἰ μή τις εἴη τοιαύτη, οὐκ ἐπιτίθησιν ἀνάγκην γάμου δευτέρου.

4. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, δῆλον ἐκεῖθεν. Εἰ γὰρ ὡς νόμον τοῦτο τέθεικε πάσαις ταῖς γυναιξὶ τὸ γαμεῖν καὶ οἰκοδεσποτεῖν, περιττῶς ἐκεῖνα ἀπῄτει, «εἰ ἐτεκνοτρόφησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἐπηκολού-

8. Α' Τιμ. 5,14.
9. Α' Τιμ. 5,11.13.15.

προϊσταμένων τῆς ἐκκλησίας, θέλοντας νὰ προφυλάξει τὸν ἄρχοντα ἀπὸ τὶς κατηγορίες, θέτει αὐτοὺς τοὺς νόμους καὶ λέγει· ἐσὺ νὰ τὸ ἀποφεύγεις, ἐσὺ νὰ μὴν τὴ γράφεις στὸν κατάλογο τῶν χηρῶν. Ἂν αὐτὴ θέλει μόνη της νὰ τὰ προτιμήσει αὐτά, ἂς τὸ κάνει· ἐσὺ ὅμως νὰ μὴ δεχθεῖς ποτέ, γιὰ νὰ μὴ λέγουν ὅτι ἐνῶ ἦταν νέα καὶ ἤθελε νὰ παντρευθεῖ καὶ νὰ φροντίζει γιὰ τὸ σπίτι της ὁ τάδε τὴν ἀνάγκασε· γι' αὐτὸ ἔπεσε καὶ νικήθηκε. Ἐσὺ νὰ μὴ γράψεις αὐτὴν στὸν κατάλογο, ὥστε, καὶ ἂν πέσει, νὰ εἶσαι ἀπαλλαγμένος ἀπὸ τὶς κατηγορίες, καὶ ἂν δὲν πέσει, νὰ τὴ καταγράψεις μὲ περισσότερη ἀσφάλεια τὸν κατάλληλο καιρό.

Ἂν ὅμως λέγει, «θέλω οἱ νεότερες χῆρες νὰ παντρεύονται, νὰ γεννοῦν παιδιά»[8], ἄκουσε ποιές λέγει νεότερες, ἐκεῖνες ποὺ οἱ ἐπιθυμίες τους τὶς ἀπέσπασαν ἀπὸ τὸ Χριστὸ καὶ θέλουν νὰ παντρευθοῦν, τὶς φλύαρες, τὶς περίεργες, ἐκεῖνες ποὺ γυρίζουν ἀπὸ σπίτι σὲ σπίτι, ποὺ μιλοῦν γιὰ ὅσα δὲν πρέπει, ποὺ ξεστράτισαν καὶ ἀκολουθοῦν τὸ σατανά. Γιατὶ δὲν εἶπε μόνο, «θέλω ὁ νεότερες νὰ παντρεύονται» καὶ σιώπησε, ἀλλὰ λέγει καὶ ποιές ἐννοεῖ νεότερες καὶ ἀπαριθμεῖ τὰ παραπτώματά τους. Ποιά παραπτώματα; «Ὅταν οἱ ἐπιθυμίες τους», λέγει, «τὶς ἀποσπάσουν ἀπὸ τὸ Χριστό, θέλουν νὰ παντρευτοῦν, μαθαίνουν νὰ εἶναι ἀργές, εἶναι περίεργες, γυρίζουν ἀπὸ σπίτι σὲ σπίτι, μιλοῦν γιὰ ὅσα δὲν πρέπει καὶ ξεστράτησαν»[9]. Καὶ ποιόν ἀκολουθοῦν; «Τὸ σατανά». Ἀφοῦ λοιπὸν διάλεξαν πρῶτα τὴ χηρεία καὶ ὑπέμεναν ὅλη αὐτὴ τὴν ἀσχημοσύνη καὶ ὕστερα θέλουν νὰ παντρευθοῦν πάλι, εἶναι καλύτερο, πρὶν πέσουν καὶ καταπατήσουν τὴ συμφωνία τους μὲ τὸ Χριστό, νὰ παντρευτοῦν ξανά. Γιατὶ ἂν δὲν ἦταν κάποια τέτοια, δὲ θὰ πρόσθετε τὴν ἀνάγκη τοῦ δεύτερου γάμου.

4. Καὶ ὅτι αὐτὸ εἶναι ἀλήθεια φαίνεται ἀπὸ τὸ ἑξῆς. Γιατὶ ἂν εἶχε ὁρίσει σὰν νόμο γιὰ ὅλες τὶς γυναῖκες αὐτό, τὸ νὰ παντρεύονται καὶ νὰ φροντίζουν γιὰ τὸ σπίτι, ἄσκοπα ζητοῦσε ἐκεῖνα, «ἂν ἀνέθρεψε παιδιά, ἂν ἔπλυνε πόδια ἁγίων, ἂν βοήθησε ἐκείνους ποὺ ἀντιμετώπισαν δυσκολίες, ἂν φρόντισε γιὰ κάθε καλὸ

θησε»· περιττῶς κἀκεῖνό φησι τό, «ἑνὸς ἀνδρὸς γεγονυῖα». Εἰ γὰρ πάσας τὰς νεωτέρας κελεύεις γαμεῖσθαι, πῶς δυνήσεταί τις ἑνὸς ἀνδρὸς εἶναι γυνή; Ὥστε πρὸς ἐκείνας ὁ λόγος αὐτῷ. Οὕτω καὶ ἐπὶ τῆς συνουσίας τῆς κατὰ τὸν γάμον ποιεῖ. Εἰπὼν γάρ, «μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε», ἵνα μὴ νομίζῃς τὸ πρᾶγμα νόμον εἶναι, προστίθησι τὴν αἰτίαν ὕστερον λέγων· «ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς. Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐκ ἐπιταγήν, διὰ τὴν ἀκρασίαν ὑμῶν».

Ὥσπερ οὖν οὐ πᾶσιν ἐκεῖ ταῦτα διαλέγεται, ἀλλὰ τοῖς ἀκρατεστέροις τῶν ἀνθρώπων καὶ εὐαλώτοις, οὕτω καὶ ἐνταῦθα ταῖς εὐχειρώτοις τῶν γυναικῶν καὶ μὴ δυναμέναις ἐνεγκεῖν τὸν μετὰ ἀκριβείας βίον τῆς χηρείας, ταύταις παραινεῖ καὶ συμβουλεύει δεύτερον ἐπεισάγειν νυμφίον. Ἡ γὰρ χηρεία διπλοῦν τι πρᾶγμά ἐστι. Τί ποτέ ἐστι διπλοῦν; Ἔργων ἐπίδειξις ἀγαθῶν, καὶ τιμῆς ὑπεροχὴ μεγίστης. Καθάπερ οὖν καὶ ἡ ἀρχὴ διπλοῦν τι πρᾶγμά ἐστιν· ἔχει γὰρ καὶ ἔργα καὶ ἀξίωμα· ἀξίωμα μὲν ἀρχῆς ἡ ἐξουσία καὶ ἡ παρὰ τῶν πολλῶν θεραπεία καὶ αὐτὸ τὸ εἶναι ἄρχοντα, ἔργα δὲ ἀρχῆς τὸ βοηθεῖν τοῖς ἀδικουμένοις, κωλύειν τοὺς ἀδικοῦντας, προεστάναι τῶν πόλεων, διανυκτερεύειν ἐν ταῖς κοιναῖς τῶν πραγμάτων φροντίσι, καὶ μυρία ἕτερα· οὕτω καὶ ἡ χηρεία καὶ ἀξίωμά ἐστι καὶ ἔργον· ἀξίωμά ἐστιν αὐτὸ τὸ χήρα εἶναι, μέγιστον ὄν, ὡς ἀπεδείξαμεν ἔμπροσθεν· ἔργον ἐστί, τὸ μὴ δεύτερον ἐπεισάγειν ἄνδρα, ἀλλ' ἀρκεσθῆναι τῷ προτέρῳ, τὸ τεκνοτροφῆσαι, τὸ ξενοδοχῆσαι, τὸ ἁγίων πόδας νίψαι, τὸ θλιβομένοις ἐπαρκέσαι, τὸ παντὶ ἔργῳ ἀγαθῷ ἐπακολουθῆσαι.

Ὁ τοίνυν Παῦλος περὶ αὐτῶν διαλεγόμενος, τὰ μὲν ἔργα τῆς χήρας ἀφίησιν αὐτὴν πάντα ἐπιτελεῖν, εἰς δὲ τὸ ἀξίωμα τῆς χήρας καὶ τὸν χορὸν καὶ τὴν τάξιν οὐκ ἀφίησιν αὐτὴν εἰσελθεῖν,

10. Α' Τιμ. 5,10. 11. Α' Τιμ. 5,9. 12. Α' Κορ. 7,5–6.

ἔργο»[10]· ἄσκοπα λέγει καὶ ἐκεῖνο, τὸ «ἂν ὑπῆρξε γυναίκα ἑνὸς μόνο ἄνδρα»[11]. Γιατί, ἂν προστάζεις ὅλες τὶς νεότερες νὰ παντρεύονται, πῶς θὰ μπορέσει κάποια νὰ εἶναι γυναίκα ἑνὸς ἄνδρα; Ὥστε πρὸς ἐκεῖνες ἀπευθύνεται ὁ λόγος του. Τὸ ἴδιο κάνει καὶ στὴν περίπτωση τῆς συζυγικῆς συνουσίας. Γιατί, ἀφοῦ εἶπε, «μὴ στερεῖτε ὁ ἕνας τὸν ἄλλο, παρα μόνο προσωρινὰ ὕστερα ἀπὸ συμφωνία, γιὰ νὰ ἀφιερωθεῖτε στὴ νηστεία καὶ τὴν προσευχή, μετὰ ὅμως πάλι νὰ συνουσιάζετε», γιὰ νὰ μὴ νομίζεις πὼς τὸ πράγμα εἶναι νόμος, προσθέτει τὴν αἰτία τελευταῖα λέγοντας· «γιὰ νὰ μὴ σᾶς βάζει σὲ πειρασμὸ ὁ σατανάς. Καὶ αὐτὸ τὸ λέγω κατὰ συγκατάβαση, ὄχι σὰν ἐντολή, ἐξ αἰτίας τῆς ἀδυναμίας σας νὰ συγκρατηθεῖτε»[12].

Ὅπως λοιπὸν δὲν τὰ λέγει αὐτὰ γιὰ ὅλους ἐκεῖ, ἀλλὰ γιὰ τοὺς πιὸ ἀκρατεῖς καὶ εὐάλωτους, ἔτσι καὶ ἐδῶ τὶς γυναῖκες ποὺ εὔκολα νικιένται καὶ δὲν μποροῦν νὰ ὑπομείνουν μὲ αὐστηρότητα τὴ ζωὴ τῆς χηρείας, προτρέπει καὶ συμβουλεύει νὰ πάρουν δεύτερο ἄνδρα. Γιατὶ ἡ χηρεία εἶναι ἕνα διπλὸ πράγμα. Τὶ σημαίνει διπλό; Ἐπίδειξη καλῶν ἔργων καὶ ὑπερβολικὰ μεγάλη τιμή. Ὅπως ἀκριβῶς λοιπὸν καὶ ἡ ἐξουσία εἶναι ἕνα διπλὸ πράγμα, γιατὶ περιέχει καὶ ἔργα καὶ ἀξίωμα· καὶ ἀξίωμα τῆς ἐξουσίας εἶναι ἡ διακυβέρνηση, ἡ τιμὴ ἀπὸ τοὺς πολλοὺς καὶ τὸ νὰ εἶναι κανεὶς πραγματικὸς ἄρχοντας, ἐνῶ ἔργα τῆς ἐξουσίας εἶναι τὸ νὰ βοηθάει ὅσους ἀδικοῦνται, νὰ ἐμποδίζει ὅσους ἀδικοῦν, νὰ φροντίζει γιὰ τὶς πόλεις, νὰ ξαγρυπνάει μὲ τὶς φορντίδες τῶν κοινῶν πραγμάτων καὶ ἄπειρα ἄλλα. Ἔτσι καὶ ἡ χηρεία εἶναι καὶ ἀξίωμα καὶ ἔργο. Ἀξίωμα εἶναι τὸ νὰ εἶναι πραγματικὴ χήρα, πράγμα πάρα πολὺ μεγάλο, ὅπως ἀποδείξαμε πιὸ μπροστά, ἐνῶ ἔργο εἶναι τὸ νὰ μὴν πάρει δεύτερο ἄνδρα ἀλλὰ νὰ ἀρκεσθεῖ στὸν πρῶτο, νὰ ἀναθρέψει παιδιά, νὰ φιλοξενήσει, νὰ πλύνει πόδια ἁγίων, νὰ βοηθήσει ἐκείνους ποὺ ἀντιμετωπίζουν δυσκολίες, νὰ φροντίσει γιὰ κάθε καλὸ ἔργο.

Ὁ Παῦλος λοιπὸν μιλώντας γι' αὐτές, ἀφήνει βέβαια τὴ χήρα νὰ κάνει ὅλα τὰ ἔργα της, ἀλλὰ στὸ ἀξίωμα τῆς χήρας καὶ τὴν ὁμάδα καὶ τὴν τάξη δὲν τὴν ἀφήνει νὰ μπεῖ, ὥσπου νὰ συμ-

ἕως ἂν ἑξηκοστόν ἔτος παρέλθῃ, μονονουχὶ λέγων· 'ποιείτω μὲν τὰ τῆς χήρας ἔργα, τῆς δὲ τιμῆς ἀξιούσθω τότε, ὅταν πάντα ἐπιδειξαμένη καὶ τὴν ἀπὸ τοῦ χρόνου λοιπὸν ἀσφάλειαν ἔχῃ, καὶ τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν, καὶ τὴν ἔξωθεν μαρτυρίαν. Μηδεὶς γυναιξὶ μόνον τὸν λόγον τοῦτον ἐπιτήδειον εἶναι νομιζέτω. Καὶ γὰρ καὶ ἀνδράσιν ἐστὶ χρήσιμος, ἵνα καὶ αὐτοὶ στέργωσι τὰς ἑαυτῶν καὶ ἀπελθούσας, καὶ μὴ λεαίνας συγκατοικίζωσι τοῖς παιδίοις, μητρυιὰς ἐπεισάγοντες καὶ τὴν ἀσφάλειαν τὴν ἑαυτῶν ἅπασαν ἀνατρέποντες.

5. Ταῦτα δὲ λέγομεν οὐχὶ νομοθετοῦντες δεύτερον ἀποστρέφεσθαι γάμον, ἀλλὰ παραινοῦντες καὶ συμβουλεύοντες μετὰ σωφροσύνης ἀρκεῖσθαι τῷ προτέρῳ. Ἕτερόν ἐστιν παραινεῖν καὶ συμβουλεύειν, ἕτερον νομοθετεῖν. Ὁ μὲν γὰρ παραινῶν καὶ συμβουλεύων κύριον ἀφίησι τὸν ἀκούοντα τῆς τῶν συμβουλευομένων αἱρέσεως εἶναι, ὁ δὲ νομοθετῶν ταύτην παραιτεῖται τὴν ἐξουσίαν αὐτῶν. Ἀλλ' ἡ Ἐκλησία οὐ νομοθετεῖ ταῦτα, ἀλλὰ παραινεῖ μόνον· καὶ γὰρ καὶ δεύτερον ἐπέτρεψε γάμον ὁ Παῦλος, οὕτως εἰπών· «γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· μακαριωτέρα δέ ἐστιν, ἐὰν οὕτω μείνῃ». Ὥσπερ οὖν καλὸν μὲν ὁ γάμος, κρείσσων δὲ ἡ παρθενία, οὕτω καλὸν μὲν καὶ ὁ δεύτερος γάμος, κρείσσων δὲ αὐτοῦ ὁ πρῶτος καὶ μόνος.

Οὐ τοίνυν ἐκβάλλομεν δεύτερον γάμον οὐδὲ νομοθετοῦμεν ταῦτα, ἀλλὰ παραινοῦμεν, εἴ τις δύναιτο σωφρονεῖν, ἐπὶ τῷ προτέρῳ μένειν. Παραινοῦμεν δὲ καὶ συμβουλεύομεν καὶ δι' αὐτὴν τῆς οἰκίας τὴν ἀσφάλειαν· μάχης γὰρ πολλάκις καὶ πολέμων καθημερινῶν ὁ δεύτερος γάμος ἀρχὴ καὶ πρόφασις γέγονε. Πολλάκις γοῦν ἀνὴρ ἐπὶ τραπέζης καθήμενος, τῆς προτέρας γυναικὸς ἀναμνησθεὶς ἐπὶ τῆς δευτέρας, ἐδάκρυσεν ἠρέμα, ἡ δὲ

13. Α' Κορ. 7,39–40.

πληρώσει τὸ ἑξηκοστὸ ἔτος τῆς ἡλικίας της, καὶ εἶναι σὰν νὰ λέγει· 'ἂς κάνει τὰ ἔργα τῆς χήρας, ἀλλὰ γιὰ τὴν τιμὴ ἂς γίνει ἄξια τότε, ὅταν θὰ μπορέσει νὰ ἐπιδείξει ὅλα καὶ θὰ ἔχει πιὰ καὶ τὴν ἀσφάλεια ἀπὸ τὴν ἡλικία καὶ τὴν ἀπόδειξη ἀπὸ τὰ ἔργα καὶ τὴ μαρτυρία ἀπὸ τὸν κόσμο. Κανεὶς ἂς μὴ νομίζει πὼς ὁ λόγος αὐτὸς ἀφορᾶ μόνο τὶς γυναῖκες. Γιατὶ ἀσφαλῶς καὶ στοὺς ἄνδρες εἶναι χρήσιμος, ὥστε νὰ ἀρκοῦνται καὶ αὐτοὶ στὶς δικές τους καὶ ὅταν αὐτὲς πεθάνουν νὰ μὴ βάζουν λέαινες νὰ κατοικοῦν μαζὶ μὲ τὰ παιδιά τους, ὁδηγώντας μέσα στὰ σπίτια τους μητριὲς καὶ ἀνατρέποντας ὅλη τὴν ἀσφάλεια τους.

5. Καὶ αὐτὰ τὰ λέγω ὄχι νομοθετώντας νὰ ἀποστρέφεστε τὸ δεύτερο γάμο, ἀλλὰ προτρέποντας καὶ συμβουλεύοντας νὰ ἀρκεῖστε μὲ σωφροσύνη στὸν πρῶτο. Ἄλλο εἶναι νὰ προτρέπει κανεὶς καὶ νὰ συμβουλεύει, καὶ ἄλλο νὰ νομοθετεῖ. Γιατὶ ἐκεῖνος ποὺ προτρέπει καὶ συμβουλεύει ἀφήνει στὸν ἀκροατὴ τὸ δικαίωμα τῆς ἐπιλογῆς τῶν συμβουλῶν του, ἐνῶ ἐκεῖνος ποὺ νομοθετεῖ ἀρνεῖται αὐτὸ τὸ δικαίωμα. Ἡ ἐκκλησία ὅμως δὲν τὰ νομοθετεῖ αὐτά, ἀλλὰ μόνο τὰ προτρέπει. Γιατὶ καὶ τὸ δεύτερο γάμο ἐπέτρεψε ὁ Παῦλος, λέγοντας τὰ ἑξῆς· «μιὰ γυναίκα, σύμφωνα με τὸ νόμο, εἶναι δεμένη μὲ τὸν ἄνδρα της ὅσον καιρὸ αὐτὸς ζεῖ· ἂν ὅμως ὁ ἄνδρας πεθάνει, εἶναι ἐλεύθερη νὰ παντρευθεῖ ὅποιον θέλει, μόνο σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ· μακαριότερη ὅμως εἶναι ἂν μείνει ἔτσι»[13]. Ὅπως λοιπὸν ὁ γάμος εἶναι βέβαια καλὸ πράγμα, ἀλλὰ ἡ παρθενία εἶναι ἀνώτερη, ἔτσι καὶ ὁ δεύτερος γάμος εἶναι ἀσφαλῶς καλὸ πράγμα, ἀλλὰ ἀνώτερος ἀπὸ αὐτὸν εἶναι ὁ πρῶτος καὶ μοναδικὸς γάμος.

Δὲν ἀπορρίπτουμε λοιπὸν τὸν δεύτερο γάμο οὔτε νομοθετοῦμε αὐτά, ἀλλὰ προτρέπουμε, ἂν κάποιος μπορεῖ νὰ συγκρατηθεῖ, νὰ παραμένει στὸν πρῶτο. Προτρέπουμε ὅμως καὶ συμβουλεύουμε αὐτὰ καὶ γιὰ τὴν ἀσφάλεια τῆς ἴδιας τῆς οἰκογένειας· γιατὶ πολλὲς φορὲς ὁ δεύτερος γάμος γίνεται ἀρχὴ καὶ αἰτία διαμάχης καὶ καθημερινῶν συγκρούσεων. Πολλὲς φορὲς δηλαδὴ ὁ ἄνδρας καθισμένος στὸ τραπέζι καὶ μπροστὰ στὴ δεύτερη γυναίκα του θυμήθηκε τὴν πρώτη του γυναίκα καὶ δά-

εὐθέως ἠγρίανε καὶ καθάπερ θηρίον ἐπεπήδησε, τῆς φιλοστοργίας αὐτὸν τῆς πρὸς ἐκείνην ἀπαιτοῦσα δίκην· κἂν ἐπαινέσαι τὴν ἀπελθοῦσαν θελήσῃ, γίνεται πολέμου καὶ μάχης πρόφασις ἡ τῶν ἐγκωμίων ὑπόθεσις. Καὶ πρὸς μὲν τοὺς ἐχθροὺς ἀπελθόντας σπενδόμεθα καὶ μετὰ τῆς ζωῆς αὐτῶν καὶ τὴν πρὸς αὐτοὺς καταλύομεν ἔχθραν, ἐπὶ δὲ τῶν γυναικῶν τοὐναντίον ἅπαν. Ἣν γὰρ οὐκ εἶδεν, ἧς οὐκ ἤκουσε, παρ' ἧς οὐδὲν ἔπαθε δεινόν, ταύτην μισεῖ καὶ ἀποστρέφεται καὶ οὐδὲ ὁ θάνατος τὸ μῖσος σβέννυσι. Τίς εἶδε, τίς ἤκουσε ζηλοτυπουμένην κόνιν καὶ πολεμουμένην τέφραν;

6. Ἀλλ' οὐ μέχρι τούτου τὸ δεινόν· ἀλλὰ κἂν γένωνται παῖδες ἐκ τῆς δευτέρας κἂν μὴ γένωνται, πόλεμος πάλιν καὶ μάχη. Μὴ γενομένων μὲν γὰρ ὀδυνᾶται μειζόνως, καὶ διὰ τοῦτο, καθάπερ πολεμίους καὶ τὰ μέγιστα ἠδικηκότας τοὺς τῆς προτέρας ὁρᾷ, διὰ τῆς ἐκείνων ζωῆς τῆς οἰκείας ἀπαιδίας σαφεστέραν λαμβάνουσα αἴσθησιν. Ἂν δὲ γένωνται, πάλιν οὐκ ἔλαττον τὸ δεινόν. Ὁ μὲν γὰρ ἀνὴρ πολλάκις φιλοστόργως πρὸς τὴν ἀπελθοῦσαν διακείμενος ἀντέχεται τούτων, φιλῶν τε ὁμοῦ καὶ ἐλεῶν τῆς ὀρφανίας αὐτούς· ἐκείνη δὲ πανταχοῦ τοὺς αὐτῆς προτιμᾶσθαι βούλεται, καὶ οὐδὲ ἐν ἀδελφῶν τάξει, ἀλλ' ἐν οἰκετῶν ἀπερριμμένων εἶναι βούλεται τούτους, ἅπερ ἅπαντα οἰκίαν ἀνατρέψαι δύναιτ' ἂν καὶ τῷ γεγαμηκότι ποιῆσαι τὸν βίον ἀβίωτον. Διὰ ταῦτα παραινοῦμεν, εἰ δυνατόν, σωφρονεῖν, στέργειν τῷ προτέρῳ γάμῳ, καὶ μήτε νυμφίους τὰς γυναῖκας, μήτε γυναῖκας τοὺς ἄνδρας ἐπεισάγειν, ὥστε μὴ τὴν οἰκίαν ἀνατρέπεσθαι πᾶσαν.

Τίνος δὲ ἕνεκεν περὶ χηρείας διαλεγόμενος, οὐκ ἠρκέσθη τῷ προτέρῳ μόνῳ, τῷ εἰπεῖν, «ἑνὸς ἀνδρὸς γυνή»; Ἵνα μάθῃς, ὅτι χήραν ποιεῖ οὐ τὸ μὴ γαμῆσαι δεύτερον μόνον ἁπλῶς, ἀλλὰ τὸ κομᾶν ἐν ἔργοις ἀγαθοῖς, ἐν ἐλεημοσύνῃ καὶ φιλανθρωπίᾳ καὶ ταῖς τῶν ξένων θεραπείαις. Εἰ γὰρ τὰς παρθένους οὐδὲν

κρυσε σιγὰ–σιγά, καὶ αὐτὴ ἀμέσως ἀγρίεψε καὶ σὰν θηρίο πήδηξε ἐναντίον του ζητώντας τὴν τιμωρία του γιὰ τὴ φιλοστοργία του πρὸς ἐκείνη· καὶ ἂν θελήσει νὰ ἐπαινέσει τὴν πεθαμένη, οἱ ἔπαινοι γίνονται ἀφορμὴ σύγκρουσης καὶ διαμάχης. Καὶ μὲ τοὺς ἐχθρούς μας, ὅταν πεθαίνουν, συμφιλιωνόμαστε καὶ μαζὶ μὲ τὴ ζωή τους ἐξαλείφουμε καὶ τὴν ἔχθρα μας πρὸς αὐτούς, ἐνῶ μὲ τὶς γυναῖκες συμβαίνει ἐντελῶς τὸ ἀντίθετο. Γιατὶ ἐκείνην ποὺ δὲν τὴν εἶδε, ποὺ δὲν τὴν ἄκουσε καὶ ἀπὸ τὴν ὁποία δὲν ἔπαθε κανένα κακό, αὐτὴν τὴν μισεῖ καὶ τὴν ἀποστρέφεται, καὶ οὔτε ὁ θάνατος σβήνει τὸ μίσος. Ποιός εἶδε, ποιός ἄκουσε νὰ φθονεῖται ἡ σκόνη καὶ νὰ πολεμεῖται ἡ τέφρα;
6. Τὸ κακὸ ὅμως δὲ σταματάει ἐδῶ, ἀλλὰ εἴτε γεννηθοῦν παιδιὰ ἀπὸ τὴ δεύτερη γυναίκα εἴτε δὲ γεννηθοῦν, πάλι ἀκολουθεῖ πόλεμος καὶ μάχη. Γιατί, ἂν δὲ γεννηθοῦν, πονάει περισσότερο, καὶ γι' αὐτὸ βλέπει σὰν ἐχθροὺς καὶ σὰν νὰ τῆς ἔχουν κάνει μεγάλο κακὸ τὰ παιδιὰ τῆς πρώτης, ἐπειδὴ μὲ τὴ ζωή τους καταλαβαίνει καλύτερα τὴ δική της ἀτεκνία. Ἂν ὅμως γεννηθοῦν, πάλι δὲν εἶναι μικρότερο τὸ κακό. Γιατὶ ὁ ἄνδρας πολλὲς φορές, αἰσθανόμενος στοργὴ γιὰ τὴν πεθαμένη, τὴν ἐκδηλώνει σ' αὐτά, ἐπειδὴ καὶ τὰ ἀγαπάει καὶ λυπᾶται γιὰ τὴν ὀρφάνια τους· ἐκείνη ὅμως θέλει νὰ προτιμῶνται παντοῦ τὰ δικά της παιδιὰ καὶ αὐτὰ δὲ θέλει νὰ εἶναι σὰν ἀδέλφια τους ἀλλὰ σὰν παραπεταμένοι ὑπηρέτες, πράγματα ποὺ μποροῦν νὰ ἀνατρέψουν τὸ σπίτι καὶ νὰ κάνουν στὸν ἄνδρα ἀνυπόφορη τὴ ζωή του. Γι' αὐτοὺς τοὺς λόγους σᾶς συμβουλεύω, ἂν εἶναι δυνατό, νὰ δείχνετε ἐγκράτεια, νὰ ἀρκεῖστε στὸν πρῶτο γάμο, καὶ οὔτε οἱ γυναῖκες νὰ παίρνουν ἄλλους ἄνδρες, οὔτε οἱ ἄνδρες νὰ παίρνουν ἄλλες γυναῖκες, ὥστε νὰ μὴν ἀναστατώνεται ὅλο τὸ σπίτι.

Καὶ γιὰ ποιό λόγο μιλώντας γιὰ τὴ χηρεία δὲν ἀρκέσθηκε στὸ πρῶτο μόνο, στὸ νὰ πεῖ, «ἑνὸς ἄνδρα γυναίκα»; Γιὰ νὰ μάθεις ὅτι τὴ χήρα τὴν κάνει ὄχι ἁπλῶς τὸ νὰ μὴ παντρευθεῖ γιὰ δεύτερη φορὰ μόνο, ἀλλὰ τὸ νὰ στολίζεται μὲ ἔργα ἀγαθά, μὲ ἐλεημοσύνη καὶ φιλανθρωπία καὶ μὲ τὴν περιποίηση τῶν ξένων. Γιατί, ἂν τὶς παρθένους δὲν τὶς ὠφέλησε καθόλου ἡ παρ-

ὠφέλησεν ἡ παρθενία (καίτοι πολλῷ μείζων χηρείας ἡ παρθενία), ἀλλ' ἀπῆλθον, σβεσθέντος αὐταῖς τοῦ πυρὸς τῶν λαμπάδων, ἠτιμωμέναι, ἐπειδὴ τὸν ἀπὸ τῆς φιλανθρωπίας καὶ ἐλεημοσύνης οὐκ ἔσχον ἐπιδεῖξαι καρπόν, πολλῷ μᾶλλον αἱ χῆραι. Ἐκείνης γοῦν ἀκούσας τῆς παραβολῆς ὁ Παῦλος, καὶ φοβούμενος ὑπὲρ τούτων, πολλὴν ὑπὲρ τοῦ πράγματος ποιεῖται τὴν ἀκριβολογίαν, ἵνα μὴ τῇ μονογαμίᾳ θαρροῦσαι τῆς λοιπῆς ἀρετῆς καταμελήσωσι· διὰ τοῦτό φησιν, «ἐν ἔργοις καλοῖς μαρτυρουμένη»· ὥσπερ γὰρ καλὸν ἡ παρθενία, χωρὶς δὲ τῶν λοιπῶν ἄκαρπος γέγονε καὶ τοῦ νυμφῶνος ἀπέκλεισεν, οὕτω καλὸν ἡ χηρεία, χωρὶς δὲ τῆς λοιπῆς ἀρετῆς μάταιόν ἐστι καὶ περιττόν.

Διὰ τοῦτο οὐ μέχρι τοῦ μὴ δεύτερον ἐπεισάγειν ἄνδρα τὴν παραίνεσιν ἔστησεν ὁ Παῦλος, ἀλλὰ καὶ ἕτερα πολλῷ πλείονα καὶ μείζονα ἀπαιτεῖ παρὰ τῆς χήρας. Καὶ καθάπερ οἱ τοὺς στρατιώτας καταλέγοντες σώματος ζητοῦσιν εὐεξίαν, οὕτω καὶ οὗτος εἰς τὸ τοῦ Χριστοῦ στρατόπεδον αὐτὴν καταλέγων, ψυχῆς εὐεξίαν ἐζήτησε καὶ εὐτονίαν καὶ τὴν ἐν ἅπασι τοῖς ἀγαθοῖς ἔργοις σπουδήν, οὕτω λέγων· «εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε». Τούτων γὰρ ἕκαστον δοκεῖ μὲν εἶναι ῥῆμα ψιλόν, πολλὴν δὲ ἐν ἑαυτῷ συνέχει τὴν ζωήν.

7. Καὶ εἰ δοκεῖ, πρῶτον ἐξετάσωμεν, ὃ πρῶτον αὐτὸς τέθεικεν· «εἰ ἐτεκνοτρόφησε». Τροφὴ γὰρ ἐνταῦθα λέγει οὐ ταύτην τὴν ψιλὴν καὶ παρὰ τοῖς πολλοῖς νομιζομένην, τὸ μὴ λιμῷ φθειρομένους περιιδεῖν τοὺς παῖδας (τοῦτο γὰρ οὐδὲ αὐτὴ τῆς φύσεως ἡ ἀνάγκη ἀφίησι παραμεληθῆναί ποτε· ὅθεν οὐδὲ προσταγμάτων ὑπὲρ τούτου χρεία καὶ νόμων, ἵνα τὰ ἔκγονα τρέφωσιν αἱ χῆραι), ἀλλὰ τὴν τῆς δικαιοσύνης ἐπιμέλειαν, τὴν ἀνατροφὴν τὴν μετ' εὐλαβείας ἐνταῦθά φησιν· ὡς αἵ γε μὴ οὕτω τρέφουσαι, παιδοκτόνοι μᾶλλόν εἰσιν ἢ μητέρες. Τοῦτο οὐ πρὸς γυναῖκας μόνον λέγω, ἀλλὰ καὶ πρὸς ἄνδρας. Καὶ γὰρ πολλοὶ πολλάκις

---

14. Βλ. Ματθ. 25,1-13.

15. Α' Τιμ. 5,10.

θενία (μολονότι βέβαια ἡ παρθενία εἶναι πολὺ ἀνώτερη ἀπὸ τὴ χηρεία), ἀλλὰ ἔφυγαν ὅταν τὶς σβήστηκε ἡ φωτιὰ στὰ λυχνάρια ντροπιασμένες, ἐπειδὴ δὲν εἶχαν νὰ παρουσιάσουν τὸν καρπὸ ἀπὸ τὴ φιλανθρωπία καὶ τὴν ἐλεημοσύνη, πολὺ περισσότερο οἱ χῆρες. Ἀκούοντας λοιπὸν ὁ Παῦλος ἐκείνη τὴν παραβολὴ[14] καὶ φοβούμενος γι' αὐτές, ἀκριβολογεῖ πολὺ γιὰ τὸ θέμα αὐτό, γιὰ νὰ μὴν περιφρονήσουν τὶς ἄλλες ἀρετὲς στηριζόμενες στὴ μονογαμία τους. Γι' αὐτὸ λέγει, «ἂν ὑπάρχουν μαρτυρίες γιὰ τὰ καλά τους ἔργα»[15]· γιατὶ ὅπως εἶναι καλὸ πράγμα ἡ παρθενία, ἀλλὰ χωρὶς τὶς ἄλλες ἀρετὲς ἔγινε ἄκαρπη καὶ τὶς ἀπέκλεισε ἀπὸ τὸ νυμφώνα, ἔτσι εἶναι καλὸ πράγμα καὶ ἡ χηρεία, ἀλλὰ χωρὶς τὶς ἄλλες ἀρετὲς εἶναι μάταιο καὶ περιττό.

Γι' αὐτὸ ὁ Παῦλος δὲ σταμάτησε τὴν παραίνεση στὸ νὰ μὴν παίρνει δεύτερο ἄνδρα, ἀλλὰ καὶ ἄλλα πολὺ περισσότερα καὶ μεγαλύτερα ἀπαιτεῖ ἀπὸ τὴ χήρα. Καὶ ὅπως ἐκεῖνοι ποὺ ἐπιλέγουν τοὺς στρατιῶτες ζητοῦν εὐεξία σώματος, ἔτσι καὶ ὁ Παῦλος, καταγράφοντας αὐτὴν στὸ στράτευμα τοῦ Χριστοῦ, ζήτησε εὐεξία καὶ δύναμη ψυχῆς καθως καὶ τὴ φροντίδα σὲ ὅλα τὰ ἀγαθὰ ἔργα λέγοντας τὰ ἑξῆς· «ἂν ἀνέθρεψε παιδιά, ἂν φιλοξένησε, ἂν ἔπλυνε πόδια ἁγίων, ἂν βοήθησε ἐκείνους ποὺ ἀντιμετώπισαν δυσκολίες, ἂν φρόντισε γιὰ κάθε καλὸ ἔργο». Τὸ καθένα βέβαια ἀπ' αὐτὰ φαίνεται πὼς εἶναι μιὰ ἁπλὴ λέξη, στὴν πραγματικότητα ὅμως περιέχει μέσα του πολλὴ ζωή.

7. Καὶ ἂν θέλετε, πρῶτα ἂς ἐξετάσουμε αὐτὸ ποὺ πρῶτο ἐκεῖνος ἀνέφερε· «ἂν ἔθρεψε παιδιά». Τροφὴ λοιπὸν ἐδῶ δὲν ἐννοεῖ αὐτὴ τὴν ἁπλὴ καὶ ποὺ νομίζουν οἱ πολλοί, τὸ νὰ μὴν παραβλέψει δηλαδὴ τὰ παιδιά τους, ὅταν πεθαίνουν ἀπὸ τὴν πείνα (γιατὶ οὔτε ἡ ἴδια ἡ ἀνάγκη τῆς φύσης δὲν ἀφήνει νὰ παραμεληθοῦν ποτὲ αὐτὰ καὶ ἑπομένως δὲ χρειάζονται γι' αὐτὸ προσταγὲς καὶ νόμοι, γιὰ νὰ τρέφουν ὁ χῆρες τὰ παιδιά τους), ἀλλὰ ἐδῶ ἐννοεῖ τὴ φροντίδα γιὰ τὴν ἀρετή, τὴν ἀνατροφὴ μὲ εὐσέβεια· γιατὶ ἐκεῖνες ποὺ δὲν τὰ ἀνατρέφουν ἔτσι εἶναι παιδοκτόνες μάλλον παρὰ μητέρες. Αὐτὸ δὲν τὸ λέγω μόνο πρὸς τὶς γυναῖκες ἀλλὰ καὶ πρὸς τοὺς ἄνδρες. Γιατὶ καὶ πολλοὶ πατέρες

τῶν πατέρων, ὅπως μὲν ἵππος γένοιτο καλὸς τῷ παιδὶ καὶ ὅπως οἰκία λαμπρὰ καὶ ὅπως πολυτελὴς ἀγρὸς πάντα ποιοῦσι καὶ πραγματεύονται, ὅπως δὲ αὐτῷ ψυχὴ γένοιτο καλὴ καὶ προαίρεσις εὐσεβής, οὐδένα ἔχουσι λόγον.

Καὶ τοῦτό ἐστιν, ὃ τὴν οἰκουμένην ἀνατρέπει πᾶσαν, ὅτι τῶν οἰκείων ἀμελοῦμεν παίδων, καὶ τῶν μὲν κτημάτων αὐτῶν ἐπιμελούμεθα, τῆς δὲ ψυχῆς αὐτῶν καταφρονοῦμεν, ἐσχάτης ἀνοίας πρᾶγμα ὑπομένοντες. Τὰ μὲν γὰρ κτήματα κἂν πολλὰ ᾖ καὶ πολυτελῆ, τοῦ δυναμένου μετ' ἀρετῆς αὐτὰ οἰκονομεῖν οὐκ ὄντος σπουδαίου, πάντα ἀπολεῖται καὶ οἰχήσεται μετ' αὐτοῦ καὶ βλάβην ἐσχάτην ἐνέγκοι τῷ κεκτημένῳ· ἂν δὲ ἡ ψυχὴ γενναία γένηται καὶ φιλόσοφος, κἂν μηδὲν ἔνδον ἀποκείμενον ᾖ, τὰ πάντων δυνήσεται μετὰ ἀδείας συσχεῖν. Δεῖ τοίνυν σκοπεῖν, οὐχ ὅπως αὐτοὺς πλουσίους ἐν ἀργυρίῳ καὶ χρυσίῳ καὶ τοῖς τοιούτοις ποιήσωμεν, ἀλλ' ὅπως ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ καὶ κτήσει τῆς ἀρετῆς πάντων γένοιντ' ἂν εὐπορώτεροι· ὅπως μὴ πολλῶν δέοιντο, ὅπως μὴ περὶ τὰ βιωτικὰ καὶ τὰς νεωτερικὰς ἐπιθυμίας ὦσιν ἐπτοημένοι. Καὶ τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους μετ' ἀκριβείας περιεργάζεσθαι χρή, τὰς διατριβάς, τὰς συνουσίας, εἰδότας ὅτι τούτων ἀμελουμένων, οὐδεμίαν ἕξομεν παρὰ τῷ Θεῷ συγγνώμην.

Εἰ γὰρ τῆς τῶν ἄλλων προνοίας ἀπαιτούμεθα τὰς εὐθύνας («ἕκαστος γὰρ μὴ τὸ ἑαυτοῦ ζητείτω», φησίν, «ἀλλὰ τὸ τοῦ πλησίον»), πόσῳ μᾶλλον τῆς τῶν παίδων; Οὐ κατῴκισά σοι, φησίν, αὐτὸν ἐξ ἀρχῆς; ἐπέστησα δέ σε αὐτῷ διδάσκαλον καὶ προστάτην καὶ κηδεμόνα καὶ ἄρχοντα; τὴν ἐξουσίαν αὐτοῦ πᾶσαν φέρων εἰς τὰς σὰς ἐνέθηκα χεῖρας; Ἀπαλὸν ὄντα διαπλάττειν ἐκέλευσα καὶ ρυθμίζειν· ποίαν ἂν ἔχοις συγγνώμην, εἰ περιίδοις αὐτὸν ἀποσκιρτήσαντα; Τί γὰρ ἂν εἴποις; Ὅτι δυσήνιός ἐστι καὶ τραχύς; Ἀλλ' ἐξ ἀρχῆς ἔδει ταῦτα προορῶντα, ὅτε εὐήνιος ἦν καὶ κομιδῇ νέος, χαλινοῦν μετ' ἀκριβείας, ἐθίζειν πρὸς

16. Α' Κορ. 10,24.

πολλὲς φορὲς κάνουν καὶ ἐπιχειροῦν τὰ πάντα γιὰ νὰ ἀποκτήσει ὁ γιός τους καλὸ ἄλογο, λαμπρὸ σπίτι καὶ ἀκριβὸ χωράφι, πῶς ν' ἀποκτήσει ὅμως καλὴ ψυχὴ καὶ εὐσεβὴ διάθεση δὲν κάνουν ἀπολύτως τίποτε.

Καὶ αὐτὸ εἶναι ποὺ ἀνατρέπει ὅλη τὴν οἰκουμένη, ὅτι δηλαδὴ ἀμελοῦμε γιὰ τὰ παιδιά μας· καὶ φροντίζουμε βέβαια γιὰ τὰ κτήματά τους, ἀδιαφοροῦμε ὅμως γιὰ τὴν ψυχή τους, κάνοντας πράγμα ποὺ εἶναι ἡ χειρότερη ἀνοησία. Γιατὶ τὰ κτήματα ἔστω καὶ ἂν εἶναι πολλὰ καὶ πανάκριβα, ὅταν δὲν εἶναι σπουδαῖος ἐκεῖνος ποὺ μπορεῖ μὲ ἀρετὴ νὰ τὰ διαχειρισθεῖ, ὅλα θὰ καταστραφοῦν καὶ θὰ χαθοῦν μαζί του καὶ θὰ φέρουν πολὺ μεγάλη ζημία στὸν κάτοχό τους. Ἂν ὅμως ἡ ψυχὴ γίνει γενναία καὶ ἐνάρετη, ἔστω καὶ ἂν δὲν ὑπάρχει τίποτε μέσα στὸ σπίτι, τὰ πάντα θὰ μπορέσει ν' ἀποκτήσει μὲ εὐκολία. Πρέπει λοιπὸν νὰ ἐξετάζουμε, ὄχι πῶς θὰ τὰ κάνουμε πλούσια σὲ ἀσήμι καὶ χρυσάφι καὶ τὰ παρόμοια, ἀλλὰ πῶς θὰ γίνουν πιὸ πλούσια ἀπ' ὅλους στὴν εὐλάβεια, στὴν εὐσέβεια καὶ στὴν ἀπόκτηση τῆς ἀρετῆς· πῶς νὰ μὴ χρειάζονται πολλά, πῶς νὰ μὴν κυριεύονται ἀπὸ τὰ βιοτικὰ καὶ τὶς ἐπιθυμίες τῆς νεότητας. Ἀκόμη πρέπει συστηματικὰ νὰ ἐλέγχουμε πότε ἔρχονται καὶ πότε βγαίνουν ἀπὸ τὸ σπίτι, ποὺ περνοῦν τὸν καιρό τους, τὶς συντροφιές τους, γνωρίζοντας πὼς ὅταν τὰ ἀμελοῦμε αὐτὰ δὲ θὰ ἔχουμε καμιὰ συγγνώμη ἀπὸ τὸ Θεό.

. Γιατὶ ἂν μᾶς ζητοῦνται εὐθύνες γιὰ τὴ φροντίδα τῶν ἄλλων (γιατὶ λέγει, «ὁ καθένας ἂς μὴ ζητάει τὸ δικό του καλό, ἀλλὰ τὸ καλὸ τοῦ ἄλλου»[16]), πόσο περισσότερο γιὰ τὴ φροντίδα τῶν παιδιῶν μας; Δὲν τὸ ἔβαλα, λέγει, στὸ σπίτι σου ἀπὸ τὴν ἀρχή; δὲ σὲ ὅρισα διδάσκαλό του καὶ προστάτη καὶ κηδεμόνα καὶ ἄρχοντα; δὲν ἀνέθεσα στὰ χέρια σου ὅλη τὴν ἐξουσία πάνω του; Σὲ διέταξα νὰ τὸ διαπλάσεις ὅταν ἦταν τρυφερὸ καὶ νὰ τὸ διαμορφώσεις σωστά· ποιά συγγνώμη μπορεῖς νὰ ἔχεις ἂν τὸ ἀφήσεις νὰ ἀποσκιρτήσει; Τί λοιπὸν μπορεῖς νὰ πεῖς; Ὅτι εἶναι δύσκολο καὶ ἄγριο; Ἀλλ' αὐτὰ ἔπρεπε νὰ τὰ προβλέψεις ἀπὸ τὴν ἀρχή, ὅταν ὑπάκουε πρόθυμα καὶ ἦταν πολὺ νεαρό, διαπαιδαγω-

τὰ δέοντα, ρυθμίζειν, κολάζειν αὐτοῦ τὰ νοσήματα τῆς ψυχῆς. Ὅτε εὐκολωτέρα ἡ ἐργασία, τότε τὰς ἀκάνθας ἐκτέμνειν ἔδει, ὅτε ἀπαλωτέρας οὔσης τῆς ἡλικίας εὐκολώτερον ἀνεσπῶντο, καὶ οὐκ ἂν ἀμελούμενα τὰ πάθη καὶ αὐξανόμενα, δυσκατέργαστα γέγονε. Διὰ τοῦτό φησι, «κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτοῦ», ὅτε εὐκολωτέρα γένοιτ᾿ ἂν ἡ παιδαγωγία.

Οὐκ ἐπιτάττει δὲ μόνον, ἀλλὰ καὶ αὐτὸς συνεφάπτεταί σοι τοῦ ἔργου. Καὶ πῶς καὶ τίνι τρόπῳ; «Ὁ κακολογῶν πατέρα ἢ μητέρα», φησί, «θανάτῳ τελευτάτω». Ὁρᾷς πόσον αὐτοῖς ἐπέστησε φόβον; πόσην ἐπετείχισεν ἀγωνίαν; πῶς δυνατήν σου τὴν ἀρχὴν ἐποίησε; Τίνα οὖν ἀπολογίαν ἔχοιμεν ἂν εἰπεῖν, ὅταν αὐτὸς μέν, ἐπειδὰν ἡμεῖς ὑβριζώμεθα μηδὲ τῆς ζωῆς αὐτῶν φείδηται, ἡμεῖς δέ, ὑβριζομένου τοῦ Θεοῦ παρ᾿ αὐτῶν, μηδὲ ἀγανακτεῖν αὐτοῖς ὑπομένωμεν; Ἐγώ, φησίν, οὐδὲ ἀποκτεῖναι παραιτοῦμαι τὸν ὑβρίζοντά σε, σὺ δὲ οὐδὲ ρήματι λυπεῖν ἀνέχῃ, φησί, τὸν τοὺς ἐμοὺς καταπατοῦντα νόμους. Καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; Ὁρᾷς αὐτὸν ὑβρίζοντα εἰς τὸν πεποιηκότα, καὶ οὐ δυσχεραίνεις, εἰπέ μοι, οὐδὲ φοβεῖς καὶ ἐπιτιμᾷς, καὶ ταῦτα εἰδώς, ὅτι καὶ τοῦτο αὐτὸς ὁ Θεὸς ἐκώλυσεν, οὐκ ἐπειδὴ βλάβη τις εἰς ὑβριζόμενον γίνεται (ἀνώλεθρον γὰρ τὸ Θεῖον), ἀλλ᾿ ὑπὲρ τῆς ἐκείνου σωτηρίας; Ὁ γὰρ περὶ τὸν Θεὸν ἀγνώμων γενόμενος καὶ ἀναίσθητος, πολλῷ μᾶλλον εἰς τὸν γεγεννηκότα καὶ εἰς τὴν ἑαυτοῦ ψυχὴν ἐμπαροινῆσαι δυνήσεται.

8. Μὴ τοίνυν ἀμελῶμεν, εἰδότες ὅτι τῶν κατὰ Θεὸν αὐτοῖς εὖ διακειμένων, καὶ κατὰ τὸν παρόντα βίον ἔσονται εὐδόκιμοι καὶ λαμπροί· τὸν γὰρ ἀρετῇ συζῶντα καὶ ἐπιεικείᾳ πάντες αἰδοῦνται καὶ τιμῶσι, κἂν ἁπάντων πενέστερος ᾖ, ὥσπερ οὖν τὸν πονηρὸν καὶ διεστραμμένον ἀποστρέφουσι καὶ μισοῦσιν ἅπαντες, κἂν εὐπορίαν ᾖ κεκτημένος πολλήν. Οὐ τοῖς ἄλλοις δὲ μόνον

17. Σοφ. Σειρ. 7,23.

18. Ἐξ. 21,17.

γώντας το προσεκτικά, συνηθίζοντάς το στὰ πρέποντα, διορθώνοντάς το, τιμωρώντας τὶς ἀδυναμίες τῆς ψυχῆς του. Ὅταν ἦταν εὐκολότερη ἡ ἐργασία, τότε ἔπρεπε νὰ ξερριζώσεις τὰ ἀγκάθια, ὅταν ἡ ἡλικία ἦταν πιὸ τρυφερὴ καὶ εὐκολότερα ξερριζώνονταν, καὶ δὲ θὰ γίνονταν δυσκολοθεράπευτα τὰ πάθη ἂν δὲν ἀμελοῦνταν τότε ποὺ αὐξάνονταν. Γι' αὐτὸ λέγει, «λύγισε τὸν τράχηλό του ὅσο εἶναι νέο»[17], ὅταν ἡ διαπαιδαγώγησή του μπορεῖ νὰ γίνει εὐκολότερη.

Καὶ δὲν προστάζει μόνο, ἀλλὰ καὶ ὁ ἴδιος σὲ βοηθάει στὸ ἔργο. Πῶς καὶ μὲ ποιόν τρόπο; «Ὅποιος κακολογεῖ τὸν πατέρα ἢ τὴ μητέρα του», λέγει, «νὰ τιμωρεῖται μὲ θάνατο»[18]. Βλέπεις πόσο φόβο προκάλεσε στὰ παιδιά; πόση ἀγωνία ἔβαλε γύρω τους; πῶς ἔκανε δυνατὴ τὴν ἐξουσία σου; Ποιά λοιπὸν δικαιολογία μποροῦμε νὰ προβάλουμε, ὅταν αὐτὸς τὴ στιγμὴ ποὺ ἐμεῖς βριζόμαστε ἀπὸ αὐτὰ δὲ λυπᾶται τὴ ζωή τους, ἐνῶ ἐμεῖς ὅταν ὁ Θεὸς βρίζεται ἀπ' αὐτὰ δὲ δεχόμαστε οὔτε καὶ νὰ ἀγανακτήσουμε ἐναντίον τους; Ἐγώ, λέγει, δὲν ἀποφεύγω καὶ νὰ θανατώσω ἐκεῖνον ποὺ σὲ βρίζει, ἐνῶ ἐσὺ δὲ θέλεις οὔτε μὲ λόγια νὰ πικράνεις αὐτὸν ποὺ καταπατάει τοὺς νόμους μου. Καὶ πῶς εἶναι ἄξια γιὰ συγγνώμη αὐτά; Βλέπεις τὸ παιδὶ νὰ βρίζει τὸ δημιουργὸ καὶ δὲ δυσανασχετεῖς, πές μου, οὔτε τὸ φοβερίζεις καὶ τὸ ἐπιτιμᾶς, τὴ στιγμὴ μάλιστα ποὺ γνωρίζεις ὅτι αὐτὸ καὶ ὁ ἴδιος ὁ Θεὸς τὸ ἐμπόδισε, ὄχι γιατὶ προκαλεῖται κάποια ζημία σ' αὐτὸν (ἀφοῦ τὸ θεῖο εἶναι ἀβλαβές), ἀλλὰ γιὰ τὴ δική του σωτηρία; Γιατὶ ἐκεῖνος ποὺ ἔδειξε ἀχαριστία καὶ ἀναισθησία πρὸς τὸ Θεό, πολὺ περισσότερο θὰ μπορέσει νὰ προσβάλει καὶ τὸν πατέρα του καὶ τὴ δική του ψυχή.

8. Ἂς μὴν ἀδιαφοροῦμε λοιπόν, γνωρίζοντας ὅτι ἐκεῖνοι ποὺ συμπεριφέρονται καλὰ πρὸς αὐτὰ καὶ σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, καὶ κατὰ τὴν παροῦσα ζωὴ θὰ εὐδοκιμήσουν καὶ θὰ διακριθοῦν. Γιατὶ ὅλοι σέβονται καὶ τιμοῦν τὸν ἐνάρετο καὶ ἀγαθό, ἔστω καὶ ἂν εἶναι ὁ φτωχότερος ἀπ' ὅλους, ὅπως πάλι ὅλοι ἀποστρέφονται καὶ μισοῦν τὸν πονηρὸ καὶ διεστραμμένο, ἔστω καὶ ἂν κατέχει πολὺ πλοῦτο. Καὶ δὲ θὰ εἶναι μόνο στοὺς

ἀνθρώποις ἔσται αἰδέσιμος, ἀλλὰ καὶ σοὶ τῷ γεγεννηκότι ποθεινότερος, πλέον τῆς φύσεως οὐκ ἐλάττονα ἑτέραν ὑπόθεσιν ἔχων πρὸς τὸ φιλεῖσθαι, τὴν ἀρετήν· οὐ ποθεινότερος δὲ μόνον, ἀλλὰ καὶ χρησιμώτερος ἔσται σοι θεραπεύων, δουλεύων, γηροκομῶν. Ὥσπερ γὰρ οἱ περὶ τὸν Θεὸν ἀγνώμονες καὶ τῶν γεγεννηκότων καταφρονοῦσιν, οὕτως οἱ τὸν πεποιηκότα θεραπεύοντες, ἐν πολλῇ καὶ τοὺς γεγεννηκότας ἔχουσι τῇ τιμῇ. Ἵνα οὖν καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις εὐδοκιμῇ, καί σοι τὴν ζωὴν ἡδεῖαν ποιῇ καὶ τῆς μελλούσης ἀπαλλάττῃ κολάσεως, πᾶσαν ἐπιδείκνυσο περὶ αὐτὸν τὴν σπουδήν. Ὅτι γὰρ οἱ τῶν παίδων ἀμελοῦντες, κἂν τἄλλα ὦσιν ἐπιεικεῖς καὶ μέτριοι, διὰ ταυτήν τὴν ἁμαρτίαν τὴν ἐσχάτην ὑποστήσονται δίκην, ἱστορίαν σοί τινα διηγήσομαι παλαιάν.

Ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις ἐπιεικὴς τὰ ἄλλα καὶ μέτριος, Ἠλεῖ τῷ ὀνόματι. Ἦν οὖν οὗτος Ἠλεὶ δύο παῖδας ἔχων εἰς ἔσχατον πονηρίας ἐληλακότας, οὐ κατεῖχε δὲ οὐδὲ ἐκώλυε· μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ τῆς προσηκούσης δε ἀκριβείας καὶ σφοδρότητος. Δέον γὰρ μαστιγῶσαι, τῆς πατρῴας ἐκβαλεῖν οἰκίας, πάντα ἐπιδείξασθαι διορθώσεως τρόπον, παρῄνει καὶ συνεβούλευε μόνον, οὕτω λέγων· «μή τέκνα, μὴ ποιεῖτε οὕτως· ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν». Τί λέγεις; Τὸν Δεσπότην ὕβρισαν καὶ τέκνα καλεῖς; Ἠγνόησαν τὸν πεποιηκότα καὶ σὺ ἐπιγινώσκεις αὐτῶν τὴν συγγένειαν; Διὰ τοῦτό φησιν, ὅτι οὐκ ἐνουθέτει αὐτούς· νουθεσία γάρ ἐστιν οὐκ ἐὰν ἁπλῶς συμβουλεύσωμεν, ἀλλ' ἐὰν σφοδρότερον καὶ τομώτερον καὶ ὅσην ἡ τοῦ τραύματος ἀπαιτεῖ σηπεδών, τοσαύτην ἐπαγάγωμεν τὴν πληγήν. Οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, οὐδὲ τὸ παραινέσαι μόνον, ἀλλὰ καὶ πολὺν ἐπιτειχίσαι δεῖ τὸν φόβον, ὥστε τὴν τῆς νεότητος περικόψαι ῥᾳθυμίαν. Ἐπεὶ οὖν παρῄνει μέν, οὐ παρῄνει δὲ ὡς ἔδει, τοῖς πολεμίοις αὐτοὺς ἐξέ-

19. Α' Βασ. 2,24.

ἄλλους ἀνθρώπους σεβαστὸς ἀλλὰ καὶ σὲ σένα ποὺ τὸν γέννησες θὰ εἶναι πιὸ ἀγαπητός, γιατὶ ἔχει ἐκτὸς ἀπὸ τὴν αἰτία τῆς φύσης καὶ κάποιαν ἄλλη ὄχι μικρότερη γιὰ νὰ ἀγαπιέται, τὴν ἀρετή. Καὶ δὲ θὰ εἶναι μόνο πιὸ ἀγαπητός, ἀλλὰ θὰ εἶναι καὶ πιὸ χρήσιμος μὲ τὸ νὰ σὲ φροντίζει, νὰ σὲ ὑπηρετεῖ καὶ νὰ σὲ γηροκομεῖ. Γιατὶ ὅπως ἀκριβῶς οἱ ἀχάριστοι πρὸς τὸ Θεὸ περιφρονοῦν καὶ τοὺς γονεῖς τους, ἔτσι καὶ ἐκεῖνοι ποὺ λατρεύουν τὸ δημιουργὸ τιμοῦν πολὺ καὶ τοὺς γονεῖς τους. Γιὰ νὰ εὐδοκιμεῖ λοιπὸν καὶ ἐνώπιον τοῦ Θεοῦ καὶ ἀνάμεσα στοὺς ἀνθρώπους, κάμνοντας ἔτσι γλυκειὰ τὴ ζωή σου καὶ ἀπαλλάσσοντάς σε ἀπὸ τὴ μελλοντικὴ τιμωρία, δεῖξε γιὰ τὸ παιδί σου κάθε φροντίδα. Γιὰ τὸ ὅτι λοιπὸν ἐκεῖνοι ποὺ ἀδιαφοροῦν γιὰ τὰ παιδιά τους, καὶ ἂν ἀκόμη στὰ ἄλλα εἶναι ἐπιεικεῖς καὶ μετρημένοι, θὰ ὑποστοῦν γιὰ τὴν ἁμαρτία τους αὐτὴ τὴ χειρότερη τιμωρία, θὰ σοῦ διηγηθῶ μιὰ παλαιὰ ἱστορία.

Ἀνάμεσα στοὺς Ἰουδαίους ἦταν ἕνας ἱερέας ἐπιεικὴς ὡς πρὸς τὰ ἄλλα καὶ ζώντας σωστὴ ζωή, ὀνομαζόμενος Ἠλί. Αὐτὸς λοιπὸν ὁ Ἠλὶ εἶχε δύο παιδιὰ ποὺ εἶχαν φθάσει στὸ ἔσχατο σημεῖο τῆς κακίας, ἀλλὰ δὲν τὰ συγκρατοῦσε οὔτε τὰ ἐμπόδιζε. Ἢ καλύτερα τὰ συγκρατοῦσε βέβαια καὶ τὰ ἐμπόδιζε, ἀλλὰ ὄχι μὲ τὴν ἀνάλογη αὐστηρότητα καὶ σφοδρότητα. Γιατί, ἐνῶ ἔπρεπε νὰ τὰ μαστιγώσει, νὰ τὰ διώξει ἀπὸ τὸ πατρικὸ σπίτι, νὰ μεταχειρισθεῖ κάθε τρόπο γιὰ διόρθωση, ἀρκοῦνταν μόνο στὶς παραινέσεις καὶ τὶς συμβουλές, λέγοντας αὐτά· «μή παιδιά μου, μὴν κάνετε ἔτσι, γιατὶ ὅσα ἀκούω γιὰ σᾶς δὲν εἶναι καλά»[19]. Τί λέγεις; Ἔβρισαν τὸν Κύριο καὶ τὰ ὀνομάζεις παιδιά σου; Ἀγνόησαν τὸ δημιουργὸ καὶ σὺ ἀναγνωρίζεις τὴ συγγένειά τους; Γι' αὐτὸ λέγει, ὅτι δὲν τὰ νουθετοῦσε. Γιατὶ νουθεσία εἶναι, ὄχι ἁπλῶς ἂν συμβουλέψουμε, ἀλλὰ ἂν καταφέρουμε τὸ χτύπημα σφοδρότερα καὶ βαθύτερα καὶ ὅσο ἀπαιτεῖ ἡ σαπήλα τοῦ τραύματος. Δὲν ἀρκεῖ δηλαδὴ τὸ νὰ τὸ μιλήσουμε οὔτε τὸ νὰ συμβουλέψουμε μόνο, ἀλλὰ καὶ νὰ τὸ περιβάλουμε μὲ πολὺ φόβο, ὥστε νὰ σταματήσουμε τὴν ἀδιαφορία τῆς νεότητας. Ἐπειδὴ λοιπὸν συμβούλευε, ἀλλὰ δὲ συμβούλευε ὅπως ἔπρεπε,

δωκε, καὶ μάχης γενομένης ἔπεσον ἐπὶ τῆς παρατάξεως, καὶ τὴν ἀγγελίαν οὐκ ἐνεγκών, πεσὼν συνετρίβη καὶ αὐτὸς καὶ ἀπέθανεν.

Ὁρᾷς ὅτι δικαίως εἶπον, ὅτι καὶ παιδοκτόνοι οἱ πατέρες εἰσίν, οἱ μὴ σφοδρῶς τοῖς αὐτῶν κεχρημένοι παισὶ ρᾳθυμοῦσι, μηδὲ τὴν κατὰ Θεὸν ἀπαιτοῦντες αὐτοὺς εὐλάβειαν; Οὕτω γοῦν ὁ Ἠλεῖ παιδοκτόνος ἐγένετο. Εἰ γὰρ οἱ πολέμιοι κατέσφαξαν αὐτοῦ τοὺς υἱούς, ἀλλὰ τῆς σφαγῆς οὗτος αἴτιος ἐγένετο, διὰ τῆς περὶ αὐτοὺς ρᾳθυμίας ἀποστήσας τοῦ Θεοῦ τὴν βοήθειαν καὶ γυμνοὺς καὶ ἐρήμους δείξας τοῖς βουλομένοις αὐτοὺς ἀνελεῖν. Οὐκ ἐκείνους δὲ μόνον, ἀλλὰ καὶ ἑαυτὸν προσαπώλεσε.

9. Τοῦτο δὴ πολλοὶ τῶν νῦν πατέρων πάσχουσιν· οὐ βουλόμενοι μαστῖξαι, οὐδὲ ἐπιτιμῆσαι ρήμασιν, οὐδὲ λυπῆσαι τοὺς ἑαυτῶν υἱοὺς ἀτάκτως ζῶντας καὶ παρανόμως, πολλάκις εἶδον ἐπὶ τοῖς ἐσχάτοις ἁλόντας, εἰς δικαστήριον ἁρπαγέντας, ὑπὸ δημίων ἀποτμηθέντας. Ὅταν γὰρ σὺ μὴ παιδεύσῃς, ὅταν σὺ μὴ σωφρονίσῃς, μιαροῖς ἀνθρώποις καὶ διεφθαρμένοις σαυτὸν ἀναμίξας, καὶ κοινωνήσας τῆς πονηρίας αὐτοῖς, ὑπὸ τοῖς κοινοῖς ἄγονται νόμοις καὶ κολάζονται πάντων ὁρώντων· καὶ μετὰ τῆς συμφορᾶς μείζων ἡ αἰσχύνη γίνεται, δακτυλοδεικτούντων ἁπάντων τὸν πατέρα μετὰ τὴν ἐκείνου τελευτὴν καὶ ἄβατον αὐτῷ ποιούντων τὴν ἀγοράν. Ποίοις γὰρ ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται τοῖς ἀπαντῶσιν αὐτῷ μετὰ τὴν τοιαύτην τοῦ παιδὸς ἀσχημοσύνην καὶ συμφοράν; Διὸ δέομαι καὶ ἀντιβολῶ πολλὴν τῶν οἰκείων παίδων ποιεῖσθαι τὴν πρόνοιαν καὶ πανταχοῦ τὴν σωτηρίαν ζητεῖν αὐτῶν τῆς ψυχῆς.

Διδάσκαλος εἶ τῆς οἰκίας ἁπάσης καὶ τὴν γυναῖκα καὶ τοὺς υἱούς σοι παραπέμπει συνεχῶς ὁ Θεός. Καὶ νῦν μέν φησιν ὁ Παῦλος περὶ τῶν γυναικῶν, «εἰ δέ τι μανθάνειν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν», νῦν δὲ περὶ τῶν παίδων, «ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου». Νόμι-

20. Βλ. Α' Βασ. 4,17–18.

21. Α' Κορ. 14,35.

τὰ παρέδωσε στοὺς ἐχθροὺς καὶ ὅταν ἔγινε σύγκρουση ἔπεσαν στὸ πεδίο τῆς μάχης, ἀλλὰ καὶ ὁ ἴδιος ὁ Ἠλὶ μὴ ἀντέχοντας τὴν εἴδηση ἔπεσε καὶ συντρίφθηκε καὶ πέθανε[20].

Βλέπεις πῶς δίκαια εἶπα ὅτι οἱ πατέρες εἶναι καὶ παιδοκτόνοι, ὅσοι δὲ συμπεριφέρονται αὐστηρὰ στὰ ἀδιάφορα παιδιά τους καὶ δὲν ἀπαιτοῦν ἀπ' αὐτὰ τὴ σύμφωνη μὲ τὸ θέλημα τοῦ Θεοῦ εὐσέβεια; Ἔτσι λοιπὸν ὁ Ἠλὶ ἔγινε παιδοκτόνος. Γιατί, ἂν καὶ οἱ ἐχθροὶ ἔσφαξαν τὰ παιδιά του, αὐτὸς ὅμως ἔγινε αἴτιος τῆς σφαγῆς, ἐπειδὴ μὲ τὴν ἀδιαφορία του γι' αὐτὰ ἀπομάκρυνε τὴ βοήθεια τοῦ Θεοῦ καὶ τὰ πρόσφερε γυμνὰ καὶ ἔρημα σ' ἐκείνους ποὺ ἤθελαν νὰ τὰ σκοτώσουν. Καὶ ὄχι μόνο αὐτά, ἀλλὰ καὶ τὸν ἑαυτό του κατέστρεψε μαζί τους.

9. Αὐτὸ ἀκριβῶς παθαίνουν καὶ σήμερα πολλοὶ πατέρες. Ἐπειδὴ δὲ θέλουν νὰ μαστιγώσουν οὔτε νὰ ἐπιτιμήσουν μὲ λόγια, οὔτε νὰ στενοχωρήσουν τὰ παιδιά τους, ἂν καὶ κάνουν ἄτακτη καὶ παράνομη ζωή, πολλὲς φορὲς τὰ εἶδαν νὰ φθάνουν στὰ χειρότερα πράγματα, νὰ ὁδηγοῦνται σὲ δικαστήριο, νὰ ἀποκεφαλίζονται ἀπὸ τοὺς δημίους. Γιατὶ ὅταν ἐσὺ δὲν τὰ παιδαγωγήσεις, ὅταν δὲν τὰ σωφρονίσεις, συναναστρεφόμενα μὲ μιαροὺς καὶ ἀνήθικους ἀνθρώπους καὶ συμμετέχοντας στὴν κακία τους, συλλαμβάνονται ἀπὸ τοὺς κακοὺς νόμους καὶ τιμωροῦνται ἐνώπιον ὅλων. Καὶ μαζὶ μὲ τὴ συμφορὰ γίνεται μεγαλύτερη ἡ ντροπή, ὅταν μετὰ τὸ θάνατο τοῦ παιδιοῦ ὅλοι δείχνουν τὸν πατέρα καὶ τὸν ἀναγκάζουν νὰ μὴ θέλει νὰ πατήσει στὴ ἀγορά. Γιατὶ μὲ τί μάτια θὰ μπορέσει ν' ἀντικρύσει ἐκείνους ποὺ τὸν συναντοῦν μετὰ ἀπὸ μιὰ τέτοια ἀσχημοσύνη καὶ συμφορὰ τοῦ παιδιοῦ του; Γι' αὐτὸ σᾶς παρακαλῶ καὶ σᾶς ἱκετεύω νὰ φροντίζετε πολὺ γιὰ τὰ παιδιά σας καὶ παντοῦ νὰ ἐπιδιώκετε τὴ σωτηρία τῆς ψυχῆς τους.

Εἶσαι διδάσκαλος ὅλου τοῦ σπιτιοῦ καὶ σὲ σένα ὁ Θεὸς παραπέμπει συνέχεια καὶ τὴ γυναίκα καὶ τὰ παιδιά. Καὶ ἄλλοτε λέγει ὁ Παῦλος γιὰ τὶς γυναῖκες, «ἂν θέλουν νὰ μάθουν κάτι, ἂς ἐρωτοῦν στὸ σπίτι τοὺς ἄνδρες τους»[21], καὶ ἄλλοτε γιὰ τὰ παιδιά, «νὰ τὰ ἀνατρέφετε μὲ τὴν παιδεία καὶ τὴ νουθεσία τοῦ Κυ-

σον ἀγάλματα χρυσᾶ ἔχειν ἐπὶ τῆς οἰκίας, τὰ παιδία· καθ' ἑκάστην ἡμέραν αὐτὰ ρύθμιζε καὶ περισκόπει μετὰ ἀκριβείας, καὶ παντὶ τρόπῳ τὴν ψυχὴν αὐτῶν κατακόσμει καὶ διάπλαττε· μίμησαι τὸν μακάριον Ἰώβ, ὃς καὶ ὑπὲρ τῶν κατὰ διάνοιαν αὐτοῖς πλημμελουμένων δεδοικώς, προσέφερεν ὑπὲρ αὐτῶν θυσίας καὶ πολλὴν αὐτῶν ἐποιεῖτο τὴν πρόνοιαν.

Μίμησαι τὸν Ἀβραάμ· καὶ γὰρ ἐκεῖνος οὐχ ὑπὲρ χρημάτων καὶ κτημάτων ἐσπούδαζεν, ἀλλ' ὑπὲρ τῶν θείων νόμων, ὅπως αὐτῶν τὴν φυλακὴν τοῖς ἐκγόνοις μετὰ ἀκριβείας παρακαταθοῖτο. Καὶ μαρτυρεῖ ταύτην αὐτοῦ τὴν ἀρετὴν ὁ Θεὸς οὕτω λέγων· «ᾔδειν γάρ, ὅτι συντάξει Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ τὰ κρίματα καὶ τὰ δικαιώματα». Καὶ ὁ Δαυῒδ δέ, ἡνίκα ἐτελεύτα, ἀντὶ μεγάλης κληρονομίας καλέσας τὸν υἱὸν τὸν ἑαυτοῦ, ταῦτα παρηγγύα καὶ συνεχῶς ἔλεγεν· ὅτι 'εἰ βουληθείης, παιδίον, κατὰ τοὺς τοῦ Θεοῦ νόμους ζῆν, οὐδὲν ἐμπεσεῖται τῶν ἀδοκήτων, ἀλλὰ πάντα σοι κατὰ ροῦν ἥξει τὰ πράγματα καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀσφαλείας· ἂν δὲ ἐκείνης ἐκπέσῃς τῆς βοηθείας, οὐδὲν ὄφελός σοι τῆς βασιλείας καὶ τῆς πολλῆς ταύτης δυνάμεως'. Ταῦτα καὶ τοιαῦτα ἔλεγεν, εἰ καὶ μὴ τοῖς ρήμασι τούτοις.

10. Ταῦτα καὶ ἡμεῖς καὶ ζῶντες καὶ μέλλοντες τελευτᾶν πρὸς τοὺς παῖδας τοὺς ἑαυτῶν διαλεγώμεθα καὶ πείθωμεν αὐτούς, ὅτι μέγας πλοῦτος καὶ κληρονομία ἀδιάπτωτος καὶ θησαυρὸς ἀνεπηρέαστος ὁ τοῦ Θεοῦ φόβος ἐστὶ καὶ σπουδάζωμεν μὴ χρήματα αὐτοῖς καταλιμπάνειν τὰ ἀπολλύμενα, ἀλλὰ εὐσέβειαν τὴν μένουσαν καὶ μὴ δαπανωμένην. Εὐσεβείας μὲν γὰρ οὐκ οὔσης καὶ τὰ ὄντα ἀπόλλυται χρήματα μετὰ κινδύνων καὶ τῆς ἐσχάτης αἰσχύνης, ταύτης δὲ παρούσης καὶ τὰ οὐκ ὄντα προσγίνεται. Ἐὰν ἀναθρέψῃς σὺ καλῶς τὸ παιδίον, οὕτω κἀκεῖνος τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ οὗτος τὸν υἱόν· καὶ καθάπερ σειρά τις καὶ ἀκολουθία πολιτείας ἀρίστης μέχρι παντὸς βαδιεῖται, παρὰ σοῦ λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν ρίζαν καὶ τῆς τῶν ἐγγόνων ἐπιμελείας σοι φέρουσα τοὺς καρπούς.

---

22. Ἐφ. 6,4.
23. Βλ. Ἰὼβ 1,5. 24. Γεν. 18,19. 25. Βλ. Γ' Βασ. 2,1–9.

ρίου»[22]. Θεώρησε πὼς ἔχεις στὸ σπίτι χρυσὰ ἀγάλματα, τὰ παιδιά. Κάθε ἡμέρα νὰ τὰ διορθώνεις καὶ νὰ τὰ φροντίζεις προσεκτικὰ καὶ μὲ κάθε τρόπο νὰ στολίζεις καὶ νὰ διαπλάθεις τὴν ψυχή τους. Μιμήσου τὸ μακάριο Ἰώβ, ποὺ φοβόταν καὶ γιὰ τὰ ἁμαρτήματα ποὺ διέπρατταν μὲ τὴ σκέψη τους καὶ πρόσφερε γι' αὐτὰ θυσίες καὶ φρόντιζε πάρα πολὺ γι' αὐτά[23].

Μιμήσου τὸν Ἀβραάμ. Γιατὶ καὶ ἐκεῖνος δὲ φρόντιζε γιὰ χρήματα καὶ κτήματα, ἀλλὰ γιὰ τοὺς θείους νόμους, γιὰ νὰ παραδώσει μὲ ἀκρίβεια τὴ φύλαξή τους στοὺς ἀπογόνους του. Καὶ βεβαιώνει τὴν ἀρετή του αὐτὴ ὁ Θεὸς λέγοντας αὐτά· «γιατὶ ἐγὼ γνώριζα ὅτι ὁ Ἀβραὰμ θὰ διδάξει στὰ παιδιά του τὰ κρίματα καὶ τὶς ἐντολές μου»[24]. Ἀλλὰ καὶ ὁ Δαβίδ, ὅταν πέθαινε, κάλεσε τὸ γιό του καὶ ἀντὶ γιὰ μεγάλη κληρονομιὰ αὐτὰ τοῦ ἐμπιστευόταν καὶ τοῦ ἔλεγε συνεχῶς· 'ἂν θελήσεις, παιδί μου, νὰ ζήσεις σύμφωνα μὲ τοὺς νόμους τοῦ Θεοῦ, δὲ θὰ σοῦ συμβεῖ τίποτε τὸ ἀπροσδόκητο, ἀλλὰ ὅλα τὰ πράγματα θὰ σοῦ ἔρθουν εὐνοϊκὰ καὶ θὰ ἀπολαύσεις πολλὴ ἀσφάλεια· ἂν ὅμως χάσεις ἐκείνη τὴ βοήθεια, δὲ θὰ ἔχεις κανένα ὄφελος ἀπὸ τὴ βασιλεία καὶ τὴ μεγάλη αὐτὴ δύναμη. Αὐτὰ καὶ παρόμοια ἔλεγε, ἂν καὶ ὄχι μὲ τὰ λόγια αὐτά[25].

10. Αὐτὰ καὶ ἐμεῖς, καὶ ὅταν ζοῦμε καὶ ὅταν πρόκειται νὰ πεθάνουμε, ἂς τὰ λέμε στὰ παιδιά μας καὶ ἂς τὰ πείθουμε ὅτι ὁ φόβος τοῦ Θεοῦ εἶναι μεγάλος πλοῦτος καὶ κληρονομιὰ σταθερὴ καὶ θησαυρὸς ἀπρόσβλητος, καὶ ἂς φροντίζουμε νὰ μὴν τὰ ἀφήνουμε χρήματα ποὺ χάνονται ἀλλὰ εὐσέβεια ποὺ παραμένει καὶ δὲν ξοδεύεται. Γιατὶ ὅταν δὲν ὑπάρχει ἡ εὐσέβεια καὶ τὰ χρήματα ποὺ ὑπάρχουν χάνονται μὲ κινδύνους καὶ τὴ χειρότερη ντροπή, ἐνῶ ὅταν ὑπάρχει αὐτὴ καὶ ἐκεῖνα ποὺ δὲν ὑπάρχουν προστίθενται. Ἂν ἐσὺ ἀναθρέψεις καλὰ τὸ παιδί σου, ἔτσι καὶ αὐτὸ θὰ ἀναθρέψει τὸ γιό του καὶ ἐκεῖνος τὸ δικό του γιό, καὶ σὰν μιὰ ἀδιάσπαστη ἁλυσίδα ἄριστου τρόπου ζωῆς θὰ προχωρήσει τὸ πράγμα μέχρι τὸ τέλος, παίρνοντας ἀπὸ σένα τὴν ἀρχὴ καὶ τὴ ρίζα καὶ φέρνοντας τοὺς καρποὺς τῆς φροντίδας σου στοὺς ἀπογόνους σου.

Εἰ μετὰ ἀκριβείας οἱ πατέρες τοὺς ἑαυτῶν ἐπαίδευον παῖδας, οὐ νόμων, οὐ δικαστηρίων ἔδει, οὐ τιμωριῶν καὶ κολάσεων καὶ τῶν δημοσίων φόνων· «Δικαίῳ» γάρ, φησί, «νόμος οὐ κεῖται». Ἐπειδὴ δὲ καταμελοῦμεν αὐτῶν, διὰ τοῦτο μείζοσιν αὐτοὺς περιβάλλομεν κακοῖς, καὶ ταῖς τῶν δημίων ἐκδίδομεν χερσί, καὶ εἰς τὰ βάραθρα συνεχῶς ὠθοῦμεν· «ὁ γὰρ περιψύχων τὸν υἱὸν τὸν ἑαυτοῦ, καταδεσμεύσει τὰ τραύματα αὐτοῦ», φησί. Τί ἐστιν «ὁ περιψύχων»; Ὁ ἐλεῶν, ὁ κολακεύων, ὁ θεραπεύων ὑπὲρ τὸ μέτρον. Σφοδρότητος γὰρ οὗτος καὶ ἐπιμελείας δεῖται καὶ φόβων. Ταῦτα λέγω οὐχ ἵνα λίαν τραχεῖς ὦμεν τοῖς παισίν, ἀλλ' ἵνα μὴ εὐκαταφρόνητοι πρὸς αὐτοὺς φαινώμεθα. Εἰ γὰρ γυνὴ τὸν ἄνδρα φοβεῖσθαι ὀφείλει, πολλῷ μᾶλλον τὸ παιδίον τὸν πατέρα. Καὶ μή μοι λέγε, 'ὅτι ἀδύνατον περιγενέσθαι τῆς νεότητος'. Εἰ γὰρ χήραν γυναῖκα ἀπαιτεῖ τὴν πρόνοιαν ταύτην ὁ Παῦλος, πολλῷ μᾶλλον τοὺς ἄνδρας· εἰ ἀδύνατον ἦν, οὐκ ἂν ἐπέταξεν. Ἀλλ' ἡ πᾶσα πονηρία παρὰ τὴν ἡμετέραν γίνεται ῥᾳθυμίαν, καὶ τὸ μὴ ἐξ ἀρχῆς μηδὲ ἐκ πρώτη ἡλικίας εἰς εὐλάβειαν ἐνάγειν αὐτούς. Ἀλλ' ὅπως μὲν τῆς ἔξωθεν μετάσχοιεν παιδεύσεως καὶ εἰς στρατείαν τελέσαιεν, σπουδάζομεν καὶ χρήματα καταβάλλομεν καὶ φίλους ἀξιοῦμεν καὶ πολλαῖς κεχρήμεθα ταῖς περιδρομαῖς, ὅπως δὲ εὐδοκιμήσαιεν παρὰ τῷ βασιλεῖ τῶν ἀγγέλων, οὐδένα ποιούμεθα λόγον. Καὶ εἰς θεάματα μὲν συνεχῶς συγχωροῦμεν ἀναβαίνειν, εἰς ἐκκλησίαν δὲ οὐκ ἀναγκάζομεν οὐδέποτε, ἀλλὰ κἂν ἅπαξ ἢ δεύτερον παραγένηται τὸ παιδίον, ἁπλῶς καὶ εἰκῇ καὶ μάτην καὶ ψυχαγωγίας ἕνεκεν ἐνταῦθα παραγίνεται.

Οὐκ ἐχρῆν δὲ οὕτως, ἀλλ' ὥσπερ εἰς διδασκαλεῖον πέμποντες τῶν μαθημάτων ἀπαιτοῦμεν τὰς εὐθύνας, οὕτω καὶ εἰς ἐκκλησίαν πέμποντες, μᾶλλον δὲ ἄγοντες. Οὐ γὰρ ἑτέροις αὐτοὺς ἐπιτρέπειν, ἀλλ' αὐτοὺς κατέχοντας ἐνταῦθα εἰσιέναι ἐχρῆν καὶ τῆς ἐνταῦθα ἀκροάσεως καὶ διδασκαλίας τὴν μνήμην ἀπαι-

---

26. Α' Τιμ. 1,9.
27. Σοφ. Σειρ. 30,7.

Ἂν οἱ πατέρες μεγάλωναν μὲ προσοχὴ τὰ παιδιά τους, δὲ θὰ χρειάζονταν νόμοι καὶ δικαστήρια, οὔτε τιμωρίες καὶ ποινὲς καὶ δημόσιες ἐκτελέσεις, γιατὶ «ὁ νόμος», λέγει, «δὲν ὁρίσθηκε γιὰ τὸ δίκαιο ἄνθρωπο»[26]. Ἐπειδὴ ὅμως τὰ παραμελοῦμε, γι' αὐτὸ τὰ περιβάλλουμε μὲ μεγαλύτερα κακά, τὰ παραδίνουμε στὰ χέρια τῶν δημίων καὶ τὰ σπρώχνουμε συνέχεια στοὺς γκρεμούς. Γιατὶ λέγει, «ἐκεῖνος ποὺ παραχαϊδεύει τὸ παιδί του, θὰ ἐπιδέσει τὶς πληγές του»[27]. Τί σημαίνει «ἐκεῖνος ποὺ τὸ παραχαϊδεύει»; Ἐκεῖνος ποὺ τὸ λυπᾶται, ποὺ τὸ κολακεύει, ποὺ τὸ περιποιεῖται ὑπερβολικά. Γιατὶ αὐτὸ χρειάζεται αὐστηρότητα καὶ φροντίδα καὶ φόβους. Αὐτὰ τὰ λέγω ὄχι γιὰ νὰ εἴμαστε σκληροὶ στὰ παιδιά, ἀλλὰ γιὰ νὰ μὴ φαινόμαστε εὐκαταφρόνητοι σ' αὐτά. Γιατί, ἂν ἡ γυναίκα πρέπει νὰ φοβᾶται τὸν ἄνδρα, πολὺ περισσότερο τὸ παιδὶ τὸν πατέρα. Καὶ μὴ μοῦ λέγεις ὅτι εἶναι ἀδύνατο νὰ ἐπιβληθεῖ κανεὶς στοὺς νέους. Γιατί, ἂν ἀπὸ τὴ χήρα ὁ Παῦλος ἀπαιτεῖ αὐτὴ τὴ φροντίδα, πολὺ περισσότερο ἀπὸ τοὺς ἄνδρες· ἂν ἦταν ἀδύνατο, δὲ θὰ τὸ πρόσταζε. Ὅλη ὅμως ἡ κακία προέρχεται ἀπὸ τὴ δική μας ἀδιαφορία καὶ ἀπὸ τὸ ὅτι δὲν τὰ ὁδηγοῦμε στὴν εὐσέβεια ἀπὸ τὴν ἀρχὴ καὶ ἀπὸ τὴν παιδική τους ἡλικία. Ἀλλά, γιὰ νὰ λάβουν τὴν κοσμικὴ παιδεία καὶ νὰ ὑπηρετήσουν στὸ στρατό, φροντίζουμε καὶ χρήματα δίνουμε καὶ φίλους παρακαλοῦμε καὶ πολὺ τρέχουμε ἐδῶ καὶ ἐκεῖ, ἐνῶ γιὰ νὰ εὐδοκιμήσουν κοντὰ στὸ βασιλιὰ τῶν ἀγγέλων δὲν κάνουμε ἀπολύτως τίποτε. Καὶ στὰ θεάματα βέβαια τὰ ἐπιτρέπουμε νὰ πηγαίνουν συνεχῶς, δὲν τὰ ἀναγκάζουμε ὅμως ποτὲ νὰ πᾶνε στὴν ἐκκλησία, ἀλλὰ καὶ ἂν μιὰ ἢ δυὸ φορὲς ἔρθει τὸ παιδί, ἔρχεται ἐδῶ κατὰ τύχη καὶ χωρὶς λόγο καὶ ἄσκοπα καὶ γιὰ ψυχαγωγία.

Δὲν ἔπρεπε ὅμως νὰ γίνεται ἔτσι, ἀλλὰ ὅπως ὅταν τὸ στέλνουμε στὸ σχολεῖο τοῦ ζητᾶμε εὐθύνες γιὰ τὰ μαθήματα, ἔτσι πρέπει νὰ κάνουμε καὶ ὅταν τὸ στέλνουμε στὴν ἐκκλησία ἢ καλύτερα ὅταν τὸ ὁδηγοῦμε σ' αὐτήν. Γιατὶ δὲν πρέπει νὰ ἀφήνουμε τὰ παιδιά μας σὲ ἄλλους νὰ τὰ πηγαίνουν στὴν ἐκκλησία, ἀλλὰ ἐμεῖς νὰ τὰ κρατᾶμε καὶ νὰ ἐρχόμαστε ἐδῶ μέσα καὶ νὰ

τεῖν ἔδει. Οὕτω γάρ, οὕτω ῥᾴων ἐγίνετο καὶ εὔκολος ἡμῖν ἡ τῶν παίδων διόρθωσις· εἰ γὰρ καὶ ἐν τῇ οἰκίᾳ διαπαντὸς ἤκουον ὑμῶν διαλεγομένων περὶ φιλοσοφίας καὶ συμβουλευόντων αὐτοῖς τὰ δέοντα, καὶ τὰ ἐνταῦθα αὐτοῖς προσετίθετο μετ' ἐκείνων, καὶ ταχέως ἂν τῶν καλῶν τούτων σπερμάτων γενναῖον ἡμῖν ἐπεδείξαντο καρπόν. Ἀλλ' οὐδὲν τούτων ποιοῦμεν, ἀλλὰ πάρεργα ἡμῖν τὰ ἀναγκαῖα· κἂν παραινέσῃ τις περὶ τούτων, γέλως εὐθέως· καὶ διὰ τοῦτο τὰ ἄνω κάτω γεγένηται, καὶ οὓς οὐ παιδεύουσιν οἱ γονεῖς, οἱ ἔξωθεν παιδεύουσι νόμοι.

11. Οὐκ αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, ὅταν τὸν υἱὸν τὸν σὸν ὁ δικαστὴς κολάσῃ καὶ σωφρονέστερον ποιήσῃ καὶ τῆς ἔξωθεν ἐκεῖνος δέηται διορθώσεως, τοσοῦτον ἐξ ἀρχῆς σοι συνοικήσας χρόνον; οὐκ ἐγκαλύπτῃ καὶ καταδύῃ; Τολμᾷς δὲ ὅλως, εἰπέ μοι, πατὴρ ἔτι καλεῖσθαι, οὕτω προδοὺς τὸν υἱὸν καὶ τὴν ἀναγκαίαν οὐκ εἰσενεγκὼν αὐτῷ φοράν, ἀλλὰ περιιδὼν ὑπὸ πάσης διαφθαρέντα κακίας; Κἂν μὲν δραπέτην τινὰ ἴδῃς ῥαπίζοντα τὸ παιδίον, ἀγανακτεῖς καὶ ὀργίζῃ καὶ δυσχεραίνεις, θηρίου χαλεπώτερον ἐπιπηδήσας τῇ τοῦ τυπτήσαντος ὄψει, τὸν δὲ διάβολον καθ' ἑκάστην ἡμέραν ὁρῶν αὐτὸν ῥαπίζοντα, δαίμονας εἰς ἁμαρτήματα ἐνάγοντας, καθεύδεις καὶ οὐκ ἀγανακτεῖς, οὐδὲ ἐξαρπάζεις τοῦ χαλεπωτάτου θηρίου τὸν υἱόν; Πάλιν ἂν μὲν ὑπὸ δαίμονος ἐνεργῆται, πρὸς πάντας τοὺς ἁγίους τρέχεις, καὶ τοὺς ἐν ταῖς κορυφαῖς τῶν ὀρέων ἐνοχλεῖς, ὥστε αὐτὸν τῆς μανίας ἀπαλλάξαι ἐκείνης, ἁμαρτίας δέ, ἣ παντὸς δαίμονός ἐστι χαλεπωτέρα, συνεχῶς ἐνοχλούσης, οὐδὲν πλέον ποιεῖς;

Καὶ τὸ μὲν παρὰ δαίμονος ἐνοχλεῖσθαι χαλεπὸν οὐδέν· οὐ γὰρ εἰς γέενναν ἐμβαλεῖν τὸ δαιμόνιον δύναται πάντως, ἀλλ' ἐὰν νήφωμεν, καὶ στεφάνους ἡμῖν ὁ πειρασμὸς οὗτος οἴσει λαμπροὺς καὶ περιφανεῖς, ὅταν εὐχαρίστως φέρωμεν τὰς τοιαύτας

ἀπαιτοῦμε ἀπ' αὐτὰ τὴν ἀπομνημόνευση τῆς ἐδῶ ἀκρόασης καὶ διδασκαλίας. Γιατὶ ἔτσι, μόνο ἔτσι θὰ γινόταν σὲ μᾶς πιὸ εὔκολη καὶ ἄνετη ἡ διόρθωση τῶν παιδιῶν. Ἂν δηλαδὴ καὶ στὸ σπίτι σᾶς ἄκουαν συνέχεια νὰ συζητᾶτε γιὰ τὴν χριστιανικὴ εὐσέβεια καὶ νὰ τὰ συμβουλεύετε τὰ σωστά, καὶ μαζὶ μὲ ἐκεῖνα προστίθενταν καὶ αὐτά, θὰ μᾶς παρεῖχαν γρήγορα καὶ μάλιστα πλούσιο τὸν καρπὸ ἀπὸ τὰ καλὰ αὐτὰ σπέρματα. Ὅμως τίποτε ἀπ' αὐτὰ δὲν κάνουμε, ἀλλὰ τὰ ἀναγκαῖα θεωροῦνται ἀπὸ μᾶς πάρεργα. Καὶ ἂν συμβουλέψει κανεὶς γι' αὐτά, προκαλεῖται ἀμέσως γέλιο· γι' αὐτὸ καὶ ἀνατράπηκαν τὰ πάντα, καὶ ἐκείνους ποὺ δὲν τιμωροῦν οἱ γονεῖς, τοὺς τιμωροῦν οἱ νόμοι τῆς πολιτείας.

11. Δὲν ντρέπεσαι καὶ δὲν κοκκινίζεις, πές μου, ὅταν ὁ δικαστὴς τιμωρήσει τὸ γιό σου καὶ τὸν κάνει φρονιμότερο, καὶ νὰ φτάνει στὸ σημεῖο νὰ χρειάζεται διόρθωση ἀπὸ τὸν κόσμο, ἂν καὶ ἀπὸ τὴν ἀρχὴ ἔζησε μαζί σου τόσο καιρό; δὲν κρύβεσαι καὶ δὲν ἐξαφανίζεσαι; Καὶ γενικὰ τολμᾶς, πές μου, νὰ ὀνομάζεσαι ἀκόμη πατέρας, ἀφοῦ πρόδωσες ἔτσι τὸν γιό σου καὶ δὲν τοῦ πρόσφερες τὴν ἀπαραίτητη βοήθεια, ἀλλὰ τὸν ἄφησες νὰ διαφθαρεῖ ἀπὸ κάθε κακία; Καὶ ἂν δεῖς κάποιο δραπέτη νὰ χτυπάει τὸ παιδί, ἀγανακτεῖς καὶ ὀργίζεσαι καὶ δυσανασχετεῖς καὶ ὁρμᾶς πιὸ ἄγρια ἀπὸ θηρίο ἐναντίον ἐκείνου ποὺ τὸ χτύπησε, βλέποντας ὅμως καθημερινὰ τὸ διάβολο νὰ τὸ χτυπάει, τοὺς δαίμονες νὰ τὸ ὁδηγοῦν στὰ ἁμαρτήματα, κάθεσαι καὶ δὲν ἀγανακτεῖς οὔτε γλυτώνεις τὸ παιδί σου ἀπὸ τὸ φοβερότατο θηρίο; Ἐπίσης, ἂν κατέχεται ἀπὸ δαιμόνιο, τρέχεις σὲ ὅλους τοὺς ἁγίους καὶ ἐνοχλεῖς καὶ αὐτοὺς ποὺ βρίσκονται στὶς κορυφὲς τῶν βουνῶν, γιὰ νὰ τὸ ἀπαλλάξεις ἀπὸ τὴ μανία αὐτή, βλέποντάς το ὅμως νὰ τὸ ἐνοχλεῖ συνέχεια ἡ ἁμαρτία, ποὺ εἶναι φοβερότερη ἀπὸ κάθε δαιμόνιο, δὲν κάνεις πιὰ τίποτε;

Καὶ τὸ νὰ ἐνοχλεῖται βέβαια κανεὶς ἀπο δαίμονα δὲν εἶναι καθόλου φοβερό· γιατὶ τὸ δαιμόνιο δὲν μπορεῖ ὁπωσδήποτε νὰ μᾶς ρίξει στὴ γέεννα, ἀλλὰ ἂν εἴμαστε προσεκτικοί, ὁ πειρασμὸς αὐτὸς θὰ μᾶς φέρει καὶ στεφάνια λαμπρὰ καὶ περίφημα,

ἐπηρείας· τὸν δὲ ἁμαρτίᾳ συζῶντα ἀμήχανον σωθῆναί ποτε, ἀλλ' ἀνάγκη πάντως καὶ ἐνταῦθα ἐπονείδιστον εἶναι, καὶ ἀπελθόντα ἐκεῖ ἀθάνατα πάλιν κολάζεσθαι. Ἀλλ' ὅμως ταῦτα εἰδότες, ὑπὲρ μὲν τῶν ἐλαττόνων πολλὴν ποιούμεθα σπουδήν, ὑπὲρ δὲ τῶν μειζόνων οὐδὲ διαστῆναι βουλόμεθα· καὶ δαιμονῶντα μὲν ὁρῶντες θρηνοῦμεν, ἁμαρτάνοντα δὲ ὁρῶντες οὐδὲ αἰσθανόμεθα· δέον τότε κατακόπτεσθαι καὶ ὀδύρεσθαι, μᾶλλον δὲ οὐκ ὀδύρεσθαι μόνον, ἀλλὰ καὶ κατέχειν καὶ χαλινοῦν, συμβουλεύειν, παραινεῖν, φοβεῖν, ἐπιτιμᾶν, παντὶ τρόπῳ θεραπείας τὴν ἀρρωστίαν ἀπελαύνειν ἐκείνην, καὶ τὴν χήραν μιμεῖσθαι ταύτην, περὶ ἧς ὁ Παῦλός φησιν· «εἰ ἐτεκνοτρόφησεν».

Οὐ γὰρ πρὸς ἐκείνην μόνον, ἀλλὰ καὶ πρὸς ἅπαντας τοῦτον ἀποτείνει τὸν λόγον, καὶ πᾶσι παραινεῖ λέγων, «ἐκτρέφετε τὰ παιδία ἐν νουθεσίᾳ Κυρίου». Πρῶτον γὰρ τοῦτο καὶ μέγιστόν ἐστι τῶν ἀγαθῶν· ὅπερ οὖν καὶ παρὰ τῆς χήρας πρῶτον ἀπήτησεν· εἶτα μετὰ τοῦτό φησιν, «εἰ ἐξενοδόχησε». Τί λέγεις, εἰπέ μοι; Χήραν γυναῖκα ξενοδοχίαν ἀπαιτεῖς; Οὐ γὰρ ἀρκεῖ τὸ θρέψαι παιδία; Οὐχί, φησίν· ἀλλὰ δεῖ καὶ τοῦτο προσεῖναι, καὶ μετὰ τὴν τῶν οἰκείων προστασίαν, καὶ τῶν ἀλλοτρίων ἔχειν πρόνοιαν χρή, καὶ τὴν οἰκίαν ἀνοῖξαι τοῖς ξένοις. Ἀπῆλθεν ὁ ἀνήρ· πᾶσαν τὴν περὶ ἐκεῖνον σπουδὴν περὶ τοὺς ξένους ἀνάλωσον. Τί οὖν, φησίν, εἰ πένης εἴη; Οὐκ ἔστιν ἐκείνης τῆς χήρας πενεστέρα τῆς ἐν ἀλεύρῳ μικρῷ καὶ ἐλαίου κυάθῳ τὸν μέγαν προφήτην ὑποδεξαμένης τὸν Ἠλίαν. Καὶ γὰρ καὶ ἐκεῖ παιδία παρῆν· ἀλλ' οὔτε ἡ σπάνις τῶν ὄντων, οὔτε ἡ τοῦ λιμοῦ τυραννίς, οὔτε ὁ προσδοκώμενος θάνατος, οὐχ ἡ τῶν παιδίων φροντίς, οὐχ ἡ χηρεία, οὐκ ἄλλο οὐδὲν ἐγένετο κώλυμα τῇ φιλοξένῳ γυναικί.

12. Οὕτω πανταχοῦ οὐ μέτρα οὐσίας, ἀλλὰ μέτρα διανοίας ζητεῖται. Ὁ μεγαλόψυχος καὶ τῇ διανοίᾳ πλούσιος, κἂν ἀπάν-

---

28. Ἐφ. 6,4.
29. Βλ. Γ' Βασ. 17,7-16.

ὅταν ὑπομένουμε μὲ εὐχαρίστηση τὶς ἐπενέργειες αὐτές. Ἀντίθετα ἐκεῖνος ποὺ ζεῖ μέσα στὴν ἁμαρτία εἶναι ἀδύνατο νὰ σωθεῖ ποτέ, ἀλλ' ὁπωσδήποτε εἶναι ἀνάγκη καὶ ἐδῶ νὰ εἶναι ἐπονείδιστη ἡ ζωή του καὶ ὅταν μεταβεῖ ἐκεῖ νὰ τιμωρεῖται πάλι αἰώνια. Ἀλλ' ὅμως, ἂν καὶ τὰ γνωρίζουμε αὐτά, γιὰ τὰ πιὸ ἀσήμαντα φροντίζουμε πάρα πολύ, ἐνῶ γιὰ τὰ σπουδαιότερα δὲ θέλουμε νὰ κάνουμε καμιὰ προσπάθεια. Καὶ ὅταν βλέπουμε κάποιον νὰ δαιμονίζεται θρηνοῦμε, ἐνῶ ὅταν τὸν βλέπουμε νὰ ἁμαρτάνει δὲ συγκινούμαστε, ἂν καὶ ἔπρεπε τότε νὰ κτυπιόμαστε καὶ νὰ ὀδυρόμαστε, ἢ καλύτερα ὄχι νὰ ὀδυρόμαστε μόνο, ἀλλὰ καὶ νὰ τὸν συγκρατοῦμε, νὰ τὸν συμβουλεύουμε, νὰ τὸ φοβίζουμε, νὰ τὸν ἐπιτιμᾶμε, νὰ ἀπομακρύνουμε μὲ κάθε τρόπο θεραπείας τὴν ἀρρώστια ἐκείνην καὶ νὰ μιμούμαστε τὴ χήρα αὐτή, γιὰ τὴν ὁποία ὁ Παῦλος λέγει, «ἂν ἀνέθρεψε παιδιά».

Γιατὶ ὄχι μόνο σ' αὐτήν, ἀλλὰ καὶ σὲ ὅλους ἀπευθύνει αὐτὸν τὸ λόγο καὶ ὅλους τοὺς συμβουλεύει λέγοντας, «νὰ ἀνατρέφετε τὰ παιδιὰ μὲ τὴ νουθεσία τοῦ Κυρίου»[28]. Γιατὶ αὐτὸ εἶναι τὸ πρῶτο καὶ τὸ πιὸ μεγάλο ἀπὸ τὰ ἀγαθά, καὶ αὐτὸ ἀκριβῶς ζήτησε πρῶτα καὶ ἀπὸ τὴ χήρα. Ὕστερα μετὰ ἀπ' αὐτὸ λέγει, «ἂν φιλοξένησε». Πές μου, τί λέγεις; Ἀπὸ χήρα γυναίκα ἀπαιτεῖς φιλοξενία; Δὲν ἀρκεῖ δηλαδὴ τὸ νὰ ἀναθρέψει παιδιά; Ὄχι, λέγει, ἀλλὰ πρέπει καὶ αὐτὸ νὰ προστεθεῖ, καὶ μετὰ τὴν προστασία τῶν δικῶν της πρέπει νὰ φροντίζει καὶ γιὰ τοὺς ξένους καὶ νὰ τοὺς ἀνοίξει τὸ σπίτι της. Πέθανε ὁ ἄνδρας σου· ὅλη τὴ φροντίδα σου γιὰ ἐκεῖνον ξόδεψέ την γιὰ τοὺς ξένους. Τί λοιπόν, λέγει, ἂν εἶναι φτωχή; Δὲν εἶναι φτωχότερη ἀπὸ τὴ χήρα ἐκείνη ποὺ μὲ λίγο ἀλεύρι καὶ ἕνα κύπελλο λάδι φιλοξένησε τὸ μεγάλο προφήτη τὸν Ἠλία[29]. Γιατὶ καὶ ἐκεῖ ὑπῆρχαν παιδιά· ἀλλὰ οὔτε ἡ ἔλλειψη τῶν ἀγαθῶν, οὔτε ἡ δυστυχία τῆς πείνας, οὔτε ὁ ἀναμενόμενος θάνατος, οὔτε ἡ φροντίδα τῶν παιδιῶν, οὔτε ἡ χηρεία, οὔτε τίποτε ἄλλο ἔγινε ἐμπόδιο στὴ φιλόξενη γυναίκα.

12. Ἔτσι παντοῦ δὲ ζητεῖται τὸ μέτρο τῆς περιουσίας ἀλλὰ τὸ μέτρο τῆς διάθεσης. Ὁ μεγαλόψυχος καὶ πλούσιος στὴ διά-

των ἀνθρώπων πενέστερος ἐν χρήμασιν ᾖ, πάντας ὑπερβῆναι δυνήσεται καὶ φιλοξενίᾳ καὶ ἐλεημοσύνῃ καὶ τῇ λοιπῇ πάσῃ φιλοφροσύνῃ· ὁ μικρολόγος καὶ πτωχὸς τὴν διάνοιαν καὶ χαμαὶ ἕρπων, κἂν ἁπάντων εὐπορώτερος ᾖ, πάντων ἐστὶ πτωχότερος καὶ ἀπορώτερος· διὰ τοῦτο πρὸς τὰ τοιαῦτα ἅπαντα ὀκνεῖ καὶ ἀναδύεται. Καὶ ὥσπερ οὐδὲν ἐπὶ τοῦ πένητος ἡ πενία γένοιτ' ἂν κώλυμα πρὸς ἐλεημοσύνην διὰ τὸν τῆς διανοίας πλοῦτον, οὕτως οὐδὲν ἐπὶ τοῦ πλουτοῦντος ἡ εὐπορία συμπρᾶξαι δυνήσεται πρὸς τὴν φιλοφροσύνην διὰ τὴν τῆς διανοίας πενίαν. Καὶ τὰ παραδείγματα ἐγγύθεν· ἡ μὲν γὰρ χήρα καὶ ἐν ἀλεύρῳ μικρῷ τὸν προφήτην ἐδέξατο, ὁ δὲ Ἀχαὰβ τοσοῦτον κεκτημένος πλοῦτον, καὶ τῶν ἀλλοτρίων ἐπεθύμησεν.

Οὕτως οὐκ ἔστι χρημάτων πλοῦτος, ἀλλὰ πλοῦτος διανοίας ὁ παρέχων ἡμῖν εὐκολίαν περὶ τὴν ἐλεημοσύνην· ἐπεὶ καὶ ἡ χήρα ἐκείνη διὰ δύο μόνον ὀβολῶν μυρίους πλουσίους ὑπερηκόντισε καὶ οὐκ ἐγένετο κώλυμα ἡ πενία. Αὕτη μὲν οὖν ἡ πενία μείζονα τὴν ἐλεημοσύνην εἰργάσατο· ὅπερ οὖν καὶ ὁ Παῦλός φησιν, «ἡ κατὰ βάθους πτωχεία ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν». Οὐ γὰρ τοῦτο χρὴ σκοπεῖν, ὅτι δύο κατέβαλεν ὀβολούς, ἀλλ' ὅτι μόνους ἔχουσα τούτους, οὐκ ἐφείσατο, ἀλλ' ὁλόκληρον τὴν οὐσίαν εἰσήνεγκε, θαυμάζειν αὐτὴν χρὴ καὶ στεφανοῦν. Οὐ τοίνυν περιουσίας, ἀλλὰ προθυμίας ἡμῖν δεῖ, ὅταν ὑποδεχώμεθα ξένους. Ὥσπερ γὰρ ταύτης παρούσης οὐδὲν βλάβος γένοιτ' ἂν ἐξ εὐπορίας.

Τί λέγεις; Παιδίων ἐπιμελεῖται ἡ χήρα καὶ διὰ τοῦτο οὐκ ἂν δύναιτο θεραπεύειν ξένους; Δι' αὐτὸ μὲν οὖν τοῦτο εὐκολώτερον τοῦτο ἐργάσεται, κοινωνοὺς ἔχουσα τῆς θεραπείας τοὺς υἱούς, συναντιλαμβανομένους καὶ συνεφαπτομένους αὐτῇ τῆς καλῆς ταύτης πραγματείας. Ὥστε οὐ κώλυμα, ἀλλὰ βοήθεια τῆς φιλοξενίας ἔσται τῶν παίδων τὸ πλῆθος, καὶ ἡ πολυχειρία

30. Βλ. Γ' Βασ. 20,16.
31. Βλ. Λουκᾶ. 21,1–4.
32. Β' Κορ. 8,2.

θεση, καὶ ἂν ἀκόμη εἶναι ὁ φτωχότερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους σὲ χρήματα, θὰ μπορέσει νὰ τοὺς ξεπεράσει ὅλους καὶ στὴ φιλοξενία καὶ στὴν ἐλεημοσύνη καὶ σὲ ὅλη τὴν ἄλλη φιλοφροσύνη· ὁ μικροπρεπὴς καὶ φτωχὸς στὴ διάθεση καὶ ποὺ εἶναι κολλημένος στὰ γήινα, ἔστω καὶ ἂν εἶναι πλουσιότερος ἀπ' ὅλους, εἶναι ἀπ' ὅλους πιὸ φτωχὸς καὶ πιὸ ἄπορος· γι' αὐτὸ σὲ ὅλα αὐτὰ διστάζει καὶ ὑποχωρεῖ. Καὶ ὅπως στὸ φτωχὸ ἡ φτώχεια δὲν μπορεῖ νὰ γίνει κανένα ἐμπόδιο γιὰ ἐλεημοσύνη ἐξ αἰτίας τοῦ πλούτου τῆς διάθεσης, ἔτσι στὸν πλούσιο δὲ θὰ μπορέσει καθόλου ὁ πλοῦτος νὰ βοηθήσει στὴ φιλοφροσύνη ἐξ αἰτίας τῆς φτώχειας τῆς διάθεσης. Καὶ τὰ παραδείγματα εἶναι κοντά μας· γιατὶ ἡ χήρα καὶ μὲ λίγο ἀλεύρι φιλοξένησε τὸν προφήτη, ἐνῶ ὁ Ἀχαάβ, ἂν καὶ κατεῖχε τόσο πλοῦτο, ἐπιθύμησε καὶ τὰ ξένα πράγματα[30].

Ἔτσι δὲν εἶναι ὁ πλοῦτος τῶν χρημάτων, ἀλλὰ ὁ πλοῦτος τῆς διάθεσης ποὺ μᾶς παρέχει εὐκολία γιὰ τὴν ἐλεημοσύνη. Γιατὶ καὶ ἡ χήρα ἐκείνη μὲ δύο μόνο ὀβολοὺς ξεπέρασε ἄπειρους πλούσιους καὶ ἡ φτώχεια δὲν τῆς ἔγινε ἐμπόδιο[31]. Αὐτὴ λοιπὸν ἡ φτώχεια ἔκανε μεγαλύτερη τὴν ἐλεημοσύνη, πράγμα ποὺ καὶ ὁ Παῦλος λέγει· «ἡ ἔσχατη φτώχεια τους ξεχείλισε σὲ πλούσια γενναιοδωρία»[32]. Γιατὶ δὲν πρέπει νὰ ἐξετάζουμε αὐτό, τὸ ὅτι δηλαδὴ ἔρριξε δύο ὀβολούς, ἀλλὰ ὅτι, παρ' ὅλο ποὺ εἶχε αὐτοὺς μόνο, δὲν τοὺς λυπήθηκε, ἀλλὰ πρόσφερε ὁλόκληρη τὴν περιουσία της, καὶ γι' αὐτὸ πρέπει νὰ τὴ θαυμάζουμε καὶ νὰ τὴν ἐπαινοῦμε. Δὲ χρειαζόμαστε λοιπὸν περιουσία, ἀλλὰ προθυμία, ὅταν φιλοξενοῦμε ξένους. Ὅπως ὅταν ὑπάρχει αὐτὴ δὲν μπορεῖ νὰ προέλθει καμιὰ βλάβη ἀπὸ τὴ φτώχεια, ἔτσι ὅταν ἀπουσιάζει δὲ θὰ προκύψει κανένα ὄφελος ἀπὸ τὸν πλοῦτο.

Τί λέγεις; Φροντίζει παιδιὰ ἡ χήρα καὶ γι' αὐτὸ δὲ θὰ μπορέσει νὰ περιποιεῖται ξένους; Ἀκριβῶς γι' αὐτὸ θὰ τὸ κάνει τοῦτο πιὸ εὔκολα, γιατὶ ἔχει βοηθοὺς στὴν περιποίηση τὰ παιδιά της, ποὺ τὴ συμπαραστέκονται καὶ τὴ βοηθοῦν στὸ καλὸ αὐτὸ ἔργο. Ὥστε τὰ πολλὰ παιδιὰ δὲ θὰ εἶναι ἐμπόδιο ἀλλὰ βοήθεια γιὰ τὴ φιλοξενία καὶ τὰ πολλὰ χέρια θὰ διευκολύνουν

πολλὴν τῇ διακονίᾳ παρέξει τὴν εὐκολίαν. Μὴ γάρ μοι πολυτελῆ τράπεζαν εἴπῃς· ἂν εἰς τη οἰκίαν δέξηται τὸν ξένον, ἂν τὰ ὄντα παραθῇ, ἂν πολλὴν ἐπιδείξηται τὴν φιλοφροσύνην, ἀπήρτισται τῆς ξενοδοχίας ὁ καρπὸς ἅπας. Εἰ γὰρ ποτήριον ψυχροῦ μόνον βασιλείαν οὐρανῶν προξενεῖ, τὸ καὶ ὁμωρόφιον ποιῆσαι καὶ τραπέζης κοινωνὸν καὶ ἀναπαῦσαι, πόσον οἴσει τὸν καρπόν, εἰπέ μοι;

Σκόπει δή μοι Παύλου τὴν ἀκρίβειαν. Οὐ γὰρ ἁπλῶς ξενοδοχίαν ἐνταῦθα ἀπαιτεῖ, ἀλλὰ τὴν μετὰ προθυμίας καὶ ζεούσης ψυχῆς καὶ διανοίας θερμῆς. Εἰπὼν γάρ, «εἰ ἐξενοδόχησεν», ἐπήγαγεν· «εἰ ἁγίων πόδας ἔνιψεν». Οὐ θεραπαινίσιν ἐπιτρέπειν χρὴ αὐτὴν μετὰ τύφου καθημένην τοῦ ξένου τὴν θεραπείαν, ἀλλ' αὐτουργὸν γενέσθαι, καὶ τὸν καρπὸν ἁρπάζειν, καὶ μηδενὶ παραχωρεῖν τοῦ καλοῦ τούτου θησαυροῦ. Καὶ πῶς τοῦτο γένοιτ' ἄν, φησίν; εἰ γὰρ εὐγενὴς εἴη καὶ περιφανὴς καὶ λαμπρὰ καὶ ἐπίσημος ἐκ προγόνων, αὐτὴ τοῦ ξένου νίψει τοὺς πόδας; καὶ πῶς οὐκ αἰσχρόν; Αἰσχρὸν μὲν οὖν τὸ μὴ νίπτειν, ἄνθρωπε. Κἂν γὰρ μυριάκις αὐτῆς τὴν εὐγένειαν ἐπάρῃς καὶ τὴν περιφάνειαν, καὶ τὴν λαμπρότητα, τῆς αὐτῆς μετέχει τῷ νιπτομένῳ φύσεως, καὶ σύνδουλός ἐστι τοῦ θεραπευομένου καὶ ὁμότιμος.

13. Ἐννόησον τίς τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ παῦσαί μοι περὶ εὐγενείας διαλεγόμενος. Ὁ κοινὸς τῆς οἰκουμένης Δεσπότης, ὁ τῶν ἀγγέλων βασιλεὺς καὶ ἔνιψε καὶ λέντιον περιεζώσατο, καὶ οὐχὶ τῶν μαθητῶν μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ προδότου. Εἶδες πόσον τὸ μέσον τοῦ νίπτοντος καὶ τῶν νιπτομένων; Ἀλλ' ὅμως τὸ μέσον ἅπαν τοῦτο κατέβη, καὶ ὁ Δεσπότης τὸν δοῦλον ἔνιψεν, ἵνα ἡ δούλη τὸν σύνδουλον μὴ ἐπαισχύνηται. Διὰ τοῦτο καὶ τοῦ προδότου, ἵνα μὴ μέλλῃς λέγειν, ὅτι εὐτελὴς καὶ εὐκαταφρόνητος ὁ μέλλων ἀπολαύειν τῆς θεραπείας. Εἰ γὰρ καὶ εὐτελὴς καὶ εὐκαταφρόνητος, ἀλλ' οὔπω κατὰ τὸν Ἰούδαν

33. Βλ.Ἰω. 13,1-20.

πολὺ στὴ διακονία αὐτή. Καὶ μὴ μοῦ πεῖς γιὰ πλούσιο τραπέζι. Ἂν δεχθεῖ κανεὶς τὸν ξένο στὸ σπίτι, ἂν τοῦ παραθέσει ὅ,τι ἔχει, ἂν τοῦ δείξει πολλὴ φιλοφροσύνη, ὁλοκληρώθηκε ὅλος ὁ καρπὸς τῆς φιλοξενίας. Γιατί, ἂν μόνο ἕνα ποτήρι κρύο νερὸ χαρίζει τὴ βασιλεία τῶν οὐρανῶν, πές μου, τὸ νὰ δεχθοῦμε κάποιον στὸ σπίτι μας, νὰ τοῦ παραθέσουμε τραπέζι καὶ νὰ τὸν ξεκουράσουμε, πόσο καρπὸ θὰ φέρει;

Πρόσεχε, σὲ παρακαλῶ, τὴν ἀκρίβεια τοῦ Παύλου. Γιατὶ δὲ ζητάει ἁπλῶς φιλοξενία ἐδῶ, ἀλλὰ τὴ φιλοξενία ποὺ γίνεται μὲ προθυμία, μὲ φλογερὴ ψυχὴ καὶ θερμὴ διάθεση. Γιατὶ ἀφοῦ εἶπε, «ἂν φιλοξένησε», πρόσθεσε· «ἂν ἔπλυνε πόδια ἁγίων». Δὲν πρέπει ν' ἀφήσει τὴν περιποίηση τοῦ ξένου στὶς ὑπηρέτριες, ἐνῶ αὐτὴ θὰ κάθεται ἀλαζονικά, ἀλλὰ νὰ ἐργάζεται ἡ ἴδια καὶ νὰ ἁρπάξει τὸν καρπὸ καὶ σὲ κανέναν νὰ μὴ δίνει ἀπὸ τὸν καλὸ αὐτὸν θησαυρό. Καὶ πῶς, λέγει, μπορεῖ νὰ γίνει αὐτό; Γιατὶ ἂν εἶναι εὐγενικῆς καταγωγῆς καὶ ἀπὸ ξακουστοὺς καὶ ἔνδοξους καὶ διάσημους προγόνους, ἡ ἴδια θὰ πλύνει τὰ πόδια τοῦ ξένου; Καὶ πῶς δὲν εἶναι αἰσχρὸ αὐτό; Αἰσχρὸ εἶναι, ἄνθρωπε, τὸ νὰ μὴ τὰ πλύνει. Γιατὶ καὶ ἂν ἀκόμη ἐξυψώσεις πάρα πολὺ τὴν εὐγενική της καταγωγή, τὴ δόξα καὶ τὴ λαμπρότητά της, ἔχει τὴν ἴδια φύση μ' αὐτὸν ποὺ τοῦ πλύνει τὰ πόδια καὶ εἶναι σύνδουλη καὶ ἰσότιμη μ' αὐτὸν ποὺ περιποιεῖται.

13. Σκέψου ποιός ἔπλυνε τὰ πόδια τῶν μαθητῶν καὶ πάψε νὰ μοῦ μιλᾶς γιὰ εὐγένεια. Ὁ Κύριος ὅλης τῆς οἰκουμένης, ὁ βασιλιὰς τῶν ἀγγέλων, καὶ ἔπλυνε καὶ ζώσθηκε μιὰ ποδιά, καὶ ὄχι τῶν μαθητῶν μόνο ἀλλὰ καὶ τοῦ ἴδιου τοῦ προδότη[33]. Εἶδες πόση διαφορὰ ὑπῆρχε ἀνάμεσα σ' ἐκεῖνον ποὺ ἔπλυνε τὰ πόδια τους καὶ σ' ἐκείνους ποὺ πλύνονταν; Ἀλλ' ὅμως ὅλη αὐτὴ ἡ διαφορὰ ἰσοπεδώθηκε καὶ ὁ Κύριος ἔπλυνε τὸ δοῦλο, γιὰ νὰ μὴν ντρέπεται ἡ δούλη τὸ σύνδουλό της. Γι' αὐτὸ ἔπλυνε καὶ τὰ πόδια τοῦ προδότη, γιὰ νὰ μὴν μπορεῖς νὰ λέγεις ὅτι εἶναι τιποτένιος καὶ εὐκαταφρόνητος αὐτὸς ποὺ πρόκειται ν' ἀπολαύσει τὴν περιποίηση. Γιατὶ ἂν εἶναι τιποτένιος καὶ εὐκαταφρόνητος, δὲν εἶναι ὅμως ὅπως ὁ Ἰούδας, οὔτε σοῦ συμπεριφέρθηκε ἔτσι

ἐστίν, οὐδὲ τοιαῦτά σοι διέθηκεν, οἷα τὸν Δεσπότην ἐκεῖνος, μετὰ τὰς μυρίας εὐεργεσίας ἐπὶ προδοσίαν ἐλθών. Ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς ἔνιψεν, ἡμῖν νόμους τιθείς, ἵνα κἂν ἁπάντων ὦμεν ὑψηλότεροι, κἂν ἁπάντων λαμπρότεροι καὶ περιφανέστεροι, κἂν ἁπάντων χείρους οἱ μέλλοντες πρὸς ἡμᾶς κατάγεσθαι, μὴ διὰ τοῦτο αὐτῶν φεύγωμεν τὴν θεραπείαν, μηδὲ τὴν εὐτέλειαν ἐπαισχυνώμεθα.

Σὺ δέ, ὦ γύναι, ἐὰν μέν τινα ἴδῃς ἐν τοῖς βιωτικοῖς σοι βοηθοῦντα πράγμασιν, ἢ ἐν δικαστηρίῳ συμπράττοντα ἢ ἐν ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἀπαντᾷς καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐνοίας καὶ χεῖρας καταφιλεῖς καὶ ἀργύριον καταβάλλεις καὶ τὰ τῶν θεραπαινίδων ποιεῖς, ἂν δὲ τὸν Χριστὸν εἰσελθόντα ἴδῃς, ὀκνεῖς καὶ καταδύῃ πρὸς τὴν αὐτοῦ θεραπείαν; Εἰ μὴ ὡς τὸν Χριστὸν δέχῃ τὸν ξένον, μὴ δέξῃ· εἰ δὲ ὡς τὸν Χριστὸν δέχῃ, μὴ ἐπαισχυνθῇς τοῦ Χριστοῦ νίψαι τοὺς πόδας. Οὐχ ὁρᾷς πόσοι τῶν ἐπηρεαζομένων εἰς ἀνδριάντων κατέφυγον πόδας; Καίτοι γε ἀναίσθητος ἡ ὕλη καὶ ἄψυχος ὁ χαλκός, ἀλλ' ὅμως ἐπειδὴ βασιλέων εἰσὶν εἰκόνες, προσεδόκησάν τινα καρπώσασθαι παρὰ τῶν ποδῶν ἐκείνων ὠφέλειαν. Σὺ δὲ οὐκ ἀναισθήτους πόδας, οὐδὲ ἄψυχον ὕλην, ἀλλ' εἰκόνα ἔνδον ἔχουσαν τὸν βασιλέα θεωροῦσα πρὸς σὲ εἰσιοῦσαν, οὐ προστρέχεις, εἰπέ μοι, καὶ τοὺς πόδας κατέχεις, καὶ παντὶ θεραπεύῃ τρόπῳ;

Καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; πόσης δὲ οὐκ ἂν εἴη τοῦτο αἰσχύνης; Ἐννόησον τίνι κοινωνεῖς φυσωμένη καὶ πρὸς ἀλαζονείαν ἐπαιρομένη καὶ τοῦ ξένου τὴν θεραπείαν αἰσχυνομένη. Τῷ διαβόλῳ δηλονότι· ἐκείνου γὰρ ἡ ὑπερηφανία νόσημα. Ἂν δὲ προσδράμῃς, ἐννόησον τίνα μιμῇ. Τὸν Δεσπότην τὸν σὸν καὶ τὸ τοῦ Χριστοῦ ποιεῖς ἔργον. Ποία τοίνυν αἰσχύνη ἢ ποῖον ὄνειδος τῷ Δεσπότῃ κοινωνεῖν, εἰπέ μοι; Αἰσχύνη μὲν οὖν τὸ ταῦτα ἐπαισχύνεσθαι καὶ νομίζειν ὄνειδος εἶναι, ὅπερ ἐποίησεν ὁ Χρι-

ὅπως ἐκεῖνος στὸν Κύριο, ἀφοῦ ὕστερα ἀπὸ ἄπειρες εὐεργεσίες ἔφθασε στὴν προδοσία. Ἀλλά, ἂν καὶ τὰ γνώριζε ἀπὸ πρὶν ὅλα αὐτά, ὅμως ἔπλυνε τὰ πόδια του, ὁρίζοντας σὲ μᾶς νόμο, καὶ ἂν ἀκόμη εἴμαστε ἀπ' ὅλους ἀνώτεροι καὶ ἀπ' ὅλους λαμπρότεροι καὶ διασημότεροι, καὶ ἂν αὐτοὶ ποὺ πρόκειται νὰ καταλύσουν σ' ἐμᾶς εἶναι χειρότεροι ἀπ' ὅλους, νὰ μὴν ἀποφεύγουμε γι' αὐτὸ τὴν περιποίηση οὔτε νὰ ντρεπόμαστε γιὰ τὸ ὅτι εἶναι ἀσήμαντοι.

Ἐσὺ ὅμως, γυναίκα, ἂν δεῖς κάποιον νὰ σὲ βοηθάει στὰ βιοτικὰ πράγματα ἢ νὰ σοῦ συμπαραστέκεται στὸ δικαστήριο ἢ σὲ κάτι ἄλλο τέτοιο, καὶ τρέχεις γιὰ συνάντησή του καὶ μὲ πολλὴ χαρὰ τὸν δέχεσαι καὶ τὰ χέρια του φιλεῖς καὶ χρήματα τοῦ δίνεις καὶ κάνεις αὐτὰ ποὺ κάνουν οἱ ὑπηρέτριες. Ἂν ὅμως δεῖς νὰ μπαίνει σπίτι σου ὁ Χριστός, κρύβεσαι καὶ διστάζεις γιὰ τὴν περιποίησή του; Ἂν δὲ δέχεσαι σὰν τὸ Χριστὸ τὸν ξένο, νὰ μὴν τὸν δεχθεῖς, ἂν ὅμως τὸν δέχεσαι σὰν τὸ Χριστό, νὰ μὴ ντραπεῖς νὰ πλύνεις τὰ πόδια τοῦ Χριστοῦ. Δὲ βλέπεις πόσοι ἀπ' αὐτοὺς ποὺ ἀδικοῦνται κατέφυγαν στὰ πόδια τῶν ἀνδριάντων; Ἂν καὶ βέβαια ἡ ὕλη εἶναι ἀναίσθητη καὶ ὁ χαλκὸς ἄψυχος, ὅμως ἐπειδὴ εἶναι εἰκόνες βασιλέων περίμεναν νὰ κερδίσουν κάποια ὠφέλεια ἀπὸ ἐκεῖνα τὰ πόδια. Ἐσὺ ὅμως ὄχι ἀναίσθητα πόδια οὔτε ἄψυχη ὕλη ἀλλὰ εἰκόνα, ποὺ ἔχει μέσα της τὸ βασιλιά, βλέπεις νὰ ἔρχεται σὲ σένα, καὶ δὲν τρέχεις κοντά της, πές μου, καὶ δὲν κρατᾶς τὰ πόδια της καὶ δὲν τὴν περιποιεῖσαι μὲ κάθε τρόπο;

Καὶ πῶς αὐτὰ εἶναι ἄξια γιὰ συγγνώμη; γιὰ πόση ντροπὴ δὲν εἶναι ἄξιο αὐτό; Σκέψου μὲ ποιόν μοιάζεις ὅταν φουσκώνεις καὶ ὑπερηφανεύεσαι ἀλαζονικὰ καὶ ντρέπεσαι γιὰ τὴν περιποίηση τοῦ ξένου. Μὲ τὸ διάβολο δηλαδή· γιατὶ ἐκείνου ἀρρώστια εἶναι ἡ ὑπερηφάνεια. Ἂν ὅμως τρέξεις κοντά του, σκέψου ποιόν μιμεῖσαι. Τὸν Κύριό σου καὶ κάνεις τὸ ἔργο τοῦ Χριστοῦ. Πές μου λοιπόν, ποιά ντροπὴ ἢ ποιό ὄνειδος εἶναι νὰ συμμετέχεις στὸ ἔργο τοῦ Χριστοῦ; Ντροπὴ εἶναι τὸ νὰ ντρέπεται κανεὶς αὐτὰ καὶ νὰ θεωρεῖ πὼς εἶναι ὄνειδος αὐτὸ ποὺ ἔκανε ὁ

στός. Μεγάλα δύνανται πόδες ἁγίων εἰς οἰκίαν εἰσιόντες· αὐτὸ τὸ ἔδαφος ἁγιάζουσι, θησαυρὸν μυρίων εἰσάγουσιν ἀγαθῶν, φύσιν πεπηρωμένην διορθοῦνται, λιμὸν λύουσι, πολλὴν εἰσάγουσι τὴν εὐπορίαν.

Οὕτω καὶ οἱ πόδες τοῦ Ἠλίου εἰς τὴν οἰκίαν τῆς χήρας εἰσελθόντες καινόν τινα καὶ παράδοξον εὐετηρίας ἐπεδείξαντο τρόπον. Ἄρουραν τὴν οἰκίαν τῆς χήρας ἐποίησε καὶ τὴν ὑδρίαν ἅλωνα. Καινός τις τρόπος σπόρου καὶ ἀμητοῦ ἐγίνετο τότε· ἔσπειρεν εἰς τὸ τοῦ δικαίου στόμα, καὶ τὰ καταβληθέντα μετὰ πολλῆς τῆς ἀφθονίας ἐκ τῆς ὑδρίας ἐθέριζεν· ἔσπειρεν ἄλευρον, καὶ ἐθέριζεν ἄλευρον· οὐκ ἐδεήθη βοῶν καὶ ζεύγους καὶ ἀρότρου καὶ αὔλακος, οὐδε ὑετοῦ καὶ ἀέρος καὶ δρεπάνης, οὐδὲ ἅλωνος καὶ δραγμάτων, οὐδὲ ἀνέμων διακρινόντων ἀπὸ τοῦ καρποῦ τὰ ἄχυρα, οὐδὲ μύλης τριβούσης, ἀλλὰ ἐν μιᾷ καιροῦ ῥοπῇ τούτων ἁπάντων τὸ τέλος εὗρεν ἐπὶ τῆς ὑδρίας· καὶ δύο πηγάς, τὴν μὲν ἀλεύρου, τὴν δὲ ἐλαίου διηνεκῶς ἀνῆκεν ἡ τοῦ προφήτου φωνή.

14. Τοιαῦτα τῶν ἁγίων τὰ δῶρα, καὶ δαψίλειαν καὶ εὐκολίαν ἔχει πολλήν. Τὰ μὲν γὰρ ἀπὸ τῆς γῆς δρεπόμενα δαπανᾶται, ἐκεῖναι δὲ αἱ πηγαὶ ἀντλούμεναι καθημέραν οὐκ ἐκενώθησαν, ἀλλ' ἦν ἰσοστάσιος πρὸς τὴν ἐκκένωσιν τῆς ἐπιρροῆς ἡ μάχη. Τοιαῦτα χαρίζονται πόδες ἁγίων, μᾶλλον δὲ καὶ πολλῷ πλείονα τούτων· καὶ εἰ μὴ μακρὸν ἐποίουν τὸν λόγον, πολλὰς ἂν ἀπηριθμησάμην τοιαύτας δωρεάς. Ἀλλ' ὥσπερ τιμώμενοι τοιαῦτα φέρουσι δῶρα, οὕτως ἀτιμαζόμενοι μεγάλην ἐπάγουσι κόλασιν καὶ πῦρ ἀπαραίτητον. Πόθεν τοῦτο δῆλον; Ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· «εἰς ἣν ἂν πόλιν ἢ οἰκίαν εἰσέλθητε, ἐρωτήσατε τίς ἄξιός ἐστιν ἐν αὐτῇ, κἀκεῖ μείνατε, καὶ εἰσερχόμενοι λέγετε, 'εἰρήνη τῇ οἰκίᾳ ταύτῃ'». Ἵνα γὰρ μὴ λέγῃς, δαπανῶ τὰ χρήματα, ἀναλίσκω τὴν οὐσίαν, τράπεζαν παρατιθεῖσα τοῖς ξένοις, αὐτὸν πρότερον τὸν εἰσιόντα παρασκευάζει σοι κομίσαι ξένια καὶ δῶρα πᾶσαν ὑπερβαίνοντα πε-

34. Ματθ. 10,11–12.

Χριστός. Μεγάλα πράγματα μποροῦν τὰ πόδια τῶν ἁγίων ὅταν μπαίνουν σὲ σπίτι· ἁγιάζουν αὐτὸ τὸ ἴδιο τὸ ἔδαφος, εἰσάγουν θησαυρὸ ἄπειρων ἀγαθῶν, διορθώνουν ἀνάπηρη φύση, καταργοῦν τὴν πείνα, εἰσάγουν πολὺ πλοῦτο.

Ἔτσι καὶ τὰ πόδια τοῦ Ἠλία μπαίνοντας στὸ σπίτι τῆς χήρας ἔδειξαν ἕνα καινούριο καὶ παράδοξο τρόπο πλούσιας περιόδου. Ἔκαναν χωράφι τὸ σπίτι τῆς χήρας καὶ ἀλώνι τὴ στάμνα. Ἕνας καινούριος τρόπος σπορᾶς καὶ θερισμοῦ γινόταν τότε. Ἔσπειρε στὸ στόμα τοῦ δικαίου καὶ αὐτὰ ποὺ ἔρριξε τὰ θέριζε μὲ πολλὴ ἀφθονία ἀπὸ τὴ στάμνα. Ἔσπερνε ἀλεύρι καὶ θέριζε ἀλεύρι. Δὲ χρειάσθηκε βόδια καὶ χωράφι καὶ ἄροτρο καὶ αὐλάκι, οὔτε βροχὴ καὶ ἀέρας καὶ δρεπάνι, οὔτε ἀλώνι καὶ δεμάτια, οὔτε ἄνεμοι νὰ ξεχωρίζουν τὰ ἄχυρα ἀπὸ τὸν καρπό, οὔτε μυλόπετρα νὰ τρίβει, ἀλλὰ μέσα σὲ μιὰ στιγμὴ βρῆκε τὸ ἀποτέλεσμα ὅλων αὐτῶν στὴ στάμνα· καὶ ἡ φωνὴ τοῦ προφήτη ἄνοιγε γιὰ πάντα δύο πηγές, τὴ μία ἀπὸ ἀλεύρι καὶ τὴν ἄλλη ἀπὸ λάδι.

14. Τέτοια εἶναι τὰ δῶρα τῶν ἁγίων, παρέχουν μεγάλη ἀφθονία καὶ μὲ πολλὴ εὐκολία. Γιατὶ ἐκεῖνα ποὺ καρπούμαστε ἀπὸ τὴ γῆ ξοδεύονται, ἐνῶ οἱ πηγὲς ἐκεῖνες, ἂν καὶ ἀντλοῦνταν καθημερινά, δὲν ἄδειασαν, ἀλλ' ἦταν ἰσοδύναμο τὸ ἄδειασμα μὲ τὸ γέμισμα. Τέτοια χαρίζουν τὰ πόδια τῶν ἁγίων, ἢ καλύτερα καὶ πολὺ περισσότερα ἀπ' αὐτά, καὶ ἂν δὲν ἔκαμνα μακρὸ τὸ λόγο, θὰ ἀριθμοῦσα πολλὲς τέτοιες δωρεές. Ἀλλὰ ὅπως ὅταν τιμοῦνται φέρνουν τέτοια δῶρα, ἔτσι ὅταν ἀτιμάζονται προκαλοῦν μεγάλη τιμωρία καὶ φωτιὰ ἀναπόφευκτη. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἄκουσε τὸν ἴδιο τὸ Χριστὸ νὰ λέγει στοὺς μαθητές του· «σὲ ὅποια πόλη ἢ σπίτι θὰ μπαίνετε, ἐξετάστε ποιός εἶναι ἄξιος σ' αὐτό, καὶ ἐκεῖ νὰ μένετε, καὶ ὅταν μπαίνετε σὲ σπίτι νὰ λέτε, εἰρήνη σ' αὐτὸ τὸ σπίτι»[34]. Γιὰ νὰ μὴ λέγεις λοιπόν, δαπανῶ τὰ χρήματα, ξοδεύω τὴν περιουσία παραθέτοντας τραπέζι στοὺς ξένους, ἑτοιμάζει πρῶτα ἐκεῖνον ποὺ μπαίνει στὸ σπίτι νὰ σοῦ φέρει δῶρα φιλοξενίας καθὼς καὶ ἄλλα ποὺ ξεπερ-

ριουσίαν. Ποῖα δὴ ταῦτα; Τῆς εἰρήνης τὴν χορηγίαν. Ταύτης γὰρ ἴσον οὐδέν.

Ὁρᾷς μεθ' ὅσης εὐπορίας ὁ ἅγιος εἰσέρχεται εἰς τὴν οἰκίαν; Τὸ ρῆμα τοῦτο ψιλὸν μέν ἐστι, μυρίων δὲ ἀγαθῶν ὑπόθεσις. Τί γὰρ ἀσφαλέστερον οἰκίας γένοιτ' ἂν εἰρήνης ἀπολαυούσης; Εἰρήνην δὲ ἐπεύχονται οἱ ἅγιοι τοῖς ὑποδεχομένοις, οὐ τὴν πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ τὴν πρὸς ἡμᾶς αὐτούς. Πολλάκις γοῦν πόλεμον ἐν τοῖς λογισμοῖς ἔχομεν, καὶ μηδενὸς ἐνοχλοῦντος ταραττόμεθα καὶ ἐπιθυμίαι πονηραὶ συνεχῶς ἡμῖν ἐπανίστανται. Καὶ ταύτην οὖν καταστέλλει τὴν μάχην ἐκεῖνο τῶν ἁγίων τὸ ρῆμα, καὶ πολλὴν ἔνδον ποιεῖ γαλήνην. Ὁμοῦ γὰρ ἐκεῖνος ἐφθέγξατο καὶ πᾶσα ἐνθύμησις διαβολικὴ καὶ λογισμὸς ἄτοπος ἐδραπέτευσεν ἐκ τῆς ἡμετέρας ψυχῆς· ὥστε μείζονα λαμβάνεις ἢ δίδως. «Κἂν μὲν δέξωνται», φησίν, «ὑμᾶς, ἐλθέτω ἡ εἰρήνη ἐπ' αὐτούς, ἐὰν δὲ μὴ δέξωνται, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἢ τῇ πόλει ἐκείνῃ».

Ὁρᾷς ὅτι ἀτιμαζόμενοι πόδες ἁγίων πόσον ἐπάγουσι πῦρ; Διὰ τοῦτο κελεύει νίπτειν αὐτούς, ἵνα θεραπευόμενοι πολλὴν ἡμῖν προξενήσωσι παρὰ τῷ Θεῷ τὴν παρρησίαν· ὁμοῦ δὲ καὶ ἐκεῖνο διὰ ταύτης ἡμᾶς παιδεύει τῆς παραινέσεως, τὰ τῆς φιλοξενίας ἔργα δι' ἑαυτῶν ἅπαντα ἐπιτελεῖν. Μίμησαι τὸν Ἀβραάμ, γενοῦ θυγάτηρ ἐκείνου, ὃς τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων οἰκογενεῖς, αὐτὸς μετὰ τῆς γυναικὸς διενείματο τῆς φιλοξενίας τὸν καρπόν· καὶ ὁ μὲν δάμαλιν ἔφερεν, ἡ δὲ ἐφύρασεν ἄλευρον. Τούτους καὶ σὺ ζήλωσον· οὐ γὰρ τὸ δοῦναι χρήματα μόνον, ἀλλὰ καὶ τὸ διακονῆσαι τοῖς δεομένοις πολὺν ἔχει τὸν μισθόν. Διὰ τοῦτο καὶ οἱ ἀπόστολοι τοὺς ἑπτὰ ἐκείνους τοὺς περὶ Στέφανον ἐπέστησαν τῇ τοιαύτῃ διακονίᾳ. Καίτοι γε οὐδὲν οἴκοθεν ἐκεῖνοι παρεῖχον τοῖς πένησιν, ἀλλὰ τὰ παρ' ἑτέρων διδόμενα ᾠκονό-

35. Ματθ. 10,13–15.
36. Βλ. Πράξ. 6,1–6.

νοῦν κάθε περιουσία. Καὶ ποιά εἶναι αὐτά; Ἡ χορηγία τῆς εἰρήνης. Γιατι μ' αὐτὴν τίποτε δὲν εἶναι ἴσο.

Βλέπεις μὲ πόσο πλοῦτο μπαίνει ὁ ἅγιος στὸ σπίτι; Ἡ λέξη βέβαια αὐτὴ εἶναι ἁπλή, εἶναι ὅμως ἡ βάση ἄπειρων ἀγαθῶν. Τί λοιπὸν μπορεῖ νὰ γίνει ἀσφαλέστερο ἀπὸ ἕνα σπίτι ποὺ ἀπολαμβάνει εἰρήνη; Καὶ οἱ ἅγιοι εὔχονται εἰρήνη σ' αὐτοὺς ποὺ τοὺς ὑποδέχονται, ὄχι μόνο ἐκείνη ποὺ πρέπει νὰ ἔχουν μεταξύ τους ἀλλὰ καὶ ἐκείνη ποὺ πρέπει νὰ ἔχουν οἱ ἴδιοι μέσα τους. Πολλὲς φορὲς ἔχουμε πόλεμο μέσα στὶς σκέψεις μας καὶ χωρὶς νὰ μᾶς ἐνοχλεῖ κανεὶς ταραζόμαστε καὶ διεγείρονται συνεχῶς μέσα μας ἐπιθυμίες κακές. Καὶ αὐτὴ λοιπὸν τὴ μάχη τὴν καταστέλλει ἐκεῖνος ὁ λόγος τῶν ἁγίων καὶ παρέχει μέσα μας πολλὴ γαλήνη. Γιατὶ μόλις ἐκεῖνος μιλήσει κάθε διαβολικὴ σκέψη καὶ παράλογος λογισμὸς ἀμέσως δραπετεύει ἀπὸ τὴν ψυχή μας. Ἑπομένως περισσότερα παίρνεις παρὰ δίνεις. «Καὶ ἂν σᾶς δεχθοῦν», λέγει, «ἂς ἔρθει ἡ εἰρήνη σ' αὐτούς, ἂν ὅμως δὲ σᾶς δεχθοῦν, τινάξτε καὶ τὴ σκόνη ἀπὸ τὰ πόδια σας. Ἀλήθεια σᾶς λέγω, τὴν ἡμέρα τῆς κρίσης ὁ Θεὸς θὰ δείξει μεγαλύτερη ἐπιείκεια γιὰ τὰ Σόδομα καὶ τὰ Γόμορρα, παρὰ γιὰ τὴν πόλη ἐκείνη»[35].

Βλέπεις πόση φωτιὰ φέρνουν τὰ πόδια τῶν ἁγίων ὅταν περιφρονοῦνται; Γι' αὐτὸ προστάζει νὰ τὰ πλένουμε, γιὰ νὰ μᾶς ἐξασφαλίσουν ὅταν τὰ περιποιούμαστε πολλὴ παρρησία κοντὰ στὸ Θεό. Συγχρόνως μ' αὐτὴ τὴν παραίνεση μᾶς διδάσκει καὶ αὐτό, νὰ κάνουμε μόνοι μας ὅλα τὰ ἔργα τῆς φιλοξενίας. Μιμήσου τὸν Ἀβραάμ, γίνε θυγατέρα ἐκείνου, ποὺ ἂν καὶ εἶχε τριακόσιες δεκαοκτὼ ὑπηρέτες στὸ σπίτι του μοιράστηκε τὸν καρπὸ τῆς φιλοξενίας αὐτὸς μὲ τὴ γυναίκα του. Καὶ ἐκεῖνος ἔφερε τὸ μοσχάρι, ἐνῶ ἡ γυναίκα του ζύμωσε τὸ ἀλεύρι. Αὐτοὺς μιμήσου καὶ σύ. Γιατὶ ὄχι μόνο τὸ νὰ δώσει κανεὶς χρήματα, ἀλλὰ καὶ τὸ νὰ ὑπηρετήσει ἐκείνους ποὺ ἔχουν ἀνάγκη ἔχει μεγάλο μισθό. Γι' αὐτὸ καὶ οἱ ἀπόστολοι ὅρισαν ἐκείνους τοὺς ἑπτὰ γύρω ἀπο τὸ Στέφανο γι' αὐτὴ τὴν ὑπηρεσία[36]. Ἂν καὶ ἐκεῖνοι δὲν ἔδιναν τίποτε δικό τους στοὺς φτωχούς, ἀλλ' ἁπλῶς ἐκεῖνα

μουν καλῶς· ἀλλ' ὅμως μέγαν ἀπηνέγκαντο τὸν μισθόν, ὅτι τὰ παρ' ἑτέρων διδόμενα καλῶς καὶ μετὰ ἀκριβείας ᾠκονόμουν ἁπάσης.

15. Γενοῦ τοίνυν καὶ σὺ τῶν σαυτοῦ καλὸς οἰκονόμος, ἵνα διπλοῦν λάβῃς τὸν καρπόν, καὶ τοῦ δοῦναι, καὶ τοῦ καλῶς οἰκονομῆσαι. Μὴ ἐπαισχυνθῇς διὰ τῆς σαυτοῦ χειρὸς θεραπεῦσαι τὸν πένητα. Ὁ Χριστὸς οὐκ ἐπαισχύνεται χεῖρα ἐκτεῖναι καὶ λαβεῖν διὰ τοῦ πένητος, καὶ σὺ χεῖρα ἐκτεῖναι καὶ δοῦναι ἀργύριον ἐπαισχύνῃ; Καὶ πῶς τοῦτο οὐκ ἐσχάτης ἀνοίας; Ἓν μόνον ἐστὶν αἰσχύνη, πονηρία καὶ ὠμότης καὶ ἀπανθρωπία, φιλοσοφροσύνη δὲ καὶ ἐλεημοσύνη καὶ φιλανθρωπία καὶ τὸ διακονεῖσθαι τοῖς δεομένοις λαμπροτέρους ἡμᾶς ἐργάζεται. Ὅσον γὰρ ἂν ᾖς πλουσία καὶ εὔπορος, τοσοῦτον ἐπαινέσονταί σε πάντες, ὅταν πρὸς τοὺς πτωχοὺς καὶ εὐτελεῖς καταβαίνῃς, οὐκ ἄνθρωποι δὲ μόνον, ἀλλὰ καὶ ἄγγελοι καὶ ὁ τῶν ἀγγέλων Δεσπότης· οὐκ ἐπαινέσεται δὲ μόνον, ἀλλὰ καὶ ἀμείψεται διπλαῖς δωρεαῖς. Οὐ γὰρ τῆς ἐλεημοσύνης μόνον, ἀλλὰ καὶ τῆς ταπεινοφροσύνης πολλούς σοι παρασκευάσει τοὺς μισθούς.

Μὴ τοίνυν ἐπαισχυνώμεθα ταῖς τῶν πενήτων θεραπείαις, μηδὲ παραιτώμεθα νίπτειν τῶν ξένων τοὺς πόδας· ἁγιάζονται γὰρ ἡμῶν αἱ χεῖρες διὰ τῆς τοιαύτης διακονίας· κἂν εἰς εὐχὴν αὐτὰς ἀνατείνῃς ἀπὸ τῆς θεραπείας ἐκείνης, ὁρῶν αὐτὰς ὁ Θεὸς δυσωπεῖται μᾶλλον καὶ τὴν αἴτησιν δίδωσι. Τὸ μὲν γὰρ χρήματα δοῦναι, πολλῶν ἂν εἴη, τὸ δὲ δι' ἑαυτῶν θεραπεῦσαι τοὺς δεομένους καὶ μετὰ προθυμίας τοῦτο ποιῆσαι καὶ ἀγάπης καὶ φιλαδελφίας, πολλῆς καὶ μεγάλης δεῖται ψυχῆς καὶ φιλοσόφου. Καὶ τοῦτό ἐστιν, ὃ μάλιστα πάντων ὁ Παῦλος ἐπιζητεῖ, τοῖς ἐν θλίψει καὶ πενίᾳ καὶ περιστάσεσιν οὕτω κελεύων συναλγεῖν, ὡς ἐν τοῖς αὐτοῖς ὄντας δεινοῖς· «τοῖς γὰρ δεσμίοις», φησίν, «ὡς συνδεδεμένοι». Διόπερ οὐδὲ ἐνταῦθα τὸν λόγον ἔστησε μόνον,

37. Ἑβρ. 13,3.

ποὺ πρόσφεραν οἱ ἄλλοι τὰ διαχειρίζονταν σωστά, ὅμως ἔλαβαν μεγάλο μισθό, γιατὶ τὰ προσφερόμενα ἀπὸ ἄλλους τὰ διαχειρίζονταν σωστὰ καὶ μὲ κάθε ἀκρίβεια.

15. Γίνε λοιπὸν καὶ σὺ καλὸς διαχειριστὴς τῶν δικῶν σου πραγμάτων, γιὰ νὰ λάβεις διπλὸ καρπό, καὶ γιὰ τὸ ὅτι ἔδωσες καὶ γιὰ τὸ ὅτι τὰ διαχειρίσθηκες καλά. Μὴν ντραπεῖς νὰ περιποιηθεῖς μὲ τὰ δικά σου χέρια τὸ φτωχό. Ὁ Χριστὸς δὲν ντρέπεται ν' ἁπλώσει τὸ χέρι του καὶ νὰ πάρει μέσω τοῦ φτωχοῦ, καὶ σὺ ντρέπεσαι ν' ἁπλώσεις τὸ χέρι σου καὶ νὰ δώσεις χρήματα; Καὶ πῶς αὐτὸ δὲν εἶναι ἀπόδειξη τῆς χειρότερης ἀνοησίας; Ἕνα μόνο εἶναι ντροπή, ἡ κακία, ἡ σκληρότητα καὶ ἡ ἀπανθρωπιά, ἐνῶ ἡ φιλοφροσύνη, ἡ ἐλεημοσύνη, ἡ φιλανθρωπία καὶ τὸ νὰ ἐξυπηρετοῦμε ὅσους ἔχουν ἀνάγκη μᾶς κάνουν λαμπρότερους. Γιατὶ ὅσο πιὸ πλούσια καὶ εὔπορη εἶσαι, τόσο θὰ σὲ ἐπαινέσουν ὅλοι, ὅταν συγκαταβαίνεις πρὸς τοὺς φτωχοὺς καὶ ἀσήμαντους, καὶ θὰ σὲ ἐπαινέσουν ὄχι μόνο ἄνθρωποι, ἀλλὰ καὶ ἄγγελοι καὶ ὁ Κύριος τῶν ἀγγέλων. Γιατὶ θὰ σοῦ ἑτοιμάσει μεγάλο μισθὸ ὄχι μόνο γιὰ τὴν ἐλεημοσύνη ἀλλὰ καὶ γιὰ τὴν ταπεινοφροσύνη.

Ἂς μὴν ντρεπόμαστε λοιπὸν γιὰ τὴν περιποίηση τῶν φτωχῶν, οὔτε νὰ ἀρνούμαστε νὰ πλένουμε τὰ πόδια τῶν ξένων. Γιατὶ ἁγιάζονται τὰ χέρια μας μὲ τὴν ὑπηρεσία αὐτή. Καὶ ἂν τὰ ὑψώσεις σὲ προσευχὴ μετὰ τὴν περιποίηση ἐκείνη, ὅταν τὰ βλέπει ὁ Θεὸς συγκατανεύει γρηγορότρα καὶ ἱκανοποιεῖ τὸ αἴτημά σου. Γιατὶ τὸ νὰ δώσει κανεὶς χρήματα, εἶναι κάτι ποὺ μποροῦν νὰ τὸ κάνουν πολλοί, ἐνῶ τὸ νὰ περιποιηθεῖ κανεὶς μόνος του ἐκείνους ποὺ ἔχουν ἀνάγκη καὶ νὰ τὸ κάνει αὐτὸ μὲ προθυμία καὶ ἀγάπη καὶ φιλαδελφία ἀπαιτεῖ δυνατὴ καὶ μεγάλη καὶ φιλόσοφη ψυχή. Καὶ αὐτὸ εἶναι πρὸ πάντων ἐκεῖνο ποὺ ἐπιζητεῖ περισσότερο ἀπ' ὅλα ὁ Παῦλος, παραγγέλλοντας νὰ δείχνουμε ἔτσι συμπόνια πρὸς ἐκείνους ποὺ βρίσκονται σὲ θλίψη καὶ φτώχεια καὶ δύσκολες περιστάσεις σὰν νὰ εἴμαστε ἐμεῖς μέσα στὰ ἴδια αὐτὰ δεινά. «Μὲ τοὺς φυλακισμένους», λέγει, «σὰν νὰ εἶστε καὶ σεῖς φυλακισμένοι»[37]. Γι' αὐτὸ δὲ σταμάτησε

ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν· «εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησε». Τί ἐστίν, «εἰ παντὶ ἔργῳ ἀγαθῷ ἐπηκολούθησεν»; Ὥστε καὶ εἰς δεσμωτήριον εἰσιέναι καὶ τοὺς δεδεμένους ἐπισκέπτεσθαι καὶ ἀρρωστοῦντας ἐπισκοπεῖν καὶ θλιβομένους παραμυθεῖσθαι καὶ ὀδυνωμένους παρακαλεῖν καὶ πάντα τρόπον τὰ κατὰ δύναμιν εἰσφέρειν ἅπαντα, καὶ μηδὲν ὅλως παραιτεῖσθαι τῶν εἰς σωτηρίαν καὶ ἀνάπαυσιν τῶν ἀδελφῶν γινομένων τῶν ἡμετέρων.

Εἰ δὲ χήραν γυναῖκα τοσαῦτα ἀπαιτεῖ κατορθώματα, τίνος ἂν εἴημεν ἀπολογίας ἄξιοι οἱ ἄνδρες ἡμεῖς ταῦτα μὴ ποιοῦντες, ἃ γυναῖκας χήρας ποιεῖν ἐνομοθέτησεν ὁ Παῦλος; Ἀλλ' ἴσως ἂν εἴποι τις· 'καὶ πῶς χήραν γυναῖκα τοσαύτην ἀπαιτεῖ ἀκρίβειαν, ὅτε δὲ περὶ παρθενίας ἐπέστελλεν, οὐδὲν διελέχθη τοιοῦτον;' Πλείονα μὲν τούτων φιλοσοφίαν αὐτὰς ἀπῄτησεν. Ὅταν γὰρ εἴπῃ, «μεμέρισται ἡ γυνὴ καὶ ἡ παρθένος», καί, «ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ», καὶ πάλιν, «τοῦτο δὲ λέγω διὰ τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως», οὐδὲν ἄλλο διὰ τούτων αἰνίττεται τῶν ῥημάτων, ἀλλ' ἢ ὅτι τῶν βιωτικῶν ἁπάντων πραγμάτων καθάπαξ ἑαυτὴν ἀπορρήξασαν τὴν παρθένον ὁλόκληρον ἀναθεῖναι δεῖ τῷ Θεῷ τὴν ψυχὴν καὶ μηδὲν πρὸς τὴν γῆν ἔχειν κοινόν, μηδὲ ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις σχολάζειν, ἀλλὰ καθόλου τούτοις ἀποταξαμένην, ὅλην εἰς τὰ πνευματικὰ πράγματα ἀναλίσκειν τὴν σχολήν. Καὶ ἡ παραβολὴ δὲ τῶν δέκα παρθένων αὐτὸ τοῦτο ἐδήλωσεν ἡμῖν. Διὰ τοῦτο γοῦν ἀπεκλείσθησαν τοῦ νυμφῶνος, ὅτι ἔλαιον οὐκ εἶχον· ἔλαιον δὲ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ φιλανθρωπία καὶ ἐλεημοσύνη καὶ φιλοφροσύνη καὶ προστασία τῶν ἀδικουμένων καὶ παράκλησις τῶν ὀδυνωμένων, ὅπερ οὐκ ἔχουσαι ἀπῆλθον ἐκεῖναι καὶ τοῦ νυμφῶνος ἐξέπεσον.

16. Ταῦτ' οὖν εἰδότες ἅπαντα καὶ γυναῖκες καὶ ἄνδρες καὶ παρθένοι καὶ γεγαμημέναι καὶ χῆραι, πολλὴν τῆς ἐλεημοσύνης

---

38. Α' Κορ. 7,34.35.

ἐδῶ τὸ λόγο μόνο, ἀλλὰ πρόσθεσε καὶ ἄλλο· «ἂν βοήθησε ἐκείνους ποὺ ἀντιμετωπίζουν δυσκολίες, ἂν φρόντισε γιὰ κάθε καλὸ ἔργο». Τί σημαίνει, «ἂν φρόντισε γιὰ κάθε καλὸ ἔργο»; Καὶ σὲ φυλακὴ νὰ πηγαίνει κανεὶς καὶ τοὺς φυλακισμένους νὰ ἐπισκέπτεται καὶ τοὺς ἀρρώστους νὰ φροντίζει καὶ τοὺς στενοχωρημένους νὰ ἐνθαρρύνει καὶ τοὺς πονεμένους νὰ παρηγορεῖ καὶ μὲ κάθε τρόπο νὰ προσφέρει ὅσα μπορεῖ, χωρὶς νὰ παραλείπει ἀπολύτως κανένα ἀπὸ ἐκεῖνα ποὺ γίνονται γιὰ τὴ σωτηρία καὶ τὴν ἀνακούφιση τῶν ἀδελφῶν μας.

Ἂν ὅμως ἀπὸ χήρα γυναίκα ἀπαιτεῖ τόσα κατορθώματα, γιὰ ποιά ἀπολογία θὰ εἴμαστε ἄξιοι ἐμεῖς οἱ ἄνδρες ὅταν δὲν κάνουμε ἐκεῖνα ποὺ ὅρισε ὁ Παῦλος νὰ κάνουν χῆρες γυναῖκες; Ἀλλ' ἴσως θὰ μποροῦσε νὰ πεῖ κανείς· 'καὶ πῶς ἀπὸ χήρα γυναίκα ἀπαιτεῖ τόση ἀκρίβεια, ἐνῶ ὅταν ἔγραφε γιὰ τὴν παρθενία δὲν εἶπε τίποτε τέτοιο;' Ὁπωσδήποτε ἀπ' αὐτὲς ζήτησε περισσότερη ἀρετή. Γιατὶ ὅταν λέγει, «ἔχουν διαφορετικὲς ἐπιδιώξεις ἡ παντρεμένη καὶ ἡ παρθένος» καὶ «ἡ ἄγαμη μεριμνάει γιὰ τὰ πράγματα τοῦ Κυρίου, πῶς νὰ ἀρέσει στὸν Κύριο», καὶ πάλι, «αὐτὸ τὸ λέγω γιὰ νὰ δείξετε καλὴ συμπεριφορὰ καὶ νὰ μείνετε χωρὶς περισπασμοὺς σταθεροὶ κοντὰ στὸν Κύριο»[38], τίποτε ἄλλο δὲν ἐννοεῖ μ' αὐτὰ τὰ λόγια παρὰ ὅτι ἡ παρθένος, ἀφοῦ μιὰ γιὰ πάντα ἀπεκόψει τὸν ἑαυτό της ἀπὸ ὅλα τὰ βιοτικὰ πράγματα, πρέπει νὰ ἀφιερώσει ὁλόκληρη τὴν ψυχή της στὸ Θεὸ καὶ νὰ μὴν ἔχει κανένα κοινὸ μὲ τὴ γῆ, οὔτε ν' ἀσχολεῖται ἄλλοτε μ' αὐτὰ καὶ ἄλλοτε μ' ἐκεῖνα, ἀλλά, ἀπαρνούμενη ἐντελῶς αὐτά, νὰ ξοδεύει ὅλο τὸν καιρό της στὰ πνευματικὰ πράγματα. Καὶ ἡ παραβολὴ τῶν δέκα παρθένων τὸ ἴδιο ἀκριβῶς μᾶς δήλωσε. Γι' αὐτὸ δηλαδὴ ἀποκλείσθηκαν ἀπὸ τὸ νυμφώνα, ἐπειδὴ δὲν εἶχαν λάδι. Καὶ λάδι δὲν εἶναι τίποτε ἄλλο παρὰ ἡ φιλανθρωπία, ἡ ἐλεημοσύνη, ἡ φιλοφροσύνη, ἡ προστασία τῶν ἀδικημένων καὶ ἡ παρηγοριὰ τῶν πονεμένων, πράγμα ποὺ δὲν εἶχαν ἐκεῖνες καὶ γι' αὐτὸ ἔφυγαν καὶ ἔχασαν τὸ νυμφώνα.

16. Γνωρίζοντας λοιπὸν ὅλα αὐτά, καὶ οἱ γυναῖκες καὶ οἱ ἄνδρες καὶ οἱ παρθένες καὶ οἱ παντρεμένες καὶ οἱ χῆρες ἂς φρον-

ποιώμεθα σπουδήν· καὶ μὴ λέγωμεν, ὅτι 'ὁ δεῖνα πονηρὸς καὶ οὐκ ἄξιος εὖ παθεῖν, ὁ δεῖνα εὐτελής, ὁ δεῖνα ἀπερριμμένος'. Μὴ πρὸς τὴν ἀξίαν ἴδῃς τοῦ δεομένου τῆς θεραπείας, ἀλλὰ πρὸς τὴν χρείαν μόνον. Κἂν γὰρ εὐτελὴς ᾖ καὶ ἀπερριμμένος, κἂν εὐκαταφρόνητος, ὁ Χριστὸς οὕτω σοι λογίζεται τὸν μισθόν, ὡς αὐτὸς εὖ παθὼν δι' ἐκείνου. Ἵνα γὰρ μὴ πρὸς τὴν ἀξίαν βλέπωμεν τῶν εὐεργετουμένων, ἄκουσον τί φησι· «πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε». Εἶτα ἐκείνων λεγόντων, «πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν;» ἐπήγαγε λέγων, «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, ἐμοὶ ἐποιήσατε»· ὥστε οὐδεμία ἡμῖν καταλέλειπται πρόφασις. Ἵνα γὰρ μὴ λέγωμεν, ὅτι 'ποῦ νῦν κατὰ τὸν Ἠλίαν εὑρεῖν; ποῦ δὲ κατὰ τὸν Ἐλισσαῖον;' καί, 'δός μοι τοιούτους ἄνδρας καὶ μετὰ πάσης αὐτοὺς ὑποδέξομαι τῆς προθυμίας καὶ οὐ παραιτήσομαι νίψαι τοὺς πόδας καὶ παντὶ θεραπεῦσαι τρόπῳ', ἵνα μὴ ταῦτα λέγωμεν, ὃ πολλῷ μεῖζόν ἐστιν, αὐτὸς ὁ τοῦ Ἠλίου καὶ τοῦ Ἐλισσαίου καὶ τῶν προφητῶν Δεσπότης ἁπάντων διὰ τῶν πενήτων ὑπέσχετο πρὸς ἡμᾶς εἰσιέναι, λέγων· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν μικρῶν, ἐμοὶ ἐποιήσατε».

Ἀλλὰ μὴ παραδράμῃς τὸ εἰρημένον. Τὸ γάρ, «πεινῶντά με εἴδετε καὶ ἐθρέψατε», τέσσαρας ἀνάγκας ἐφίστησιν ἐλεημοσύνης· τὸ ἀξιόπιστον τοῦ αἰτοῦντος, ὅτι Δεσπότης ἐστὶν ὁ αἰτῶν· τὸ ἀναγκαῖον τῆς χρείας, ὅτι πεινᾷ· τὸ εὔκολον τῆς δόσεως, ὅτι τραφῆναι ζητεῖ καὶ ἄρτον αἰτεῖ μόνον, οὐχὶ τρυφήν· τὸ μέγεθος τῆς δωρεᾶς, ὅτι βασιλείαν ἀντὶ τούτων τῶν μικρῶν ἐπαγγέλλεται. Ἀπάνθρωπος εἶ καὶ ὠμὸς καὶ ἀνηλεής; Αἰδέσθητι, φησί, τὸ ἀξίωμα τοῦ αἰτοῦντος. Ἀλλ' οὐ δυσωπεῖ σε τὸ ἀξίωμα; Πρὸς τὴν συμφορὰν ἐπικάμφθητι. Ἀλλ' οὔτε τὰ τῆς συμφορᾶς εἰς ἔλεόν σε ἐπικάμπτει; Διὰ τὸ τῆς αἰτήσεως εὔκολον δός. Οὔτε τὸ ἀξίωμα, οὔτε τὸ ἀναγκαῖον τῆς χρείας, οὔτε τὸ εὔκολον τῆς δό-

39. Ματθ. 25,35.37.40.

τίζουμε πολὺ γιὰ τὴν ἐλεημοσύνη· καὶ ἂς μὴ λέμε ὅτι 'ὁ τάδε εἶναι κακὸς καὶ δὲν ἀξίζει γιὰ εὐεργεσία', 'ὁ τάδε εἶναι τιποτένιος, ὁ τάδε παραπεταμένος'. Μὴν κοιτάξεις τὴν ἀξία ἐκείνου ποὺ χρειάζεται περιποίηση, ἀλλὰ τὴν ἀνάγκη του μόνο. Καὶ ἂν εἶναι τιποτένιος καὶ παραπεταμένος καὶ εὐκαταφρόνητος, ὁ Χριστὸς ἔτσι σοῦ λογαριάζει τὸ μισθὸ σὰν νὰ ἦταν αὐτὸς ποὺ εὐεργετήθηκε μέσω ἐκείνου. Γιὰ νὰ μὴ βλέπουμε λοιπὸν τὴν ἀξία αὐτῶν ποὺ εὐεργετοῦμε, ἄκουσε τί λέγει· «μὲ εἴδατε πεινασμένο καὶ μὲ θρέψατε». Στὴ συνέχεια, ὅταν ἐκεῖνοι εἶπαν, «πότε σὲ εἴδαμε νὰ πεινᾶς καὶ σὲ θρέψαμε;», πρόσθεσε λέγοντας, «ἀφοῦ τὰ κάνατε αὐτὰ σ' ἕναν ἀπὸ τοὺς ἀσήμαντους αὐτούς, τὰ κάνατε σὲ μένα»[39]. Ἑπομένως δὲ μᾶς ἔχει μείνει καμιὰ δικαιολογία. Γιὰ νὰ μὴ λέμε 'ποῦ νὰ βροῦμε τώρα σὰν τὸν Ἠλία καὶ ποῦ σὰν τὸν Ἐλισσαῖο;' καί, 'δός μου τέτοιους ἄνδρες καὶ θὰ τοὺς ὑποδεχθῶ μὲ κάθε προθυμία καὶ δὲ θὰ ἀρνηθῶ νὰ τοὺς πλύνω τὰ πόδια καὶ νὰ τοὺς περιποιηθῶ μὲ κάθε τρόπο', γιὰ νὰ μὴν τὰ λέμε αὐτά, πράγμα ποὺ εἶναι πολὺ πιὸ μεγαλύτερο, ὁ ἴδιος ὁ Κύριος τοῦ Ἠλία καὶ τοῦ Ἐλισσαίου καὶ ὅλων τῶν προφητῶν ὑποσχέθηκε πὼς θὰ ἔρχεται σ' ἐμᾶς μέσω τῶν φτωχῶν, λέγοντας· «ἀφοῦ τὰ κάνατε αὐτὰ σ' ἕναν ἀπὸ τοὺς ἀσήμαντους αὐτούς, τὰ κάνατε σὲ μένα».

Ἀλλὰ μὴν προσπεράσεις ἐπιπόλαια αὐτὸ ποὺ λέχθηκε. Γιατὶ τὸ «μὲ εἴδατε πεινασμένο καὶ μὲ θρέψατε», ἐπιβάλλει τέσσερις ἀνάγκες γιὰ ἐλεημοσύνη· τὴν ἀξιοπιστία ἐκείνου ποὺ ζητάει, γιατὶ ὁ Κύριος εἶναι αὐτὸς ποὺ ζητάει· τὴν ἐπείγουσα ἀνάγκη, γιατὶ πεινάει· τὴν εὐκολία τῆς προσφορᾶς, γιατὶ θέλει νὰ τραφεῖ καὶ ζητάει μόνο ψωμὶ ὄχι καλοπέραση· τὸ μέγεθος τῆς δωρεᾶς, γιατὶ ὑπόσχεται τὴ βασιλεία γι' αὐτὰ τὰ ἀσήμαντα πράγματα. Εἶσαι ἀπάνθρωπος καὶ σκληρὸς καὶ ἄσπλαχνος; Σεβάσου, λέγει, τὸ ἀξίωμα αὐτοῦ ποὺ ζητάει. Μήπως δὲ σὲ συγκινεῖ τὸ ἀξίωμα; Λύγισε μπροστὰ στὴ συμφορά. Ἀλλὰ οὔτε ἡ συμφορὰ σὲ λυγίζει γιὰ ἐλεημοσύνη; Δῶσε γιατὶ εἶναι εὔκολη ἡ ἱκανοποίηση τοῦ αἰτήματός του. Οὔτε τὸ ἀξίωμα, οὔτε ἡ ἐπείγουσα ἀνάγκη, οὔτε ἡ εὐκολία τῆς προσφορᾶς μπορεῖ νὰ σὲ

σεως δύναταί σε πεῖσαι; Οὐκοῦν διὰ τὸ μέγεθος τῶν ἐπηγγελμένων ἀγαθῶν παράσχες τῷ δεομένῳ. Ὁρᾷς τέσσαρας αἰτίας δυναμένας καὶ τὸν λίθον αὐτόν, καὶ τὸν μικρολόγον καὶ τὸν τετυφωμένον καὶ τὸν ἀνηλεῆ καὶ τὸν νωθρότατον ἁπάντων ἀνθρώπων διαναστῆσαι; Τίς οὖν ἔσται συγγνώμη τοῖς μετὰ τοσαύτην παραίνεσιν καὶ συμβουλὴν τῶν δεομένων ὑπερορῶσιν;

Εἴπω δὴ καὶ ἕτερον πρὸς τούτοις· ἀκουέτωσαν οἱ μεμυημένοι. Αὐτὸς ὅταν δέῃ σε θρέψαι οὐδὲ τῆς σαρκὸς φείδεται τῆς ἑαυτοῦ, ὅταν δέῃ σε ποτίσαι οὐδὲ τοῦ αἵματος φείδεται οὐδὲ φθονεῖ, σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως οὐδὲ ποτηρίου; Καὶ ποίαν ἕξεις συγγνώμην τοιαῦτα λαμβάνων καὶ οὕτω τίμια, καὶ τῶν εὐτελῶν φειδόμενος; Ὅρα μὴ πολλάκις φειδόμενος τῷ Χριστῷ δοῦναι ἐπὶ κέρδει, δῷς ἐπὶ βλάβῃ τῷ διαβόλῳ. Ὅταν γὰρ πένησι μὴ δῶμεν, συκοφάνταις διδόαμεν· κλέπται πολλάκις ἢ καὶ οἰκέται κακοῦργοι λαμβάνοντες ἀπῆλθον, ἢ καὶ ἕτεραι πραγμάτων περιστάσεις. Καὶ ταῦτα δὲ ὅταν διαφύγωμεν ἅπαντα, θάνατος ἐπελθὼν γυμνὸν ἀπήγαγεν. Ἵν' οὖν μὴ ταῦτα γίνηται, προλαβόντες δῶμεν αἰτοῦντι τῷ Χριστῷ καὶ εἰς τὸν ἄσυλον ἀποθώμεθα θησαυρόν, ἵνα καὶ ὑπὲρ τῆς φυλακῆς καὶ ὑπὲρ τῆς προσόδου θαρρῶμεν. Οὐ γὰρ διατηρεῖ μόνον ἅπερ ἔλαβε μετὰ ἀκριβείας, ἀλλὰ μετὰ πλείονος αὐτὰ ἀποδίδωσί σοι τῆς προσθήκης πάλιν.

Μὴ τοίνυν νομίζωμεν ἡμῖν ἐλαττοῦσθαι τὴν οὐσίαν, ὅταν ἐλεημοσύνην παρέχωμεν. Οὐ γὰρ ἐλαττοῦται ἀλλ' αὔξεται· οὐ δαπανᾶται ἀλλὰ πλεονάζει, καὶ πραγματεία τίς ἐστι καὶ σπόρος τὸ γινόμενον· μᾶλλον δὲ ἀμφοτέρων τούτων κερδαλεώτερον καὶ ἀσφαλέστερον. Ἡ μὲν γὰρ ἐμπορία καὶ πνεύμασι καὶ κύμασι θαλάσσης ὑπόκειται καὶ ναυαγίοις πολλοῖς, καὶ τὰ σπέρματα καὶ αὐχμοῖς καὶ ἐπομβρίαις καὶ ἑτέραις ἀέρων ἀνωμαλίαις, τὰ δὲ εἰς τὴν χεῖρα τοῦ Χριστοῦ καταβαλλόμενα χρήματα ἀνώτερα

πείσει; Τουλάχιστο δῶσε σ' αὐτὸν ποὺ ἔχει ἀνάγκη γιὰ τὸ μέγεθος τῶν ἀγαθῶν ποὺ σοῦ ὑποσχέθηκε. Βλέπεις τέσσερις αἰτίες ποὺ μποροῦν νὰ συγκινήσουν ἀκόμη καὶ τὴν πέτρα καὶ τὸ μικροπρεπὴ καὶ τὸν ἀλαζόνα καὶ τὸν ἄσπλαχνο καὶ τὸν πιὸ νωθρὸ ἀπ' ὅλους τοὺς ἀνθρώπους; Ποιά συγγνώμη λοιπὸν θὰ ἔχουν ἐκεῖνοι ποὺ ὕστερα ἀπὸ τόση παραίνεση καὶ συμβουλὴ περιφρονοῦν ἐκείνους ποὺ ἔχουν ἀνάγκη;

'Αλλὰ θὰ πῶ καὶ κάτι ἄλλο ἀκόμη· ἂς τὸ ἀκούσουν οἱ μυημένοι. Αὐτὸς ὅταν χρειάζεται νὰ σὲ θρέψει δὲ λυπᾶται οὔτε τὴν ἴδια τὴ σάρκα του, ὅταν χρειάζεται νὰ σὲ ποτίσει οὔτε τὸ αἷμα του λυπᾶται οὔτε φθονεῖ, καὶ σὺ οὔτε ψωμὶ τοῦ δίνεις οὔτε ἕνα ποτήρι νερό; Καὶ ποιά συγγνώμη θὰ ἔχεις ὅταν παίρνεις τέτοια καὶ τόσο πολύτιμα καὶ λυπᾶσαι τὰ ἀσήμαντα; Πρόσεχε μήπως, μὲ τὸ νὰ λυπᾶσαι πολλὲς φορὲς νὰ δώσεις στὸ Χριστὸ πρὸς κέρδος σου, δώσεις στὸ διάβολο πρὸς ζημία σου. Γιατὶ ὅταν δὲ δώσουμε στοὺς φτωχούς, δίνουμε στοὺς συκοφάντες. Πολλὲς φορὲς κλέφτες ἢ καὶ ὑπηρέτες κακοποιοὶ τὰ παίρνουν καὶ φεύγουν, ἢ καὶ ἄλλες περιστάσεις πραγμάτων. 'Αλλὰ καὶ αὐτὰ ἂν τὰ ξεφύγουμε ὅλα, ἔρχεται ὁ θάνατος καὶ μᾶς παίρνει γυμνούς. Γιὰ νὰ μὴ γίνονται λοιπὸν αὐτά, ἂς προλάβουμε νὰ δώσουμε στὸ Χριστὸ ποὺ ζητάει καὶ ἂς τοποθετήσουμε τὸ θησαυρό μας σὲ ἀπαραβίαστο θησαυροφυλάκιο, γιὰ νὰ εἴμαστε σίγουροι καὶ γιὰ τὴ φύλαξη καὶ γιὰ τὸ κέρδος. Γιατὶ δὲ φυλάγει μὲ ἀκρίβεια μόνο αὐτὰ ποὺ πῆρε, ἀλλὰ σοῦ τὰ ἐπιστρέφει πάλι μὲ πολὺ μεγαλύτερη προσαύξηση.

῞Ας μὴ νομίζουμε λοιπὸν ὅτι ἐλαττώνεται ἡ περιουσία μας, ὅταν δίνουμε ἐλεημοσύνη. Γιατὶ δὲν ἐλαττώνεται ἀλλὰ αὐξάνεται· δὲν ξοδεύεται ἀλλὰ περισσεύει, καὶ αὐτὸ ποὺ γίνεται εἶναι ἕνα εἶδος ἐμπορίας καὶ σπορᾶς. ῍Η καλύτερα εἶναι πιὸ ἐπικερδέστερο καὶ πιὸ ἀσφαλέστερο καὶ ἀπὸ τὰ δύο αὐτά. Γιατὶ ἡ ἐμπορία ἐξαρτᾶται ἀπὸ τοὺς ἀνέμους καὶ τὰ κύματα τῆς θάλασσας καὶ ἀπὸ ναυάγια πολλά, καὶ ἡ σπορὰ ἐπίσης ἀπὸ ξηρασίες καὶ πλημμύρες καὶ ἀπὸ ἄλλες καιρικὲς ἀνωμαλίες, ἐνῶ τὰ χρήματα ποὺ κατατίθενται στὸ χέρι τοῦ Χριστοῦ εἶναι πάνω ἀπὸ κάθε

πάσης ἐστὶν ἐπιβουλῆς. Οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ λαβόντος τὰ δοθέντα ἅπαξ· ἀλλὰ μένει πολὺν ἡμῖν καὶ ἄφατον ἐργαζόμενα τὸν καρπὸν καὶ τὸν ἄμητον ἐν καιρῷ φέροντα πλούσιον. «Ὁ σπείρων γὰρ φειδομένως», φησί, «φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει». Σπείρωμεν τοίνυν μετὰ δαψιλείας, ἵνα καὶ οὕτω θερίσωμεν καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύσωμεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

40. Β' Κορ. 9,6.

ἐπιβουλή. Κανεὶς δὲν μπορεῖ νὰ ἁρπάξει ἀπὸ τὸ χέρι ἐκείνου ποὺ ἔλαβε ἐκεῖνα ποὺ τοῦ δόθηκαν μιὰ φορά, ἀλλὰ μένουν καὶ μᾶς ἐξασφαλίζουν πολὺ καὶ ἀνέκφραστο τὸν καρπὸ καὶ φέρνουν πλούσιο τὸ θερισμὸ στὸν κατάλληλο καιρό. «Ἐκεῖνος ποὺ σπέρνει μὲ οἰκονομία», λέγει, «θὰ θερίσει καὶ μὲ οἰκονομία, καὶ ἐκεῖνος ποὺ σπέρνει μὲ ἀφθονία, θὰ θερίσει καὶ μὲ ἀφθονία»[40]. Ἂς σπέρνουμε λοιπὸν μὲ ἀφθονία, γιὰ νὰ θερίσουμε καὶ μὲ ἀφθονία καὶ νὰ ἀπολαύσουμε τὴν αἰώνια ζωή, τὴν ὁποία εὔχομαι νὰ ἐπιτύχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζί μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΟΤΕ ΔΕ ΗΛΘΕ ΠΕΤΡΟΣ ΕΙΣ ΑΝΤΙΟΧΕΙΑΝ ...»



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΟΤΕ ΔΕ ΗΛΘΕ ΠΕΤΡΟΣ ΕΙΣ ΑΝΤΙΟΧΕΙΑΝ ...»

τῇ προτέρᾳ συνάξει ἐν τῇ ἐκκλησίᾳ τῇ καινῇ συναχθεὶς μετὰ τοῦ ἐπισκόπου, ταύτην ἐν τῇ παλαιᾷ εἶπεν εἰς τὴν περικοπὴν τοῦ ἀποστόλου, «ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην», καὶ δείκνυσιν ὅτι οὐκ ἀντίστασις ἦν, ἀλλ' οἰκονομία τὰ γινόμενα

1. Μίαν ὑμῶν ἀπελείφθην ἡμέραν καὶ ὡς ἐνιαυτὸν ὁλόκληρον ὑμῶν χωρισθείς, οὕτως ἀσχάλλων καὶ ἀλύων διετέλουν. Καὶ ὅτι ἀληθῆ ταῦτα, ἴστε ἐξ ὧν καὶ ὑμεῖς ἐπάθετε. Καθάπερ γὰρ παῖς ὑπομάζιος τῆς μητρικῆς θηλῆς ἀποσπασθείς, ὅπουπερ ἂν ἀπενεχθῇ, πυκνὰ περιστρέφεται, περιβλεπόμενος τὴν ἑαυτοῦ μητέρα, οὕτω δὴ κἀγὼ τῶν κόλπων τῶν μητρικῶν ἀπενεχθεὶς πορρωτέρω, πυκνὰ περιεσκόπουν, πανταχοῦ τὴν ἁγίαν ὑμῶν ἐπιζητῶν σύνοδον. Πλὴν ἀλλ' εἶχον ἱκανὴν τούτων παραμυθίαν, τῷ πατρὶ φιλοστόργῳ πειθόμενος ταῦτα πάσχειν καὶ ὁ τῆς ὑπακοῆς μισθὸς τὴν ἀκηδίαν τὴν ἐπὶ τῷ ξενισμῷ γενομένην ἀπεῖργε. Τοῦτο γὰρ ἐμοὶ καὶ διαδήματος παντὸς λαμπρότερον καὶ στεφάνου σεμνότερον, τὸ πανταχοῦ μετὰ τοῦ γεγεννηκότος περιάγεσθαι· τοῦτο ἐμοὶ καὶ κόσμος καὶ ἀσφάλεια· κόσμος μέν, ὅτι οὕτως αὐτὸν ἐχειρωσάμην καὶ πρὸς τὸν ἔρωτα ἐπεσπασάμην

1. Γαλ. 2,11.
2. Ἀναφέρεται στὸν ἐπίσκοπο τῆς πόλης.



ΟΜΙΛΙΑ

ΣΤΟ

«ΟΤΑΝ ΗΡΘΕ Ο ΠΕΤΡΟΣ ΣΤΗΝ ΑΝΤΙΟΧΕΙΑ...»

Μετὰ τὴ συνάντησή του μὲ τὸν ἐπίσκοπο κατὰ τὴν προηγούμενη σύναξη στὴ καινούρια ἐκκλησία ἐκφώνησε αὐτὴ τὴν ὁμιλία μέσα στὴν παλαιὰ ἐκκλησία στὴν περικοπὴ τοῦ ἀποστόλου, «ὅταν ἦρθε ὁ Πέτρος στὴν Ἀντιόχεια τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο»[1], καὶ ἀποδεικνύει πὼς δὲν ἦταν διαφωνία τὸ γεγονος αὐτό, ἀλλ' οἰκονομία Θεοῦ

1. Μιὰ ἡμέρα ἔμεινα μακριά σας καὶ σὰν νὰ σᾶς ἀποχωρίσθηκα ἕνα ὁλόκληρο χρόνο ἔτσι στενοχωριόμουν καὶ ἀδημονοῦσα. Καὶ ὅτι εἶναι ἀλήθεια αὐτά, τὸ γνωρίζετε ἀπὸ αὐτὰ ποὺ πάθατε καὶ σεῖς. Γιατί, ὅπως τὸ παιδὶ ποὺ θηλάζει, ὅταν ἀπομακρυνθεῖ ἀπὸ τὴ μητρικὴ θηλή, ὁπουδήποτε καὶ ἂν μεταφερθεῖ, στριφογυρίζει συνέχεια ἀναζητώντας τὴ μητέρα του, ἔτσι ἀκριβῶς καὶ ἐγὼ ποὺ ἀπομακρύνθηκα ἀπὸ τὶς μητρικὲς ἀγκάλες συχνὰ παρατηροῦσα γύρω μου ἐπιζητώντας παντοῦ τὴν ἁγία σας σύναξη. Ἀλλ' ὅμως εἶχα ἀρκετὴ γι' αὐτὰ παρηγοριὰ τὸ ὅτι πάθαινα αὐτὰ ὑπακούοντας στὸ φιλόστοργο πατέρα, καὶ ὁ μισθὸς τῆς ὑπακοῆς ἀπομάκρυνε τὴν ἀμεριμνησία ποὺ συνέβηκε ἀπὸ τὸ χωρισμὸ αὐτόν. Γιατὶ αὐτὸ μοῦ εἶναι πιὸ λαμπρὸ ἀπὸ κάθε διάδημα καὶ πιὸ ἔνδοξο ἀπὸ κάθε στεφάνι, τὸ νὰ περιφέρομαι δηλαδὴ παντοῦ μαζὶ μὲ τὸν πατέρα μου[2]. Αὐτὸ μοῦ εἶναι καὶ κόσμημα καὶ ἀσφάλεια. Κόσμημα, γιατὶ τόσο τὸν κατέκτησα καὶ ἀπέσπασα τὴν ἀγάπη του γιὰ μένα, ὥστε πουθενὰ ποτὲ νὰ μὴν

τὸν ἐμόν, ὡς μηδαμοῦ μηδέποτε ἀνέχεσθαι χωρὶς τοῦ παιδὸς φαίνεσθαι· ἀσφάλεια δέ, ὅτι παρὼν καὶ ἀγωνιζόμενον βλέπων, πάντως καὶ τὴν παρὰ τῶν εὐχῶν συμμαχίαν ἡμῖν παρέξει. Καὶ καθάπερ πλοῖον κυβερνητῶν χεῖρες καὶ οἴακες καὶ ζεφύρου πνοαὶ μετὰ ἀσφαλείας εἰς λιμένα παραπέμπουσιν, οὕτω δὴ καὶ ἡ εὔνοια τούτου καὶ ἡ ἀγάπη καὶ ἡ τῶν εὐχῶν βοήθεια καὶ ζεφύρου καὶ κυβερνήτου κρεῖττον καὶ τῶν οἰάκων κατευθύνει τὸν λόγον ἡμῶν.

Ἐμὲ δὲ πρὸς τούτοις κἀκεῖνο παραμυθεῖτο, τὸ λαμπρᾶς ὑμᾶς ἀπολαῦσαι τότε τραπέζης καὶ φιλότιμον καὶ πολυτελῆ τὸν ἑστιάτορα σχεῖν. Ἔγνωμεν δὲ τοῦτο οὐκ ἐξ ἀκοῆς μόνον, ἀλλὰ καὶ ἐξ αὐτῆς τῆς πείρας. Καὶ γὰρ ἦσαν οἱ διακομίζοντες ἡμῖν τὰ εἰρημένα καὶ ἀπὸ τῶν λειψάνων ὁλόκληρον τὴν εὐωχίαν ἐστοχασάμεθα. Ἐπῄνεσα μὲν οὖν τὸν ἑστιάσαντα καὶ ἐθαύμασα τῆς πολυτελείας καὶ τοῦ πλούτου, ἐμακάρισα δὲ καὶ ὑμᾶς τῆς εὐνοίας καὶ τῆς ἀκριβείας, ὅτι μετὰ τοσαύτης φυλακῆς τὰ εἰρημένα κατέχετε, ὡς καὶ ἑτέρῳ διακομίσαι. Διὰ τοῦτο καὶ ἡμεῖς πρὸς τὴν ἡμετέραν ἀγάπην προθύμως διαλεγόμεθα. Ὁ γὰρ καταβάλλων ἐνταῦθα τὰ σπέρματα, οὐ ῥίπτει αὐτὰ παρὰ τὴν ὁδόν, οὐδὲ εἰς τὰς ἀκάνθας ἐκχεῖ, οὐδὲ ἐπὶ τὴν πέτραν σπείρει· οὕτω λιπαρὰ καὶ βαθύγειος ὑμῶν ἐστιν ἡ ἄρουρα καὶ πάντα εἰς τοὺς οἰκείους δεχομένη κόλπους πολυπλασιάζει τὰ σπέρματα.

Ἀλλ' εἴπερ ποτὲ προθυμίαν μοι παρέσχετε καὶ πολλὴν σπουδὴν ἐπὶ τὴν ἀκρόασιν, ὥσπερ οὖν ἀεὶ παρεσχήκατε, ταύτην αἰτῶ καὶ τήμερον ἐμοὶ δοῦναι τὴν χάριν. Οὐδὲ μὲν ὑπὲρ τῶν τυχόντων ἡμῖν ἐστιν ὁ λόγος, ἀλλ' ὑπὲρ μεγάλων πραγμάτων. Διόπερ ὀφθαλμῶν δέομαι πανταχόθεν ὀξὺ βλεπόντων, διανοίας διεγηγερμένης, διανεστηκότος φρονήματος, συντεταμένων λογισμῶν, ψυχῆς ἀγρύπνου καὶ ἐγρηγορυίας. Καὶ γὰρ ἠκούσατε τοῦ ἀναγνώσματος πάντες τοῦ ἀποστολικοῦ· καὶ εἴ τις ὀξέως προσέσχε τοῖς ἀναγνωσθεῖσιν, οἶδεν ὅτι μεγάλοι ἡμῖν ἀγῶνες καὶ

ἀνέχεται νὰ παρουσιάζεται χωρὶς τὸ παιδί του· καὶ ἀσφάλεια, γιατὶ μένοντας κοντά του καὶ βλέποντας αὐτὸν ν' ἀγωνίζεται ὁπωσδήποτε θὰ μοῦ δώσει καὶ τὴ βοήθεια ἀπὸ τὶς προσευχές του. Καὶ ὅπως ἕνα πλοῖο τὸ ὁδηγοῦν μὲ ἀσφάλεια στὸ λιμάνι τὰ χέρια τῶν κυβερνητῶν καὶ τὸ τιμόνι καὶ τὸ φύσημα τοῦ ζέφυρου, ἔτσι ἀκριβῶς καὶ ἡ δική του εὔνοια καὶ ἡ ἀγάπη καὶ ἡ βοήθεια τῶν προσευχῶν του θὰ κατευθύνει τὸ λόγο μου καλύτερα ἀπὸ τὸ ζέφυρο καὶ ἀπὸ τὸν κυβερνήτη καὶ τὸ τιμόνι.

Κοντὰ σ' αὐτὰ ἐμένα μὲ παρηγοροῦσε καὶ ἐκεῖνο, τὸ ὅτι δηλαδὴ ἐσεῖς ἀπολαύσατε τότε πλούσιο τραπέζι καὶ εἴχατε οἰκοδεσπότη γενναιόδωρο καὶ πολυέξοδο. Καὶ τὸ ἔμαθα αὐτὸ ὄχι μόνο ἀπὸ πληροφορίες ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴν πείρα μου. Γιατὶ πραγματικὰ βρέθηκαν ἐκεῖνοι ποὺ μετέφεραν σὲ μένα ὅσα εἶχαν λεχθεῖ καὶ ἀπὸ τὰ ὑπολλείματα ἔβγαλα τὸ συμπέρασμα γιὰ ὁλόκληρη τὴν πνευματικὴ εὐωχία. Ἐπαίνεσα λοιπὸν ἐκεῖνον ποὺ σᾶς πρόσφερε τὸ πνευματικὸ τραπέζι καὶ θαύμασα τὴν πολυτέλεια καὶ τὸν πλοῦτο, ἀλλὰ μακάρισα καὶ σᾶς γιὰ τὴ διάθεση καὶ τὴν ἐπιμέλειά σας, γιατὶ μὲ τόση προσοχὴ κατέχετε τὰ ὅσα λέχθηκαν ὥστε νὰ τὰ μεταφέρετε καὶ σὲ ἄλλον. Γι' αὐτὸ καὶ ἐγὼ μὲ προθυμία μιλῶ στὴν ἀγάπη σας. Γιατὶ αὐτὸς ποὺ ρίχνει ἐδῶ τὰ σπέρματα, δὲν τὰ ρίχνει στὸ δρόμο, οὔτε τὰ σκορπίζει στὰ ἀγκάθια, οὔτε τὰ σπέρνει στὴν πέτρα· τόσο γόνιμη καὶ εὔφορη εἶναι ἡ δική σας γῆ καὶ δεχόμενη ὅλα τὰ σπέρματα στοὺς κόλπους της τὰ πολλαπλασιάζει.

Ἀλλ' ἂν κάποτε μοῦ δείξατε προθυμία καὶ μεγάλο ἐνδιαφέρον γιὰ τὴν ἀκρόαση, ὅπως βέβαια καὶ πάντοτε τὴν ἔχετε δείξει, αὐτὴ τὴ χάρη ζητῶ καὶ σήμερα νὰ μοῦ δώσετε· γιατὶ ὁ λόγος μας δὲν εἶναι γιὰ τυχαῖα πράγματα, ἀλλὰ γιὰ μεγάλα. Γι' αὐτὸ ἀκριβῶς ζητῶ μάτια νὰ βλέπουν ἀπὸ παντοῦ καλά, νοῦ προσεκτικό, φρόνημα ὑψηλό, σκέψη συγκεντρωμένη, ψυχὴ ἄγρυπνη καὶ ξύπνια. Καὶ βέβαια ὅλοι ἀκούσατε τὸ ἀποστολικὸ ἀνάγνωσμα, ἂν ὅμως κάποιος πρόσεξε καλὰ αὐτὰ ποὺ ἀναγνώσθηκαν, γνωρίζει ὅτι σήμερα βρίσκονται μπροστά μας μεγάλοι ἀγῶνες

ἱδρῶτες πρόκεινται τήμερον. «Ὅτε γὰρ ἦλθε Πέτρος», φησίν, «εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην».

2. Ἆρα οὖν οὐ θορυβεῖ ἕκαστον τῶν ἀκουόντων τοῦτο, ὅτι Παῦλος ἀντέστη τῷ Πέτρῳ, ὅτι οἱ στῦλοι τῆς Ἐκκλησίας συγκρούονται καὶ ἀλλήλοις προσπίπτουσι; Στῦλοι γὰρ ὄντως εἰσὶν οὗτοι, τὴν ὀροφὴν τῆς πίστεως ἀνέχοντες καὶ διαβαστάζοντες, καὶ στῦλοι καὶ πρόβολοι λμοὶ τοῦ σώματος τῆς Ἐκκλησίας καὶ πηγαὶ τῶν ἀγαθῶν καὶ θησαυροὶ καὶ λιμένες καὶ πᾶν ὅπερ ἂν εἴποι τις, οὐδέπω τῆς ἀξίας αὐτῶν ἐφίξεται, ἀλλ' ὅσῳπερ ἂν ᾖ μεγάλα αὐτῶν τὰ ἐγκώμια, τοσούτῳ πλείων ἡμῖν ὁ ἀγών. Διανάστητε τοίνυν· ὑπὲρ πατέρων γὰρ ἡμῖν ἐστιν ὁ λόγος, ὥστε ἀποκρούσασθαι τὰ κατ' ἐκείνων φερόμενα ἐγκλήματα παρὰ τῶν ἔξωθεν καὶ τῶν τῆς πίστεως ἀλλοτρίων.

«Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν». Εἶτα καὶ ἡ αἰτία τῆς καταγνώσεως· «πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων». Καὶ ἄνω λέγει, ὅτι «κατὰ πρόσωπον», καὶ ἐνταῦθα, «ἔμπροσθεν πάντων». Παρατηρεῖτε τοῦτο, τὸ εἰπεῖν, «ἔμπροσθεν πάντων». Εἰ σύ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς καὶ οὐχὶ Ἰουδαϊκῶς, τί καὶ τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;»

Τάχα ἐπῃνέσατε τὸν Παῦλον τῆς παρρησίας, ὅτι οὐκ ᾐδέσθη τὸ ἀξίωμα τοῦ προσώπου, διὰ τὴν ἀλήθειαν τοῦ εὐαγγελίου οὐκ ἠρυθρίασε τοὺς παρόντας. Ἀλλ' εἰ καὶ Παύλου ἐγκώμιον τοῦτο, ἡμετέρα δὲ αἰσχύνη γίνεται. Τί γάρ, εἰ Παῦλος καλῶς ἐποίησεν; Ἀλλ' ὁ Πέτρος κακῶς, εἴγε οὐκ ὠρθοπόδει. Τί οὖν

3. Ἐθνικοί· ἐδῶ οἱ Χριστιανοὶ ποὺ προέρχονταν ἀπὸ τοὺς εἰδωλολάτρες, ἐνῶ Ἰουδαῖοι καὶ περιτομή, οἱ Χριστιανοὶ ποὺ προέρχονταν ἀπὸ τοὺς Ἰουδαίους.

4. Γαλ. 2,11–14.

καὶ ἱδρῶτες. Γιατὶ λέγει, «ὅταν ἦρθε ὁ Πέτρος στὴν Ἀντιόχεια, τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο».

2. Ἄραγε λοιπὸν δὲν ἀνησυχεῖ τὸν κάθε ἀκροατὴ αὐτό, τὸ ὅτι δηλαδὴ ὁ Παῦλος ἐναντιώθηκε στὸν Πέτρο, τὸ ὅτι οἱ στύλοι τῆς Ἐκκλησίας συγκρούονται καὶ μαλώνουν μεταξύ τους; Γιατὶ πραγματικὰ εἶναι στύλοι αὐτοί, κρατώντας καὶ βαστάζοντας τὴν ὀροφὴ τῆς πίστης, καὶ στύλοι καὶ φρουροὶ καὶ μάτια τοῦ σώματος τῆς Ἐκκλησίας καὶ πηγὲς τῶν ἀγαθῶν καὶ θησαυροὶ καὶ λιμάνια καὶ ὅ,τιδήποτε πεῖ κανείς, δὲ θὰ πλησιάσει ποτὲ τὴν ἀξία τους, ἀλλὰ ὅσο μεγάλα εἶναι τὰ ἐγκώμιά τους, τόσο περισσότερος ὁ ἀγώνας μας. Συγκεντρῶστε λοιπὸν τὴν προσοχή σας· γιατὶ ὁ λόγος εἶναι γιὰ τοὺς πατέρες μας, ὥστε ν' ἀποκρούσουμε τὶς κατηγορίες ποὺ διατυπώνονται ἐναντίον τους ἀπὸ τοὺς εἰδωλολάτρες καὶ τοὺς ἐχθροὺς τῆς πίστης.

«Ὅταν ὅμως ἦρθε ὁ Πέτρος στὴν Ἀντιόχεια, τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο, γιατὶ ἦταν ἄξιος κατηγορίας». Στὴ συνέχεια καὶ ἡ αἰτία τῆς κατηγορίας. «Γιατὶ πρὶν ἔρθουν μερικοὶ Χριστιανοὶ ἀπὸ τὸν Ἰάκωβο, ἔτρωγε μαζὶ μὲ τοὺς ἐθνικούς[3], ὅταν ὅμως ἦρθαν ἀποσύρθηκε καὶ διαχώρισε τὴ θέση του, ἐπειδὴ φοβόταν τοὺς Ἰουδαίους. Καὶ μαζί του ὑποκρίθηκαν καὶ οἱ ὑπόλοιποι Ἰουδαῖοι, ὥστε παρασύρθηκε στὴν ὑποκρισία τους ἀκόμη καὶ ὁ Βαρνάβας. Ὅταν ὅμως εἶδα ὅτι δὲ βαδίζουν σωστὰ καὶ σύμφωνα μὲ τὴν ἀλήθεια τοῦ εὐαγγελίου, εἶπα στὸν Πέτρο μπροστὰ σὲ ὅλους». Καὶ παραπάνω λέγει, «κατὰ πρόσωπο» καὶ ἐδῶ, «μπροστὰ σὲ ὅλους». Προσέχετε αὐτό, τὸ ὅτι εἶπε δηλαδή, «μπροστὰ σὲ ὅλους». «Ἂν ἐσύ, ποὺ εἶσαι Ἰουδαῖος, ζεῖς σὰν ἐθνικὸς καὶ ὄχι σὰν Ἰουδαῖος, γιατί ἐξαναγκάζεις καὶ τοὺς ἐθνικοὺς νὰ ζοῦν σὰν Ἰουδαῖοι;»[4].

Ἴσως ἐπαινέσατε τὸν Παῦλο γιὰ τὴν παρρησία του, ἐπειδὴ δὲ σεβάστηκε τὸ ἀξίωμα τοῦ προσώπου καὶ δὲν ντράπηκε τοὺς παρόντες γιὰ τὴν ἀλήθεια τοῦ εὐαγγελίου. Ἀλλ', ἂν καὶ αὐτὸ ἀποτελεῖ ἐγκώμιο τοῦ Παύλου, ὅμως γίνεται δική μας ντροπή. Τί σημασία λοιπὸν ἔχει, ἂν ὁ Παῦλος ἔπραξε καλῶς. Ὁ Πέτρος ὅμως ἐνεργοῦσε κακῶς, ἐφόσον δὲ βάδιζε τὸ σωστό. Ποιό λοι-

ἐμοὶ τὸ ὄφελος, ὅταν τῆς ξυνωρίδος θάτερος ἵππος χωλεύῃ; Οὐ γὰρ πρὸς Παῦλόν μοι νῦν ὁ λόγος, ἀλλὰ πρὸς τοὺς ἔξωθεν. Διὰ τοῦτο καὶ παρακαλῶ προσέχειν. Καὶ γὰρ αὔξω τὴν κατηγορίαν καὶ μείζονα ποιῶ, ἵνα ἐπιτείνω ὑμῶν τὴν σπουδήν. Ὁ γὰρ ἀγωνιῶν νήφει καὶ ὁ δεδοικὼς ὑπὲρ πατρὸς προσέχει· ὁ ἀκούων τῆς κατηγορίας, ἐπιθυμεῖ δέξασθαι τὴν ἀπολογίαν. Ἂν τοίνυν ἄρξωμαι αὔξειν τὴν κατηγορίαν, μὴ ἀπὸ γνώμης τῆς ἐμῆς νομίσητε εἶναι τὰ λεγόμενα. Βαθύνω γὰρ ὑμῶν τῷ λόγῳ τὴν διάνοιαν, διασκάπτω τὸν νοῦν, ἵνα ἐν τῷ βάθει τὰ νοήματα καταθέμενος, ἄσυλον αὐτῶν ἐργάσωμαι τὴν φυλακήν. Ἀλλὰ καὶ τῆς πόλεως ὑμῶν ἐγκώμιον τὰ ῥηθησόμενα. Αὕτη γὰρ τὸν ἀγῶνα ἐδέξατο, αὕτη τὴν μάχην, μᾶλλον δὲ οὐ τὴν μάχην, ἀλλὰ τὴν δοκοῦσαν μὲν εἶναι μάχην, πάσης δὲ εἰρήνης γενομένην χρησιμωτέραν. Οὐ γὰρ οὕτως ἡμῶν τὰ μέλη πρὸς ἄλληλα συνέσφιγκται ταῖς τῶν νεύρων περιβολαῖς, ὡς οἱ ἀπόστολοι πρὸς ἀλλήλους ἦσαν συνδεδεμένοι τοῖς τῆς ἀγάπης δεσμοῖς.

3. Ἐπῃνέσατε τὸν Παῦλον; Ἀκούσατε τοίνυν πῶς κατηγορία ἐστὶ Παύλου τὰ εἰρημένα, ἂν μὴ τὸν ἐναποκεκρυμμένον τοῖς ῥήμασι θηρεύσωμεν νοῦν. Τί λέγεις, ὦ Παῦλε; Ἐπετίμησας Πέτρῳ, ὅτι εἶδες οὐκ ὀρθοποδοῦντα πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου; Καλῶς. Τίνος οὖν ἕνεκεν «κατὰ πρόσωπον»; τίνος ἕνεκεν «ἔμπροσθεν πάντων»; Οὐκ ἔδει ἀμάρτυρον γίνεσθαι τὸν ἔλεγχον; Σὺ δὲ πῶς δημοσιεύεις τὸ δικαστήριον καὶ πολλοὺς τῆς κατηγορίας μάρτυρας ποιεῖς; Καὶ τίς οὐκ ἂν εἴποι, ὅτι ἐξ ἀπεχθείας τοῦτο ποιεῖς καὶ φθόνου καὶ φιλονεικίας; Οὐ σὺ ἦσθα ὁ λέγων, «ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής»; Τί δέ ἐστι, «τοῖς ἀσθενέσιν ὡς ἀσθενής»; Συγκαταβαίνων καὶ περιστέλλων αὐτῶν τὰ τραύματα, φησί, καὶ οὐκ ἀφιεὶς εἰς ἀναισχυντίαν ἐκπεσεῖν. Εἶτα περὶ τοὺς μαθητὰς οὕτω κηδεμὼν καὶ φιλάνθρωπος ὤν, περὶ τὸν συναπόστολον ἀπάνθρωπος ἐγένου; Οὐκ

5. Α' Κορ. 9,22.

πὸν εἶναι σὲ μένα τὸ ὄφελος, ὅταν ἕνας ἀπὸ τοὺς δύο αὐτοὺς χωλαίνει; Γιατὶ τώρα ὁ λόγος μου δὲν εἶναι γιὰ τὸν Παῦλο ἀλλὰ γιὰ τοὺς μὴ χριστιανούς. Γι' αὐτὸ καὶ παρακαλῶ νὰ προσέχετε. Γιατὶ αὐξάνω τὴν κατηγορία καὶ τὴν κάνω μεγαλύτερη γιὰ νὰ ἐντείνω τὴν προσοχή σας. Γιατὶ ἐκεῖνος ποὺ ἀγωνιᾶ εἶναι ἄγρυπνος, καὶ ἐκεῖνος ποὺ φοβᾶται γαὶ τὸν πατέρα του προσέχει· ὅποιος ἀκούει τὴν κατηγορία, ἐπιθυμεῖ ν' ἀκούσει καὶ τὴν ἀπολογία. Ἂν λοιπὸν ἀρχίσω ν' αὐξάνω τὴν κατηγορία, μὴ νομίσετε πὼς τὰ λεγόμενα προέρχονται ἀπὸ τὴ δική μου σκέψη. Γιατὶ μὲ τὸ λόγο βαθαίνω τὴ διάνοιά σας, σκάβω τὸ νοῦ σας, γιὰ νὰ θέσω στὸ βάθος τὰ νοήματα καὶ νὰ κάνω τὴ φύλαξή τους ἀσφαλή. Ἀλλὰ καὶ γιὰ τὴν πόλη σας ἀποτελοῦν ἐγκώμιο αὐτὰ ποὺ θὰ λεχθοῦν. Γιατὶ σ' αὐτὴ διεξήχθηκε ὁ ἀγώνας, σ' αὐτὴ ἔγινε ἡ μάχη, ἢ καλύτερα ὄχι ἡ μάχη, ἀλλὰ ποὺ φαινόταν ὅτι εἶναι μάχη, ἀλλ' ἔγινε πιὸ χρήσιμη ἀπὸ κάθε εἰρήνη. Γιατὶ τὰ μέλη μας δὲν εἶναι τόσο σφικτὰ μεταξύ τους μὲ τὴ σύνδεση τῶν νεύρων, ὅσο οἱ ἀπόστολοι ἦταν δεμένοι μὲ τοὺς δεσμοὺς τῆς ἀγάπης.

3. Ἐπαινέσατε τὸν Παῦλο; Ἀκοῦστε λοιπὸν πῶς αὐτὰ ποὺ λέχθηκαν ἀποτελοῦν κατηγορία ἐναντίον τοῦ Παύλου, ἂν δὲ συλλάβουμε τὸ νόημα ποὺ εἶναι κρυμμένο μέσα σ' αὐτὰ τὰ λόγια. Τί λέγεις Παῦλε; Κατηγόρησες τὸν Πέτρο ὅταν εἶδες πὼς δὲ βάδιζε σύμφωνα μὲ τὴν ἀλήθεια τοῦ εὐαγγελίου; Καλὰ ἔκαμες. Γιὰ ποιό λόγο ὅμως «κατὰ πρόσωπο»; γιὰ ποιό λόγο «μπροστὰ σὲ ὅλους»; Δὲν ἔπρεπε νὰ γίνεται ὁ ἔλεγχος χωρὶς μάρτυρες; Ἐσὺ ὅμως πῶς κάνεις γνωστὸ τὸ δικαστήριο καὶ δημιουργεῖς πολλοὺς μάρτυρες τῆς κατηγορίας; Καὶ ποιός δὲ θὰ μποροῦσε νὰ πεῖ ὅτι τὸ κάνεις αὐτὸ ἀπὸ μίσος καὶ φθόνο καὶ φιλονεικία; Δὲν ἤσουν ἐσὺ ποὺ ἔλεγες, «στοὺς ἀσθενεῖς ἔγινα σὰν ἀσθενής»[5]; Καὶ τί σημαίνει, «στοὺς ἀσθενεῖς σὰν ἀσθενής»; Δείχνοντας συγκατάβαση καὶ θεραπεύοντας τὰ τραύματά τους, λέγει, καὶ μὴ ἀφήνοντας νὰ πέσουν σὲ ἀδιαντροπιά. Καὶ καλά, πρὸς τοὺς μαθητὲς ἔδειχνες τόση μεγάλη φροντίδα καὶ φιλανθρωπία, γιὰ τὸ συναπόστολό σου ἔγινες ἀπάνθρωπος; Δὲν

ἤκουσας τοῦ Χριστοῦ λέγοντος, «ὅταν ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ και αὐτοῦ μόνου»; Σὺ δὲ καὶ δημοσίᾳ ἐλέγχεις καὶ μέγα φρονεῖς ἐπὶ τῷ πράγματι. «Ὅτε γὰρ ἦλθε Πέτρος», φησίν, «εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην».

Καὶ οὐκ ἐλέγχεις δημοσίᾳ μόνον, ἀλλὰ καί, καθάπερ ἐν στήλῃ, τοῖς γράμμασι τὴν μάχην ἐγχαράξας, ἀθάνατον ποιεῖς τὴν μνήμην· ἵνα μὴ οἱ τότε παρόντες μόνον, ἀλλὰ καὶ πάντες οἱ τὴν οἰκουμένην οἰκοῦντες ἄνθρωποι μάθωσι διὰ τῆς ἐπιστολῆς τὸ γεγενημένον. Οὕτω σοι ἐποίησαν οἱ ἀπόστολοι ἐν Ἱεροσολύμοις, ὅτε ἀνῆλθες διὰ δεκατεσσάρων ἐτῶν ἀναθέσθαι αὐτοῖς τὸ εὐαγγέλιον; Οὐ σὺ λέγεις, ὅτι «διὰ δεκατεσσάρων ἐτῶν ἀνέβην καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσί τι εἶναι»; Τί οὖν; Βουλόμενόν σε κατ' ἰδίαν ἀναθέσθαι, ἐκώλυσαν καὶ εἰς μέσον ἤγαγον καὶ δῆλον ἅπασιν ἐποίησαν; Οὐκ ἔστιν εἰπεῖν. Εἶτα σὺ μὲν κατ' ἰδίαν ἀνατίθῃς καὶ οὐδεὶς ἀντιλέγει, τὸν δὲ ἀπόστολον ἐκπομπεύεις;

Ἆρα οὖν ἐκεῖ μόνον ταύτης ἀπήλαυσας τῆς εὐνοίας; Ἀλλὰ μὴν καὶ ὅτε δὲ μυριάδες τοσαῦται Ἰουδαίων ἦσαν, οὐ μετὰ τῆς αὐτῆς ἐχρήσαντό σοι σοφίας; οὐ κατ' ἰδίαν λαβόντες σε ἔλεγον, «θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου εἰσὶ καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις. Τί οὖν ἐστι; Ποίησον ὅ σοι λέγομεν. Εἰσὶν ἄνδρες ἐν ἡμῖν ἔχοντες εὐχὴν ἐφ' ἑαυτοῖς· τούτους λαβὼν ξύρησαι σὺν αὐτοῖς καὶ ἁγνίσθητι μετ' αὐτῶν, ἵνα μάθωσιν, ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν». Εἶδες πῶς φείδονταί σου τῆς ὑπολήψεως; πῶς κρύπτουσί σε τῷ προσωπείῳ τῆς οἰκονομίας ἐκείνης, τῇ θυσίᾳ, τοῖς ἁγνισμοῖς σε περιστέλλοντες; Διὰ τί μὴ τοσαύτην κηδεμονίαν ἐπεδείξω καὶ σύ;

4. Ἀλλ', εἰ ἦν ἀληθῶς μάχη τὰ γενόμενα καὶ φιλονεικία, εἶ-

6. Ματθ. 18,15.

7. Γαλ. 2,1–2.

8. Πράξ. 21,20–24.

ἔκουσες τὸ Χριστὸ ποὺ λέγει, «ὅταν σφάλει ὁ ἀδελφός σου, πήγαινε καὶ ἔλεγξέ τον καὶ ἐνῶ θὰ εἶστε οἱ δυό σας μόνοι»[6]; Ἐσὺ ὅμως καὶ δημόσια τὸν ἐλέγχεις καὶ ὑπερηφανεύεσαι γιὰ τὸ πράγμα. Γιατὶ λέγει, «ὅταν ἦρθε ὁ Πέτρος στὴν Ἀντιόχεια, τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο».

Καὶ ὄχι μόνο τὸν ἐλέγχεις δημόσια, ἀλλὰ καὶ σὰν σὲ στήλη ἐπάνω χάραξες μὲ γράμματα τὴ διαφωνία, κάμνοντας ἀθάνατη τὴ μνήμη της, ὥστε ὄχι μόνο οἱ τότε παρόντες ἀλλὰ καὶ ὅλοι οἱ κάτοικοι τῆς οἰκουμένης νὰ μάθουν μέσα ἀπὸ τὴν ἐπιστολὴ τὸ γεγονός. Ἔτσι ἔκαμαν σὲ σένα οἱ ἀπόστολοι στὰ Ἰεροσόλυμα ὅταν ἀνέβηκες ὕστερα ἀπὸ δεκατέσσερα χρόνια γιὰ νὰ τοὺς ἐκθέσεις τὸ εὐαγγέλιο; Δὲ λέγεις ἐσύ, «ὕστερα ἀπὸ δεκατέσσερα χρόνια ἀνέβηκα καὶ τοὺς ἐξέθεσα τὸ εὐαγγέλιο, καὶ ἰδιαίτερα στοὺς φημισμένους»[7]; Τί λοιπόν; Θέλοντας νὰ τοὺς τὸ ἐκθέσεις ἰδιαίτερα, σὲ ἐμπόδισαν, σὲ ὁδήγησαν μπροστὰ σὲ ὅλους καὶ τὸ ἔκαμαν φανερὸ σὲ ὅλους; Δὲν μπορεῖς νὰ τὸ πεῖς αὐτό. Ἔπειτα, σὺ ἔεχεσαι καὶ τὸ ἐκθέτεις κατ' ἰδίαν καὶ κανεὶς δὲν ἀντιλέγει, τὸν ἀπόστολο ὅμως τὸν ἐπικρίνεις δημόσια;

Καὶ ἄραγε ἐκεῖ μόνο ἀπόλαυσες αὐτὴ τὴν εὔνοια; Ἀλλ' ὅμως καὶ ὅταν ἦταν τόσες μυριάδες Ἰουδαῖοι, δὲ σὲ συμπεριφέρθηκαν μὲ τὴν ἴδια σύνεση; δὲ σὲ πῆραν ἰδιαιτέρως καὶ δὲ σοῦ ἔλεγαν, «βλέπεις, ἀδελφέ, πόσες μυριάδες εἶναι οἱ Ἰουδαῖοι ποὺ ἔχουν συγκεντρωθεῖ καὶ ὅλοι αὐτοὶ εἶναι ζηλωτὲς τοῦ νόμου καὶ πληροφορήθηκαν γιὰ σένα ὅτι διδάσκεις ἀποστασία ἀπὸ τὸ νόμο. Τί πρέπει λοιπὸν νὰ γίνει; Κάνε αὐτὸ ποὺ σοῦ λέμε. Ὑπάρχουν ἀνάμεσά μας ἄνδρες ποὺ ἔχουν κάνει τάξιμο στὸν ἑαυτό τους. Ἀφοῦ τοὺς πάρεις, ξυρίσου μαζί τους καὶ ἀγνίσου μαζὶ μ' αὐτούς, γιὰ νὰ μάθουν πὼς ὅσα ἔμαθαν γιὰ σένα δὲν εἶναι τίποτε»[8]; Εἶδες πῶς φροντίζουν γιὰ τὴν ὑπόληψή σου; πῶς σὲ κρύβουν καὶ σὲ καλύπτουν μὲ τὸ προσωπεῖο τῆς οἰκονομίας ἐκείνης, μὲ τὴ θυσία, μὲ τοὺς ἀγνισμούς; Γιατί δὲν ἔδειξες καὶ σὺ τόσο μεγάλη φροντίδα;

4. Ἀλλά, ἂν ἦταν πραγματικὰ σύγκρουση καὶ φιλονεικία

χεν ἂν λόγον τὰ κατηγορήματα ταῦτα, νῦν δὲ οὐκ ἔστι μάχη, ἀλλὰ δοκεῖ μὲν εἶναι, μεγάλη δὲ καὶ τοῦ Παύλου καὶ τοῦ Πέτρου σοφίαν καὶ εὔνοιαν πρὸς ἀλλήλους ἐπιδείκνυται. Πλὴν τέως αὐτῆς τῆς δοκούσης εἶναι κατηγορίας ἀκούσωμεν. «Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην». Διὰ τί; «Ὅτι κατεγνωσμένος ἦν». Καὶ τίς ὁ τρόπος τῆς καταγνώσεως; «Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν, ὅτε δὲ ἦλθον ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς». Τί λέγεις; Δειλὸς ὁ Πέτρος καὶ ἄνανδρος; Οὐ διὰ τοῦτο Πέτρος ἐκλήθη, ἐπειδὴ ἄσειστος ἦν κατὰ τὴν πίστιν; Τί ποιεῖς, ἄνθρωπε; Αἰδέσθητι τὴν προσηγορίαν τοῦ Δεσπότου, ἣν ἔθηκε τῷ μαθητῇ. Δειλὸς ὁ Πέτρος καὶ ἄνανδρος; Καὶ τίς σου ταῦτα ἀνέξεται λέγοντος; Οὐ ταῦτα σύνοιδεν αὐτῷ τὰ Ἱεροσόλυμα καὶ τὸ πρῶτον ἐκεῖνο θέατρον καὶ ἡ Ἐκκλησία, εἰς ἣν πρῶτος ἐπεπήδησε καὶ τὴν μακαρίαν ἐκείνην πρῶτος ἀφῆκε φωνὴν καὶ εἶπε, «τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, λύσας τὰς ὠδῖνας τοῦ θανάτου», καὶ πάλιν, «οὐ γὰρ Δαυῒδ ἀνέβη εἰς τὸν οὐρανόν. Αὐτὸς δὲ λέγει», φησίν, «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»;

Οὗτος οὖν, εἰπέ μοι, δειλὸς καὶ ἄνανδρος, ὁ τοσούτου φόβου καὶ τοσούτων κινδύνων ἐπικρεμαμένων, μετὰ τοσαύτης παρρησίας πρὸς τοὺς αἱμοβόρους κύνας ἐκείνους καὶ τῷ θυμῷ ζέοντας ἔτι καὶ φόνου πνέοντας εἰσελθὼν καὶ εἰπών, ὅτι ὁ σταυρωθεὶς ὑπ' αὐτῶν καὶ ἀνέστη καὶ ἐν τοῖς οὐρανοῖς ἐστι καὶ ἐκ δεξιῶν κάθηται τοῦ Πατρὸς καὶ μυρίοις τοὺς ἐχθροὺς αὐτοῦ περιβάλλει κακοῖς; Ὅτι γὰρ διᾶραι στόμα, ὅτι γὰρ ἀνοῖξαι χείλη, ὅτι στῆναι, ὅτι φανῆναι μόνον μεταξὺ τῶν σταυρωσάντων αὐτὸν ἴσχυσεν, οὐ θαυμάζεις αὐτὸν καὶ στεφανοῖς, εἰπέ μοι; Ποῖος γὰρ λόγος, τίς διάνοια τὴν παρρησίαν αὐτοῦ τὴν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ τὴν ἐλευθεροστομίαν παραστῆσαι δυνήσεται; Οὐκ ἔστιν οὐ-

---

9. Πράξ. 2,24.
10. Πράξ. 2,34–35.

αὐτὰ ποὺ ἔγιναν, θὰ εἶχαν λόγο οἱ κατηγορίες αὐτές, τώρα ὅμως δὲν ὑπάρχει σύγκρουση, ἀλλὰ φαίνεται βέβαια πὼς ὑπάρχει, ὅμως φανερώνει τὴ μεγάλη σύνεση τοῦ Παύλου καὶ τοῦ Πέτρου καὶ τὴ μεταξύ τους ἀγάπη. Ἀλλὰ πρῶτα ἂς ἀκούσουμε αὐτὴ τὴ φαινομενικὴ κατηγορία. «Ὅταν ἦρθε στὴν Ἀντιόχεια ὁ Πέτρος τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο». Γιατί; «Γιατὶ ἦταν ἀξιοκατάκριτος». Καὶ ποιός ἦταν ὁ λόγος τῆς κατάκρισης; «Γιατὶ πρὶν ἔρθουν μερικοὶ Χριστιανοὶ ἀπὸ τὸν Ἰάκωβο, ἔτρωγε μαζὶ μὲ τοὺς ἐθνικούς, ὅταν ὅμως ἦρθαν ἀποσύρθηκε καὶ διαχώρισε τὴ θέση του, ἐπειδὴ φοβόταν τοὺς ἐξ Ἰουδαίων Χριστιανούς ». Τί λέγεις; Ὁ Πέτρος ἦταν δειλὸς καὶ ἄνανδρος; Δὲν ὀνομάσθηκε γι' αὐτὸ Πέτρος, ἐπειδὴ ἦταν σταθερὸς στὴν πίστη; Τί κάνεις ἄνθρωπε; Σεβάσου τὴν ὀνομασία τοῦ Κυρίου, ποὺ ἔδωσε στὸ μαθητή. Δειλὸς ὁ Πέτρος καὶ ἄνανδρος; Καὶ ποιός θὰ σὲ ἀνεχθεῖ λέγοντας αὐτά; Δὲν τοῦ ἀναγνώριζαν αὐτὰ τὰ Ἱεροσόλυμα καὶ ἡ πρώτη ἐκείνη σύναξη καὶ ἡ Ἐκκλησία, στὴν ὁποία πρῶτος πήδησε καὶ πρῶτος ἔβγαλε τὴ μακάρια ἐκείνη φωνὴ καὶ εἶπε, «αὐτὸν τὸν Ἰησοῦν ἀνέστησε ὁ Θεός, ἀφοῦ τὸν ἐλευθέρωσε ἀπὸ τὰ δεσμὰ τοῦ θανάτου»[9], καὶ πάλι λέγει, «ὁ Δαβὶδ δὲν ἀνέβηκε στὸν οὐρανό, ἀλλ' ὁ ἴδιος λέγει· εἶπε ὁ Κύριος στὸν Κύριο μου, κάθισε στὰ δεξιά μου, ὥσπου νὰ ὑποτάξω τοὺς ἐχθρούς σου κάτω ἀπὸ τὰ πόδια σου»[10];

Αὐτὸς λοιπόν, πές μου, εἶναι δειλὸς καὶ ἄνανδρος, ποὺ ἂν καὶ ὑπῆρχε τόσος φόβος καὶ ἀπειλοῦνταν τόσοι κίνδυνοι παρουσιάσθηκε στους αἱμοβόρους ἐκείνους σκύλους, ποὺ ἔβραζαν ἀκόμη ἀπὸ θυμὸ καὶ εἶχαν φονικὲς διαθέσεις, καὶ εἶπε ὅτι ἐκεῖνος ποὺ σταυρώθηκε ἀπ' αὐτοὺς καὶ ἀναστήθηκε καὶ στοὺς οὐρανοὺς βρίσκεται καὶ στὰ δεξιὰ τοῦ Πατέρα κάθεται καὶ περιβάλλει τοὺς ἐχθρούς του μὲ ἄπειρα κακά; Γιατὶ τὸ ὅτι μπόρεσε νὰ ἀνοίξει τὸ στόμα του καὶ νὰ μιλήσει, νὰ σταθεῖ καὶ νὰ παρουσιασθεῖ μόνος ἀνάμεσα σ' ἐκείνους ποὺ τὸν σταύρωσαν, πές μου, δὲν τὸν θαυμάζεις καὶ δὲ τὸν στεφανώνεις; Γιατὶ ποιός λόγος, ποιός νοῦς θὰ μπορέσει νὰ παραστήσει τὸ θάρρος καὶ τὴν ἐλευθεροστομία του ποὺ ἔδειξε τὴν ἡμέρα ἐκείνη; Δὲν ὑπάρχει

δείς. Εἰ γὰρ πρὸ τοῦ σταυροῦ συνέθεντο ὁ Ἰουδαῖοι, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγον ποιεῖν, μετὰ τὸν σταυρὸν καὶ τὴν ταφὴν ἀκούοντες οὐχὶ Χριστὸν ὁμολογοῦντος μόνον, ἀλλὰ καὶ πᾶσαν ὁμοῦ τὴν οἰκονομίαν μετὰ πάσης φιλοσοφίας ἀνακηρύττοντος, πῶς οὐ διεσπάσαντο καὶ μεληδὸν αὐτὸν διείλοντο πάντες, πρῶτον πάντων τῆς μανίας αὐτῶν κατατολμήσαντα;

5. Τὸ γὰρ δὴ μέγα τοῦτό ἐστιν, οὐχ ὅτι Χριστὸν ὡμολόγησεν, ἀλλ' ὅτι πρὸ τῶν ἄλλων ἁπάντων, μαινομένων αὐτῶν καὶ οἰδούντων ἀπὸ τοῦ φόνου, ὡμολόγησε μετὰ παρρησίας. Ὥσπερ οὖν ἐν πολέμῳ καὶ παρατάξει, φάλαγγος συμπεφραγμένης, ἐκεῖνον μάλιστα θαυμάζομεν τὸν πρὸ τῶν ἄλλων πηδῶντα καὶ τὸ μέτωπον αὐτῆς διαρρηγνύντα (οὐ γὰρ δὴ τούτου μόνου, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα ὑφ' ἑτέρων γινομένων κατορθωμάτων οὗτος ἂν εἴη πάντως αἴτιος, ὁ τὴν ἀρχὴν καὶ τὴν εἴσοδον παρασχών), οὕτω δὴ καὶ ἐπὶ τοῦ Πέτρου λογίζεσθαι χρή, ὅτι πρῶτος εἰσελθὼν καὶ τὸ μέτωπον τῆς φάλαγγος τῆς ἰουδαϊκῆς διαρρήξας καὶ τὴν μακρὰν ἐκείνην δημηγορίαν κατατείνας, οὕτω καὶ τοῖς ἄλλοις ἀποστόλοις ἔδωκεν εἴσοδον. Κἂν Ἰωάννης κἂν Ἰάκωβος κἂν Παῦλος κἂν ἄλλος ὁστισοῦν μετὰ ταῦτα μέγα τι ποιῶν φαίνηται, ἁπάντων οὗτος πλεονεκτεῖ, ὁ προοδοποιήσας αὐτῶν τῇ παρρησίᾳ καὶ διανοίξας τὴν εἴσοδον καὶ δοὺς αὐτοῖς, καθάπερ ποταμῷ πολλῷ φερομένῳ ρεύματι, μετὰ πολλῆς ἀδείας ἐπεισελθεῖν καὶ τοὺς μὲν ἐναντιουμένους παρασύρειν, τῶν δὲ μετ' εὐνοίας ἀκουόντων τὰς ψυχὰς ἄρδειν διηνεκῶς.

Ἆρ' οὖν μετὰ τὸν σταυρὸν τοιοῦτος, πρὸ δε τοῦ σταυροῦ οὐ πάντων θερμότερος; Οὐχὶ τὸ στόμα τῶν ἀποστόλων ἦν; οὐχὶ πάντων σιγώντων αὐτὸς ἐφθέγγετο; «Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου;» φησὶν ὁ Χριστός· καὶ οἱ μὲν Ἠλίαν ἔλεγον, οἱ δὲ Ἰερεμίαν, οἱ δὲ ἕνα τῶν προφητῶν. «Ὑμεῖς δὲ τίνα με λέγετε», φησίν, «εἶναι;». Εἶτα ἀποκριθεὶς

11. Ματθ. 16,13.

κανείς. Γιατὶ ἂν πρὶν τὴ σταύρωση συμφωνοῦσαν οἱ Ἰουδαῖοι, ἂν κάποιος τὸν ὁμολογήσει ὡς Χριστό, αὐτὸν νὰ τὸν ἀπομακρύνουν ἀπὸ τὴ συναγωγή, μετὰ τὴ σταύρωση καὶ τὴν ταφὴ ἀκούοντάς τον ὄχι μόνο τὸ Χριστὸ νὰ ὁμολογεῖ, ἀλλὰ καὶ ὅλη τὴ θεία οἰκονομία μὲ κάθε φιλοσοφία νὰ διακηρύττει, πῶς δὲ θὰ τὸν ξέσχιζαν καὶ δὲ θὰ διαμέλιζαν ὅλοι αὐτόν, ποὺ πρῶτος ἀπ' ὅλους περιφρόνησε τὴ μανία τους;

5. Καὶ τὸ πιὸ σπουδαῖο βέβαια εἶναι αὐτό, ὄχι τὸ ὅτι ὁμολόγησε τὸ Χριστό, ἀλλὰ τὸ ὅτι πρὶν ἀπ' ὅλους, ἐνῶ ἐκεῖνοι μαίνονταν καὶ ὀργίζονταν ἀπὸ τὸ φόνο, τὸν ὁμολόγησε μὲ παρρησία. Ὅπως λοιπὸν στὸν πόλεμο καὶ στὴ μάχη καὶ ἐνῶ ἡ φάλαγγα ἔχει σχηματίσει πυκνὴ παράταξη, θαυμάζουμε κυρίως ἐκεῖνον ποὺ πρὶν ἀπὸ τοὺς ἄλλους ὁρμάει καὶ σπάει τὸ μέτωπό της (γιατὶ ὄχι μόνο γι' αὐτό, ἀλλὰ καὶ γιὰ τὰ μετέπειτα κατορθώματα ποὺ πρόκειται νὰ γίνουν ἀπὸ τοὺς ἄλλους θὰ εἶναι αἴτιος γιὰ ὅλα αὐτὸς ποὺ ἔκαμε τὴν ἀρχὴ καὶ ἄνοιξε τὸ δρόμο), ἔτσι ἀκριβῶς πρέπει νὰ σκεπτόμαστε καὶ γιὰ τὸν Πέτρο, γιατί, ἀφοῦ πρῶτος ὅρμησε καὶ ἔσπασε τὸ μέτωπο τῆς ἰουδαϊκῆς φάλαγγας καὶ ἀπηύθυνε τὴ μακρὰ ἐκείνη ὁμιλία, ἄνοιξε ἔτσι καὶ στοὺς ἄλλους ἀποστόλους τὸ δρόμο. Καὶ εἴτε ὁ Ἰωάννης, εἴτε ὁ Ἰάκωβος, εἴτε ὁ Παῦλος, εἴτε ὁποιοσδήποτε ἄλλος φαίνεται νὰ κάνει κάτι μεγάλο ὕστερα ἀπ' αὐτά, ἀπ' ὅλους ἀνώτερος εἶναι αὐτὸς ποὺ προετοίμασε τὸ δρόμο τους μὲ παρρησία, διανοίγοντας τὴν εἴσοδο καὶ ἐπιτρέποντας σ' αὐτούς, σὰν πολὺ ὁρμητικὸ ποτάμι, νὰ ὁρμήσουν μὲ μεγάλη δύναμη, παρασύροντας ἔτσι τοὺς ἐχθρούς, ἀλλὰ καὶ ποτίζοντας συνεχῶς τὶς ψυχὲς ἐκείνων ποὺ μὲ εὐνοϊκὴ διάθεση τοὺς ἀκοῦν.

Ἄραγε λοιπὸν μετὰ τὴ σταύρωση μόνο ἦταν τέτοιος; πρὶν τὴ σταύρωση δὲν ἦταν πιὸ θερμὸς ἀπ' ὅλους; δὲν ἦταν τὸ στόμα τῶν ἀποστόλων; δὲ μιλοῦσε αὐτὸς ὅταν ὅλοι σιωποῦσαν; «Ποιός λέγουν οἱ ἄνθρωποι, ὅτι εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου;», λέγει ὁ Χριστός. Καὶ ἄλλοι ἔλεγαν ὅτι εἶναι ὁ Ἠλίας, ἄλλοι ὁ Ἰερεμίας καὶ ἄλλοι ἕνας ἀπὸ τοὺς προφῆτες[11]. «Ἐσεῖς», λέγει, «ποιός νομίζετε ὅτι εἶμαι;» Καὶ ἀποκρίθηκε τότε ὁ Πέτρος καὶ

Πέτρος εἶπε· «σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος». «Ὑμεῖς» εἶπε, καὶ ἀντὶ πάντων αὐτὸς ἐφθέγξατο. Ὥσπερ γὰρ τὸ στόμα ἀντὶ παντὸς τοῦ σώματος φθέγγεται, οὕτως ἡ γλῶττα τῶν ἀποστόλων Πέτρος ἦν, καὶ ἀντὶ πάντων αὐτὸς ἀπεκρίνατο. Ἆρ' οὖν ἐνταῦθα μόνον τοιοῦτος ἀλλαχοῦ δὲ καθυφίησι τῆς σπουδῆς; Οὐδαμῶς· ἀλλὰ διὰ πάντων καὶ ἐν πᾶσι τὴν αὐτὴν ἐμφαίνει θερμότητα. Καὶ γὰρ εἰπόντος τοῦ Χριστοῦ, «παραδώσουσι τὸν Υἱὸν τοῦ ἀνθρώπου καὶ μαστιγώσουσι καὶ σταυρώσουσιν», αὐτός φησιν· «ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο». Μὴ γὰρ δὴ τοῦτο ἐξετάσωμεν, ὅτι ἀπερίσκεπτος ἡ ἀπόκρισις, ἀλλ' ὅτι γνησίου πόθου ἦν καὶ ζέοντος. Πάλιν ἀνέβη εἰς τὸ ὄρος καὶ μετεμορφώθη· ὤφθη μεταξὺ Ἠλίας ἐκεῖ καὶ Μωϋσῆς διαλεγόμενος. Πάλιν κἀκεῖ ὁ Πέτρος· «εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς».

6. Ὅρα πῶς ἐφίλει τὸν διδάσκαλον καὶ σκόπει τὴν ἀκρίβειαν καὶ τὴν σύνεσιν. Ἐπειδὴ γὰρ τότε ἁπλῶς ἀποκριθεὶς ἐπεστομίσθη, ἐνταῦθα τῇ ἐξουσίᾳ τοῦ διδασκάλου ἐπιτρέπει τὸ πρᾶγμα, «εἰ θέλεις», λέγων. Συμβαίνει γάρ, φησί, καὶ νῦν ἀπερισκέπτως με πόθῳ κινούμενον εἰπεῖν. Ἵν' οὖν μὴ τὴν αὐτὴν ἐπιτίμησιν δέξηται, «εἰ θέλεις», φησί. Συμπόσιον ἦν ἐκεῖνο πάλιν τὸ ἅγιον καὶ φρικῶδες· καὶ τότε λέγοντος τοῦ Ἰησοῦ, «εἷς ἐξ ὑμῶν παραδώσει με», πάλιν ὁ Πέτρος διὰ μὲν τὴν ἐπιτίμησιν τὴν ἤδη γενομένην ἐρωτῆσαι τὸν διδάσκαλον οὐκ ἐτόλμησε, διὰ δὲ τὸν πόθον ὃν εἶχε σιγῆσαι οὐκ ἠνέσχετο, ἀλλ' ἐσπούδασε καὶ μαθεῖν καὶ μὴ δόξαι προπετής τις εἶναι καὶ ἀπερίσκεπτος.

Πῶς οὖν καὶ τὴν ἐπιθυμίαν ἐπλήρωσε καὶ ἀσφάλειαν ἑαυτῷ προῳκονόμησεν; Ἵνα τῷ μὲν βουληθῆναι μαθεῖν τὸν ἀκάθεκτον δείξῃ πόθον, τῷ δὲ μὴ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι ἀλλ' ἕτερον προβαλέσθαι, τὴν εὐλάβειαν ἐμφαίνῃ καὶ τὴν ἐπιείκειαν ἅπασαν. Καὶ γὰρ στενά μοι πάντοθεν, φησί· περὶ προδοσίας ἐστὶν ὁ λόγος τοῦ Δεσπότου· μέγας ὁ κίνδυνος, ὁ κρημνὸς ἑκα-

---

12. Ματθ. 16,15.16.
13. Μάρκ. 10,33.34.
14. Ματθ. 16,22.
15. Ματθ. 17,4.
16. Ματθ. 26,21.

εἶπε· «ἐσὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ ζωντανοῦ Θεοῦ»[12]. «Ἐσεῖς» εἶπε, καὶ γιὰ ὅλους αὐτὸς μίλησε. Γιατί, ὅπως τὸ στόμα μιλάει γιὰ λογαριασμὸ ὅλου τοῦ σώματος, ἔτσι ὁ Πέτρος ἦταν ἡ γλώσσα τῶν ἀποστόλων καὶ γιὰ ὅλους αὐτὸς ἀπάντησε. Μήπως λοιπὸν ἐδῶ μόνο ἦταν τέτοιος καὶ ἀλλοῦ χαλαρώνει τὸ ζῆλο του; Καθόλου, ἀλλὰ μὲ ὅλα καὶ σὲ ὅλα παρουσιάζει τὸν ἴδιο θερμὸ ζῆλο. Γιατὶ ὅταν ὁ Χριστὸς εἶπε, «θὰ παραδώσουν τὸν Υἱὸ τοῦ ἀνθρώπου καὶ θὰ τὸν μαστιγώσουν καὶ θὰ τὸν σταυρώσουν»[13], αὐτὸς λέγει· «ὁ Θεὸς νὰ σὲ φυλάξει, Κύριε, ὥστε νὰ μὴ σοῦ συμβεῖ αὐτό»[14]. Ἂς μὴ ἐξετάσουμε λοιπὸν αὐτό, ὅτι ἡ ἀπάντηση ἦταν ἀπερίσκεπτη, ἀλλὰ ὅτι ἦταν ἀποτέλεσμα γνήσιου καὶ φλογεροῦ πάθους. Πάλι ὁ Χριστὸς ἀνέβηκε στὸ ὄρος καὶ μεταμορφώθηκε· στὸ μεταξὺ φανερώθηκε ἐκεῖ ὁ Ἠλίας καὶ ὁ Μωϋσῆς συζυτώντας μαζί του. Πάλι καὶ ἐκεῖ ὁ Πέτρος λέγει· «ἂν θέλεις, ἂς κάνουμε ἐδῶ τρεῖς σκηνές»[15].

6. Κοίταξε πῶς ἀγαποῦσε τὸ διδάσκαλο καὶ πρόσεχε τὴν ἀκρίβεια καὶ τὴ σύνεση. Ἐπειδὴ δηλαδὴ τότε ἀποκρίθηκε ἀσυλλόγιστα καὶ ἀποστομώθηκε, ἐδῶ ἀφήνει τὸ πράγμα στὴν ἐξουσία τοῦ διδασκάλου λέγοντας, «ἂν θέλεις». Γιατὶ μπορεῖ, λέγει, καὶ τώρα παρακινούμενος ἀπὸ τὸν πόθο νὰ μιλήσω ἀπερίσκεπτα. Γιὰ νὰ μὴ δεχθεῖ λοιπὸν τὴν ἴδια ἐπιτίμηση, λέγει «ἂν θέλεις». Γινόταν πάλι ἐκεῖνο τὸ ἅγιο καὶ φρικτὸ συμπόσιο· καὶ τότε, ὅταν ὁ Ἰησοῦς εἶπε, «ἕνας ἀπὸ σᾶς θὰ μὲ προδώσει»[16], πάλι ὁ Πέτρος ἐξ αἰτίας τῆς ἐπίπληξης ποὺ τοῦ εἶχε ἤδη γίνει δὲν τόλμησε νὰ ἐρωτήσει τὸ διδάσκαλο, λόγω ὅμως τοῦ πόθου ποὺ εἶχε δὲν ἀνεχόταν νὰ σιγήσει, ἀλλὰ φρόντισε καὶ νὰ μάθει καὶ νὰ μὴ φανεῖ πὼς εἶναι κάποιος αὐθάδης καὶ ἀπερίσκεπτος.

Πῶς λοιπὸν καὶ τὴν ἐπιθυμία του πραγματοποίησε καὶ τὸν ἑαυτό του ἐξασφάλισε; Μὲ τὸ νὰ θέλει νὰ δείξει τὸν ἀσυγκράτητο πόθο ποὺ εἶχε γιὰ νὰ μάθει, ὅμως νὰ μὴ τὸ κάνει αὐτὸ ὁ ἴδιος ἀλλὰ νὰ βάλει ἄλλον νὰ τὸν ἐρωτήσει, δείχνει ὅλη τὴν εὐλάβεια καὶ τὴ μετριοφροσύνη του. Γιατί, λέγει, ἀπὸ παντοῦ τὰ πράγματα μοῦ εἶναι στενόχωρα· ὁ λόγος εἶναι γιὰ προδοσία τοῦ Κυρίου· ὁ κίνδυνος εἶναι μεγάλος, ὁ γκρεμὸς καὶ ἀπὸ τὶς δύο

τέρωθεν. Ἂν σιγήσω, ἡ μέριμνα κατεσθίει μου τὴν ψυχήν· ἂν εἴπω, δέδοικα μή ποτε ἐπιτίμησιν δέξωμαι πάλιν. Μέσην οὖν ἦλθεν ὁδὸν καὶ ὁ πανταχοῦ προπηδῶν, τότε τῆς Ἰωάννου παρρησίας ἐδεῖτο, ὥστε μαθεῖν τὸ λεγόμενον. Οὐδὲν γὰρ ἕτερον ἀνέπνει καὶ εἶχεν ἐν τῇ ψυχῇ διηνεκῶς, ἀλλ' ἢ τὸν διδάσκαλον μόνον. Διὰ τοῦτο καὶ δεσμωτηρίων καὶ μυρίων μετὰ ταῦτα κατετόλμα θανάτων καὶ πάσης τῆς παρούσης κατεγέλα ζωῆς. Δι' ἐκεῖνον καὶ μάστιγας λαβὼν καὶ τοὺς μώλωπας ἔχων ἐπὶ τοῦ νώτου, πρὸς τοὺς μαστίξαντας ἔλεγεν· «οὐ δυνάμεθα ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν».

Εἶδες φρόνημα ἀδούλωτον; εἶδες παρρησίαν ἀχείρωτον; εἶδες ψυχὴν οὐρανίου πόθου καὶ ἔρωτος γέμουσαν; Πῶς οὖν τολμᾷς λέγειν, ὅτι φοβούμενος τοὺς ἐκ περιτομῆς, ὑπέστελλεν ἑαυτὸν καὶ ἀφώριζε; Καὶ πολλὰ δὲ ἕτερα ἐνῆν εἰπεῖν περὶ Πέτρου, δεικνύντα αὐτοῦ τὴν θερμότητα καὶ τὴν ἀνδρείαν καὶ τὸν πόθον, ὃν εἶχε περὶ τὸν Χριστόν· ἀλλ' ἵνα μὴ μηκύνωμεν ἀκαίρως τὸν λόγον, ἀρκεῖ τὰ εἰρημένα. Οὐδὲ γὰρ ἐγκώμιον αὐτοῦ τήμερον εἰπεῖν πρόκειται, ἀλλὰ τὴν δοκοῦσαν εἶναι ζήτησιν λῦσαι καὶ εἰς πέρας ἀγαγεῖν.

7. Σὺ δὲ καὶ ἑτέρωθεν σκόπει, πῶς οὐκ ἔστι πιθανὴ ἡ κατηγορία. Τότε μὲν γὰρ παρὰ τὴν ἀρχήν, ὅτε ἔλεγε, «τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε, ἀνέστησεν ὁ Θεός, λύσας τὰς ὠδῖνας τοῦ θανάτου», τότε μεταξὺ ἐχθρῶν ἦν, ἔτι φονώντων, ἔτι τῷ θυμῷ ζεόντων, ἔτι βουλομένων διασπάσασθαι τοὺς μαθητάς. Ἤκμαζε γὰρ αὐτοῖς ἔτι τὸ πάθος καὶ ᾤδει ἡ διάνοια τῷ θυμῷ. Νυνὶ δέ, ὅτε ταῦτα Παῦλος ἔγραφεν, ἑπτὰ καὶ δέκατον ἔτος εἶχε τὸ κήρυγμα. Εἰπὼν γάρ, «μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα», λέγει πάλιν, ὅτι «μετὰ δεκατέσσαρα ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα».

Ὁ τοίνυν τότε ἐν προοιμίοις τοῦ κηρύγματος μὴ φοβηθείς, νῦν μετὰ χρόνον τοσοῦτον φοβεῖται; ὁ ἐν Ἱεροσολύμοις μὴ δεί-

---

17. Πράξ. 4,20.
18. Πράξ. 2,24.
19. Γαλ. 1,18 καὶ 2,1.

πλευρές. Ἂν σιωπήσω, ἡ ἀγωνία κατατρώγει τὴν ψυχή μου· ἂν μιλήσω, φοβᾶμαι μήπως δεχθῶ πάλι ἐπιτίμηση. Ἀκολούθησε λοιπὸν τὴ μέση ὁδὸ καὶ αὐτὸς ποὺ πηδοῦσε παντοῦ πρῶτος χρειαζόταν τότε τὸ θάρρος τοῦ Ἰωάννη γιὰ νὰ μάθει τὸ λεγόμενο. Γιατὶ τίποτε ἄλλο δὲν ἀνέπνεε καὶ δὲν εἶχε στὴν ψυχή του διαρκῶς, παρὰ μόνο τὸ διδάσκαλο. Γι' αὐτὸ ἀργότερα περιφρονοῦσε καὶ τὶς φυλακὲς καὶ τοὺς ἄπειρους θανάσιμους κινδύνους, ἀδιαφορώντας γιὰ ὅλη τὴν παρούσα ζωή. Γι' ἐκεῖνον, ἀφοῦ μαστιγώθηκε καὶ μωλωπίσθηκε στὴν πλάτη, ἔλεγε πρὸς ἐκείνους ποὺ τὸν μαστίγωσαν· «δὲν μποροῦμε νὰ μὴν κηρύττουμε αὐτὰ ποὺ εἴδαμε καὶ ἀκούσαμε»[17].

Εἶδες φρόνημα ἀδούλωτο; εἶδες θάρρος ἀκατάβλητο; εἶδες ψυχὴ γεμάτη μὲ οὐράνιο πόθο καὶ ἔρωτα; Πῶς λοιπὸν τολμᾶς νὰ λέγεις ὅτι ἀποσύρθηκε καὶ διαχώρισε τὴ θέση του, ἐπειδὴ φοβόταν τοὺς ἐξ Ἰουδαίων Χριστιανούς; Καὶ πολλὰ ἄλλα θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ τὸν Πέτρο, ποὺ δείχνουν τὸ ζῆλο καὶ τὴν ἀνδρεία καὶ τὸν πόθο ποὺ εἶχε γιὰ τὸ Χριστό, ἀλλὰ γιὰ νὰ μὴν παρατείνουμε ἄσκοπα τὸ λόγο ἀρκοῦν τὰ ὅσα λέχθηκαν. Γιατὶ δὲν πρόκειται νὰ πλέξουμε σήμερα τὸ ἐγκώμιό του, ἀλλὰ νὰ λύσουμε τὸ φαινομενικὸ ζήτημα καὶ νὰ τὸ διευκρινίσουμε ὁριστικά.

7. Ἐσὺ ὅμως καὶ ἀπὸ ἀλλοῦ πρόσεχε πῶς δὲν εἶναι πιστευτὴ ἡ κατηγορία. Γιατὶ τότε στὴν ἀρχή, ὅταν ἔλεγε, «αὐτὸν τὸν Ἰησοῦ, ποὺ ἐσεῖς σταυρώσατε, τὸν ἀνέστησε ὁ Θεός, ἀφοῦ τὸν ἐλευθέρωσε ἀπὸ τὰ δεσμὰ τοῦ θανάτου»[18], βρισκόταν ἀνάμεσα σὲ ἐχθρούς, ποὺ ἀκόμη εἶχαν φονικὲς διαθέσεις, ἀκόμη ἔβραζαν ἀπὸ θυμό, ἀκόμη ἤθελαν νὰ ξεσχίσουν τοὺς μαθητές. Γιατὶ ἀκόμη φούντωνε τὸ πάθος τους καὶ ὁ νοῦς τους ταραζόταν ἀπὸ τὸ θυμό. Τώρα ὅμως, ὅταν ὁ Παῦλος ἔγραφε αὐτά, τὸ κήρυγμα εἶχε φθάσει στὸ δέκατο ἕβδομο ἔτος. Γιατί, ἀφοῦ εἶπε, «ὕστερα ἀπὸ τρία χρόνια ἀνέβηκα στὰ Ἰεροσόλυμα», πάλι λέγει· «ὕστερα ἀπὸ δεκατέσσερα χρόνια ἀνέβηκα στὰ Ἰεροσόλυμα»[19].

Ἐκεῖνος λοιπὸν ποὺ τότε στὴν ἀρχὴ τοῦ κηρύγματος δὲ φοβήθηκε, τώρα μετὰ ἀπὸ τόσα χρόνια φοβᾶται; ἐκεῖνος ποὺ δὲ

σας, ἐν Ἀντιοχείᾳ δέδοικεν; ὁ πολεμίων κυκλωσάντων αὐτὸν μὴ πτοηθεὶς τότε, νῦν οὐδὲ πολεμίων παρόντων, ἀλλὰ πιστῶν καὶ μαθητῶν, ἀγωνιᾷ καὶ δέδοικε καὶ οὐκ ὀρθοποδεῖ; Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον, ἀναπτομένης μὲν τῆς πυρᾶς καὶ εἰς ὕψος ἐγειρομένης κατατολμᾶν, σβεθεῖσαν δὲ καὶ γενομένην τέφραν δεδοικέναι καὶ τρέμειν; Εἰ δειλὸς ἦν καὶ ἄνανδρος ὁ Πέτρος, ἐν ἀρχῇ τοῦ κηρύγματος, ἐν τῇ μητροπόλει τῶν Ἰουδαίων, ὅπου πάντες ἦσαν οἱ πολέμιοι, τότε ἂν ἔδεισεν, οὐ μετὰ χρόνον τοσοῦτον ἐν τῇ χριστιανικωτάτῃ πόλει, οὐδὲ φίλων καὶ γνησίων παρόντων. Ὥστε οὔτε ὁ καιρός, οὔτε ὁ τόπος, οὔτε ἡ ποιότης τῶν προσώπων ἀφίησιν ἡμᾶς πιστεῦσαι τοῖς λεγομένοις οὕτως ὡς εἴρηται καὶ καταγνῶναι τοῦ Πέτρου δειλίαν.

Ἐπῃνέσατε τὰ εἰρημένα; καίτοι γε ἐν ἀρχῇ τὸν Παῦλον ἐθαυμάζετε καὶ τῆς παρρησίας αὐτὸν ἐξεπλήττεσθε· ἀλλ' ἰδοὺ περιέτρεψε τὴν κατηγορίαν ὁ λόγος. Ἀλλ' ὥσπερ ἀρχόμενος ἔλεγον, ὅτι οὐδέν μοι ὄφελος, ἐὰν Παύλου καλῶς ποιοῦντος, ὁ Πέτρος δειχθῇ μὴ καλῶς ποιῶν (τὰ γὰρ ἐγκλήματα καὶ ἡ καθ' ἡμῶν αἰσχύνη μένει, ἄν τε οὗτος ἄν τε ἐκεῖνος διημαρτηκὼς τύχῃ), οὕτω καὶ νῦν τὸ αὐτὸ λέγω πάλιν, ὡς οὐδέν μοι ὄφελος, ἂν Πέτρου τὴν κατηγορίαν ἀποσκευασαμένου, ὁ Παῦλος φαίνηται θαρσαλέως καὶ ἀπερισκέπτως τοῦ συναποστόλου κατηγορῶν. Φέρε οὖν καὶ τοῦτον τῶν ἐγκλημάτων ἀπολύσωμεν.

Τί οὖν; Ὁ μὲν Πέτρος τοιοῦτος, ὁ δὲ Παῦλος οὐ τοιοῦτος; Καὶ τί Παύλου θερμότερον γένοιτ' ἄν, ὃς καθ' ἑκάτην ἡμέραν ἀπέθνησκε διὰ τὸν Χριστόν; Ἀλλὰ νῦν οὐ περὶ ἀνδρείας ἡμῖν ὁ λόγος (τί γὰρ πρὸς τὸ προκείμενον τοῦτο;), ἀλλ' εἰ ἀπεχθῶς πρὸς τὸν ἀπόστολον διέκειτο ἢ εἰ κενοδοξίας τινὸς καὶ φιλονεικίας ἦν αὕτη ἡ μάχη. Ἀλλ' οὐδὲ τοῦτό ἐστιν εἰπεῖν· μὴ γένοιτο. Οὐδὲ γὰρ Πέτρου τοῦ κορυφαίου τῶν ἁγίων ἐκείνων μόνον, ἀλλὰ καὶ πάντων δοῦλος ἦν ἁπλῶς τῶν ἀποστόλων ὁ Παῦλος,

φοβήθηκε στὰ Ἱεροσόλυμα, φοβᾶται στὴν Ἀντιόχεια; ἐκεῖνος ποὺ δὲν πτοήθηκε τότε ποὺ τὸν κύκλωσαν ἐχθροί, τώρα ποὺ δὲν εἶναι παρόντες ἐχθροὶ ἀλλὰ πιστοὶ καὶ μαθητές, ἀγωνιᾶ καὶ φοβᾶται καὶ δὲ βαδίζει σωστά; Καὶ πῶς μποροῦν νὰ δικαιολογηθοῦν αὐτά, νὰ ριψοκινδυνεύει δηλαδὴ ὅταν ἡ φωτιὰ ἀνάβει καὶ ὑψώνονται οἱ φλόγες της, νὰ φοβᾶται ὅμως καὶ νὰ τρέμει ὅταν σβησθεῖ καὶ γίνει στάχτη; Ἂν ὁ Πέτρος ἦταν δειλὸς καὶ ἄνανδρος, θὰ φοβόταν τότε στὴν ἀρχὴ τοῦ κηρύγματος, στὴ μητρόπολη τῶν Ἰουδαίων, ὅπου ὅλοι ἦταν ἐχθροί, καὶ ὄχι ὕστερα ἀπὸ τόσα χρόνια στὴν πιὸ χριστιανικὴ πόλη καὶ ποὺ ἦταν παρόντες φίλοι καὶ γνωστοί. Ὥστε οὔτε ὁ καιρός, οὔτε ὁ τόπος, οὔτε ἡ ποιότητα τῶν προσώπων μᾶς ἀφήνει νὰ πιστέψουμε τὰ λεγόμενα ἔτσι ὅπως ἔχουν λεχθεῖ καὶ νὰ καταγορήσουμε τὸν Πέτρο γιὰ δειλία.

Ἐπαινέσατε αὐτὰ ποὺ λέχθηκαν; Ἂν καὶ στὴν ἀρχὴ θαυμάζατε τὸν Παῦλο καὶ νιώθατε κατάπληξη γιὰ τὴν παρρησία του· ὅμως νά, ὁ λόγος ἀνέτρεψε τὴν κατηγορία. Ἀλλ' ὅπως ἔλεγα στὴν ἀρχὴ ὅτι δὲν ἔχω κανένα ὄφελος, ἂν φανεῖ πὼς ὁ Παῦλος ἐνεργοῦσε καλὰ καὶ ὁ Πέτρος δὲν ἐνεργοῦσε καλὰ (γιατὶ οἱ κατηγορίες καὶ ἡ ἐναντίον μας ντροπὴ μένει, εἴτε ὁ ἕνας εἴτε ὁ ἄλλος βρεθεῖ νὰ ἔχει σφάλει), ἔτσι καὶ τώρα τὸ ἴδιο λέγω πάλι, ὅτι δηλαδὴ δὲν ἔχω κανένα ὄφελος, ἂν ὁ Πέτρος ἀπαλλάχθηκε ἀπὸ τὴν κατηγορία καὶ ὁ Παῦλος φαίνεται νὰ κατηγορεῖ θρασύτατα καὶ ἀπερίσκεπτα τὸ συναπόστολό του. Ἐμπρὸς λοιπὸν ἂς ἀπαλλάξουμε καὶ αὐτὸν ἀπὸ τὶς κατηγορίες.

Τί λοιπόν; Ὁ Πέτρος ἦταν τέτοιος καὶ ὁ Παῦλος ὄχι; Καὶ τί θὰ μποροῦσε νὰ ὑπάρξει πιὸ θερμὸ ἀπὸ τὸν Παῦλο, ποὺ κάθε ἡμέρα πέθαινε γιὰ τὸ Χριστό; Ὅμως τώρα ὁ λόγος μας δὲν εἶναι γιὰ τὴν ἀνδρεία του (γιατὶ ποιά σχέση ἔχει αὐτὸ πρὸς τὸ θέμα μας;), ἀλλ' ἂν φερόταν μὲ μίσος πρὸς τὸν ἀπόστολο ἢ ἂν ἡ διαμάχη αὐτὴ ἦταν ἀποτέλεσμα κάποιας ματαιοδοξίας καὶ φιλονεικίας. Ἀλλ' οὔτε αὐτὸ μπορεῖ νὰ τὸ πεῖ κανείς· μακριὰ μιὰ τέτοια σκέψη. Γιατὶ ὄχι μόνο τοῦ Πέτρου, τοῦ κορυφαίου τῶν ἁγίων ἐκείνων, ἀλλὰ καὶ ὅλων γενικὰ τῶν ἀποστόλων ὁ Παῦλος

καὶ ταῦτα πλεονεκτῶν ἁπάντων κατὰ τοὺς κόπους· ἀλλ' ὅμως πάντων ἑαυτὸν ἔσχατον εἶναι ἐνόμιζεν. «Ἐγὼ γάρ εἰμι», φησίν, «ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὔκ εἰμι ἱκανὸς καλεῖσθαι ἀπόστολος»· οὐ μόνον δὲ τῶν ἀποστόλων, ἀλλὰ καὶ τῶν ἁγίων ἁπλῶς ἁπάντων. «Ἐμοὶ» γάρ, φησί, «τῷ ἐλαχίστῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ χάρις αὕτη».

8. Εἶδες συντετριμμένην ψυχήν; εἶδες πῶς ἑαυτὸν κατώτερον πάντων ἵστησι τῶν ἁγίων, οὐχὶ τῶν ἀποστόλων μόνον; Ὁ δὲ οὕτω περὶ πάντας διακείμενος, ᾔδει καὶ πόσης τὸν Πέτρον προεδρίας ἀπολαύειν ἐχρῆν καὶ ᾐδεῖτο μάλιστα πάντων ἀνθρώπων τοῦτον καὶ ὡς ἄξιος ἦν, οὕτω περὶ αὐτὸν διέκειτο. Καὶ τοῦτο ἐκεῖθεν δῆλον. Ἡ οἰκουμένη πᾶσα πρὸς αὐτὸν ἔβλεπεν, αἱ φροντίδες τῶν πανταχοῦ τῆς γῆς Ἐκκλησιῶν τῆς ἐκείνου ψυχῆς ἦσαν ἐξηρτημέναι, μυρία ἐμερίμνα καθ' ἑκάστην ἡμέραν πράγματα, πάντοθεν αὐτὸν ἐκύκλουν κηδεμονίαι, προστασίαι, διορθώσεις, συμβουλαί, παραινέσεις, διδασκαλίαι, μυρίων οἰκονομίαι πραγμάτων· καὶ πάντα ἐκεῖνα ἀφείς, ἀπῆλθεν εἰς Ἱεροσόλυμα καὶ πρόφασις τῆς ὁδοῦ οὐδεμία ἑτέρα ἦν, ἀλλ' ἢ τὸ Πέτρον ἰδεῖν, καθὼς αὐτός φησιν· «ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον»· οὕτως αὐτὸν ἐτίμα καὶ πρὸ πάντων ἦγε.

Τί οὖν; ἰδὼν αὐτὸν εὐθέως ἀνεχώρησεν; Οὐδαμῶς, ἀλλ' ἐπέμεινε πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Εἴ τινα οὖν στρατηλάτην ἴδοις, εἰπέ μοι, γενναῖον καὶ θαυμαστόν, τοῦ πολέμου συγκεκροτημένου, τῆς παρατάξεως συνεστώσης, τῆς μάχης ζεούσης, μυρίων αὐτὸν πάντοθεν καλούντων πραγμάτων, ἀφέντα τὴν παράταξιν καὶ πρὸς ἐπίσκεψίν τινος ἀπελθόντα φίλου, ἆρα ἑτέραν μείζονα ταύτης ζητεῖς ἀπόδειξιν, εἰπέ μοι, τῆς πρὸς τὸν ἄνθρωπον ἐκεῖνον εὐνοίας; Οὐκ ἔγωγε οἶμαι. Τοῦτο τοίνυν καὶ ἐπὶ Παύλου καὶ Πέτρου λογίζου. Καὶ γὰρ καὶ ἐνταῦθα πόλεμος συνειστήκει χαλεπὸς καὶ παράταξις ἦν καὶ μάχη, οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς

---

20. Α΄ Κορ. 15,9. 21. Ἐφ.3,8. 22. Γαλ. 1,18.

ἦταν δοῦλος, παρ' ὅλο ποὺ κόπιαζε πιὸ πολὺ ἀπ' ὅλους· ἀλλ' ὅμως θεωροῦσε τὸν ἑαυτό του τελευταῖο ἀπ' ὅλους. Γιατὶ λέγει, «ἐγὼ εἶμαι ὁ πιὸ τελευταῖος ἀπὸ τοὺς ἀποστόλους, ποὺ δὲν εἶμαι ἄξιος νὰ ὀνομάζομαι ἀπόστολος»[20]. Καὶ ὄχι μόνο ἀπὸ τοὺς ἀποστόλους, ἀλλὰ καὶ ἀπ' ὅλους γενικὰ τοὺς Χριστιανούς. Γιατὶ λέγει, «σὲ μένα τὸν πιὸ ἀσήμαντο ἀπ' ὅλους τοὺς Χριστιανοὺς δόθηκε αὐτὴ ἡ χάρη»[21].

8. Εἶδες συντριμμένη ψυχή; εἶδες πῶς τοποθετεῖ τὸν ἑαυτό του πιὸ κάτω ἀπ' ὅλους τοὺς Χριστιανοὺς καὶ ὄχι μόνο ἀπὸ τοὺς ἀποστόλους; Αὐτὸς ὅμως ποὺ συμπεριφερόταν ἔτσι πρὸς ὅλους, ἤξερε πόση τιμὴ ἔπρεπε ν' ἀπολαμβάνει ὁ Πέτρος καὶ τὸν σεβόταν πιὸ πολὺ ἀπ' ὅλους τοὺς ἀνθρώπους, καὶ ὅπως ἦταν ἄξιος ἔτσι τοῦ φερόταν. Καὶ αὐτὸ φαίνεται ἀπὸ αὐτό. Ὅλη ἡ οἰκουμένη ἔβλεπε σ' αὐτόν, οἱ φροντίδες ὅλων τῶν ἐκκλησιῶν τῆς γῆς ἦταν ἐξαρτημένες ἀπὸ τὴν ψυχή του, γιὰ ἄπειρα πράγματα μεριμνοῦσε καθημερινά, ἀπὸ παντοῦ τὸν κύκλωναν φροντίδες, προστασίες, διορθώσεις, συμβουλές, παραινέσεις, διδασκαλίες, διευθετήσεις ἄπειρων πραγμάτων· καὶ ὅμως, ἀφήνοντας κατὰ μέρος ὅλα αὐτά, πῆγε στὰ Ἱεροσόλυμα, καὶ δὲν ὑπῆρχε καμιὰ ἄλλη πρόφαση γιὰ τὸ ταξίδι παρὰ μόνο νὰ δεῖ τὸν Πέτρο, ὅπως ὁ ἴδιος λέγει· «ἀνέβηκα στὰ Ἱεροσόλυμα νὰ γνωρίσω τὸν Πέτρο»[22]· τόσο πολὺ τὸν τιμοῦσε καὶ τὸν θεωροῦσε ἀνώτερο ἀπ' ὅλους.

Τί λοιπόν; τὸν εἶδε καὶ ἔφυγε ἀμέσως; Καθόλου, ἀλλὰ παρέμεινε κοντά του δεκαπέντε ἡμέρες. Πές μου λοιπόν, ἂν ἔβλεπες κάποιο στρατηγό, γενναῖο καὶ θαυμαστό, ἐνῶ ὁ πόλεμος εἶχε κηρυχθεῖ, ἡ παράταξη ἦταν ἕτοιμη, ἡ μάχη ἄναβε, καὶ ἄπειρα πράγματα νὰ τὸν καλοῦν ἀπὸ παντοῦ, νὰ ἐγκατελείπει τὴν παράταξη καὶ νὰ φεύγει γιὰ ἐπίσκεψη κάποιου φίλου, ἄραγε θὰ ζητοῦσες ἄλλη μεγαλύτερη ἀπ' αὐτὴ ἀπόδειξη, πές μου, γιὰ τὴν ἀγάπη του πρὸς ἐκεῖνον τὸν ἄνθρωπο; Ἐγὼ βέβαια νομίζω ὄχι. Αὐτὸ λοιπὸν νὰ σκέπτεσαι καὶ στὴν περίπτωση τοῦ Παύλου καὶ τοῦ Πέτρου. Γιατὶ πραγματικὰ καὶ ἐδῶ εἶχε κηρυχθεῖ φοβερὸς πόλεμος καὶ ὑπῆρχε παράταξη καὶ μάχη, ὄχι μόνο

κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ μάχη περὶ τῆς τῶν ἀνθρώπων σωτηρίας· ἀλλ' ὅμως οὕτως ᾐδεῖτο τὸν Πέτρον, ὥστε καὶ τοσαύτης ἀνάγκης ἐπικειμένης καὶ κατεπειγούσης, ἐκδραμεῖν δι' ἐκεῖνον εἰς Ἱεροσόλυμα καὶ μεῖναι πρὸς αὐτὸν ἡμέρας δεκαπέντε καὶ τότε ἐπανελθεῖν.

9. Ἔγνωτε τὴν ἀνδρείαν τοῦ Πέτρου, ἐμάθετε τὴν φιλοφροσύνην Παύλου τὴν περὶ τοὺς ἀποστόλους πάντας, τὴν περὶ αὐτὸν τὸν Πέτρον· ἀνάγκη λοιπὸν ἐπὶ τὴν λύσιν ἐλθεῖν τοῦ ζητήματος. Εἰ γὰρ καὶ οὗτος ἐφίλει τὸν Πέτρον κἀκεῖνος δειλὸς οὐκ ἦν καὶ ἄνανδρος καὶ ἡ φιλονεικία καὶ ἡ ἀντίστασις οὐκ ἀπὸ ψυχῆς ἐγένετο, τί ποτέ ἐστι τὸ λεγόμενον; καὶ τίνος ἕνεκεν ταῦτα ᾠκονομεῖτο;

Ἐνταῦθα προσέχετε καὶ διανάστητέ μοι καὶ συντείνατε ἑαυτούς, ὥστε δέξασθαι σαφῆ τὴν ἀπολογίαν. Καὶ γὰρ ἄτοπον ἐμὲ μὲν τὸν διασκάπτοντα τοσοῦτον πόνον ὑπομένειν, ὑμᾶς δὲ τοὺς ἐξ εὐκολίας μέλλοντας τὸ χρυσίον ὁρᾶν, τῇ ῥαθυμίᾳ τὸ κέρδος τοῦτο παραδραμεῖν. Ἀνάγκη δὲ μικρὸν ἀνωτέρω τὸν λόγον ἀγαγεῖν, ὥστε σαφεστέραν ὑμῖν ποιῆσαι τὴν διδασκαλίαν. Ἐπειδὴ γὰρ ἀνῆλθεν εἰς τοὺς οὐρανοὺς ὁ Ἰησοῦς, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρώσας, τὸν λόγον τῆς διδασκαλίας κατέλιπε τοῖς ἑαυτοῦ ἀποστόλοις, καθὼς Παῦλός φησι, «θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς»· καὶ πάλιν, «ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν», τουτέστιν, ἀντὶ Χριστοῦ.

Τότε τοίνυν, ἡνίκα ἐκήρυττον οὗτοι κατὰ τὴν οἰκουμένην ἅπασαν, αἵρεσις οὐδεμία ἦν· πᾶσα δὲ ἡ φύσις τῶν ἀνθρώπων δύο ταῦτα δόγματα εἶχε, τὸ μὲν ὑγιές, τὸ δὲ διεφθαρμένον. Ἢ γὰρ Ἕλληνες ἢ Ἰουδαῖοι οἱ τὴν γῆν οἰκοῦντες ἅπαντες ἦσαν· οὔτε δὲ Μανιχαῖος, οὔτε Μαρκίων, οὔτε δὲ Οὐαλεντῖνος, οὐκ ἄλλος οὐδεὶς ἁπλῶς· τί γὰρ δεῖ πάσας καταλέγειν τὰς αἱρέσεις; καὶ γὰρ μετὰ τὸν σῖτον τότε τα ζιζάνια ἐσπάρη, ἡ παντοδαπὴ

23. Β' Κορ. 5,19-20.

24. Μανιχαῖος· αἱρεσιάρχης τοῦ 3ου αἰ., ἱδρυτὴς θρησκευτικῆς αἱρέσης, τοῦ Μανιχαϊσμοῦ. Μαρκίων· αἱρεσιάρχης τοῦ 2ου αἰ., ποὺ δίδασκε διαρχία στὸ Θεό. Οὐαλεντῖνος· αἱρεσιάρχης καὶ αὐτὸς τοῦ 2ου αἰώνα.

πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τὶς ἀρχές, πρὸς τὶς ἐξουσίες, πρὸς τοὺς κοσμοκράτορες τοῦ σκότους αὐτοῦ τοῦ κόσμου, καὶ μάλιστα μάχη γιὰ τὴ σωτηρία τῶν ἀνθρώπων. Ἀλλ' ὅμως τόσο πολὺ σεβόταν τὸν Πέτρο, ὥστε, ἂν καὶ ὑπῆρχε τόση μεγάλη καὶ κατεπείγουσα ἀνάγκη, ἔκρινε ἀναγκαῖο νὰ τρέξει στὰ Ἱεροσόλυμα, νὰ μείνει κοντά του δεκαπέντε ἡμέρες καὶ ὕστερα νὰ φύγει.

9. Γνωρίσατε τὴν ἀνδρεία τοῦ Πέτρου, μάθατε τὴ φιλικὴ διάθεση τοῦ Παύλου γιὰ ὅλους τοὺς ἀποστόλους καὶ γιὰ τὸν ἴδιο τὸν Πέτρο· πρέπει τώρα νὰ ἔρθουμε στὴ λύση τοῦ ζητήματος. Γιατί, ἂν καὶ αὐτὸς ἀγαποῦσε τὸν Πέτρο, καὶ ἐκεῖνος δὲν ἦταν δειλὸς καὶ ἄνανδρος, καὶ ἡ φιλονεικία καὶ ἡ ἀντίθεση δὲν προερχόταν ἀπὸ μέσα του, τί τέλος πάντων σημαίνει τὸ λεγόμενο καὶ γιὰ ποιό λόγο ἔγιναν αὐτὰ ἔτσι; Ἐδῶ προσέχετε, συγκεντρωθεῖτε στὰ λεγόμενά μου καὶ ἐντείνατε τὶς δυνάμεις σας, γιὰ νὰ κατανοήσετε καλὰ τὴν ἀπολογία. Γιατὶ πραγματικὰ εἶναι παράλογο, ἐγὼ ποὺ σκάβω νὰ ὑπομένω τόσο κόπο, ἐνῶ σεῖς ποὺ μὲ εὐκολία πρόκειται νὰ δεῖτε τὸ χρυσάφι, νὰ περιφρονήσετε ἀπὸ ἀδιαφορία αὐτὸ τὸ κέρδος. Εἶναι ὅμως ἀνάγκη νὰ φέρω τὸ λόγο λίγο πιὸ πάνω, ὥστε νὰ κάνω σαφέστερη τὴ διδασκαλία σὲ σᾶς. Ὅταν δηλαδὴ ἀνέβηκε στοὺς οὐρανοὺς ὁ Ἰησοῦς, ἀφοῦ πραγματοποίησε τὸ σχέδιο τοῦ Θεοῦ γιὰ μᾶς, ἄφησε τὴν ὑπόθεση τῆς διδασκαλίας στοὺς ἀποστόλους του, ὅπως ὁ Παῦλος λέγει, «ἀνέθεσε σὲ μᾶς τὸ κήρυγμα τῆς συμφιλίωσης»· καὶ πάλι, «ἐνεργοῦμε σὰν πρεσβευτὲς τοῦ Χριστοῦ, σὰν νὰ εἶναι ὁ Θεὸς ποὺ παρακαλεῖ μέσα ἀπὸ τὰ λόγια μας»[23], δηλαδὴ ἐνεργοῦμε ἀντὶ τοῦ Χριστοῦ.

Τότε λοιπόν, ὅταν αὐτοὶ κήρυτταν σὲ ὅλη τὴν οἰκουμένη, δὲν ὑπῆρχε καμιὰ αἵρεση, καὶ ὅλο τὸ ἀνθρώπινο γένος εἶχε τὰ δύο αὐτὰ δόγματα, τὸ ἕνα σωστὸ καὶ τὸ ἄλλο ἐσφαλμένο. Γιατὶ ὅλοι οἱ κάτοικοι τῆς γῆς ἦταν ἢ εἰδωλολάτρες ἢ Ἰουδαῖοι, καὶ οὔτε Μανιχαῖος, οὔτε Μαρκίων, οὔτε Οὐαλεντίνος[24], καὶ γενικὰ κανένας ἄλλος δὲν ὑπῆρχε. Καὶ γιατί πρέπει νὰ ἀριθμῶ ὅλες τὶς αἱρέσεις; γιατὶ πραγματικὰ μετὰ τὴ σπορὰ τοῦ σιταριοῦ τότε σπάρθηκαν καὶ τὰ ζιζάνια, ἡ κάθε εἴδους διαφθορὰ τῶν αἱρέσε-

τῶν αἱρέσεων διαφθορά. Τοὺς μὲν οὖν Ἰουδαίους ἐπέτρεψε τῷ Πέτρῳ, τοῖς δὲ Ἕλλησι τὸν Παῦλον ἐπέστησεν ὁ Χριστός. Καὶ τοῦτο οὐκ ἀφ' ἑαυτοῦ λέγω, ἀλλ' αὐτοῦ τοῦ Παύλου λέγοντός ἐστιν ἀκοῦσαι· «ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοί», φησίν, «εἰς τὰ ἔθνη», περιτομὴν ἐνταῦθα αὐτὸ τὸ ἔθνος καλῶν.

Καὶ πόθεν δῆλον; Ἐκ τῆς ἐπαγωγῆς. Εἰπὼν γάρ, «ὁ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοί», φησίν, «εἰς τὰ ἔθνη», δεικνύντος ἐστίν, ὅτι πρὸς ἀντιδιαστολὴν τῶν ἐθνῶν περιτομὴν εἶπε. Πρὸς δὲ ἀντιδιαστολὴν τῶν ἐθνῶν, οὐχὶ περιτομή, ἀλλ' Ἰουδαῖοί εἰσιν, οὓς διὰ τῆς περιτομῆς ᾐνίξατο· ὡσανεὶ ἔλεγεν, ὁ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῶν Ἰουδαίων, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη. Καθάπερ γάρ τις βασιλεὺς σοφός, τὸν ἐπιτήδειον μετὰ ἀκριβείας εἰδώς, ἑτέρῳ μὲν τοὺς ἱππεῖς, ἑτέρῳ δὲ τῶν πεζῶν ἐγχειρίζει τὴν προστασίαν, οὕτω δὴ καὶ ὁ Χριστός, τὸ στρατόπεδον τὸ ἑαυτοῦ διελὼν εἰς δύο ταῦτα μέρη, τοὺς μὲν Ἰουδαίους Πέτρῳ, τοὺς δὲ Ἕλληνας ἐπέτρεψε Παύλῳ. Ὥσπερ γὰρ ἐκεῖ ἡ διαφορὰ τῶν στρατοπέδων ἐν τῇ κατασκευῇ τῶν ὅπλων οὐκ ἐν τῇ φύσει τῶν ἀνθρώπων ἐστίν, οὕτω δὴ καὶ ἐνταῦθα ἡ διαφορὰ ἐν σχήματι μικρῷ τινι τῆς σαρκὸς οὐκ ἐν τῇ τῆς οὐσίας ἐναλλαγῇ φαίνεται.

10. Ὥσπερ οὖν ἔλεγον ἦσαν ἀμφότεροι τὰ στρατόπεδα ταῦτα ἐγκεχειρισμένοι. Καὶ εἰ μὴ μηκύνω τὸν λόγον, εἰ μὴ ἀπεκάμετε ἐρῶ καὶ τὴν αἰτίαν ὑμῖν, δι' ἣν οὗτος μὲν τοὺς Ἰουδαίους, ἐκεῖνος δὲ τοὺς ἐξ ἐθνῶν ἐπιστεύθησαν. Καὶ γὰρ ἄξιον ζητήσεως, τί δήποτε Παῦλος μέν, ὁ μετὰ ἀκριβείας τὸν πατρῷον νόμον παιδευθείς, ὁ παρὰ τοὺς πόδας Γαμαλιὴλ διατρίβων, ὁ κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος, οὐκ ἐγχειρίζεται τοὺς Ἰουδαίους ἀλλα τοὺς Ἕλληνας, ὁ δὲ ἁλιεὺς καὶ ἀγράμματος καὶ μηδὲν τοσοῦτον εἰδὼς Πέτρος τὴν τῶν Ἰουδαίων ἐνεπιστεύθη προστασίαν. Συντελεῖ γάρ τι καὶ πρὸς τὴν λύσιν ἡμῖν τὸ

---

25. Γαλ. 2,8.

ων. Τοὺς Ἰουδαίους λοιπὸν παράδωσε στὸν Πέτρο, ἐνῶ στοὺς εἰδωλολάτρες ὁ Χριστὸς ὅρισε τὸν Παῦλο. Καὶ αὐτὸ δὲν τὸ λέγω ἀπὸ μόνος μου, ἀλλὰ μπορεῖ νὰ τὸ ἀκούσει κανεὶς νὰ τὸ λέγει ὁ ἴδιος ὁ Παῦλος. «Γιατὶ αὐτὸς ποὺ ὅρισε τὸν Πέτρο ἀπόστολο γιὰ τοὺς περιτμημένους, ὅρισε καὶ μένα», λέγει στοὺς ἐθνικούς»[25], καλώντας ἐδῶ «περιτομή» τοὺς Ἰουδαίους.

Καὶ ἀπὸ ποῦ εἶναι φανερό; Ἀπὸ τὴ συνέχεια. Γιατί, ἀφοῦ εἶπε, «αὐτὸς ποὺ ὅρισε τὸν Πέτρο ἀπόστολο γιὰ τοὺς περιτμημένους», λέγει, «ὅρισε καὶ μένα στοὺς ἐθνικούς», πράγμα ποὺ δείχνει ὅτι πρὸς διάκριση ἀπὸ τοὺς ἐθνικοὺς εἶπε «περιτομή». Καὶ πρὸς διάκριση ἀπὸ τοὺς ἐθνικοὺς δὲν εἶναι ἡ περιτομή, ἀλλ' οἱ Ἰουδαῖοι, τοὺς ὁποίους ὑπαινίχθηκε μὲ τὴ περιτομή· σὰν νὰ ἔλεγε, αὐτὸς ποὺ ὅρισε τὸν Πέτρο ἀπόστολο στοὺς Ἰουδαίους, ὅρισε καὶ μένα στοὺς ἐθνικούς. Γιατί, ὅπως κάποιος σοφὸς βασιλιάς, ποὺ γνωρίζει μὲ ἀκρίβεια τὸν ειδικό, σ' ἄλλον ἀναθέτει τοὺς ἱππεῖς καὶ σ' ἄλλον τὴν ἀρχηγία τῶν πεζῶν, ἔτσι ἀκριβῶς καὶ ὁ Χριστός, ἀφοῦ χώρισε τὸ στράτευμά του στὰ δύο αὐτὰ μέρη, τοὺς Ἰουδαίους τοὺς ἀνέθεσε στὸν Πέτρο καὶ τοὺς εἰδωλολάτρες στὸν Παῦλο. Ἂν καὶ τὰ στρατεύματα εἶναι διαφορετικά, ὁ βασιλιὰς ὅμως εἶναι ἕνας. Γιατὶ ὅπως ἐκεῖ ἡ διαφορὰ τῶν στρατευμάτων βρίσκεται στὴν κατασκευὴ τῶν ὅπλων καὶ ὄχι στὴ φύση τῶν ἀνθρώπων, ἔτσι λοιπὸν καὶ ἐδῶ ἡ διαφορὰ φαίνεται σὲ κάποιο μικρὸ σχῆμα τῆ σάρκας καὶ ὄχι στὴ μεταβολὴ τῆς ουσίας.

10. Ὅπως λοιπὸν εἶπα καὶ οἱ δύο εἶχαν ἀναλάβει αὐτὰ τὰ στρατεύματα. Καὶ ἂν δὲν μακραίνω τὴν ὁμιλία, ἂν δὲν κουρασθήκατε θὰ σᾶς πῶ καὶ τὴν αἰτία γιὰ τὴν ὁποία ὁ ἕνας ἀνέλαβε τοὺς Ἰουδαίους καὶ ὁ ἄλλος τοὺς ἐθνικούς. Γιατὶ ὁπωσδήποτε ἀξίζει νὰ ἐρευνηθεῖ, γιατί ἄραγε ὁ Παῦλος, αὐτὸς ποὺ διδάχθηκε μὲ ἀκρίβεια τὸν πατρικὸ νόμο, ποὺ μαθήτευσε στὰ πόδια τοῦ Γαμαλιήλ, ποὺ ἔγινε ἄμεμπτος κατὰ τὴ δικαιοσύνη τοῦ νόμου, δὲν ἀναλαμβάνει τοὺς Ἰουδαίους ἀλλὰ τοὺς εἰδωλολάτρες, ἐνῶ ὁ ψαρὰς καὶ ἀγράμματος, ὁ Πέτρος, καὶ ποὺ δὲ γνώριζε τίποτε τόσο πολύ, ἀνέλαβε τὴν ἀρχηγία τῶν Ἰουδαίων. Μᾶς βοηθάει

λεγόμενον, ἂν αὐτὸ δυνηθῶμεν φράσαι καλῶς. Οὐ γὰρ δὴ τοῦτό ἐστιν εἰπεῖν ὅτι ὀκνοῦντα καὶ ἀναδυόμενον ἰδὼν τὸν Παῦλον καὶ φεύγοντα τῶν οἰκείων τὴν προστασίαν, οὐκ ἠθέλησε βιάσασθαι καὶ ἀναγκάσαι. Τοὐναντίον μὲν οὖν ἅπαν ἐπεδείξατο.

Οὐ γὰρ δὴ μόνον οὐκ ἔφυγε τῶν Ἰουδαίων τὴν ἐπιστασίαν, ἀλλὰ καὶ πρῶτος ἐπεπήδησε καὶ τοῦ Χριστοῦ κελεύοντος ἀπελθεῖν εἰς τὰ ἔθνη, αὐτὸς ἀξιοῖ τὴν τῶν Ἰουδαίων οἰκονομίαν ἐγχειρισθῆναι· καὶ μυρία πολλαχοῦ πάσχων παρ' αὐτῶν δεινὰ καὶ τῶν ἐθνῶν τὴν διδασκαλίαν πεπιστευμένος, οὐ παύεται παρακαλῶν ὑπὲρ ἐκείνων καὶ λέγων νῦν μέν, «ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα», νῦν δέ, «ἀδελφοί μου, ἡ μὲν εὐδοκία μου καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν».

Τίνος οὖν ἕνεκεν βουλόμενον αὐτὸν καὶ ἐπιθυμοῦντα διδάσκειν ἐκείνους, οὐκ εἴασεν αὐτοῖς κηρύσσειν, ἀλλ' ἀντ' ἐκείνων διδάσκαλον αὐτὸν τοῖς ἔθνεσιν ἔπεμπεν; Ἀκούσωμεν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος καὶ Παύλου τὸ πᾶν διηγουμένου· «ἐγένετο δέ μοι προσευχομένῳ», φησί, «γενέσθαι με ἐν ἐκτάσει καὶ εἰδέναι τὸν Χριστὸν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε ἐν τάχει, ὅτι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ». Καὶ τὴν αἰτίαν εἶπε τῆς ἀποδημίας· «μισήσουσί σε», φησί, «καὶ ἀποστραφήσονται»· διὰ τοῦτό σου διδάσκοντος οὐκ ἀνέξονται. Καὶ μὴν αὐτὸ τοῦτο ἦν ἱκανὸν ἀξιόπιστον αὐτὸν ποιῆσαι διδάσκαλον καὶ πεῖσαι ἐκείνους ὅτι οὐκ ἀνθρωπίνη ἡ μετάθεσις ἐγένετο. Οὐ γὰρ ἂν τὸν οὕτω μαινόμενον καὶ θυμῷ ζέοντα καὶ φόνου πνέοντα καὶ θαυματουργοῦντι μὴ πεισθέντα τῷ Χριστῷ, μηδὲ τοῖς ἀποστόλοις τοῖς ἐκείνου νεκροὺς ἐγείρασιν, ἴσχυσεν ἄν ποτε ἄνθρωπος ἐν αὐτῇ μέσῃ τῇ μανίᾳ μεταθεῖναι καὶ τὴν ὑπερβολήν, ἣν κατὰ τοῦ κηρύγματος ἐπεδείκνυτο, ταύτην ὁλόκληρον καὶ πολλῷ πλείονα πεῖσαι πάλιν ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας

---

26. Ρωμ. 9,3.
27. Ρωμ. 10,1.
28. Πράξ. 22,17–18.

λίγο καὶ γιὰ τὴ λύση τὸ λεγόμενο, ἂν μπορέσουμε νὰ τὸ διατυπώσουμε καλά. Γιατὶ βέβαια δὲν μποροῦμε να ποῦμε ὅτι, ἐπειδὴ εἶδε πὼς ὁ Παῦλος δίσταζε καὶ δείλιαζε καὶ ἀπέφευγε τὴν ἀρχηγία τῶν συγγενῶν του, δὲ θέλησε νὰ τὸν πιέσει καὶ νὰ τὸν ἐξαναγκάσει. Τὸ ἐντελῶς ἀντίθετο μάλιστα ἔδειξε.

Πραγματικὰ ὄχι μόνο δὲν ἀπέφυγε τὴ φροντίδα τῶν Ἰουδαίων, ἀλλὰ καὶ πρῶτος ὅρμησε καί, ὅταν ὁ Χριστὸς τὸν προστάζει νὰ πάει στοὺς ἐθνικούς, αὐτὸς ζητάει νὰ τοῦ ἀνατεθεῖ ἡ εὐθύνη γιὰ τοὺς Ἰουδαίους. Καὶ παρ' ὅλο ποὺ σὲ πολλὰ μέρη παθαίνει ἀπ' αὐτοὺς ἄπειρα κακὰ καὶ τοῦ ἔχει ἀνατεθεῖ ἡ διδασκαλία τῶν ἐθνικῶν, δὲ σταματάει νὰ παρακαλεῖ γι' αὐτοὺς καὶ νὰ λέγει ἄλλοτε, «θὰ εὐχόμουν νὰ εἶμαι ἐγὼ ἀνάθεμα γιὰ χάρη τῶν ἀδελφῶν μου, τῶν φυσικῶν συγγενῶν μου»[26], καὶ ἄλλοτε, «ἀδελφοί μου, ἡ ἐπιθυμία τῆς καρδιᾶς μου καὶ ἡ δέησή μου στὸ Θεὸ εἶναι γι' αὐτούς, γιὰ τὴ σωτηρία τους»[27].

Γιὰ ποιό λοιπὸν λόγο, ἐνῶ αὐτὸς ἤθελε καὶ ἐπιθυμοῦσε νὰ διδάσκει τοὺς Ἰουδαίους, δὲν τὸν ἄφησε νὰ κηρύττει σ' αὐτούς, ἀλλὰ ἀντὶ γι' αὐτοὺς τὸν ἔστελνε διδάσκαλο στοὺς ἐθνικούς; Ἂς ἀκούσουμε τὸ ἴδιο τὸ Χριστὸ ποὺ λέγει καὶ τὸν Παῦλο ποὺ τὰ διηγεῖται ὅλα. «Κάποτε ποὺ προσευχόμουν στὸ ναό», λέγει, «ἔπεσα σὲ ἔκταση καὶ εἶδα τὸ Χριστὸ ποὺ μοῦ ἔλεγε· τρέξε καὶ φύγε γρήγορα, γιατὶ δὲ θὰ παραδεχθοῦν τὴ μαρτυρία σου γιὰ μένα»[28]. Ἀνέφερε καὶ τὴν αἰτία τῆς ἀποδημίας· «θὰ σὲ μισήσουν», λέγει, «καὶ θὰ σὲ ἀποστραφοῦν»· γι' αὐτὸ δὲ θὰ σὲ ἀνεχθοῦν διδάσκοντάς τους. Καὶ ὅμως αὐτὸ καὶ μόνο ἦταν ἀρκετὸ νὰ τὸν κάμει ἀξιόπιστο διδάσκαλο καὶ νὰ πείσει ἐκείνους ὅτι ἡ μεταβολή του δὲν ἦταν ἔργο ἀνθρώπινο. Γιατὶ ἐκεῖνον ποὺ τόσο μαινόταν καὶ ἔβραζε ἀπὸ θυμὸ καὶ εἶχε φονικὲς διαθέσεις καὶ δὲν πίστεψε στὸ Χριστὸ ὅταν θαυματουργοῦσε, οὔτε στοὺς ἀποστόλους του ποὺ ἀνάστησαν νεκρούς, δὲ θὰ μποροῦσε ποτὲ ἄνθρωπος, τὴ στιγμὴ ποὺ βρισκόταν στὸ ἀποκορύφωμα τῆς μανίας του, νὰ τὸν μεταστρέψει καὶ νὰ τὸν πείσει ὅλη τὴν ὑπερβολικὴ αὐτὴ μανία ποὺ ἔδειχνε ἐναντίον τοῦ κηρύγματος, αὐτὴν καὶ πολὺ περισσότερη νὰ τὴ δείξει πάλι γιὰ τὴν πίστη τοῦ Χρι-

ἐπιδείξασθαι· ἀλλὰ θείας ὄντως δυνάμεως ἔργον ἦν ἡ μετάστασις αὕτη καὶ ἡ μεταβολή.

11. Ὅπερ οὖν καὶ ὁ Παῦλος, ἐπιθυμῶν αὐτῶν τὴν προστασίαν λαβεῖν, πρὸς τὸν Ἰησοῦν προεβάλλετο λέγων· «Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων τοὺς πιστεύοντας εἰς τὸ ὄνομά σου· καὶ ὅτε ἐξεχύνετο τὸ αἷμα Στεφάνου, τοῦ μάρτυρός σου, ἐγὼ ἤμην συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ». Καὶ ἡ πολλὴ μανία τὴν ἀθρόον γεγενημένην ἐγγυᾶται μεταβολήν, ὡς οὐκ ἔστιν ἀνθρωπίνη τις, ἀλλ' ἄνωθεν καὶ ἐκ τῶν οὐρανῶν ἔλαβε τὴν ἀρχήν. Τί οὖν ὁ Χριστός; «Πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε». Ταῦτ' οὖν οὐχ ἱκανά, φησί, πεῖσαι καὶ τοὺς σφόδρα ἀναισθητοῦντας, ὅτι οὐκ ἔστιν ἀνθρώπινον τοῦτο τὸ κήρυγμα, ἀλλ' ὑπὲρ φύσιν ἀνθρωπίνην ἅπαντα τὰ γεγενημένα καὶ Θεὸς ὄντως ἐστὶν ὁ μεταθεὶς καὶ μεταβαλών; Ἱκανὰ μὲν οὖν, ὦ μακάριε Παῦλε, ἂν αὐτὴν τῶν πραγμάτων ἐξετάσῃς τὴν φύσιν· ἀλλ' Ἰουδαῖοι πάντων εἰσὶν ἀγνωμονέστεροι, οὐ φύσιν πραγμάτων ἐξετάζοντες, οὐ τὸ εἰκὸς καὶ τὸ εὔλογον καὶ τὸ ἀναγκαῖον σκοποῦντες, ἀλλ' εἰς ἓν μόνον βλέποντες, ὅπως τὴν φιλονεικίαν τὴν ἑαυτῶν ἐμπλήσωσι. Καὶ σὺ μὲν πρὸς τὴν τῶν πραγμάτων ἀκολουθίαν βλέπεις, ὁ δὲ Θεὸς τὰ ἀπόρρητα τῆς διανοίας αὐτῶν οἶδε. Διὰ τοῦτό φησι, «πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε», ὥστε καὶ τῷ διαστήματι παραμυθήσασθαι τὸ μῖσος.

Διὰ τοῦτο τοῖς μὲν ἄλλοις ἅπασι γράφων, τὸ ὄνομα αὐτοῦ προστίθησιν ἐν τῷ προοιμίῳ τῶν ἐπιστολῶν, Ἑβραίοις δὲ ἐπιστέλλων οὐδὲν τοιοῦτον ἐποίησεν, ἀλλ' ἁπλῶς οὐκ εἰπὼν τίς ἦν ἢ πρὸς τίνας, ὥσπερ ἔθος εἶχε ποιεῖν, οὕτω πως ἤρξατο· «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἡμῶν». Καὶ τοῦτο δὴ τῆς τοῦ Παύλου σοφίας. Ἵνα γὰρ μὴ μετασχῇ τοῦ μίσους τὰ γράμματα, καθάπερ προσωπείῳ τινί, τῇ

---

29. Πράξ. 22,19–20.
30. Πράξ. 22,21.
31. Ἑβρ. 1,1.

στοῦ· ἀλλ' ἡ μεταστροφὴ αὐτὴ καὶ ἡ μεταβολὴ ἦταν πραγματικὰ ἔργο θείας δύναμης.

11. Αὐτὸ λοιπὸν τὸ πράγμα καὶ ὁ Παῦλος πρόβαλλε στὸν Ἰησοῦ, ἐπειδὴ ἐπιθυμοῦσε ν' ἀναλάβει τὴν προστασία τῶν Ἰουδαίων, λέγοντας· «Κύριε, αὐτοὶ ξέρουν καλὰ ὅτι ἐγὼ φυλάκιζα καὶ ἔδερνα ὅσους πίστευαν στὸ ὄνομά σου· καὶ ὅταν χυνόταν τὸ αἷμα τοῦ Στεφάνου, τοῦ μάρτυρά σου, ἐγὼ συμφωνοῦσα γιὰ τὸ φόνο του»[29]. Καὶ ἡ μεγάλη μανία του ἐγγυᾶται τὴν ξαφνικὴ μεταβολὴ ποὺ ἔγινε, ὅτι δηλαδὴ δὲν εἶναι αὐτὸ κάποιο ἀνθρώπινο ἔργο, ἀλλὰ προέρχεται ἀπὸ τὸ Θεὸ καὶ ἀπὸ τοὺς οὐρανούς. Τί λοιπὸν ἀπάντησε ὁ Χριστός; «Πήγαινε, γιατὶ ἐγὼ θὰ σὲ στείλω μακριὰ στοὺς ἐθνικούς»[30]. Αὐτὰ λοιπόν, λέγει, δὲν εἶναι ἱκανὰ νὰ πείσουν τοὺς ὑπερβολικὰ ἀναίσθητους ὅτι τὸ κήρυγμα τοῦτο δὲν εἶναι ἀνθρώπινο, ἀλλ' ὅτι ὅλα ὅσα ἔγιναν ξεπερνοῦν τὴν ἀνθρώπινη φύση καὶ ὅτι πραγματικὰ ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ ἔκανε τὴν μεταστροφὴ καὶ μεταβολή; Ἀρκετὰ βέβαια εἶναι, μακάριε Παῦλε, ἂν ἐξετάσεις τὴν ἴδια τὴ φύση τῶν πραγμάτων. Ὅμως οἱ Ἰουδαῖοι εἶναι πιὸ ἀχάριστοι ἀπ' ὅλους, γιατὶ δὲν ἐξετάζουν τὴ φύση τῶν πραγμάτων οὔτε προσέχουν τὸ φυσικὸ καὶ τὸ εὔλογο καὶ τὸ ἀναγκαῖο, ἀλλ' ἀποβλέπουν σ' ἕνα μόνο, πῶς δηλαδὴ νὰ ἱκανοποιήσουν τὴ δική τους φιλονεικία. Καὶ σὺ βέβαια βλέπεις στὴ λογικὴ σειρὰ τῶν πραγμάτων, ὁ Θεὸς ὅμως γνωρίζει τὰ ἀπόρρητα τοῦ νοῦ τους. Γι' αὐτὸ λέγει, «πήγαινε, γιατὶ θὰ σὲ στείλω μακριὰ στοὺς ἐθνικούς», ὥστε καὶ μὲ τὴν ἀπόσταση νὰ ἐλαττώσει τὸ μίσος τους.

Γι' αὐτό, ὅταν γράφει σὲ ὅλους τοὺς ἄλλους, προσθέτει τὸ ὄνομά του στὸ προοίμιο τῶν ἐπιστολῶν, ἐνῶ ὅταν ἔγραφε στοὺς Ἑβραίους δὲν ἔκαμε τίποτε τέτοιο, ἀλλ' ἁπλῶς χωρὶς νὰ πεῖ ποιός ἦταν ἢ σὲ ποιούς ἔγραφε, ὅπως συνήθιζε νὰ κάνει, ἄρχισε ὡς ἑξῆς· «ἀφοῦ ὁ Θεὸς στὰ παλιὰ χρόνια μίλησε στοὺς πατέρες μας πολλὲς φορὲς καὶ μὲ ποικίλους τρόπους»[31]. Καὶ αὐτὸ πάλι ἦταν ἀποτέλεσμα τῆς σοφίας τοῦ Παύλου. Γιὰ νὰ μὴ μισήσουν δηλαδὴ τὴν ἐπιστολή, ἀφοῦ ἔκρυψε τὸν ἑαυτό του μὲ τὴν ἀφαίρεση τοῦ ὀνόματος, σὰν μὲ κάποιο προσωπεῖο, ἔτσι

τοῦ ὀνόματος ἀφαιρέσει κρύψας ἑαυτόν, οὕτως αὐτοῖς λανθανόντως τὸ τῆς παραινέσεως ἐπιτίθησι φάρμακον. Ὅταν γὰρ πρός τινα ἀηδῶς ἔχωμεν, κἂν ὑγιές τι λέγῃ, οὐ προθύμως οὐδὲ μεθ' ἡδονῆς δεχόμεθα τὰ λεγόμενα· ὅπερ οὖν, ἵνα μὴ καὶ τότε συμβῇ, ἀφεῖλε τὴν ἰδίαν προσηγορίαν τῆς ἐπιστολῆς, ὥστε μηδὲν τοῦτο γενέσθαι κώλυμα τῇ τῆς ἐπιστολῆς ἀκροάσει. Οὐδὲ γὰρ οἱ ἄπιστοι μόνον Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ πιστεύσαντες αὐτοὶ ἐμίσουν αὐτὸν καὶ ἀπεστρέφοντο. Ὅτε γοῦν ἀνῆλθεν εἰς Ἱεροσόλυμα ἄκουσον τί φησι πρὸς αὐτὸν ὁ Ἰάκωβος καὶ οἱ λοιποὶ ἅπαντες. «Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων καὶ οὗτοι πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις». Διὰ τοῦτο αὐτὸν μάλιστα ἐμίσουν καὶ ἀπεστρέφοντο.

12. Ἡ μὲν οὖν αἰτία, δι' ἣν οὐκ ἐπιστεύθη τοὺς Ἰουδαίους, ἀλλὰ τοὺς ἐξ ἐθνῶν, ἐστὶν αὕτη. Πιστευθεὶς δὲ λοιπὸν ἐκείνους, οὐχ ὁμοίως τῷ Πέτρῳ οὐδὲ διὰ τῆς αὐτῆς ὁδοῦ πρὸς τὴν πίστιν αὐτοὺς ἐνῆγεν, ἀλλὰ δι' ἑτέρας. Ἑτέρας δὲ ὅταν ἀκούσῃς, μὴ διαφορὰν ἐν τῷ κηρύγματι νομίσῃς εἶναι. Τὰ γὰρ αὐτὰ ἀμφότεροι καὶ Ἰουδαίοις καὶ Ἕλλησιν ἐκήρυττον· οἷον, ὅτι Θεὸς ὁ Χριστός, ὅτι ἐσταυρώθη καὶ ἐτάφη καὶ ἀνέστη καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Πατρός, ὅτι μέλλειν κρίνειν ζῶντας καὶ νεκροὺς καὶ ὅσα τοιαῦτα ἦν, ὁμοίως καὶ Παῦλος καὶ Πέτρος ἐκήρυττον. Ἐν τίσιν οὖν ἦν ἡ διαφορά; Ἐν τῇ παρατηρήσει τῶν βρωμάτων, ἐν τῇ περιτομῇ, ἐν τοῖς ἄλλοις τοῖς ἰουδαϊκοῖς ἔθεσιν.

Ὁ μὲν γὰρ Πέτρος οὐκ ἐτόλμα τοῖς ἑαυτοῦ μαθηταῖς φανερῶς λέγειν καὶ διαρρήδην, ὅτι δεῖ τούτων ἀποστῆναι καθάπαξ. Ἐδεδοίκει γάρ, μήποτε πρὸ καιροῦ τὴν συνήθειαν ταύτην ἀνασπάσαι βουλόμενος, καὶ τὴν εἰς τὸν Χριστον πίστιν συνανασπάσῃ μετ' ἐκείνων, τῆς ψυχῆς τῶν Ἰουδαίων οὐκ ἀνεχομένης οὐδέπω, διὰ τὴν χρονίαν τὴν περὶ τὸν νόμον πρόληψιν, τῶν ρημάτων ἀκούειν τούτων. Διὰ τοῦτο ἠνείχετο ὁ μακάριος Πέ-

32. Πράξ. 21,20–21.

χωρὶς νὰ γίνει ἀντιληπτὸ χορηγεῖ σ' αὐτοὺς τὸ φάρμακο τῆς παραίνεσης. Γιατί, ὅταν αἰσθανόμαστε ἀπέχθεια πρὸς κάποιον, καὶ ἂν ἀκόμη λέγει κάτι σωστό, δὲ δεχόμαστε μὲ προθυμία οὔτε μ' εὐχαρίστηση τὰ λεγόμενά του. Γιὰ νὰ μὴ συμβεῖ λοιπὸν αὐτό, ἀφαίρεσε τὸ ὄνομά του ἀπὸ τὴν ἐπιστολή, ὥστε νὰ μὴ γίνει αὐτὸ καθόλου ἐμπόδιο στὴν ἀκρόαση τῆς ἐπιστολῆς. Γιατὶ ὄχι μόνο οἱ ἄπιστοι Ἰουδαῖοι, ἀλλὰ καὶ ἐκεῖνοι ἀκόμη ποὺ πίστεψαν τὸν μισοῦσαν καὶ τὸν ἀποστρέφονταν. Ὅταν λοιπὸν ἀνέβηκε στὰ Ἱεροσόλυμα ἄκουσε τί λέγει σ' αὐτὸν ὁ Ἰάκωβος καὶ ὅλοι οἱ ἄλλοι. «Βλέπεις, ἀδελφέ, πόσες μυριάδες εἶναι οἱ Ἰουδαῖοι ποὺ ἔχουν συγκεντρωθεῖ καὶ ὅλοι αὐτοὶ εἶναι ζηλωτὲς τοῦ νόμου καὶ πληροφορήθηκαν γιὰ σένα ὅτι διδάσκεις ἀποστασία ἀπὸ τὸ νόμο»[32]. Γι' αὐτὸ τὸν μισοῦσαν καὶ τὸν ἀποστρέφονταν πάρα πολύ.

12. Ἡ αἰτία λοιπὸν γιὰ τὴν ὁποία δὲν ἀνέλαβε τοὺς Ἰουδαίους ἀλλὰ τοὺς ἐθνικούς, εἶναι αὐτή. Καὶ ἀφοῦ ἀνέλαβε πιὰ ἐκείνους, τοὺς ὁδηγοῦσε στὴν πίστη ὄχι ὅπως ὁ Πέτρος οὔτε μὲ τὸν ἴδιο τρόπο, ἀλλὰ μὲ ἄλλον. Καὶ ὅταν ἀκούσεις μὲ ἄλλον, μὴ νομίσεις πὼς ὑπάρχει κάποια διαφορὰ στὸ κήρυγμα. Γιατὶ τὰ ἴδια καὶ οἱ δύο κήρυτταν καὶ στοὺς Ἰουδαίους καὶ στοὺς ἐθνικούς, ὅτι δηλ. δὴ ὁ Χριστὸς εἶναι Θεός, ὅτι σταυρώθηκε καὶ θάφτηκε καὶ ἀναστήθηκε καὶ βρίσκεται στὰ δεξιὰ τοῦ Πατέρα, ὅτι πρόκειται νὰ κρίνει ζωντανοὺς καὶ νεκρούς, καὶ ὅσα παρόμοια ὑπῆρχαν μὲ τὸν ἴδιο τρόπο τὰ κήρυτταν ὁ Παῦλος καὶ ὁ Πέτρος. Σὲ ποιά λοιπὸν ὑπῆρχε ἡ διαφορά; Στὴ διάκριση τῶν φαγητῶν, στὴν περιτομὴ καὶ στὰ ἄλλα ἰουδαϊκὰ ἔθιμα.

Ὁ Πέτρος λοιπὸν δὲν τολμοῦσε νὰ λέγει φανερὰ καὶ ἀπερίφραστα στοὺς μαθητές του ὅτι πρέπει ν' ἀπομακρυνθοῦν μιὰ γιὰ πάντα ἀπ' αὐτά. Γιατὶ φοβόταν μήπως, θέλοντας νὰ ξερριζώσει πρόωρα τὴ συνήθεια αὐτή, ξερριζώσει μαζὶ μ' ἐκεῖνα καὶ τὴν πίστη στὸ Χριστό, ἐπειδὴ ἡ ψυχὴ τῶν Ἰουδαίων δὲν ἀνεχόταν ἀκόμη, ἐξαιτίας τῆς μακροχρόνιας προκατάληψης γιὰ τὸ νόμο, ν' ἀκούει αὐτὰ τὰ λόγια. Γι' αὐτὸ ὁ μακάριος Πέτρος τοὺς ἀνεχόταν νὰ συμπεριφέρονται σὰν Ἰουδαῖοι. Καὶ ὅπως ἕνας

τρος ἰουδαϊζόντων αὐτῶν. Καὶ καθάπερ τις γεωργὸς ἄριστος φυτὸν ἁπαλὸν πλησίον δένδρου γεγηρακότος καταθέμενος, οὐ τολμᾷ οὐδὲ ὑπομένει τὸ γεγηρακὸς ἀνασπάσαι δένδρον, δεδοικὼς μή, τῶν ῥιζῶν ἐκείνων ἀνελκομένων, καὶ τὸ νεόφυτον συνανελκυσθῇ, ἀλλ' ἀναμένει πρότερον παγῆναι ἐκεῖνο καλῶς καὶ ἐν αὐτοῖς κάτω ῥιζωθῆναι τοῖς κόλποις τῆς γῆς καὶ τότε τὸ παλαιωθὲν μετὰ ἀδείας ἀνέλκει, οὐδὲν ἔτι δεδοικὼς περὶ τοῦ νεοφύτου, οὕτω δὴ καὶ ὁ μακάριος Πέτρος ἐποίει· τὴν πίστιν νεόφυτον οὖσαν ἔμενε παγῆναι καλῶς ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς, ἵνα ῥιζωθείσης ἐκείνης μετὰ ἀδείας λοιπὸν τὴν ἰουδαϊκὴν ἀνέλῃ πρόληψιν ἅπασαν. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτω· πάσης γὰρ ταύτης ἀπηλλαγμένος ἦν τῆς ἀνάγκης, Ἕλλησι κηρύττων, τοῖς οὐδέποτε μετεσχηκόσι νόμου οὐδὲ Ἰουδαϊκῶν παρατηρήσεων ἀκηκοόσιν.

Ὅτι γὰρ οὐκ ἀλλήλοις ἐναντιούμενοι ταῦτα ἐποίουν, ἀλλὰ τῇ τῶν μαθητῶν ἀσθενείᾳ συγκαταβαίνοντες, ἔστιν ἰδεῖν καὶ Παῦλον ὁμοίως Πέτρῳ ταῦτα αὐτὰ συγχωροῦντα, καὶ οὐ συγχωροῦντα μόνον, ἀλλὰ καὶ αὐτὸν συνεργοῦντα, καὶ Πέτρον πάλιν τὴν αὐτὴν ἐλευθερίαν νομοθετοῦντα, ἣν καὶ Παῦλος τοῖς ἔθνεσιν πᾶσιν ἐκήρυττε. Καὶ ποῦ ταῦτα, φησίν, ἀμφότερά ἐστιν ἰδεῖν; Ἐν αὐτοῖς τοῖς Ἱεροσολύμοις. Οὗτος μὲν γὰρ καὶ ἐξήρατο καὶ ἔθυσε καὶ ἁγνισμὸν ἐπετέλεσεν, ὁ τῶν ἐθνῶν διδάσκαλος. Τοῦτο γὰρ και ὁ καιρὸς ἀπῄτει καὶ τὸ παρεῖναι πολλοὺς Ἰουδαίους. «Θεωρεῖς γάρ», φησίν, «ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν συνεληλυθότων καὶ κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις».

13. Ἐκεῖνος τοίνυν συγκαταβῆναι ἀναγκαζόμενος ἰουδάϊζεν, ἀλλ' οὐχὶ τῆς γνώμης ἀλλὰ τῆς οἰκονομίας τὸ γινόμενον ἦν. Πάλιν ὁ Πέτρος, ὁ τῶν Ἰουδαίων διδάσκαλος, καὶ πανταχοῦ συγχωρῶν περιτομὴν καὶ ἰουδαϊκὰς παρατηρήσεις, διὰ τὴν ἀσθένειαν τῶν μαθητῶν, ἐπειδὴ καιρὸν εἶδεν ἀπαλλάττοντα αὐτὸν τῆς ἀνάγκης ταύτης καὶ οὐκ ἦν ἀσφαλὲς μέχρι τοσούτου κεχρῆ-

ἄριστος γεωργός, ὅταν φυτέψει τρυφερὸ φυτὸ κοντὰ σὲ γερασμένο δένδρο, δὲν τολμάει οὔτε δέχεται νὰ ξερριζώσει τὸ γερασμένο δένδρο, γιατὶ φοβᾶται μήπως μὲ τὸ ξερρίζωμα τοῦ δένδρου παρασυρθεῖ μαζὶ καὶ τὸ νεοφυτεμένο, ἀλλὰ περιμένει πρῶτα νὰ δυναμώσει αὐτὸ καλὰ καὶ νὰ ριζώσει βαθιὰ στοὺς κόλπους τῆς γῆς, καὶ ὕστερα ξερριζώνει μὲ ἀσφάλεια τὸ παλιό, χωρὶς νὰ φοβᾶται πιὰ καθόλου γιὰ τὸ νεοφυτεμένο, ἔτσι ἀκριβῶς ἔκανε καὶ ὁ μακάριος Πέτρος· περίμενε νὰ δυναμώσει καλὰ στὶς καρδιὲς τῶν ἀκροατῶν του ἡ πίστη ποὺ ἦταν νεοφυτεμένη, ὥστε, ἀφοῦ ριζώσει αὐτή, μὲ ἀσφάλεια τότε νὰ καταστρέψει κάθε ἰουδαϊκὴ πρόληψη. Ὁ Παῦλος ὅμως δὲν ἔκανε τὸ ἴδιο, γιατὶ ἦταν ἀπαλλαγμένος ἀπ' ὅλη αὐτὴ τὴν ἀνάγκη, ἀφοῦ κήρυττε στοὺς εἰδωλολάτρες, ποὺ ποτὲ δὲν εἶχαν νόμο οὔτε ἄκουσαν γιὰ ἰουδαϊκὲς διακρίσεις.

Ὅτι λοιπὸν τὰ ἔκαναν αὐτὰ ὄχι ἀπὸ ἀντίθεση μεταξύ τους ἀλλὰ δείχνοντας συγκατάβαση στὴν ἀδυναμία τῶν μαθητῶν, μποροῦμε νὰ δοῦμε καὶ τὸν Παῦλο νὰ ἐπιτρέπει ἀκριβῶς τὰ ἴδια ὅπως καὶ ὁ Πέτρος, καὶ ὄχι μόνο νὰ ἐπιτρέπει, ἀλλὰ νὰ συνεργεῖ καὶ ὁ ἴδιος, καὶ τὸν Πέτρο πάλι νὰ διδάσκει τὴν ἴδια ἐλευθερία, ποὺ καὶ ὁ Παῦλος κήρυττε σ' ὅλα τὰ ἔθνη. Καὶ ποῦ, λέγει, μποροῦμε νὰ τὰ δοῦμε καὶ τὰ δύο αὐτά; Στὰ ἴδια τὰ Ἱεροσόλυμα. Γιατὶ αὐτός, ὁ διδάσκαλος τῶν ἐθνῶν, καὶ ξυρίστηκε καὶ θυσίασε καὶ ἔκαμε ἁγνισμό. Γιατὶ αὐτὸ τὸ ἀπαιτοῦσε ἡ περίσταση καὶ ἡ παρουσία πολλῶν Ἰουδαίων. «Γιατὶ βλέπεις», λέγει, «ἀδελφέ, πόσες μυριάδες εἶναι οἱ Ἰουδαῖοι ποὺ ἔχουν συγκεντρωθεῖ καὶ πληροφορήθηκαν γιὰ σένα ὅτι διδάσκεις ἀποστασία ἀπὸ τὸ νόμο».

13. Ὁ Παῦλος τότε, ἀναγκαζόμενος νὰ δείξει συγκατάβαση, συμπεριφερόταν σὰν Ἰουδαῖος. Αὐτὸ ὅμως δὲν ἦταν ἀποτέλεσμα τῆς δικῆς του διάθεσης ἀλλὰ τῆς οἰκονομίας τῶν πραγμάτων. Ὁ Πέτρος πάλι, ποὺ ἦταν ὁ διδάσκαλος τῶν Ἰουδαίων καὶ παντοῦ ἐπέτρεπε τὴν περιτομὴ καὶ τὶς ἰουδαϊκὲς διακρίσεις, ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν μαθητῶν, ὅταν εἶδε πὼς ὁ καιρὸς τὸν ἀπάλασσε ἀπὸ τὴν ἀνάγκη αὐτὴ καὶ πὼς δὲν ἦταν ἀσφαλὲς νὰ

σθαι τῇ συγκαταβάσει ἀλλὰ δογμάτων ἦν καιρὸς καὶ νόμων, ἄκουσον τί φησιν. Ἐπειδὴ γὰρ ἀνέβησαν ἐξ Ἀντιοχείας οἱ περὶ Παῦλον καὶ Βαρνάβαν, περὶ τούτων αὐτῶν μαθησόμενοι τὸ σαφές, πολλῆς ζητήσεως γενομένης, ἀναστὰς ὁ Πέτρος ἔλεγεν· «ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ἀφ' ἡμερῶν ἀρχαίων, ὡς ἐν ἡμῖν εξελέξατο ὁ Θεὸς ἀκοῦσαι τὰ ἔθνη διὰ τοῦ στόματός μου τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι». Εἶτα ἕτερά τινα εἰπὼν μεταξύ, ἐπήγαγε λέγων· «τί οὖν πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν ἐθνῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι; ἀλλὰ διὰ πίστεως Ἰησοῦ Χριστοῦ πιστεύομεν σωθῆναι, ὃν τρόπον κἀκεῖνοι».

Ὁρᾷς ὅτι ἡνίκα μὲν καιρὸς συγκαταβάσεως ἦν καὶ Παῦλος ἰουδάϊζεν, ἡνίκα δὲ οὐχὶ συγκαταβάσεως καιρὸς ἦν ἀλλὰ δογματίζειν ἔδει καὶ νομοθετεῖν, καὶ Πέτρος ἐκείνης τῆς συγκαταβάσεως ἀπαλλαγείς, εἰλικρινῆ καὶ καθαρᾶ τὰ δόγματα παραδίδωσι· καὶ τούτων λεγομένων ὁ Παῦλος παρῆν καὶ ἤκουε καὶ τὴν ἐπιστολὴν αὐτὸς δεξάμενος, πανταχοῦ διεκόμισε, καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ἠγνόει τὴν τοῦ ἀποστόλου γνώμην. Τίνος οὖν ἕνεκεν τοιαῦτα ἐγκαλεῖ νῦν, λέγων, ὅτι «φοβούμενος τοὺς ἐκ περιτομῆς»;

14. Ἵνα δὲ καὶ τὴν ἱστορίαν αὐτὴν ἴδητε τῶν λεγομένων, μικρὸν ἄνωθεν ὑμῖν διηγήσομαι· ἀλλὰ προσέχετε, παρακαλῶ· πρὸς γὰρ αὐτὸ τὸ βάθος τῆς λύσεως κατηντήσαμεν. Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου τὴν Ἐκκλησίαν τότε ἐπεσκόπευεν ἐν ἀρχῇ, τὴν ἐν Ἱεροσολύμοις, καὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων προειστήκει πάντων. Συνέβαινε δὲ εἶναι καὶ ἐν Ἀντιοχείᾳ Ἰουδαίους, οἵτινες πιστεύσαντες τῷ Χριστῷ, διὰ τὸ τῶν Ἱεροσολύμων εἶναι πόρρω, καὶ πολλοὺς ὁρᾶν τοὺς ἐξ ἐθνῶν πεπιστευκό-

33. Πράξ. 15,7. 34. Πράξ. 15,10–11.

35. Ἡ ἐπιστολὴ περιεῖχε τὴν ἀπόφαση τῆς Ἀποστολικῆς Συνόδου στὰ Ἱεροσόλυμα. Βλ. Πράξ. 15,23–29.

μεταχειρίζεται μέχρι τότε τὴ συγκατάβαση ἀλλὰ ἦταν καιρὸς γιὰ δόγματα καὶ κανόνες, ἄκουσε τί λέγει. Ὅταν λοιπὸν ἀνέβηκαν ἀπὸ τὴν Ἀντιόχεια ὅσοι ἦταν μαζὶ μὲ τὸν Παῦλο καὶ τὸ Βαρνάβα, γιὰ νὰ μάθουν τὴν ἀλήθεια γι' αὐτὰ ἀκριβῶς τὰ ζητήματα, ἀφοῦ ἔγινε πολλὴ συζήτηση, σηκώθηκε ὁ Πέτρος καὶ εἶπε· «ἄνδρες ἀδελφοί, ἐσεῖς γνωρίζετε καλὰ ὅτι ὁ Θεὸς ἀπὸ παλιὰ μὲ διάλεξε ἀπὸ ἀνάμεσά μας, γιὰ ν' ἀκούσουν οἱ ἐθνικοὶ ἀπὸ τὸ στόμα μου τὸ λόγο τοῦ εὐαγγελίου καὶ νὰ πιστέψουν»[33]. Ἔπειτα, ἀφοῦ στὸ μεταξὺ εἶπε κάποια ἄλλα, κατέληξε λέγοντας· «γιατί λοιπὸν προκαλεῖτε τὸ Θεὸ νὰ ἐπιβάλει ζυγὸ στὸν τράχηλο τῶν ἐθνικῶν, ποὺ οὔτε οἱ πατέρες μας οὔτε ἐμεῖς μπορέσαμε νὰ βαστάξουμε; Ἀντίθετα, πιστεύουμε πὼς θὰ σωθοῦμε μὲ τὴν πίστη στὸν Ἰησοῦ Χριστό, ὅπως καὶ ἐκεῖνοι»[34].

Βλέπεις πὼς ὅταν ἦταν καιρὸς γιὰ συγκατάβαση καὶ ὁ Παῦλος συμπεριφερόταν σὰν Ἰουδαῖος, ὅταν ὅμως δὲν ἦταν καιρὸς γιὰ συγκατάβαση ἀλλὰ ἔπρεπε νὰ διατυπώνουν τὰ δόγματα καὶ τοὺς ἱεροὺς κανόνες, καὶ ὁ Πέτρος ἀφοῦ ἀπαλλάχθηκε ἀπὸ τὴ συγκατάβαση ἐκείνη παραδίδει καθαρὰ καὶ σαφὴ τὰ δόγματα. Καὶ ὅταν λέγονταν αὐτὰ ὁ Παῦλος ἦταν παρὼν καὶ ἄκουε καὶ παίρνοντας ὁ ἴδιος τὴν ἐπιστολή[35] τὴ μετέφερε παντοῦ, καὶ δὲν μπορεῖ νὰ πεῖ κανεὶς ὅτι ἀγνοοῦσε τὴ γνώμη τοῦ ἀποστόλου. Γιὰ ποιό λόγο λοιπὸν διατυπώνει τώρα τέτοιες κατηγορίες λέγοντας, «ἐπειδὴ φοβόταν ἐκείνους ποὺ προέρχονταν ἀπὸ τοὺς Ἰουδαίους»;

14. Γιὰ νὰ γνωρίσετε καὶ τὴν ἴδια τὴν ἱστορία τῶν λεγομένων, θὰ σᾶς διηγηθῶ τὰ ὅσα λέγονται λίγο πιὸ παραπάνω, ἀλλὰ σᾶς παρακαλῶ προσέχετε, γιατὶ φθάσαμε πιὰ σ' αὐτὸ τὸ βάθος τῆς λύσης. Ὁ Ἰάκωβος, ὁ ἀδελφὸς τοῦ Κυρίου, ἦταν τότε στὴν ἀρχὴ ἐπίσκοπος τῆς ἐκκλησίας τῶν Ἱεροσολύμων καὶ προϊστάμενος ὅλων τῶν πιστῶν ἐξ Ἰουδαίων. Συνέβαινε ὅμως νὰ ὑπάρχουν στὴν Ἀντιόχεια καὶ κάποιοι Ἰουδαῖοι, ποὺ εἶχαν πιστέψει στὸ Χριστό, ἀλλ' ἐπειδὴ βρίσκονταν μακριὰ ἀπὸ τὰ Ἱεροσόλυμα καὶ ἔβλεπαν πολλοὺς πιστοὺς ποὺ προῆλθαν ἀπὸ τοὺς ἐθνι-

τας ἀδεῶς καὶ χωρὶς Ἰουδαϊκῶν παρατηρήσεων βιοῦντας, ἠρέμα καὶ κατὰ μικρὸν ἐνήγοντο καὶ αὐτοὶ τῆς ἰουδαϊκῆς ἀφίστασθαι συνηθείας καὶ καθαρὰν καὶ ἀνόθευτον ἔχειν τὴν τῆς πίστεως διδασκαλίαν. Τὸ δέ, ἐθνικῶς ζῆν, τοῦτό φησιν ὁ Παῦλος, τὸ χωρὶς ἰουδαϊκῆς παρατηρήσεως, τὸ μηδὲν τῶν νομίμων ἐκείνων παραφυλάττειν, οἷόν, περιτομὴν ἢ σάββατον ἤ τι τῶν τοιούτων.

Ζῶντος τοίνυν οὕτω τοῦ Πέτρου, κατῆλθόν τινες Ἰουδαῖοι ἀπὸ Ἰακώβου, τοῦτ᾽ ἔστιν ἐξ Ἱεροσολύμων, οἵ, διὰ τὸ διαπαντὸς ἐπὶ τῆς μητροπόλεως διατρίβειν καὶ μηδένα ὁρᾶν ἑτέρως πολιτευόμενον, ἔτι τὴν πρόληψιν εἶχον τὴν ἰουδαϊκὴν καὶ πολλὰς τῶν παρατηρήσεων ἐκείνων ἐπεσύροντο. Τούτους ἰδὼν ὁ Πέτρος, τοὺς ἀπὸ Ἰακώβου καὶ ἐξ Ἱεροσολύμων κατελθόντας, ἀσθενέστερον διακειμένους ἔτι καὶ φοβηθεὶς μὴ σκανδαλισθέντες τῆς πίστεως ἀποπηδήσωσι, μετετάξατο πάλιν καὶ τὸ ζῆν ἐθνικῶς ἀφείς, ἐπὶ τὴν προτέραν συγκατάβασιν ἦλθε, βρωμάτων παρατηρήσεις φυλάττων. Ἰδόντες οὖν αὐτὸν οἱ Ἰουδαῖοι, οἱ ἐν Ἀντιοχείᾳ διατρίβοντες, τοῦτο ποιοῦντα καὶ οὐκ εἰδότες αὐτοῦ τὴν γνώμην μεθ᾽ ἧς ταῦτα ἔπραττε, συναπήχθησαν καὶ αὐτοὶ καὶ ἠναγκάζοντο ἰουδαΐζειν διὰ τὸν διδάσκαλον. Καὶ τοῦτό ἐστιν ὅπερ ὁ Παῦλος ἐγκαλεῖ.

Καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον, αὐτὰ ὑμῖν λοιπὸν ἀναγνώσομαι τὰ ἀποστολικὰ ῥήματα. «Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου», τουτέστιν, ἐξ Ἱεροσολύμων, «μετὰ τῶν ἐθνῶν συνήσθιε», τουτέστι, τῶν ἐν Ἀντιοχείᾳ. «Ὅτε δὲ ἦλθόν τινες ἐξ Ἱεροσολύμων», νομομαθεῖς, «ὑπέστελλε καὶ ἀφώρισεν ἑαυτὸν ὁ Πέτρος, φοβού-

κοὺς νὰ ζοῦν χωρὶς φόβο καὶ χωρὶς τὶς ἰουδαϊκὲς διακρίσεις, ἀθόρυβα καὶ σιγὰ- σιγὰ πείθονταν καὶ αὐτοὶ νὰ ἀποφεύγουν τὴν ἰουδαϊκὴ συνήθεια καὶ νὰ ἔχουν καθαρὴ καὶ ἀνόθευτη τὴ διδασκαλία τῆς πίστης. Ὅταν λοιπὸν κατέβηκε ὁ Πέτρος καὶ εἶδε πὼς δὲν ὑπῆρχε καμιὰ ἀνάγκη γιὰ συγκατάβαση, ζοῦσε στὴ συνέχεια ὅπως οἱ ἐθνικοί. Καὶ τὸ νὰ ζεῖ ὅπως οἱ ἐθνικοί, ὁ Παῦλος ἐννοεῖ τὸ ἑξῆς, τὸ νὰ ζεῖ χωρὶς τὶς ἰουδαϊκὲς διακρίσεις, νὰ μὴν τηρεῖ καμιὰ ἀπὸ τὶς ἐντολὲς ἐκεῖνες, ὅπως τὴν περιτομὴ ἢ τὸ Σάββατο ἢ κάτι ἀπὸ τὰ παρόμοια.

Ζώντας λοιπὸν ὁ Πέτρος ἔτσι, κατέβηκαν κάποιοι Ἰουδαῖοι ἀπὸ τὸν Ἰάκωβο, δηλαδὴ ἀπὸ τὰ Ἱεροσόλυμα, οἱ ὁποῖοι, ἐπειδὴ ζοῦσαν διαρκῶς στὴ μητρόπολη καὶ δὲν ἔβλεπαν κανένα νὰ ζεῖ διαφορετικά, εἶχαν ἀκόμη τὴν ἰουδαϊκὴ πρόληψη καὶ διατηροῦσαν πολλὲς ἀπὸ τὶς διακρίσεις ἐκεῖνες. Βλέποντας αὐτοὺς ὁ Πέτρος, αὐτοὺς δηλαδὴ ποὺ κατέβηκαν ἀπὸ τὸν Ἰάκωβο καὶ ἀπὸ τὰ Ἱεροσόλυμα, νὰ εἶναι ἀκόμη ἀδύνατοι στὴν πίστη καὶ φοβούμενος μήπως σκανδαλισθοῦν καὶ ἀπομακρυνθοῦν ἀπὸ τὴν πίστη, ἄλλαξε πάλι καὶ ἀφοῦ ἐγκατέλειψε τὸν ἐθνικὸ τρόπο ζωῆς ἦρθε στὴν προηγούμενη συγκατάβαση, τηρώντας τὶς διακρίσεις τῶν φαγητῶν. Ὅταν λοιπὸν τὸν εἶδαν οἱ Ἰουδαῖοι, αὐτοὶ ποὺ ζοῦσαν στὴν Ἀντιόχεια, νὰ κάναι αὐτό, καὶ ἐπειδὴ δὲ γνώριζαν τὴ σκέψη του, μὲ τὴν ὁποία ἔκανε αὐτά, παρασύρθηκαν καὶ αὐτοὶ καὶ ἀναγκάζονταν νὰ ζοῦν σὰν Ἰουδαῖοι ἐξ αἰτίας τοῦ διδασκάλου τους. Καὶ αὐτὸ εἶναι ποὺ κατηγορεῖ ὁ Παῦλος.

Καὶ γιὰ νὰ γίνει σαφέστερο τὸ λεγόμενο θὰ σᾶς διαβάσω στὴ συνέχεια τὰ ἴδια τὰ λόγια τοῦ ἀποστόλου. «Ὅταν ὅμως ἦρθε ὁ Πέτρος στὴν Ἀντιόχεια, τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο, γιατὶ ἦταν ἄξιος γιὰ κατηγορία. Γιατὶ πρὶν ἔρθουν μερικοὶ ἀπὸ τὸν Ἰάκωβο», δηλαδὴ ἀπὸ τὰ Ἱεροσόλυμα, «ἔτρωγε μαζὶ μὲ τοὺς ἐθνικούς», δηλαδὴ μ' ἐκείνους ποὺ ζοῦσαν στὴν Ἀντιόχεια. «Ὅταν ὅμως ἦρθαν μερικοὶ ἀπὸ τὰ Ἱεροσόλυμα», νομομαθεῖς, «ἀποσύρθηκε καὶ διαχώρισε τὴ θέση του ὁ Πέτρος, ἐπειδὴ φοβόταν τοὺς Ἰουδαίους». Ποιούς; Ἐκείνους ποὺ κατέβηκαν ἀπὸ τὸν Ἰάκωβο. «Καὶ παρασύρθηκαν μαζί του καὶ οἱ

μενος τοὺς ἐκ περιτομῆς». Ποίους; Τοὺς ἀπὸ Ἰακώβου κατελθόντας· «καὶ συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι». Ποῖοι Ἰουδαῖοι; Οἱ πρὶν τοὺς ἐξ Ἱεροσολύμων καταβῆναι ἐν Ἀντιοχείᾳ διατρίβοντες καὶ μηδεμίαν ἰουδαϊκὴν παρατήρησιν φυλάττοντες· «ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει». Καὶ τὸ μὲν δοκοῦν ἔγκλημα εἶναι, τοῦτο.

15. Εἰ δὲ βούλεσθε καὶ τὰς παρ' ἑτέρων ἀπολογίας ἐπινενοημένας πρότερον θείς, τότε καὶ τὸν ἐμαυτοῦ λόγον εἰσαγαγεῖν πειράσομαι, ἐφ' ὑμῖν τῶν λεγομένων τὴν αἵρεσιν ποιησάμενος. Πῶς οὖν τινες τὴν ζήτησιν ταύτην ἔλυσαν; Οὐκ ἦν οὗτος Πέτρος, φησίν, ἐκεῖνος ὁ τῶν ἀποστόλων πρῶτος, ὁ παρὰ τοῦ Κυρίου τὰ πρόβατα πιστευθείς, ἀλλ' ἕτερός τις εὐτελὴς καὶ ἀπερριμμένος καὶ τῶν πολλῶν εἷς. Πόθεν τοῦτο δῆλον; Εἰπὼν ὁ Παῦλος, ὅτι συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ἐπήγαγε, φησίν, «ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει». Τὸ δὲ εἰπεῖν, «ὥστε καὶ Βαρνάβας», δηλοῦντός ἐστιν, ὅτι πολὺ τοῦτο θαυμαστότερον ἦν τοῦ Πέτρον ἀπαχθῆναι. Ὡς γὰρ μείζονα αὐτὸν τιθείς, οὕτως εἶπεν, ὅτι οὐ μόνον Πέτρος, ἀλλὰ καὶ Βαρνάβας· Πέτρου δὲ ἐκείνου μείζων Βαρνάβας οὐκ ἦν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. Οὐ γάρ, ἐπειδὴ μείζων ἦν ὁ Βαρνάβας, διὰ τοῦτο ἐπὶ τούτῳ θαυμάζει μᾶλλον, ἀλλὰ τίνος ἕνεκεν; Ὅτι ἐκεῖνος μὲν εἰς τὴν περιτομὴν ἀπεστάλη, Βαρνάβας δὲ μετὰ Παύλου τοῖς ἔθνεσιν ἐκήρυττε, καὶ πανταχοῦ τῷ Παύλῳ συνέζευκται· ὥσπερ οὖν ἀλλαχοῦ φησιν, «ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι;» καὶ πάλιν, «ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα», καὶ πανταχοῦ μετὰ τοῦ Παύλου διδάσκοντα αὐτὸν ὁρᾷς.

Οὐκ ἐπειδὴ οὖν μείζων ἦν Πέτρου, διὰ τοῦτο θαυμάζει, ὅτι καὶ αὐτὸς συναπήχθη, ἀλλ' ἐπειδὴ μετ' αὐτοῦ κηρύττων ἀεὶ καὶ οὐδὲν κοινὸν πρὸς Ἰουδαίους ἔχων ἀλλ' ἐν τοῖς ἔθνεσι διδάσκων, καὶ αὐτὸς συναπήχθη. Ὅτι δὲ Πέτρος ἐστί, περὶ οὗ ταῦ-

---

36. Γαλ. 2,11–13.
37. Α' Κορ. 9,6.
38. Γαλ. 2,1.

ὑπόλοιποι Ἰουδαῖοι». Ποιοί Ἰουδαῖοι; Ἐκεῖνοι ποὺ ζοῦσαν στὴν Ἀντιόχεια, πρὶν κατεβοῦν οἱ προερχόμενοι ἀπὸ τὰ Ἱεροσόλυμα, καὶ δὲν τηροῦσαν καμιὰ ἰουδαϊκὴ διάκριση. «Ὥστε ἀκόμη καὶ ὁ Βαρνάβας παρασύρθηκε στὴν ὑποκρισία τους αὐτή»[36]. Αὐτὴ λοιπὸν εἶναι ἡ φαινομενικὴ κατηγορία.

15. Ἂν ὅμως θέλετε, ἀφοῦ ἀναφέρω πρῶτα τὶς ἐξηγήσεις ποὺ ἔχουν ἐπινοήσει ἄλλοι, θὰ προσπαθήσω τότε νὰ παρουσιάσω καὶ τὴ δική μου γνώμη, ἀφήνοντας σὲ σᾶς τὴν ἐκλογὴ τῶν λεγομένων. Πῶς λοιπὸν ἔλυσαν μερικοὶ τὸ ζήτημα αὐτό; Δὲν ἦταν αὐτὸς ὁ Πέτρος, λέγει, ἐκεῖνος ὁ πρῶτος ἀπὸ τοὺς ἀποστόλους, ποὺ ἀπὸ τὸν Κύριο ἀνέλαβε τὰ πρόβατα, ἀλλὰ κάποιος ἄλλος ἀσήμαντος καὶ περιφρονημένος καὶ ἕνας ἀπὸ τοὺς πολλούς. Ἀπὸ ποῦ εἶναι φανερὸ αὐτό; Ἀφοῦ εἶπε ὁ Παῦλος, ὅτι παρασύρθηκαν μαζί του καὶ οἱ ὑπόλοιποι Ἰουδαῖοι, πρόσθεσε, λέγει, αὐτό, «ὥστε ἀκόμη καὶ ὁ Βαρνάβας παρασύρθηκε στὴν ὑποκρισία τους». Τὸ νὰ πεῖ ὅμως, «ὥστε ἀκόμη καὶ ὁ Βαρνάβας», σημαίνει πὼς αὐτὸ ἦταν πολὺ πιὸ θαυμαστὸ ἀπὸ τὸ ὅτι παρασύρθηκε ὁ Πέτρος. Γιατὶ μίλησε ἔτσι σὰν νὰ θεωροῦσε μεγαλύτερο αὐτόν, ὅτι δηλαδὴ ὄχι μόνο ὁ Πέτρος ἀλλ᾽ ἀκόμη καὶ ὁ Βαρνάβας. Ὁ Βαρνάβας ὅμως δὲν ἦταν μεγαλύτερος ἀπὸ τὸν Πέτρο ἐκεῖνον. Ἀλλὰ τὰ πράγματα δὲν εἶναι ἔτσι, ὁπωσδήποτε δὲν εἶναι ἔτσι. Γιατὶ δὲ θαυμάζει περισσότερο γι᾽ αὐτό, ἐπειδὴ ἦταν μεγαλύτερος ὁ Βαρνάβας, ἀλλὰ γιὰ ποιό λόγο; Γιὰ τὸ ὅτι ἐκεῖνος στάλθηκε στοὺς Ἰουδαίους, ἐνῶ ὁ Βαρνάβας μαζὶ μὲ τὸν Παῦλο κήρυττε στοὺς ἐθνικοὺς καὶ παντοῦ εἶναι ἑνωμένος μὲ τὸν Παῦλο, ὅπως ἀκριβῶς λέγει ἀλλοῦ, «ἢ μήπως ἐγὼ καὶ ὁ Βαρνάβας δὲν ἔχουμε δικαίωμα νὰ μὴν ἐργαζόμαστε;»[37]· καὶ πάλι, «ἀνέβηκα στὰ Ἱεροσόλυμα μαζὶ μὲ τὸ Βαρνάβα»[38], καὶ παντοῦ τὸν βλέπεις νὰ διδάσκει μαζὶ μὲ τὸν Παῦλο.

Δὲ θαυμάζει λοιπὸν γι᾽ αὐτό, ὅτι καὶ αὐτὸς συμπαρασύρθηκε, ἐπειδὴ ἦταν μεγαλύτερος ἀπὸ τὸν Πέτρο, ἀλλ᾽ ἐπειδὴ συμπαρασύρθηκε καὶ αὐτὸς παρ᾽ ὅλο ποὺ πάντοτε κήρυττε μαζί του καὶ δὲν εἶχε κανένα κοινὸ μὲ τοὺς Ἰουδαίους, ἀλλὰ δίδασκε στοὺς ἐθνικούς. Ὅτι ὅμως εἶναι ὁ Πέτρος, γιὰ τὸν ὁποῖο τὰ λέ-

τα πάντα φησί, δῆλον καὶ ἐκ τῶν ἀνωτέρω καὶ ἐκ τῶν μετὰ ταῦτα. Τὸ γὰρ εἰπεῖν, ὅτι «κατὰ πρόσωπον αὐτῷ ἀντέστην» καὶ ὡς μέγα θεῖναι τοῦτο, οὐδὲν ἕτερον λαλοῦντος ἦν, ἀλλ' ἢ ὅτι οὐκ ᾐδέσθη τοῦ προσώπου τὸ ἀξίωμα· οὐκ ἂν δὲ περὶ ἑτέρου λέγων, ὅτι «κατὰ πρόσωπον αὐτῷ ἀντέστην», ὡς μέγα τι τοῦτο ἂν ἔθηκε. Πάλιν, εἰ ἄλλος ἦν Πέτρος, οὐκ ἂν ἡ μετάστασις αὐτοῦ τοσοῦτον ἴσχυσεν, ὥστε καὶ τοὺς λοιποὺς ἐφελκύσασθαι Ἰουδαίους· οὔτε γὰρ παρῄνεσέ τι, οὔτε συνεβούλευσεν, ἀλλὰ μόνον ὑπέστελλε, καὶ ἀφώριζεν ἑαυτόν· καὶ ἴσχυσεν ἡ ὑποστολὴ καὶ ὁ ἀφορισμὸς πάντας ἐπισπάσασθαι τοὺς μαθητὰς διὰ τὸ τοῦ προσώπου ἀξίωμα.

16. Ὅτι μὲν οὖν Πέτρος ἦν ἐκ τούτων δῆλον, εἰ δὲ βούλεσθε καὶ τὴν ἑτέραν λύσιν ἐροῦμεν. Τίς οὖν ἐστιν ἡ ἑτέρα; Καλῶς ἐνεκάλεσε Παῦλος, φησί, τῷ Πέτρῳ, ὅτι πέρα τοῦ μέτρου τῇ συγκαταβάσει ἐχρήστο. Και γὰρ ὃν τρόπον αὐτὸς ἐν Ἱεροσολύμοις γενόμενος συγκατέβη τοῖς Ἰουδαίοις, οὕτω κἀκεῖνον ἐχρῆν, φησίν, εἰς Ἀντιόχειαν ἐλθόντα, μὴ πρὸς Ἰουδαίους ἰδεῖν, ἀλλὰ πρὸς τοὺς ἐξ ἐθνῶν. Ὥσπερ γὰρ ἡνίκα πάντες Ἰουδαῖοι ἦσαν καὶ Παῦλος ἠναγκάσθη ἰουδαΐζειν, οὕτως ἔνθα πλείους ἦσαν οἱ ἐξ ἐθνῶν καὶ ἡ πόλις οὐδεμίαν ἀνάγκην παρεῖχε συγκαταβάσεως, οὐκ ἐχρῆν διὰ τοὺς ὀλίγους Ἰουδαίους σκανδαλίσαι τοὺς τοσούτους Ἕλληνας. Ἀλλὰ τοῦτο οὐκ ἔστι λύσις, ἀλλ' ἐπίτασις τοῦ ζητήματος. Ὃ γὰρ ἀρχόμενος εἶπον τοῦ λόγου, οὐ τοῦτό ἐστι τὸ σπουδαζόμενον ἡμῖν, δεῖξαι ὅτι καλῶς ἐνεκάλεσε Παῦλος· ἐπεὶ οὕτω μενεῖ τὸ ζήτημα. Φανήσεται γὰρ ὑπεύθυνος ὢν ταῖς μέμψεσιν ὁ Πέτρος· τὸ δὲ ζητούμενον, καὶ τοῦτον κἀκεῖνον ἀπαλλάξαι τῶν ἐγκλημάτων. Πῶς οὖν ἔσται τοῦτο; Ἂν τὴν γνώμην, μεθ' ἧς ὁ μὲν ἐπετίμησεν ὁ δὲ ἐπετιμήθη, μάθωμεν καὶ τὴν διάνοιαν αὐτὴν ἀναπτύξωμεν.

Τίς οὖν ἐστιν ἡ διάνοια; Σφόδρα ὁ Πέτρος ἐπεθύμει καὶ

γει ὅλα αὐτά, φαίνεται καὶ ἀπὸ τὰ παραπάνω καὶ ἀπὸ τὰ ἑπόμενα. Γιατὶ τὸ νὰ πεῖ, «τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο», καὶ τὸ νὰ τὸ θεωρήσει αὐτὸ σὰν κάτι σπουδαῖο, τίποτε ἄλλο δὲ σημαίνει παρὰ αὐτό, ὅτι δὲ σεβάσθηκε τὸ ἀξίωμα τοῦ προσώπου. Ἂν ὅμως γιὰ κάποιον ἄλλον ἔλεγε, «τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο», δὲ θὰ τὸ θεωροῦσε αὐτὸ σὰν κάτι σπουδαῖο. Ἐπίσης, ἂν ἄλλος ἦταν ὁ Πέτρος, δὲ θὰ εἶχε τόση δύναμη ἡ μεταβολή του, ὥστε νὰ παρασύρει καὶ τοὺς ὑπόλοιπους Ἰουδαίους. Γιατὶ οὔτε τοὺς ἔκαμε κάποια προτροπή, οὔτε τοὺς ἔδωσε κάποια συμβουλή, ἀλλὰ μόνο ἀποσύρθηκε καὶ διαχώρισε τὴ θέση του. Καὶ μπόρεσε ἡ ἀποχώρηση καὶ ἡ ἀπομάκρυνσή του νὰ παρασύρει ὅλους τοὺς μαθητὲς ἐξαιτίας τοῦ ἀξιώματος τοῦ προσώπου του.

16. Ὅτι λοιπὸν ἦταν ὁ Πέτρος εἶναι φανερὸ ἀπ' αὐτά, ἂν ὅμως θέλετε θὰ ποῦμε καὶ τὴν ἄλλη λύση. Ποιά λοιπὸν εἶναι ἡ ἄλλη; Καλὰ ἔκανε καὶ κατηγόρησε ὁ Παῦλος, λέγει, τὸν Πέτρο, γιατὶ μεταχειρίσθηκε τὴ συγκατάβαση πέρα ἀπὸ τὸ μέτρο. Γιατὶ πραγματικὰ ὅπως αὐτὸς ὅταν βρέθηκε στὰ Ἱεροσόλυμα ἔδειξε συγκατάβαση στοὺς Ἰουδαίους, ἔτσι καὶ ἐκεῖνος, λέγει ὅταν ἦρθε στὴν Ἀντιόχεια ἔπρεπε νὰ μὴ λάβει ὑπόψη τοὺς Ἰουδαίους ἀλλὰ τοὺς ἐθνικούς. Ὅπως δηλαδὴ ὅταν ὅλοι ἦταν Ἰουδαῖοι καὶ ὁ Παῦλος ἀναγκάσθηκε νὰ συμπεριφέρεται σὰν Ἰουδαῖος, ἔτσι ὅπου ἦταν περισσότεροι οἱ ἐθνικοὶ καὶ ἡ πόλη δὲν εἶχε καμιὰ ἀνάγκη ἀπὸ συγκατάβαση δὲν ἔπρεπε γιὰ τοὺς λίγους Ἰουδαίους νὰ σκανδαλίσει τοὺς τόσους πολλοὺς Χριστιανοὺς ἐξ ἐθνικῶν. Αὐτὸ ὅμως δὲν εἶναι λύση, ἀλλὰ περιπλοκὴ τοῦ προβλήματος. Γιατί, ὅπως εἶπα στὴν ἀρχὴ τῆς ὁμιλίας, δὲν εἶναι αὐτὸ ποὺ μᾶς ἐνδιαφέρει, νὰ δείξουμε δηλαδὴ ὅτι καλῶς τὸν κατηγόρησε ὁ Παῦλος, ἐπειδὴ ἔτσι θὰ παραμείνει τὸ ζήτημα. Θὰ φανεῖ βέβαια πὼς ὁ Πέτρος εἶναι ὑπεύθυνος γιὰ τὶς κατηγορίες, ἀλλὰ τὸ ζητούμενο εἶναι ν' ἀπαλλάξουμε καὶ αὐτὸν καὶ ἐκεῖνον ἀπὸ τὶς κατηγορίες. Πῶς λοιπὸν θὰ γίνει αὐτό; Ἂν μάθουμε τὴν πρόθεση μὲ τὴν ὁποία ὁ ἕνας κατηγόρησε καὶ ὁ ἄλλος κατηγορήθηκε καὶ ἀναπτύξουμε αὐτὴ τὴ σκέψη.

Ποιά λοιπὸν εἶναι αὐτὴ ἡ σκέψη; Πολὺ ἐπιθυμοῦσε ὁ Πέ-

τοὺς ἐξ Ἱεροσολύμων κατελθόντας, τοὺς ἀπο Ἰακώβου, ἀπαλλάξαι τῆς παρατηρήσεως τῆς ἰουδαϊκῆς. Ἀλλ' εἰ μὲν αὐτὸς ταύτην εἰσηγήσατο τὴν γνώμην καὶ παρελθὼν εἶπε, παύσασθε τοῖς ἰουδαϊκοῖς ἔθεσι χρώμενοι, ὡς ἐναντία ἑαυτῷ δημηγορῶν καὶ τοῖς ὑπ' αὐτοῦ γεγενημένοις ἅπασι κατὰ τὸν ἔμπροσθεν χρόνον, ἐσκανδάλισεν ἂν τοὺς μαθητάς. Πάλιν, εἰ Παῦλος πρὸς αὐτοὺς τοῦτον ἀπέτεινε τὸν λόγον, οὐδ' ἂν προσέσχον οὐδ' ἂν ἠνέσχοντο τῆς ἀκροάσεως. Οἱ γὰρ καὶ χωρὶς τούτου μισοῦντες αὐτὸν καὶ ἀποστρεφόμενοι διὰ τὴν τοιαύτην φήμην, πολλῷ μᾶλλον, εἰ καὶ συμβουλεύοντος ταῦτα ἤκουσαν, ἀπεπήδησαν ἄν. Τί οὖν γίνεται; Ἰουδαίοις μὲν οὐδεὶς αὐτῶν ἐπετίμα τοῖς ἐξ Ἰακώβου, δέχεται δὲ τὴν ἐπιτίμησιν ὁ Πέτρος παρὰ τοῦ Παύλου, ἵνα ἐγκαλούμενος ὑπὸ τοῦ συναποστόλου, δικαίαν ἔχοι λοιπὸν τὴν παρρησίαν τοῦ καὶ τοῖς μαθηταῖς ἐπιπλῆξαι· καὶ ἐπιτιμᾶται μὲν ὁ Πέτρος, διορθοῦνται δὲ οἱ μαθηταί.

Τοῦτο δὲ καὶ ἐπὶ συναλλαγμάτων γίνεται βιωτικῶν. Ὅταν γάρ τινες ὀφείλωσί τινα ἐλλείμματα πολιτικῶν εἰσφορῶν, εἶτα οἱ μέλλοντες αὐτοὺς ἀπαιτεῖν αἰσχύνωνται καὶ ἐρυθριῶσι προσενεχθῆναι σφοδρότερον, βουλόμενοι πλείονα λαβεῖν ἀφορμὴν καὶ ἐξουσίαν τῆς κατ' αὐτῶν σφοδρότητος, παρασκευάζουσιν ἑτέρους τῶν συστρατιωτῶν ἀποδῦσαι, λοιδορήσασθαι, μυρία ἕτερα αὐτοῖς διαθεῖναι δεινὰ ὁρώντων ἐκείνων, ἵνα τούτων γενομένων, μηκέτι παρ' ἑαυτῶν, μηδὲ οἴκοθεν, ἀλλ' ἐκ τῆς ἑτέρων ἀνάγκης δοκῶσιν ἐκείνοις σφοδρότερον ἐπιτίθεσθαι· καὶ γίνεται ἡ ἑτέρων ὕβρις αὐτοῖς ἀπολογία πρὸς τοὺς ὑπευθύνους τοὺς ἑαυτῶν.

17. Τοῦτο καὶ ἐπὶ Παύλου καὶ ἐπὶ Πέτρου γέγονεν. Ὤφειλον γάρ τινα ἐλλείμματα οἱ Ἰουδαῖοι. Ποῖα δὴ ταῦτα; Τὸ παντελῶς ἀποστῆναι τοῦ Ἰουδαϊσμοῦ. Ἀπαιτῆσαι ταῦτα τὰ ἐλλείμματα σφοδρότερον ὁ Πέτρος ἐβούλετο καὶ καθαρὰν εἰσπράξασθαι

τρος ν' ἀπαλλάξει ἀπὸ τὶς ἰουδαϊκὲς διακρίσεις καὶ αὐτοὺς ποὺ κατέβηκαν ἀπὸ τὰ Ἱεροσόλυμα, δηλαδὴ ἀπὸ τὸν Ἰάκωβο. Ἀλλά, ἂν αὐτὸς εἰσηγοῦνταν αὐτὴ τὴ γνώμη καὶ μπροστὰ σὲ ὅλους ἔλεγε, 'σταματῆστε νὰ χρησιμοποιεῖτε τὰ ἰουδαϊκὰ ἔθιμα', θὰ σκανδάλιζε τοὺς μαθητές, γιατὶ θὰ μιλοῦσε ἐναντίον τοῦ ἑαυτοῦ του καὶ ὅλων ἐκείνων ποὺ ἔκαμε κατὰ τὸν προηγούμενο χρόνο. Ἐπίσης, ἂν ὁ Παῦλος τοὺς ἀπηύθυνε αὐτὴ τὴ σύσταση, οὔτε θὰ πρόσεχαν οὔτε θὰ ἀνέχονταν νὰ τὸν ἀκούσουν. Γιατὶ ἐκεῖνοι ποὺ τὸν μισοῦσαν χωρὶς αὐτὸ καὶ τὸν ἀποστρέφονταν ἐξ αἰτίας αὐτῆς τῆς φήμης, πολὺ περισσότερο θὰ ἀπομακρύνονταν, ἂν τὸν ἄκουαν νὰ δίνει τέτοιες συμβουλές. Τί λοιπὸν γίνεται; Τοὺς Ἰουδαίους ποὺ ἦρθαν ἀπὸ τὸν Ἰάκωβο δὲν τοὺς ἐπιτιμοῦσε κανεὶς ἀπ' αὐτούς, ἐνῶ δέχεται τὴν ἐπιτίμηση ὁ Πέτρος ἀπὸ τὸν Παῦλο, γιὰ νὰ μπορεῖ στὴ συνέχεια, κατηγορούμενος ἀπὸ τὸ συναπόστολό του, μὲ δικαιολογημένη παρρησία νὰ ἐπιπλήξει καὶ τοὺς μαθητές. Καὶ ἐπικρίνεται βέβαια ὁ Πέτρος, διορθώνονται ὅμως οἱ μαθητές.

Τὸ ἴδιο γίνεται καὶ στὶς βιοτικὲς συναλλαγές. Γιατί, ὅταν μερικοὶ ὀφείλουν κάποια ὑπόλοιπα πολιτικῶν εἰσφορῶν, καὶ ἐκεῖνοι ποὺ πρόκειται νὰ τοὺς τὰ ζητήσουν στὴ συνέχεια ντρέπονται καὶ κοκκινίζουν νὰ τοὺς φερθοῦν μὲ αὐστηρότητα, θέλοντας νὰ λάβουν μεγαλύτερη ἀφορμὴ καὶ δύναμη γιὰ τὴν ἐναντίον τους αὐστηρότητα, βρίσκουν ἄλλους ἀπὸ τοὺς συστρατιῶτες τους νὰ ἀναλάβουν αὐτὸ τὸ ἔργο, νὰ τοὺς κατηγορήσουν δηλαδὴ καὶ νὰ τοὺς προξενήσουν ἄπειρα ἄλλα κακὰ μπροστὰ στὰ μάτια τους, γιὰ νὰ φαίνονται, ἀφοῦ γίνουν αὐτά, ὅτι τοὺς ἐπιτίθενται σφοδρότερα ὄχι πιὰ ἀπὸ μόνοι τους οὔτε ἀπὸ τὴ δική τους θέληση ἀλλὰ ἀναγκαζόμενοι ἀπὸ ἄλλους. Ἔτσι ἡ ὕβρη τῶν ἄλλων γίνεται σ' αὐτοὺς δικαιολογία γιὰ τὴ συμπεριφορά τους πρὸς τοὺς ὀφειλέτες τους.

17. Αὐτὸ ἔγινε καὶ στὴν περίπτωση τοῦ Παύλου καὶ τοῦ Πέτρου. Γιατὶ χρεωστοῦσαν κάποια ὑπόλοιπα οἱ Ἰουδαῖοι. Ποιά λοιπὸν ἦταν αὐτά; Τὸ νὰ ἀπομακρυνθοῦν ἐντελῶς ἀπὸ τὸν Ἰουδαϊσμό. Ὁ Πέτρος ἤθελε νὰ ζητήσει αὐτὰ τὰ ὑπόλοιπα μὲ πε-

παρ' αὐτῶν τὴν πίστιν. Βουλόμενος τοίνυν πλείονα λαβεῖν ἐξουσίαν καὶ ἀφορμὴν τῆς τοιαύτης εἰσπράξεως, παρασκευάζει τὸν Παῦλον ἐπιτιμῆσαι μεθ' ὑπερβολῆς καὶ ἐπιπλῆξαι, ἵνα ἡ ἐπίπλαστος ἐπιτίμησις αὕτη δικαίαν αὐτῷ παρρησίας κατ' ἐκείνων ἀφορμὴν παρέχῃ καὶ πρόφασιν. Διὰ τοῦτο καὶ ἀρχόμενός φησι, «κατὰ πρόσωπον αὐτῷ ἀντέστην»· καὶ ἐνταῦθα πάλιν, «εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων». Εἰ μὲν γὰρ τὸν ἀπόστολον διορθώσασθαι ἐβούλετο, κατ' ἰδίαν ἂν τοῦτο ἐποίησεν· ἐπειδὴ δὲ οὐ τοῦτο ἦν τὸ σπουδαζόμενον (ᾔδει γὰρ τὴν γνώμην μεθ' ἧς ἅπαντα ταῦτα ἐποίει), ἀλλ' ἐκείνους μέχρι πολλοῦ χωλεύοντας στηρίξαι ἐσπούδαζε, διὰ τοῦτο ἔμπροσθεν πάντων ποιεῖται τὴν ἐπιτίμησιν. Ὁ δὲ Πέτρος ἀνέχεται καὶ σιγᾷ καὶ οὐκ ἀντιλέγει. Ἤιδει γὰρ τὴν γνώμην μεθ' ἧς ὁ Παῦλος ἐπετίμα· καὶ τὸ πᾶν ὁ Πέτρος κατώρθωσε σιγήσας. Ἡ γὰρ τούτου σιγὴ διδασκαλία τοῖς Ἰουδαίοις ἐγένετο τοῦ μηκέτι τοῖς νομίμοις ἐνέχεσθαι. Οὐ γὰρ ἂν ὁ διδάσκαλος ἐσίγησε, φησίν, εἰ μὴ συνῄδει δικαίως ἐπιτιμῶντι τῷ Παύλῳ.

Ἀλλ' εἰ δοκεῖ, καὶ αὐτῆς τῆς ἐπιτιμήσεως ἀκούσωμεν. «Εἶπον τῷ Πέτρῳ πάντων ἔμπροσθεν», φησίν, «εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς». Σκόπει σύνεσιν· οὐκ εἶπεν αὐτῷ, 'ὅτι κακῶς ποιεῖς ἰουδαϊκῶς ζῶν', ἀλλ' ἐλέγχει αὐτοῦ τὴν προτέραν ἀναστροφήν, ἵνα μὴ ἐκ τῆς Πέτρου κρίσεως τῆς ἤδη γεγενημένης εἰσενηνέχθαι δοκῇ. Εἰ μὲν γὰρ εἶπε, 'κακῶς ποιεῖς τὸν νόμον τηρῶν', ἐπετίμησαν ἂν οἱ μαθηταὶ οἱ Πέτρου, νυνὶ δὲ ἀκούσαντες, ὅτι οὐ τῆς Παύλου γνώμης ἡ παραίνεσις ἦν καὶ ἡ διόρθωσις αὕτη, ἀλλ' αὐτὸς ὁ Πέτρος οὕτως ἔζη, καὶ ταῦτα εἶχεν ἐν τῇ ψυχῇ τὰ δόγματα, καὶ ἑκόντες καὶ ἄκοντες ἡσύχαζον. Διὰ τοῦτο οὔτε Πέτρος εἰσηγεῖται τὴν γνώμην, ἀλλ' ἀνέχεται παρ' ἑτέρου, τοῦ Παύλου λέγω, διελέγχεσθαι καὶ σιγᾷ, ὥστε εὐπαράδεκτον γενέσθαι τὴν διδασκαλίαν.

---

39. Γαλ. 2,14.

ρισσότερη αὐστηρότητα καὶ νὰ εἰσπράξει ἀπ' αὐτοὺς καθαρὴ τὴν πίστη. Θέλοντας λοιπὸν νὰ λάβει μεγαλύτερη δύναμη καὶ ἀφορμὴ γιὰ μιὰ τέτοια εἴσπραξη, βρίσκει τρόπο ὥστε νὰ τὸν ἐπικρίνει πάρα πολὺ καὶ νὰ τὸν ἐπιπλήξει ὁ Παῦλος, γιὰ νὰ τοῦ δώσει ἡ προσποιητὴ αὐτὴ ἐπιτίμηση δικαιολογημένη ἀφορμὴ καὶ πρόφαση παρρησίας ἐναντίον ἐκείνων. Γι' αὐτὸ καὶ στὴν ἀρχὴ λέγει, «τοῦ ἐναντιώθηκα κατὰ πρόσωπο»· καὶ ἐδῶ πάλι, «εἶπα στὸν Πέτρο μπροστὰ σὲ ὅλους». Γιατί, ἂν ἤθελε νὰ διορθώσει τὸν ἀπόστολο, θὰ τὸ ἔκανε αὐτὸ ἰδιαιτέρως· ἐπειδὴ ὅμως δὲν τὸν ἐνδιέφερε αὐτὸ (γιατὶ γνώριζε τὴν πρόθεση, μὲ τὴν ὁποία ἔκανε ὅλα αὐτά), ἀλλὰ προσπαθοῦσε νὰ στηρίξει ἐκείνους ποὺ γιὰ πολὺ χώλαιναν, γι' αὐτὸ κάνει τὴν ἐπιτίμηση μπροστὰ σὲ ὅλους. Καὶ ὁ Πέτρος τὴν ἀνέχεται καὶ σιωπᾶ καὶ δὲν ἀντιλέγει. Γιατὶ γνώριζε τὴ σκέψη μὲ τὴν ὁποία τὸν ἐπιτιμοῦσε ὁ Παῦλος· καὶ μὲ τη σιωπή του ὁ Πέτρος κατόρθωσε τὰ πάντα. Γιατὶ ἡ σιωπή του ἔγινε μάθημα στοὺς Ἰουδαίους νὰ μὴν ἐκτελοῦν πιὰ τὶς ἐντολες τοῦ νόμου. Γιατὶ ὁ διδάσκαλος δὲ θὰ σιωποῦσε, λέγει, ἂν δὲν ἤξερε καλὰ πὼς ὁ Παῦλος τὸν ἐπικρίνει δίκαια.

Ἀλλά, ἂν θέλετε, ἂς ἀκούσουμε καὶ τὴν ἴδια τὴν ἐπιτίμηση. «Εἶπα στὸν Πέτρο μπροστὰ σὲ ὅλους», λέγει, «ἂν ἐσὺ ποὺ εἶσαι Ἰουδαῖος ζεῖς σὰν ἐθνικός»[39]. Πρόσεχε σύνεση. Δὲν τοῦ εἶπε 'ὅτι κάνεις κακῶς ποὺ ζεῖς σὰν Ἰουδαῖος', ἀλλὰ ἐλέγχει τὴν προηγούμενη συμπεριφορά του, γιὰ νὰ μὴ φανεῖ ὅτι ἡ παραίνεση καὶ ἡ συμβουλὴ βγῆκε ἀπὸ τὴ σκέψη τοῦ Παύλου, ἀλλὰ ἀπὸ τὴν ἀπόφαση ποὺ εἶχε ἤδη πάρει ὁ Πέτρος. Γιατί, ἂν ἔλεγε, 'κάνεις κακῶς ποὺ τηρεῖς τὸ νόμο', θὰ τὸν ἐπιτιμοῦσαν οἱ μαθητὲς τοῦ Πέτρου, τώρα ὅμως, ἀκούοντας ὅτι ἡ παραίνεση καὶ ἡ διόρθωση αὐτὴ δὲν προερχόταν ἀπὸ τὴ σκέψη τοῦ Παύλου, ἀλλὰ ὁ ἴδιος ὁ Πέτρος ζοῦσε ἔτσι καὶ αὐτὰ τὰ δόγματα εἶχε στὴν ψυχή του, ἡσύχαζαν εἴτε τὸ ἤθελαν εἴτε δὲν τὸ ἤθελαν. Γι' αὐτὸ οὔτε ὁ Πέτρος εἰσηγεῖται τὴ γνώμη, ἀλλὰ δέχεται νὰ ἐλέγχεται ἀπὸ ἄλλον, δηλαδὴ ἀπο τὸν Παῦλο, καὶ σιωπᾶ, ὥστε ἡ διδασκαλία νὰ γίνεται εὔκολα ἀποδεκτή.

18. Οὐκ ἐντεῦθεν δὲ μόνον τὴν σύνεσίν ἐστιν ἰδεῖν τοῦ Παύλου, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς εἰρημένων. Οὐ γὰρ εἶπεν, 'εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ἔζης καὶ οὐκ ἰουδαϊκῶς', ἀλλ' ὅτι «ζῇς»· ὥστε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχεις· καὶ τὸ πολλῆς γέμον συνέσεως, τὸ ἐπαγόμενόν ἐστιν. Εἰπὼν γάρ, «ἐθνικῶς ζῇς, Ἰουδαῖος ὤν», οὐκ ἐπήγαγε, 'τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν', ἀλλὰ πῶς; «Τί τὰ ἔθνη», φησίν, «ἀναγκάζεις ἰουδαΐζειν», ἵνα τῷ δοκεῖν τῶν ἰδίων ἀντιποιεῖσθαι μαθητῶν, καὶ προσχήματι τῆς ὑπὲρ τῶν ἐθνῶν κηδεμονίας, πείσῃ τοὺς Ἰουδαίους ἀποστῆναι τῆς παλαιᾶς συνηθείας. Ὅτι γὰρ πέπλασται τὰ ἐγκλήματα, ἐξ αὐτῶν τῶν εἰρημένων δῆλον. Ἀνωτέρω γὰρ εἰπών, «συναπήχθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι», ἐνταῦθα λέγει· «τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;». Καὶ μὴν ἐχρῆν εἰπεῖν, 'τί τοὺς Ἰουδαίους ἀναγκάζεις ἰουδαΐζειν;' Οἱ γὰρ συναπαχθέντες, οὐχ οἱ ἐξ ἐθνῶν ἦσαν, ἀλλ' Ἰουδαῖοι. Ἀλλ' εἰ μὲν τοῦτο εἶπεν, ἔδοξεν ἂν ὁ λόγος τραχὺς εἶναι καὶ οὐδὲν αὐτῷ προσήκων· τῶν γὰρ ἐθνῶν διδάσκαλος ἦν· νῦν δὲ ἐν προσχήματι κηδεμονίας τῶν ἰδίων μαθητῶν ἀνεύθυνον καὶ ἐλευθέραν ποιεῖται τὴν ἐπιτίμησιν.

Καὶ ἵνα μάθητε, ὅτι οὐκ ἐπιτίμησις ἦν κατὰ Πέτρου τὰ λεγόμενα, ἀλλὰ παραίνεσις καὶ διδασκαλία τοῖς Ἰουδαίοις ἐν τάξει τῆς ἐπιτιμήσεως τῆς κατὰ Πέτρου, ἄκουσον τῶν ἑξῆς· «ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί». Ταῦτα γὰρ λοιπὸν διδάσκοντός ἐστι καὶ οὐκ ἔτι εἰς Πέτρον τὸ πᾶν περιίστησιν, ἀλλὰ κοινοῖ τὸν λόγον. Εἰ μὲν γὰρ ὡς διδάσκων ἐξ ἀρχῆς εἰσέβαλεν, οὐκ ἂν ἠνέσχοντο Ἰουδαῖοι, νῦν δὲ τὴν ἀρχὴν ἐξ ἐπιτιμήσεως λαβὼν καὶ δόξας δικαίαν ποιεῖσθαι κατὰ τοῦ Πέτρου τὴν ἐπιτίμησιν, ὡς τοὺς ἐξ ἐθνῶν ἕλκοντος πρὸς τὴν τῶν νομί-

---

40. Γαλ. 2,15.

18. Καὶ ὄχι μόνο ἀπὸ ἐδῶ μπορεῖ νὰ δεῖ κανεὶς τὴ σύνεση τοῦ Παύλου, ἀλλὰ καὶ ἀπὸ τὰ ὅσα λέχθηκαν στὴ συνέχεια. Γιατὶ δὲν εἶπε, 'ἂν ἐσὺ ποὺ εἶσαι Ἰουδαῖος, ζοῦσες σὰν ἐθνικὸς καὶ ὄχι σὰν Ἰουδαῖος', ἀλλὰ ὅτι «ζεῖς»· ὥστε καὶ τώρα ἔχεις τὴν ἴδια γνώμη. Καὶ ἐκεῖνο ποὺ ἔχει πολλὴ σύνεση εἶναι αὐτὸ ποὺ προστίθεται στὴ συνέχεια. Γιατὶ ἀφοῦ εἶπε, «ζεῖς σὰν ἐθνικός, παρ' ὅλο ποὺ εἶσαι Ἰουδαῖος», δὲν πρόσθεσε, 'γιατί ἀναγκάζεις τοὺς Ἰουδαίους νὰ ἰουδαΐζουν;', ἀλλὰ τί εἶπε; «Γιατί ἀναγκάζεις», λέγει, «τοὺς ἐθνικοὺς νὰ ἰουδαΐζουν;», γιὰ νὰ πείσει τοὺς Ἰουδαίους, μὲ τὸ ὅτι φαίνεται πὼς ἐνδιαφέρεται γιὰ τοὺς δικούς του μαθητες καὶ μὲ τὸ πρόσχημα τῆς φροντίδας γιὰ τοὺς ἐθνικούς, νὰ ἀπομακρυνθοῦν ἀπὸ τὴν παλιὰ συνήθεια. Ὅτι λοιπὸν εἶναι πλαστὲς οἱ κατηγορίες φαίνεται ἀπ' αὐτὰ ποὺ ἔχουν λεχθεῖ. Γιατὶ ἀφοῦ εἶπε παραπάνω, «παρασύρθηκαν μ' αὐτὸν καὶ οἱ ὑπόλοιποι Ἰουδαῖοι», ἐδῶ λέγει· «γιατί ἀναγκάζεις τοὺς ἐθνικοὺς νὰ ἰουδαΐζουν;». Καὶ ὅμως ἔπρεπε νὰ πεῖ, 'γιατί ἀναγκάζεις τοὺς Ἰουδαίους νὰ ἰουδαΐζουν;» Γιατὶ αὐτοὶ ποὺ συμπαρασύρθηκαν δὲν ἦταν οἱ Χριστιανοὶ ποὺ προέρχονταν ἀπὸ τοὺς ἐθνικοὺς ἀλλὰ οἱ ἐξ Ἰουδαίων. Ἀλλ' ἂν τὸ ἔλεγε αὐτό, θὰ φαινόταν πὼς ὁ λόγος εἶναι σκληρὸς καὶ δὲν ταιριάζει καθόλου σ' αὐτόν, γιατὶ ἦταν διδάσκαλος τῶν ἐθνικῶν· τώρα ὅμως μὲ τὸ πρόσχημα τῆς φροντίδας τῶν δικῶν του μαθητῶν κάνει τὴν ἐπιτίμηση ἀνεύθυνη καὶ ἐλεύθερη.

Καὶ γιὰ νὰ μάθετε ὅτι τὰ λόγια αὐτὰ δὲν ἦταν ἐπιτίμηση ἐναντίον τοῦ Πέτρου, ἀλλὰ παραίνεση καὶ διδασκαλία στοὺς Ἰουδαίους μὲ τὴ μορφὴ τῆς ἐπιτίμησης ἐναντίον τοῦ Πέτρου, ἄκουσε τὰ ἑπόμενα. «Ἐμεῖς εἴμαστε ἀπὸ τὴ γέννησή μας Ἰουδαῖοι καὶ ὄχι ἁμαρτωλοὶ ἀπὸ τὰ ἔθνη»[40]. Γιατὶ αὐτὰ πλέον εἶναι λόγια διδασκαλίας μὲ τὰ ὁποῖα δὲν περιορίζει τὸ πᾶν στὸν Πέτρο, ἀλλὰ γενικεύει τὸ λόγο. Γιατί, ἂν ἀπὸ τὴν ἀρχὴ παρουσιαζόταν ὡς διδάσκαλος, δὲ θὰ τὸν ἀνέχονταν οἱ Ἰουδαῖοι. Τώρα ὅμως ποὺ ξεκίνησε ἀπὸ ἐπιτίμηση καὶ φάνηκε πὼς δικαιολογημένα ἔκανε τὴν ἐπιτίμηση ἐναντίον τοῦ Πέτρου, ἐπειδὴ παρέσυρε τοὺς προερχόμενους ἀπὸ τοὺς ἐθνικοὺς Χριστιανοὺς στὶς

μων παρατήρησιν, ἐκβαίνει λοιπὸν ἀδεῶς εἰς παραίνεσιν καὶ συμβουλήν, ὡς τῆς ἀκολουθίας ἐπὶ τοῦτο ἀγούσης αὐτόν. Ἵνα γὰρ μή τις ἀκούσας, ὅτι «τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν», νομίσῃ ὅτι μόνοις ἐκείνοις οὐκ ἔξεστιν ἰουδαΐζειν, τοῖς δὲ Ἰουδαίοις ἐφεῖται, εἰς αὐτοὺς τοὺς διδασκάλους τὸν λόγον περιίστησι. Τί λέγω, φησί, περὶ ἐθνῶν ἢ τῶν λοιπῶν Ἰουδαίων; ἀλλὰ καὶ ἡμεῖς οἱ διδάσκαλοι, ἡμεῖς οἱ ἀπόστολοι. Καὶ οὐ τοῦτο λέγει μόνον τὸ δικαίωμα, ὅτι οἱ διδάσκαλοι καὶ οἱ ἀπόστολοι, ἀλλ' ὅτι καὶ οἱ ἐκ προγόνων Ἰουδαῖοι καθάπαξ ἀπέστημεν τοῦ νόμου. Ποίαν οὖν ἔχομεν ἀπολογίαν, ἑτέρους εἰς τοῦτο ἕλκοντες;

Ὁρᾷς πῶς λανθανόντως τῶν Ἰουδαίων καθάπτεται καὶ τὴν διδασκαλίαν συντίθησιν ἀπηρτισμένην; Εἰπὼν γάρ, «ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί», καὶ αἰτίαν τίθησιν εὔλογον δι' ἣν ἀπέστησαν τοῦ Ἰουδαϊσμοῦ· «εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ».

19. Ὁρᾷς πῶς συνεχῶς καὶ τῆς ἀσθενείας τοῦ νόμου μνημονεύει καὶ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης; Καὶ πυκνῶς στρέφει τὰ ὀνόματα, ὅπερ οὐκ ἔστιν ἐπιτιμῶντος, ἀλλὰ διδάσκοντος καὶ συμβουλεύοντος. Ἀλλ', ὅπερ ἔφην, εἰ μὲν πρὸς Ἰουδαίους ἀποτεινόμενος ταῦτα ἔλεγε, τὸ πᾶν ἂν διερρύη καὶ ἀπώλετο, οὐκ ἀνεχομένων ἐκείνων τῆς τούτου διδασκαλίας· ἐπειδὴ δὲ πρὸς Πέτρον τὸν λόγον ἐπέστρεψε, λανθανόντως ἐκεῖνοι τὴν ὠφέλειαν ἐκαρποῦντο, ἐπιτιμωμένου καὶ σιγῶντος τοῦ Πέτρου καὶ τῆς γνώμης αὐτοῦ πάσης ἐκκαλυπτομένης, οὐχὶ παρ' ἑαυτοῦ, ἀλλὰ παρὰ τοῦ συναποστόλου, καὶ τῆς ἀναστροφῆς

---

41. Γαλ. 2,16.

διακρίσεις τοῦ νόμου, προχωράει στὴ συνέχεια ἄφοβα σὲ παραίνεση καὶ συμβουλή, ἐπειδὴ τὸν ὁδηγοῦσε σ' αὐτὸ ἡ σειρὰ τοῦ πράγματος. Γιὰ νὰ μὴ νομίσει δηλαδὴ κανείς, ἀκούοντας, «τοὺς ἐθνικοὺς ἀναγκάζεις νὰ ἰουδαΐζουν», ὅτι μόνο σ' ἐκείνους δὲν ἐπιτρέπεται νὰ ἰουδαΐζουν, ἐνῶ στοὺς Ἰουδαίους ἐπιτρέπεται, περιορίζει τὸ λόγο στοὺς ἴδιους τοὺς διδασκάλους. Γιατί μιλῶ, λέγει, γιὰ ἐθνικοὺς ἢ γιὰ τοὺς ὑπόλοιπους Ἰουδαίους; Ἀλλὰ καὶ ἐμεῖς οἱ διδάσκαλοι, ἐμεῖς οἱ ἀπόστολοι. Καὶ δὲ λέγει μόνο αὐτὸ τὸ δικαίωμα, ὅτι δηλαδὴ οἱ διδάσκαλοι καὶ οἱ ἀπόστολοι, ἀλλ' ὅτι καὶ ἐμεῖς ποὺ καταγόμαστε ἀπὸ προγόνους Ἰουδαίους ἀπομακρυνθήκαμε μιὰ γιὰ πάντα ἀπὸ τὸ νόμο. Ποιά λοιπὸν δικαιολογία ἔχουμε, παρασύροντας ἄλλους σ' αὐτό;

Βλέπεις πῶς χωρὶς νὰ γίνεται ἀντιληπτὸ κατηγορεῖ τοὺς Ἰουδαίους καὶ παρουσιάζει ἔτσι ὁλοκληρωμένη τὴ διδασκαλία του; Γιατί, ἀφοῦ εἶπε, «ἐμεῖς εἴμαστε ἀπὸ τὴ γέννησή μας Ἰουδαῖοι καὶ ὄχι ἁμαρτωλοὶ ἀπὸ τὰ ἔθνη», ἀναφέρει καὶ εὔλογη αἰτία, γιὰ τὴν ὁποία ἀπομακρύνθηκαν ἀπὸ τὸν Ἰουδαϊσμό· «ἐπειδὴ γνωρίζουμε ὅτι ὁ ἄνθρωπος δὲ δικαιώνεται ἀπὸ τὰ ἔργα τοῦ νόμου, ἀλλὰ μόνο μὲ τὴ πίστη στὸν Ἰησοῦ Χριστό· καὶ ἐμεῖς πιστέψαμε στὸν Ἰησοῦ Χριστό, γιὰ νὰ δικαιωθοῦμε μὲ τὴν πίστη στὸ Χριστὸ καὶ ὄχι ἀπὸ τὰ ἔργα τοῦ νόμου, γιατὶ ὁ ἄνθρωπος δὲ δικαιώνεται ἀπὸ τὰ ἔργα τοῦ νόμου, ἀλλὰ μόνο μὲ τὴν πίστη στὸν Ἰησοῦ Χριστό»[41].

19. Βλέπεις πῶς συνέχεια μνημονεύει καὶ τὴν ἀδυναμία τοῦ νόμου καὶ τὴ δικαίωση ἀπὸ τὴν πίστη; Καὶ συχνὰ ἀναφέρει τὰ ὀνόματα, πράγμα ποὺ δὲ δείχνει ἄνθρωπο ποὺ ἐπικρίνει, ἀλλὰ ποὺ διδάσκει καὶ συμβουλεύει. Ἀλλά, πράγμα ποὺ προανέφερα, ἂν τὰ ἔλεγε αὐτὰ ἀπευθυνόμενος πρὸς τοὺς Ἰουδαίους, τὰ πάντα θὰ χάνονταν καὶ θὰ καταστρέφονταν, γιατὶ ἐκεῖνοι δὲν ἀνέχονταν τὴ διδασκαλία του. Ἐπειδὴ ὅμως ἔστρεψε τὸ λόγο πρὸς τὸν Πέτρο, ἀσυναίσθητα ἐκεῖνοι κέρδιζαν τὴν ὠφέλεια, ἀφοῦ ὁ Πέτρος ἐπικρινόταν καὶ σιωποῦσε, φανερούμενης ἔτσι ὅλης του τῆς γνώμης, ὄχι ἀπὸ τὸν ἴδιο ἀλλὰ ἀπὸ τὸ συναπόστολό του, καὶ παρουσιαζόμενης στὴ μέση τῆς προηγούμενης διαγω-

τῆς προτέρας εἰς μέσον ἀγομένης. Εἶτα, ἵνα μὴ λέγωσι παρ' ἑαυτοῖς, 'τί οὖν εἰ καὶ Πέτρος καὶ Παῦλος κακῶς ἐποίησαν;' αἰτίας δικαίας καὶ ἀναμφισβητήτους τίθησι, δι' ἃς οὐ δεῖ τῶν ἰουδαϊκῶν ἐθῶν ἔχεσθαι. Αὗται δέ εἰσι, τὸ μὴ δύνασθαι τὸν νόμον δικαιοῦν, ἀλλὰ τὴν πίστιν μόνον.

Καὶ ἐνταῦθα μὲν ἡμερώτερον κέχρηται τῷ λόγῳ, προϊὼν δὲ καταφορικώτερον ποιεῖ καὶ σφοδρότερον. «Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ ηὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος;» [42] *Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· 'ἡ πίστις δικαιοῖ καὶ κελεύει ἀποστῆναι τῶν ἰουδαϊκῶν ἐθῶν ὡς πεπαυμένων λοιπόν· εἰ δὲ ἔτι κρατεῖ ὁ νόμος καὶ κύριός ἐστι καὶ ὁ ἀφεὶς αὐτὸν παραβάσεως κρίνεται, εὑρεθήσεται ὁ Χριστός, ὁ κελεύσας ἡμῖν αὐτὸν ἀφιέναι, τῆς παραβάσεως ἡμῖν αἴτιος γεγενημένος, καὶ οὐ μόνον οὐκ ἀπαλλάξας ἡμᾶς ἁμαρτίας, ἀλλὰ καὶ ἐμβαλὼν εἰς ἁμαρτίαν. Εἰ γὰρ διὰ τὴν πίστιν τὸν νόμον ἀφήκαμεν, τὸ δὲ ἀφιέναι τὸν νόμον ἁμαρτία ἐστίν, ἡ πίστις, δι' ἣν τὸν νόμον ἀφήκαμεν, αὕτη τῆς ἁμαρτίας ἡμῶν αἰτία ἐγένετο.*

Καὶ ἐπειδὴ λοιπὸν εἰς ἄτοπον τὸν λόγον περιέστησεν, οὐδὲ ἐδεήθη κατασκευῆς τινος πρὸς ἀνατροπήν, ἀλλὰ τῷ «μὴ γένοιτο» ἠρκέσθη, ὡς αὐτόθεν τῆς ἀτοπίας ὡμολογημένης· «εἰ γάρ», φησίν, «ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι» [43]*· εἰς τὸ ἐναντίον περιέστησε τὸν λόγον καὶ ἔδειξεν, ὅτι οὐ τὸ παραβῆναι νόμον, ἀλλὰ τὸ μὴ ἀφεῖναι νόμον, τοῦτο ποιεῖ παραβάτην· καὶ ἐν τάξει τοῦ οἰκείου προσώπου πάλιν τὸν Πέτρον αἰνίττεται. Τί γὰρ κατέλυσεν ὁ Πέτρος τὴν τῶν βρωμάτων παρατήρησιν, ἐθνικῶς ζῆν προῃρημένος; Πάλιν οὖν πρὸς Ἰουδαίους ἐπανελθὼν κἀκείνοις συζῶν, εὑρεθήσεται ἃ κατέλυσεν οἰκοδομῶν.*

20. Ὁρᾷς πῶς πανταχοῦ τῆς κρίσεως ἔχετε τοῦ Πέτρου καὶ τὴν προτέραν αὐτοῦ ἐκκαλύπτει ἀναστροφήν, ἵνα μὴ παρὰ τῆς τοῦ Παύλου γλώττης, ἀλλὰ παρὰ τῆς τοῦ Πέτρου γνώμης, ἣν

---

42. Γαλ. 2,17.
43. Γαλ. 2,18.

γῆς του. Στὴ συνέχεια, γιὰ νὰ μὴ λέγουν μέσα τους, 'καὶ τί ἔγινε ἂν ὁ Πέτρος καὶ ὁ Παῦλος ἔπραξαν κακῶς;' ἀναφέρει δίκαιες καὶ ἀναμφισβήτητες αἰτίες, γιὰ τὶς ὁποῖες δὲν πρέπει νὰ τηροῦν τὶς ἰουδαϊκὲς συνήθειες. Καὶ αὐτὲς εἶναι, τὸ ὅτι ὁ νόμος δὲν μπορεῖ νὰ δικαιώσει, ἀλλὰ μόνο ἡ πίστη.

Καὶ ἐδῶ βέβαια μιλάει πιὸ ἤρεμα, προχωρώντας ὅμως κάνει τὸ λόγο του πιὸ βαρὺ καὶ πιὸ αὐστηρό. «Ἂν ὅμως, ζητώντας νὰ σωθοῦμε ἀπὸ τὸ Χριστό, βρεθήκαμε καὶ ἐμεῖς ἁμαρτωλοί, ἄραγε ὁ Χριστὸς εἶναι ὑπηρέτης τῆς ἁμαρτίας;»[42]. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἡ πίστη δικαιώνει καὶ προστάζει ν' ἀπομακρυνθοῦμε ἀπὸ τὶς ἰουδαϊκὲς συνήθειες, ἐπειδὴ ἔχουν πιὰ καταργηθεῖ· ἂν ὅμως ἐπικρατεῖ ἀκόμη καὶ ἰσχύει ὁ νόμος καὶ αὐτὸς ποὺ τὸν ἐγκαταλείπει θεωρεῖται παραβάτης, θὰ βρεθεῖ ὁ Χριστός, ποὺ μᾶς πρόσταξε νὰ τὸν ἐγκαταλείψουμε, ὅτι ὄχι μόνο δὲ μᾶς ἀπάλλαξε ἀπὸ τὴν ἁμαρτία, ἀλλὰ καὶ ὅτι μᾶς ὁδήγησε στὴν ἁμαρτία. Γιατί, ἂν ἐγκαταλείψαμε τὸ νόμο γιὰ τὴν πίστη καὶ ἡ ἐγκατάλειψη τοῦ νόμου εἶναι ἁμαρτία, ἡ πίστη, ποὺ γιὰ χάρη της ἐγκαταλείψαμε τὸ νόμο, αὐτὴ ἔγινε αἰτία τῆς ἁμαρτίας μας.

Καὶ ἐπειδὴ στὴ συνέχεια ἔφερε τὸ λόγο σὲ ἀδιέξοδο, δὲ χρειάστηκε κάποια ἀπόδειξη γιὰ ἀνατροπή του, ἀλλὰ ἀρκέσθηκε στὸ «μακριὰ μιὰ τέτοια σκέψη», ἀφοῦ τὸ παράλογο ἀπὸ μόνο του ἀποδεικνύεται. «Γιατί», λέγει, «ἂν αὐτὰ ποὺ γκρέμισα τὰ ξανακτίζω, θεωρῶ τὸν ἑαυτό μου παραβάτη»[43]. Ἔφερε τὸ λόγο στὸ ἀντίθετο καὶ ἔδειξε πὼς ὄχι ἡ παράβαση τοῦ νόμου, ἀλλὰ ἡ μὴ ἐγκατάλειψη τοῦ νόμου κάνει τὸν παραβάτη· καὶ στὴ θέση τοῦ ἑαυτοῦ του πάλι ὑπονοεῖ τὸν Πέτρο. Γιατί λοιπὸν κατάργησε ὁ Πέτρος τὴ διάκριση τῶν φαγητῶν ἀποφασίζοντας νὰ ζεῖ σὰν ἐθνικός; Πάλι λοιπὸν ἐπιστρέφοντας στοὺς Ἰουδαίους καὶ ζώντας ὅπως ἐκεῖνοι, θὰ βρεθεῖ νὰ κτίζει ἐκεῖνα ποὺ γκρέμισε.

20. Βλέπεις πῶς παντοῦ ἀκολουθεῖ τὴν ἀπόφαση τοῦ Πέτρου καὶ ἀποκαλύπτει τὴν προηγούμενη συμπεριφορά του, γιὰ νὰ μὴ φαίνονται οἱ Ἰουδαῖοι πὼς δέχονται τὴν παραίνεση ἀπὸ τὴ

διὰ τῶν πραγμάτων ἐπεδείξατο, δοκῶσιν οἱ Ἰουδαῖοι τὴν παραίνεσιν δέχεσθαι; Διὰ ταῦτά φησι, «φοβούμενος τοὺς ἐκ περιτομῆς», καὶ «ὅτι κατεγνωσμένος ἦν», καὶ «ὅτι οὐκ ὀρθοποδεῖ πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου». Οὐχ οὕτως δὲ ἔχων· μὴ γένοιτο· διὰ γὰρ πολλῶν τοῦτο ἀπεδείξαμεν, ἀλλ' ὥσπερ τότε ἐπετίμα Παῦλος καὶ ταῦτα ἀκούων ὁ Πέτρος ἐσίγα, ὥστε μὴ ἀνατρέψαι τὴν οἰκονομίαν Παύλου, καὶ κατεδέχετο, ὡς οὐκ ὀρθῶς πεποιηκώς, δέχεσθαι τὴν ἐπίπληξιν, ἵνα ἀπολογία αὐτῷ γένηται τοῦτο πρὸς τοὺς μαθητάς, οὕτω δὴ καὶ οὗτος νῦν μετὰ τῆς αὐτῆς γνώμης, μεθ' ἧς ἐπετίμησε Πέτρῳ, γράφει ταῦτα, ἅπερ ἔγραψε Γαλάταις. Εἰ γὰρ τότε τὸ ἐπιτιμηθῆναι Πέτρον καὶ σιγῆσαι, χρήσιμον ἦν τοῖς Ἰουδαίοις, πολλῷ μᾶλλον ἂν καὶ νῦν τὸ ταῦτα περὶ αὐτοῦ λεχθῆναι χρήσιμον ἦν τῶν Γαλατῶν τοῖς διεφθαρμένοις.

Ὥσπερ γὰρ οἱ τότε ἐν Ἀντιοχείᾳ διατρίβοντες, ὁρῶντες Πέτρον ἐπιτιμώμενον μετ' ὑπερβολῆς καὶ σιγῶντα, διωρθοῦντο τῇ κατὰ τοῦ διδασκάλου κατηγορίᾳ καὶ τῇ σιγῇ, οὕτω καὶ νῦν Γαλάται περὶ τὰ ἰουδαϊκὰ νοσοῦντες καὶ τοῦ Παύλου ταῦτα περὶ αὐτοῦ λέγοντος ἀκούοντες, οἷον ὅτι κατεγνωσμένος ἦν, καὶ οὐκ ὠρθοπόδησε πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, καὶ ὅτι ἐπιτιμηθεὶς ἐπὶ τούτοις ἐσίγησε, μεγίστην ἀπὸ τῆς κατηγορίας ταύτης διδασκαλίαν ἐλάμβανον, εἰς τὸ μηκέτι προσέχειν τοῖς ἰουδαϊκοῖς ἔθεσι. Διὰ τοῦτο καὶ Παῦλος καὶ τότε ἐπετίμησε καὶ νῦν μέμνηται τῆς τότε γενομένης ἐπιπλήξεως· καὶ τούτου οὐκ ἔλαττον τὸν Πέτρον διὰ τοῦτο θαυμάσαι χρή, καταδεξάμενον ἅπαντα τὰ εἰρημένα. Ὁ γὰρ τὸ πᾶν κατωρθωκὼς οὗτός ἐστιν, ὁ ἀνασχόμενος κατηγορηθῆναι καὶ σιγήσας. Τοῦτο τῆς οἰκονομίας τὸ κέρδος. Οὕτως ἡμῖν ἑκάτερος τῶν ἀποστόλων ἐγκλημάτων μὲν ἀπήλλακται, μυρίων δέ ἐστιν ἐγκωμίων ἄξιος, πρὸς τὴν τῶν λοιπῶν σωτηρίαν ἅπαντα καὶ ἀκούειν καὶ λέγειν σπουδάζων.

γλώσσα τοῦ Παύλου, ἀλλὰ ἀπὸ τὴ γνώμη τοῦ Πέτρου ποὺ μὲ τὶς πράξεις του φανέρωσε; Γι' αὐτὸ λέγει, «ἐπειδὴ φοβόταν τοὺς Ἰουδαίους» καὶ «γιατὶ ἦταν ἄξιος γιὰ κατηγορία» καὶ «γιατὶ δὲ βαδίζει σύμφωνα μὲ τὴν ἀλήθεια τοῦ εὐαγγελίου». Ὄχι ἐπειδὴ πραγματικὰ συμπεριφερόταν ἔτσι –μακριὰ μιὰ τέτοια σκέψη–, γιατὶ τὸ ἀποδείξαμε μὲ πολλὰ αὐτό, ἀλλ' ὅπως τότε ὁ Παῦλος ἐπιτιμοῦσε καὶ ὁ Πέτρος ἀκούοντας αὐτὰ σιωποῦσε, γιὰ νὰ μὴν ἀνατρέψει τὸ σχέδιο τοῦ Παύλου, καὶ ἀνεχόταν, σὰν νὰ μὴν ἦταν σωστὰ ἐκεῖνα ποὺ ἔκανε, νὰ δέχεται τὴν ἐπίπληξη, γιὰ νὰ τοῦ γίνει αὐτὸ ἀπολογία πρὸς τοὺς μαθητές, ἔτσι ἀκριβῶς καὶ αὐτὸς τώρα μὲ τὴν ἴδια σκέψη, μὲ τὴν ὁποία ἐπιτίμησε τὸν Πέτρο, γράφει αὐτὰ ποὺ ἔγραψε στοὺς Γαλάτες. Γιατὶ ἂν τότε τὸ ὅτι ἐπιτιμήθηκε καὶ σιώπησε ὁ Πέτρος ἦταν χρήσιμο γιὰ τοὺς Ἰουδαίους, πολὺ περισσότερο καὶ τώρα τὸ νὰ λεχθοῦν αὐτὰ γιὰ ἐκεῖνον θὰ ἦταν χρήσιμο γιὰ τοὺς πλανεμένους ἀπὸ τοὺς Γαλάτες.

Ὅπως δηλαδὴ ἐκεῖνοι ποὺ ζοῦσαν τότε στὴν Ἀντιόχεια, βλέποντας τὸν Πέτρο νὰ ἐπικρίνεται πολὺ ἔντονα καὶ νὰ σιωπᾶ, διορθώνονταν μὲ τὴν κατηγορία ἐναντίον τοῦ διδασκάλου καὶ τὴ σιωπή του, ἔτσι καὶ τώρα οἱ Γαλάτες ποὺ ἦταν ἄρρωστοι γιὰ τὶς ἰουδαϊκὲς συνήθειες καὶ ἄκουαν τὸν Παῦλο νὰ λέγει γι' αὐτὸν αὐτά, ὅτι δηλαδὴ ἦταν ἄξιος κατηγορίας καὶ δὲ βάδισε σωστὰ καὶ σύμφωνα μὲ τὴν ἀλήθεια τοῦ Εὐαγγελίου καὶ ὅτι παρ' ὅλο ποὺ κατηγορήθηκε γι' αὐτὰ σιώπησε, ἔπαιρναν πολὺ μεγάλο μάθημα ἀπὸ τὴν κατηγορία αὐτὴ στὸ νὰ μὴν προσέχουν πιὰ στὶς ἰουδαϊκὲς συνήθειες. Γι' αὐτὸ καὶ ὁ Παῦλος καὶ τότε ἐπιτίμησε καὶ τώρα θυμᾶται τὴν ἐπίπληξη ποὺ ἔκαμε τότε. Καὶ γι' αὐτὸ δὲν πρέπει νὰ θαυμάσουμε λιγότερο ἀπὸ αὐτὸν τὸν Πέτρο ποὺ δέχθηκε ὅλα ὅσα λέχθηκαν. Γιατὶ αὐτὸς ποὺ κατόρθωσε τὰ πάντα εἶναι ὁ Πέτρος, ποὺ ἀνέχθηκε νὰ κατηγορηθεῖ καὶ σιώπησε. Αὐτὸ εἶναι τὸ κέρδος τῆς οἰκονομίας. Ἔτσι καθένας ἀπὸ τοὺς δύο ἀποστόλους ἔχει ἀπαλλαχθεῖ ἀπὸ μᾶς ἀπὸ τὶς κατηγορίες καὶ εἶναι ἄξιος γιὰ ἄπειρους ἐπαίνους, γιατὶ φρόντιζε νὰ τὰ ἀκούει καὶ νὰ τὰ λέγει ὅλα γιὰ τὴ σωτηρία τῶν ἄλλων.

Ἡμεῖς δὲ λοιπὸν τὸν Παύλου καὶ Πέτρου Θεὸν παρακαλέσωμεν, τὸν ἐκείνους ἀλλήλοις συνδήσαντα τοῖς τῆς ὁμονοίας δεσμοῖς, καὶ ἡμᾶς εἰς τὴν πρὸς ἀλλήλους ἀγάπην ἐπισφίγξαι σφοδρότερον, ἵνα, τὴν κατὰ Θεὸν ὁμόνοιαν πρὸς ἀλλήλους ἔχοντες, δυνηθῶμεν καταξιωθῆναι τοὺς ἁγίους ἐκείνους ἰδεῖν καὶ παρὰ τὰς αἰωνίους αὐτῶν εὑρεθῆναι σκηνάς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐμεῖς ὅμως τώρα ἂς παρακαλέσουμε τὸ Θεὸ τοῦ Παύλου καὶ τοῦ Πέτρου, ποὺ ἔδεσε ἐκείνους μεταξύ τους μὲ τὰ δεσμὰ τῆς ὁμόνοιας, νὰ μᾶς σφίγξει πιὸ δυνατὰ στὴ μεταξύ μας ἀγάπη, γιὰ νὰ μπορέσουμε ἔτσι, ἔχοντας μεταξύ μας τὴν ὁμόνοια ποὺ θέλει ὁ Θεός, νὰ ἀξιωθοῦμε νὰ δοῦμε τοὺς ἁγίους ἐκείνους καὶ νὰ βρεθοῦμε κοντὰ στὶς αἰώνιες σκηνές τους μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμὴ καὶ ἡ προσκύνηση, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΟΥΔΕΠΟΤΕ ΑΦ' ΕΑΥΤΟΥ ΠΟΙΕΙ Ο ΥΙΟΣ ΟΥΔΕΝ, ΕΑΝ ΜΗ ΤΙ ΒΛΕΠΗι ΤΟΝ ΠΑΤΕΡΑ ΠΟΙΟΥΝΤΑ»



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ

«ΟΥΔΕΠΟΤΕ ΑΦ' ΕΑΥΤΟΥ ΠΟΙΕΙ Ο ΥΙΟΣ ΟΥΔΕΝ, ΕΑΝ ΜΗ ΤΙ ΒΛΕΠΗ ΤΟΝ ΠΑΤΕΡΑ ΠΟΙΟΥΝΤΑ»

Ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, προειρηκότος (ἐπισκόπου) ὀλίγα εἰς τὸ εὐαγγέλιον

1. Ὢ τῆς βίας, ὢ τῆς τυραννίδος. Πεπληρωμένην τὴν φιάλην ἔχων ὁ διδάσκαλος προειρηκώς, ἄκροις τοῖς χείλεσιν γεύσασθαι ἡμᾶς ἐπήγαγε τὸ πόμα· τοῦτο δὲ πεποίηκεν, οὐ δι' ἔνδειαν διδασκαλίας (καὶ γὰρ καὶ πηγῆς οὐκ ἔλαττον βρύειν εἴωθεν), ἀλλ', ὥσπερ ἔφθην εἰπών, τῆς ὑμετέρας ἀγάπης φανερῶν τὴν τυραννίδα, ἣν περὶ τὴν ἡμετέραν σμικρότητα ἐπιδείκνυσθαι μεμελετήκατε· διὰ τοῦτο ταχέως ἐσίγησεν καὶ τὸν λόγον κατέκλεισε, τῇ ἐπιθυμίᾳ τῇ ὑμετέρᾳ χαρίσασθαι βουλόμενος καὶ ὁλοκλήρου τοῦ ὀφλήματος ἡμᾶς ὑπευθύνους καθιστάς. Ἐπεὶ οὖν καὶ αὐτὸς ἡμῖν τῷ λόγῳ παρεχώρησεν καὶ ὑμᾶς ἐκκρεμαμένους ὁρῶ τῆς γλώττης τῆς ἡμετέρας, ἀνάγκη λοιπὸν ἀποδύσασθαι πρὸς τὰ παλαίσματα· ἀλλὰ συνάρασθέ μοι καὶ χεῖρα ὀρέξατε, ταῖς εὐχαῖς διεγείροντες ἡμῶν τὴν γλῶσσαν καὶ τῇ συνέσει τῆς ἀκροάσεως εὔκολον ἐργαζόμενοι τὴν διδασκαλίαν. Ἐπεὶ καὶ ὁ προφήτης οὐ θαυμαστὸν ζητεῖ μόνον σύμβουλον, ἀλλὰ καὶ συνετὸν ἀκροατήν. Οὐ γὰρ ὁ τυχὼν ἡμῖν ἀγὼν πρόκειται σήμερον, ἀλλὰ πολλῶν δεόμενος εὐχῶν, πολλῆς δὲ ἀγρυπνίας τῆς τῶν ἀκροωμένων, πολλῆς δὲ σπουδῆς τοῦ λέγοντος,

1. Ἰω. 5,19.



ΟΜΙΛΙΑ

ΣΤΟ

«ΔΕΝ ΜΠΟΡΕΙ Ο ΥΙΟΣ ΝΑ ΚΑΝΕΙ ΤΙΠΟΤΕ ΑΠΟ ΜΟΝΟΣ ΤΟΥ, ΠΑΡΑ ΜΟΝΟ ΑΥΤΟ ΠΟΥ ΒΛΕΠΕΙ ΝΑ ΚΑΝΕΙ Ο ΠΑΤΕΡΑΣ»[1]

Ἐκφωνήθηκε στὴ Μεγάλη Ἐκκλησία, μετὰ ἀπὸ σύντομη ὁμιλία κάποιου ἐπισκόπου πάνω στὸ εὐαγγέλιο

1. Πόση βία, πόση τυραννίδα! Παρ' ὅλο ποὺ εἶχε γεμάτη τὴ φιάλη ὁ διδάσκαλος ποὺ μίλησε προηγουμένως, μᾶς ἔφερε νὰ γευθοῦμε τὸ πιοτὸ μὲ τὴν ἄκρη τῶν χειλιῶν. Καὶ τὸ ἔκαμε αὐτὸ ὄχι ἀπὸ φτώχεια διδασκαλίας (γιατὶ πραγματικὰ δὲν ἀναβλύζει συνήθως λιγότερο καὶ ἀπὸ πηγή), ἀλλά, ὅπως ἤδη εἶπα, γιὰ νὰ φανερώσει τὴν τυραννίδα τῆς ἀγάπης σας ποὺ φροντίσατε νὰ δείξετε γιὰ τὴν ταπεινότητά μου. Γι' αὐτὸ γρήγορα σιώπησε καὶ τὸ λόγο του τελείωσε, θέλοντας νὰ κάνει χάρη στὴν ἐπιθυμία σας καὶ καθιστώντας ἐμένα ὑπεύθυνο γιὰ ὁλόκληρο τὸ χρέος. Ἀφοῦ λοιπὸν καὶ αὐτὸς μοῦ παραχώρησε τὸ λόγο καὶ σᾶς βλέπω κρεμασμένους ἀπὸ τὴ γλώσσα μου, εἶναι ἀνάγκη πιὰ νὰ ἀναλάβω αὐτὸν τὸν ἀγώνα. Συμπαρασταθεῖτε με ὅμως καὶ δῶστε μου χέρι βοήθειας διεγείροντας μὲ τὶς προσευχὲς τὴ γλώσσα μου καὶ καθιστώντας μὲ τὴ σύνεση τῆς ἀκρόασης εὔκολη τὴ διδασκαλία. Ἐπειδὴ καὶ ὁ προφήτης δὲ ζητάει θαυμαστὸ μόνο σύμβουλο ἀλλὰ καὶ συνετὸ ἀκροατή. Γιατὶ ὁ ἀγώνας ποὺ σήμερα βρίσκεται μπροστά μας δὲν εἶναι τυχαῖος, ἀλλὰ χρειάζεται πολλὲς προσευχὲς καὶ πολλὴ προσοχὴ ἀπὸ τοὺς ἀκροατὲς καὶ πολλὴ προσπάθεια ἀπὸ τὸν ὁμιλητή, γιὰ νὰ λε-

ἵνα καὶ λεχθῇ μετὰ ἀκριβείας τὰ λεγόμενα καὶ φυτευθῇ μετὰ ἀσφαλείας ἐν τῇ διανοίᾳ τῆς ὑμετέρας ἀγάπης. Οὐ γὰρ ἀκοῦσαι βούλομαι μόνον ὑμᾶς, ἀλλὰ καὶ παιδευθῆναι· οὐ μαθεῖν μόνον, ἀλλὰ καὶ εἰς ἑτέρους διαβιβάζειν. Οὕτω γὰρ ἡμῖν λαμπρότερον ἔσται τὸ θέατρον καὶ πλείων ὁ σύλλογος, ὅταν ὑμεῖς δι᾽ ὧν ἀκούετε καὶ ἑτέρους ἐπανάγειν δυνήσησθε.

Τῇ μὲν οὖν προτέρᾳ συνάξει ταύτην εἰς μέσον ἀγαγὼν τὴν ῥῆσιν τὴν εὐαγγελικὴν τὴν λέγουσαν, «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι», καὶ δείξας ἐντεῦθεν τὴν πρὸς τὸν γεγεννηκότα ἰσότητα, ὅπερ καὶ πρὸ τούτου ἀπεφήνατο ὁ εὐαγγελιστὴς λέγων, «διὰ τοῦτο μᾶλλον ἐδίωκον αὐτόν, οὐ μόνον ὅτι ἔλυσε τὸ σάββατον, ἀλλ᾽ ὅτι καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ», οὕτω τὸν λόγον κατέλυσα. Σήμερον δὲ τὰ παρὰ τῶν αἱρετικῶν ἡμῖν πρὸς ταῦτα ἀντεπαγόμενα ἀναγκαῖον διαλῦσαι. Εἰ γὰρ καὶ ἐν φίλοις ἀγωνιζόμεθα, ἀλλὰ τοσαύτῃ δεῖ κεχρῆσθαι τῇ ἀκριβείᾳ, ὥστε πανταχόθεν ἀνεξαπάτητον εἶναι τὸν λόγον καὶ ἀχείρωτον καὶ εἰ ἐν μέσοις τοῖς ἐχθροῖς γένοιτο. Ὅπερ γὰρ ἔφθην εἰπών, οὐχὶ ἀκούειν βούλομαι μόνον ὑμᾶς, ἀλλὰ καὶ ἑτέρους παιδεύειν. Διὸ δὴ μετὰ ἀκριβείας ἁπάσης περιθεῖναι ὑμῖν ὅπλα ἐσπούδακα τὰ πνευματικά, ὥστε μηδαμοῦ φανῆναι μέλος γυμνὸν μηδὲ καιρίαν δέξασθαι πληγήν. Καὶ γὰρ ὅπλων τάξιν ἡμῖν ὁ λόγος ἐπέχει, φράττων μὲν ὁμοῦ τοὺς οἰκείους, βάλλων δὲ τοὺς ἐναντίους· βάλλων οὐχ ἵνα κατενέγκῃ, ἀλλὰ κειμένους ἀναστήσῃ. Τοιοῦτον γὰρ τῆς μάχης ταύτης τὸ εἶδος· ἐπὶ τῇ σωτηρίᾳ τῶν πολεμούντων τρόπαιον ἵστησιν.

Ἵν᾽ οὖν τοῦτο γένηται, συντείνατέ μοι τὴν διάνοιαν, πᾶσαν ἐκβάλλοντες φροντίδα βιωτικήν, διαναστήσατε τὴν γνώμην, ὀξυδερκὲς παρέχετέ μοι τὸ ὄμμα. Μήτε ὁ πλούσιος ὑπὸ τῆς ῥᾳθυμίας χαυνούσθω, μήτε ὁ πένης ὑπὸ τῆς φροντίδος τῆς πε-

2. Ἰω. 5,17. Ἡ ὁμιλία ἔχει δημοσιευθεῖ στὸν 33 τόμο, σ. 328–351, τῶν Ἁπάντων τοῦ Ἰω. Χρυσοστόμου τῆς σειρᾶς αὐτῆς Ε.Π.Ε.

3. Ἰω. 5,18.

χθοῦν μὲ ἀκρίβεια τὰ λεγόμενα καὶ νὰ φυτευθοῦν μὲ ἀσφάλεια στὴ διάνοια τῆς ἀγάπης σας. Γιατὶ δὲ θέλω μόνο ν' ἀκούσετε ἀλλὰ καὶ νὰ μάθετε· ὄχι μόνο νὰ μάθετε ἀλλὰ καὶ νὰ διδάσκετε· ὄχι μόνο ἐσεῖς νὰ τὰ δέχεστε ἀλλὰ καὶ σὲ ἄλλους νὰ τὰ μεταβιβάζετε. Ἔτσι βέβαια θὰ γίνει λαμπρότερο τὸ θέατρο καὶ μεγαλύτερη ἡ σύναξη ὅταν ἐσεῖς μ' αὐτὰ ποὺ ἀκοῦτε θὰ μπορέσετε καὶ ἄλλους νὰ πείθετε.

Στὴν προηγούμενη λοιπὸν σύναξη παρουσιάζοντας αὐτὸ τὸ εὐαγγελικὸ ρητὸ ποὺ λέγει, «ὁ Πατέρας μου ἐξακολουθεῖ νὰ ἐργάζεται ὡς τώρα, γι' αὐτὸ ἐργάζομαι καὶ ἐγώ»[2], καὶ ἀφοῦ ἔδειξα ἀπὸ ἐδῶ τὴν ἰσότητα τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα, πράγμα ποὺ καὶ ὁ Εὐαγγελιστὴς πρὶν ἀπ' αὐτὸν ἔδειξε λέγοντας, «γι' αὐτὸ τὸν καταδίωκαν περισσότερο, ὄχι μόνο γιατὶ καταργοῦσε τὸ Σάββατο, ἀλλὰ καὶ γιατὶ ὀνόμαζε τὸ Θεὸ Πατέρα του, ἐξισώνοντας τὸν ἑαυτό του μὲ τὸ Θεό»[3], τελείωσα ἔτσι τὸ λόγο. Σήμερα ὅμως εἶναι ἀνάγκη νὰ διαλύσω τὶς ἀντιρρήσεις τῶν αἱρετικῶν πρὸς αὐτά. Γιατὶ ἂν καὶ ἀγωνίζομαι ἀνάμεσα σὲ φίλους, ὅμως πρέπει νὰ χρησιμοποιῶ τόσο μεγάλη ἀκριβολογία, ὥστε ἀπὸ παντοῦ ὁ λόγος νὰ εἶναι ἀκλόνητος καὶ ἀκαταμάχητος, καὶ ἔτσι σὰ νὰ γινόταν αὐτὸς ἀνάμεσα στοὺς ἐχθρούς. Γιατί, ὅπως εἶπα προηγουμένως, δὲ θέλω ν' ἀκοῦτε μόνο, ἀλλὰ καὶ νὰ διδάσκετε ἄλλους. Γι' αὐτὸ λοιπὸν φρόντισα μὲ κάθε ἀκρίβεια νὰ σᾶς χορηγήσω τὰ πνευματικὰ ὅπλα, ὥστε πουθενὰ νὰ μὴ φανεῖ μέλος γυμνὸ οὔτε νὰ δεχθεῖ θανάσιμο χτύπημα. Γιατὶ πραγματικὰ ὁ λόγος μου ἐπέχει θέση ὅπλων, προστατεύοντας τοὺς φίλους καὶ συγχρόνως χτυπώντας τοὺς ἀντιπάλους· καὶ χτυπάει ὄχι γιὰ νὰ ρίξει κάτω τοὺς ἀντιπάλους, ἀλλὰ γιὰ νὰ τοὺς σηκώσει ὄρθιους ἐνῶ βρίσκονται κάτω πεσμένοι. Τέτοιο εἶναι αὐτὸ τὸ εἶδος τῆς μάχης· γιὰ τὴ σωτηρία τῶν ἐχθρῶν στήνει τρόπαιο.

Γιὰ νὰ γίνει λοιπὸν αὐτό, ἐντείνετε, παρακαλῶ, τὴν προσοχή σας, ἀφήνοντας κατὰ μέρος κάθε βιοτικὴ μέριμνα, συγκεντρῶστε τὴ σκέψη σας, παραδῶστε μου ὀξυδερκὲς τὸ βλέμμα σας. Οὔτε ὁ πλούσιος νὰ ἀποχαυνώνεται ἀπὸ τὴν ἀδιαφορία

νίας πιεζέσθω, ἀλλὰ πᾶσαν ταύτην ἐκβάλλοντες τοῦ βίου τὴν ἀνωμαλίαν, ἀκροατὴν παρεσκευασμένον ἕκαστος ἑαυτὸν παρεχέτω· οὐ γὰρ τὰ τυχόντα ἡμῖν τὰ προκείμενα νῦν. Καὶ διὰ τοῦτο συνεχῶς ταῦτα παραγγέλλω, ἐπειδὴ οἶδα τὸ βάθος ὃ βαδιούμεθα. Ἀλλὰ μὴ θορυβηθῇς βάθος ἀκούσας· τοῦ γὰρ Πνεύματος χειραγωγοῦντος, οὐκ ἔχει ζόφον τὰ ὕδατα, ἀλλὰ πολλὴ ἔσται ἡ εὐκολία· μόνον ἐὰν ταύτην βαδίζητε τὴν ὁδὸν ἣν ἐγὼ κελεύω. Καὶ μὴ θορυβηθῆτε μηδὲ ταράττησθε. Καὶ γὰρ τὰ κινούμενα σήμερον ἐν ἀρχῇ μὲν ταράττει τὸν ἀκροατὴν τὸν μὴ προσέχοντα καὶ εἰς ἀπορίαν ἐμβάλλει· εἰ δὲ τὸ τέλος ἐκδέξαιτο, τὴν προσήκουσαν ἰδὼν λύσιν, λευκῆς ἀπολαύσεται γαλήνης καὶ εἰς λιμένα ἀκύμαντον τὴν ἑαυτοῦ ψυχὴν ὁρμῆσαι δυνήσεται. Ἵν' οὖν ταῦτα γένηται, μὴ θορυβηθῆτε μηδὲ ταράσσεσθε, ἀλλ' ἕπεσθαι τὴν ὁδὸν μετὰ μακροθυμίας ἁπάσης καὶ καρτερίας, ἣν ἡ τοῦ λόγου διδασκαλία δείκνυσιν.

Τίνα οὖν ἐστιν τὰ παρ' αὐτῶν ἡμῖν ἀντεπαγόμενα; «Οὐ δύναται ὁ Υἱός», φησίν, «ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα». Καίτοι ταῦτα ἡ Γραφὴ εἴρηκεν. Τίνος οὖν ἕνεκεν παρ' αὐτῶν ταῦτα ἀντεπάγεται; Οὐχ ὡς εἴρηται παρὰ τῆς Γραφῆς, οὕτως ἐπάγεται. Τί γὰρ ἐκ τούτου, φησίν, κατασκευάζειν βούλονται; Ὁρᾷς πῶς ἀνέτρεψε, φησίν, ὁ Υἱὸς τοῦ Θεοῦ τὴν ὑπόνοιαν ἐκείνην τὴν τῆς ἰσότητος; Ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι, φησί, τοῦτο ὑπώπτευον, ὅτι ἴσον ἑαυτὸν ποιεῖ τῷ Θεῷ, διὰ τοῦτο ἀντεπήγαγε λέγων· «οὐ δύναται ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν».

2. *Ἆρα μὴ μάτην εἶπον, ὅτι θορυβεῖν ὑμᾶς ἔχει τὰ ρήματα καὶ ἐκ προοιμίων λεγόμενα διαταράττειν τὸν ἀκροατήν; Ἀλλ' ἀναμείνατε καὶ ὄψεσθε τοῖς οἰκείοις αὐτοὺς ἀναλισκομένους ὅπλοις. Μάλιστα μὲν γὰρ οὐκ ἦν Ἰουδαίων ὑπόνοια τὸ λεγόμενον, ὃ καὶ ἐν τῇ προτέρᾳ διαλέξει μετὰ πάσης ἀπεδείξαμεν τῆς σαφηνείας· ἅπερ ἵνα μὴ πάλιν ἀνακινῶμεν, ἐκεῖ παραπέμψαντες*

οὔτε ὁ φτωχὸς νὰ πιέζεται ἀπὸ τὴ φροντίδα τῆς φτώχειας, ἀλλὰ ἀφήνοντας κατὰ μέρος ὅλη αὐτὴ τὴν ἀνωμαλία τῆς ζωῆς, ἂς μοῦ παραδώσει ὁ καθένας τὸν ἑαυτό του ἀκροατὴ κατάλληλο νὰ τὸν δεχθεῖ. Γιατὶ αὐτὰ ποὺ τώρα βρίσκονται μπροστά μας δὲν εἶναι τυχαῖα. Καὶ γι' αὐτὸ συνέχεια τὰ παραγγέλνω αὐτὰ ἐπειδὴ ξέρω τὸ βάθος στὸ ὁποῖο θὰ προχωρήσουμε. Ἀλλὰ μὴν ἀνησυχήσεις ἀκούοντας βάθος. Γιατὶ ὅταν μᾶς ὁδηγεῖ τὸ ἅγιο Πνεῦμα δὲν εἶναι σκοτεινὰ τὰ νερά, ἀλλὰ ἡ εὐκολία θὰ εἶναι μεγάλη· ἀρκεῖ μόνο νὰ βαδίζετε τὸ δρόμο ποὺ ἐγὼ σᾶς ὑποδεικνύω. Καὶ μὴν ἀνησυχήσετε οὔτε νὰ ταράζεστε. Γιατὶ αὐτὰ ποὺ μᾶς ἀπασχολοῦν σήμερα ταράζουν βέβαια τὸν ἀπρόσεκτο ἀκροατὴ καὶ τὸν βάζουν σὲ ἀπορία, ἂν ὅμως περιμένει τὸ τέλος, ἀφοῦ δεῖ τὴν πρέπουσα λύση, θὰ ἀπολαύσει καθαρὴ γαλήνη καὶ θὰ μπορέσει νὰ ἀγκυροβολήσει τὴν ψυχή του σὲ λιμάνι ἀκύμαντο. Γιὰ νὰ γίνουν λοιπὸν αὐτὰ μὴν ἀνησυχήσετε οὔτε νὰ τρομάζετε, ἀλλὰ μὲ ὅλη τὴ μακροθυμία καὶ τὴν καρτερία νὰ ἀκολουθεῖτε τὸ δρόμο ποὺ σᾶς δείχνει ἡ διδασκαλία τοῦ λόγου.

Ποιές λοιπὸν εἶναι οἱ ἀντιρρήσεις τῶν αἱρετικῶν ποὺ προβάλλονται ἐναντίον μας; «Δὲν μπορεῖ ὁ Υἱός», λέγει, «νὰ κάνει τίποτε ἀπὸ μόνος του, παρὰ μόνο αὐτὸ ποὺ βλέπει νὰ κάνει ὁ Πατέρας». Καὶ βέβαια αὐτὰ τὰ εἶπε ἡ Γραφή. Γιὰ ποιό λόγο λοιπὸν τὰ ἀντιπροβάλλουν αὐτοί; Δὲν τὰ προβάλλουν ἔτσι ὅπως λέχθηκαν ἀπὸ τὴ Γραφή. Τί λοιπόν, λέγει, θέλουν νὰ ἀποδείξουν ἀπ' αὐτό; Βλέπεις, λέγει, πῶς ὁ Υἱὸς τοῦ Θεοῦ ἀνέτρεψε τὴν ὑπόνοια ἐκείνη τῆς ἰσότητας; Ἐπειδὴ δηλαδή, λέγει, οἱ Ἰουδαῖοι τὸ ὑποψιάζονταν αὐτό, ὅτι δηλαδὴ κάνει τὸν ἑαυτό του ἴσο μὲ τὸ Θεό, γι' αὐτὸ ἀντιπρόβαλε λέγοντας· «δὲν μπορεῖ ὁ Υἱὸς νὰ κάνει τίποτε ἀπὸ μόνος του».

2. Μήπως λοιπὸν σᾶς εἶπα ἄσκοπα ὅτι τὰ λόγια αὐτὰ μποροῦν νὰ σᾶς ἀνησυχήσουν καὶ ὅτι ἐκ πρώτης λεγόμενα μποροῦν νὰ τρομάξουν τὸν ἀκροατή; Περιμένετε ὅμως καὶ θὰ τοὺς δεῖτε νὰ καταστρέφονται μὲ τὰ δικά τους ὅπλα. Βέβαια δὲν ἦταν αὐτὸ ὑπόνοια τῶν Ἰουδαίων, πράγμα ποὺ καὶ στὴν προηγούμενη ὁμιλία ἀπέδειξα μὲ κάθε σαφήνεια. Γιὰ νὰ μὴν τὰ ἐπαναλαμβάνω

τὸν ἀκροατήν, τὸ νῦν ἐπαγόμενον διαλῦσαι πειρασόμεθα, δεικνύντες ὅτι οὐκ ἀνατρέπων τὴν ὑπόνοιαν ἐκείνην, ταῦτα λέγει, ἀλλὰ μετὰ πολλῆς ἀκριβείας ἱστῶν καὶ βεβαιῶν καὶ τῆς πρὸς τὸν γεγεννηκότα ἐγγύτητος καὶ πολῆς γνησιότητος καὶ συναφείας καὶ ὁμονοίας ἀπόδειξιν ἡμῖν παρέχων. Οὕτω γὰρ θαρρῶ τῷ εἰρημένῳ, ὅτι ταύτην μάλιστά φημι τὴν ρῆσιν ἀπόδειξιν εἶναι τῆς πρὸς τὸν Πατέρα συγγενείας αὐτοῦ καὶ τοῦ κατὰ τὴν οὐσίαν ἀπαραλλάκτου. Μηδὲ ταράττεσθε ὑπὸ τῶν λογισμῶν τῶν αἱρετικῶν. Οὐδὲ γὰρ τὰ ξίφη τὰ ἐν τοῖς τοίχοις γεγραμμένα, οὐδὲ τὰ δόρατα, οὐδὲ αἱ αἰχμαὶ θορυβεῖν δύναιντ' ἂν πολεμίους, φοβερὸν καὶ ὀξὺ βλέποντας. Ὅπερ γὰρ ἂν ᾖ, σκιά τίς ἐστι καὶ εἰκών, οὐ πραγμάτων ἀλήθεια.

Τοιοῦτοι τῶν αἱρετικῶν οἱ λογισμοί, οὓς ἵνα διελέγξωμεν, πλησίον ταύτης γενώμεθα τῆς ρήσεως, συνεχῶς αὐτὴν περιστρέφοντες καὶ τέως αὐτοὺς ἐρώμεθα, πῶς βούλονται ἑρμηνεύειν τὴν ρῆσιν. Οὐ γὰρ ἀρκεῖ μόνον ἡ ἀνάγνωσις. Εἰ γὰρ ἤρκει ἡ ἀνάγνωσις, τίνος ἕνεκεν ὁ Φίλιππος πρὸς τὸν εὐνοῦχον ἔλεγεν, «ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;». Ὅθεν ἀναγινώσκων ἐκεῖνος, οὐδὲν ᾔδει τῶν ἐγκειμένων· διὸ καὶ ἔλεγε· «δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει, περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου;». Εἰ ἤρκει ἡ ἀνάγνωσις, πῶς οἱ Ἰουδαῖοι τὴν Παλαιὰν ἀναγινώσκοντες καὶ τὰ περὶ τῆς γεννήσεως τοῦ Χριστοῦ καὶ τῶν σημείων καὶ τῶν θαυμάτων καὶ τόπον καὶ καιρὸν καὶ σταυρὸν καὶ τάφον καὶ ἀνάστασιν καὶ ἀνάληψιν καὶ τὴν ἐκ δεξιῶν καθέδραν καὶ τὴν τοῦ Πνεύματος κάθοδον καὶ τὴν τῶν ἀποστόλων συνεκδρομὴν καὶ τὴν τῆς συναγωγῆς ἐκβολὴν καὶ τὴν τῆς Ἐκκλησίας εὐγένειαν, οὐδέπω καὶ σήμερον ἐπίστευσαν;

Οὐκ ἄρα ἀρκεῖ ἡ ἀνάγνωσις, ἐὰν μὴ προσῇ καὶ ἡ γνῶσις. Ὥσπερ γὰρ ἐάν τις τρέφηται μέν, μὴ πέπτῃ δέ, οὐ ζήσεταί ποτε, οὕτως ἐάν τις ἀναγινώσκῃ μέν, οὐ γινώσκῃ δὲ μηδὲν τῶν ἐγκει-

---

4. Πράξ. 8,30.
5. Πράξ. 8,34.

αὐτά, ἀφοῦ παραπέμψω ἐκεῖ τὸν ἀκροατή, θὰ προσπαθήσω νὰ διαλύσω αὐτὸ ποὺ τώρα προβάλλεται, ἀποδεικνύοντας ὅτι δὲν τὰ λέγει αὐτὰ γιατὶ θέλει νὰ ἀνατρέψει αὐτὴ τὴν ὑπόνοια, ἀλλὰ γιὰ νὰ ορίσει μὲ πολλὴ ἀκρίβεια καὶ νὰ βεβαιώσει καὶ τὴ στενή του σχέση πρὸς ἐκεῖνον ποὺ τὸν γέννησε καὶ σὲ μᾶς νὰ δείξει τὴν πολλὴ γνησιότητα καὶ συγγένεια καὶ ὁμόνοιά του πρὸς ἐκεῖνον. Γιατὶ αὐτὸ πιστεύω γι' αὐτὸ ποὺ λέχθηκε· νομίζω δηλαδὴ ὅτι αὐτὸς κυρίως ὁ λόγος δείχνει τὴ συγγένειά του πρὸς τὸν Πατέρα καὶ τὸ ἀπαράλλακτο τῆς οὐσίας του πρὸς αὐτόν. Οὔτε νὰ ταράζεστε ἀπὸ τοὺς λογισμοὺς τῶν αἱρετικῶν. Γιατὶ οὔτε τὰ ξίφη τὰ ζωγραφισμένα στοὺς τοίχους οὔτε τὰ δόρατα οὔτε οἱ αἰχμὲς μποροῦν νὰ τρομάξουν τοὺς ἀντιπάλους, ἂν καὶ βλέπουν κάτι φοβερὸ καὶ αἰχμηρό. Γιατὶ ὅ,τι καὶ ἂν εἶναι, εἶναι κάποια σκιὰ καὶ εἰκόνα, ὄχι ἡ πραγματικὴ ἀλήθεια.

Τέτοιοι εἶναι οἱ λογισμοὶ τῶν αἱρετικῶν, τοὺς ὁποίους γιὰ νὰ ἐλέγξουμε ἂς πλησιάσουμε αὐτὰ τὰ λόγια, συλλογιζόμενοι συνεχῶς αὐτά, καὶ ἂς τοὺς ἐρωτήσουμε πρῶτα πῶς θέλουν νὰ τὰ ἑρμηνεύουν. Καθόσον δὲ φθάνει μόνο ἡ ἀνάγνωση. Γιατὶ ἂν ἔφθανε ἡ ἀνάγνωση, γιὰ ποιό λόγο ὁ Φίλιππος ἔλεγε στὸν εὐνοῦχο, «ἄραγε καταλαβαίνεις αὐτὰ ποὺ διαβάζεις;»[4]. Διαβάζοντας λοιπὸν ἐκεῖνος δὲν καταλάβαινε τίποτε ἀπ' αὐτὰ ποὺ ἦταν γραμμένα· γι' αὐτὸ καὶ ἔλεγε, «σὲ παρακαλῶ, γιὰ ποιόν τὸ λέγει ὁ προφήτης, γιὰ τὸν ἑαυτό του ἢ γιὰ κάποιον ἄλλον;»[5]. Ἂν ἔφθανε ἡ ἀνάγνωση, πῶς οἱ Ἰουδαῖοι διαβάζοντας τὴν Παλαιὰ Διαθήκη δὲν πίστεψαν ἀκόμη μέχρι σήμερα τὰ σχετικὰ μὲ τὴ γέννηση τοῦ Χριστοῦ καὶ τὰ σημεῖα καὶ τὰ θαύματα καὶ τὸν τόπο καὶ τὸ χρόνο καὶ τὸ σταυρὸ καὶ τὸν τάφο καὶ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη καὶ τὴν καθέδρα στὰ δεξιὰ καὶ τὴν κάθοδο τοῦ Πνεύματος καὶ τὴν ὁμαδικὴ ἔξοδο τῶν ἀποστόλων καὶ τὴν ἀπόρριψη τῆς συναγωγῆς καὶ τὴν εὐγενικὴ καταγωγὴ τῆς Ἐκκλησίας;

Δὲ φθάνει λοιπὸν ἡ ἀνάγνωση ἂν δὲν προστεθεῖ καὶ ἡ γνώση. Γιατί, ὅπως ἂν κάποιος τρέφεται βέβαια ἀλλὰ δὲ χωνεύει, δὲ θὰ ζήσει ποτέ, ἔτσι ἂν κάποιος διαβάζει ἀλλὰ δὲν

μένων, οὐκ ἐπιτεύξεται τῆς ἀληθείας. Μὴ τοίνυν μοι παρέχετε τὴν ρῆσιν τὴν εὐαγγελικήν, ἀλλὰ καὶ ἑρμηνεύσατε αὐτήν. Τοῦτο δὲ ἀπαιτῶ παρ' ἐκείνων, ἵν' ὅταν τὰ σαθρὰ αὐτῶν καταλύσω νοήματα, τότε καταβαλῶ τῆς ἀληθείας τὸν θεμέλιον. Οὕτω καὶ οἰκοδόμοι ποιοῦσιν, οὐ πρότερον τὴν κρηπῖδα καταβάλλονται τῶν οἰκημάτων, ἕως ἂν τὰ σεσαθρωμένα ἀνέλωσιν, ἵνα μετὰ ἀσφαλείας οἰκοδομῶσιν. Τούτους δὴ καὶ ἡμεῖς μιμησώμεθα.

Εἰπὲ οὖν, οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ καθόλου οὐδέν; Οὐδὲ γὰρ εἶπεν, ὅτι ἀνθρώπους μὲν δύναται ποιεῖν, ἀγγέλους δὲ οὐ δύναται· οὐδὲ ἀγγέλους μὲν δύναται, ἀρχαγγέλους δὲ οὐ δύναται· ἀλλ' εἶπεν, ὅτι 'οὐδέν'. Οὐκοῦν ἀσθενείας τὸ ρῆμα; εἴ γε δύναται, κατὰ τὴν ὑπόνοιαν τὴν σήν, καὶ βίας καὶ ἀνάγκης ἐπιτεταμένης· εἴ γε ἀφ' ἑαυτοῦ οὐδὲν ποιεῖ, ἀλλ' ὅσα ἂν βλέπῃ τὸν Πατέρα ποιοῦντα. Ἰδοὺ καὶ διδασκαλίας ὕστερον προσγενομένης, ἅπερ ἅπαντα ἀλλότρια τῆς ἀκηράτου καὶ ἀνωλέθρου οὐσίας ἐκείνης τῆς ἀφράστου καὶ ἀρρήτου καὶ ἀκαταλήπτου. Καὶ τί λέγω περὶ τοῦ Χριστοῦ; Οὐδὲ γὰρ περὶ ἐμοῦ τοῦ μικροῦ καὶ εὐτελοῦς καὶ ἀπὸ γῆς γενομένου, δυνατὸν τοῦτο λέγεσθαι, ὅτι οὐ δύναμαι ἐγὼ ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν· οὐδὲ περὶ σοῦ, οὔτε περὶ ἄλλου οὐδενὸς ἀνθρώπων.

Εἰ γὰρ τοῦτο ἀληθές, εἰκῇ γέεννα καὶ κόλασις καὶ τιμωρία, εἰκῇ στέφανοι καὶ ἔπαθλα καὶ ἀγαθά. Οὐδὲ γὰρ ἐκεῖνα ὑποστησόμεθα ἁμαρτάνοντες, οὐδὲ τούτων ἀπολαύσομεν κατορθοῦντες, εἴ γε μηδὲν ἀφ' ἑαυτῶν πράττομεν. Τὰ γὰρ ἔπαθλα οὐ τοῖς πράγμασιν ἁπλῶς, ἀλλὰ τῇ γνώμῃ ἀπόκεινται. Οἷόν τι λέγω· ὅταν τις ἀφ' ἑαυτοῦ καλὸν ἐργάζηται, τότε στεφανοῦται καὶ ἀνακηρύττεται, οὐχ ἁπλῶς ὅταν ἐργάσηται, ἀλλὰ μετὰ γνώμης καὶ προαιρέσεως. Καὶ ἵνα μάθητε ὅτι ταῦτά ἐστιν ἀληθῆ· «εἰσὶν εὐνοῦχοι», φησίν, «οἵτινες εὐνουχίσθησαν παρὰ τῶν ἀνθρώπων·

καταλαβαίνει τίποτε ἀπὸ τὰ γραμμένα, δὲ θὰ βρεῖ τὴν ἀλήθεια. Μὴ λοιπὸν μοῦ παρουσιάζετε τὴν εὐαγγελικὴ ρήση ἀλλὰ καὶ ἑρμηνεύσατε αὐτήν. Καὶ τὸ ἀπαιτῶ αὐτὸ ἀπὸ τοὺς αἱρετικούς, ὥστε νὰ βάλω τὸ θεμέλιο τῆς ἀλήθειας ἀφοῦ πρῶτα ἀνατρέψω τὰ σαθρά τους νοήματα. Τὸ ἴδιο κάνουν καὶ οἱ οἰκοδόμοι· δὲν τοποθετοῦν τὸ θεμέλιο στὶς οἰκοδομὲς ἂν δὲν καταστρέψουν πρῶτα τὶς ἑτοιμόρροπες, γιὰ νὰ κτίζουν μὲ ἀσφάλεια. Αὐτοὺς λοιπὸν ἂς μιμηθοῦμε καὶ ἐμεῖς.

Πὲς λοιπόν, δὲν μπορεῖ ὁ Υἱὸς νὰ κάνει ἐντελῶς τίποτε ἀπὸ μόνος του; Γιατὶ δὲν εἶπε ὅτι μπορεῖ νὰ κάνει ἀνθρώπους ἀλλὰ ἀγγέλους δὲν μπορεῖ, οὔτε ὅτι μπορεῖ ἀγγέλους ἀλλὰ δὲν μπορεῖ ἀρχαγγέλους, ἀλλ' εἶπε ὅτι δὲν μπορεῖ νὰ κάνει τίποτε. Εἶναι λοιπὸν ἀπόδειξη ἀδυναμίας τὸ λεγόμενο; ἐφόσον δὲν μπορεῖ, κατὰ τὴ δική σου γνώμη, καὶ παρ' ὅλο ποὺ εἶχε αὐξηθεῖ καὶ ἡ πίεση καὶ ἡ ἀνάγκη, καὶ ἀφοῦ ἀπὸ μόνος του δὲν κάνει τίποτε, παρὰ μόνο ὅσα βλέπει νὰ κάνει ὁ Πατέρας. Νὰ καὶ διδασκαλία, ποὺ προστέθηκε ἀργότερα, καὶ ποὺ τὰ θεωρεῖ ὅλα ξένα πρὸς τὴν αἰώνια καὶ ἀνώλεθρη καὶ ἀνέκφραστη καὶ ἀνείπωτη καὶ ἀκατάληπτη ἐκείνη οὐσία. Καὶ γιατί λέγω γιὰ τὸ Χριστό; Γιατὶ οὔτε γιὰ μένα, τὸν μικρὸ καὶ ἀσήμαντο καὶ πλασμένο ἀπὸ χῶμα, εἶναι δυνατὸ νὰ λέγεται αὐτό, ὅτι δηλαδη δὲν μπορῶ ἐγὼ νὰ κάνω τίποτε ἀπὸ μόνος μου· οὔτε γιὰ σένα, οὔτε γιὰ κανέναν ἄλλον ἄνθρωπο.

Ἂν αὐτὸ εἶναι ἀλήθεια, εἶναι μάταια ἡ γέεννα καὶ ἡ κόλαση καὶ ἡ τιμωρία· εἶναι ἀνώφελα τὰ στεφάνια καὶ τὰ ἔπαθλα καὶ τὰ ἀγαθά. Γιατὶ οὔτε τὰ πρῶτα θὰ ὑποστοῦμε ἂν ἁμαρτάνουμε, οὔτε τὰ δεύτερα θὰ ἀπολαύσουμε ἂν κατορθώσουμε τὴν ἀρετή, ἀφοῦ τίποτε δὲν πράττουμε ἀπὸ μόνοι μας. Γιατὶ τὰ ἔπαθλα δὲ ἐπιφυλάσσονται γιὰ τὶς πράξεις μόνο, ἀλλὰ γιὰ τὴ διάθεση. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· ὅταν κάποιος ἀπὸ μόνος του πράττει τὸ καλό, τότε στεφανώνεται καὶ ἀνακηρύσσεται νικητής, ὄχι ἁπλῶς ὅταν τὸ πράξει, ἀλλὰ ὅταν τὸ πράξει μὲ τὴ θέληση καὶ τὴν ἐλεύθερη ἐκλογή του. Καὶ γιὰ νὰ μάθετε ὅτι αὐτὰ εἶναι ἀληθινά, λέγει· «ὑπάρχουν εὐνοῦχοι ποὺ εὐνουχίσθηκαν

καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν». Εὐνούχους ἐνταῦθά φησιν οὐ τοὺς τὰ μέλη κόψαντας, ἀλλὰ τοὺς τὸν πονηρὸν λογισμὸν καὶ ἀσελγείας γέμοντα ἀποτεμόντας, οὐ σιδηρᾷ μαχαίρᾳ, ἀλλὰ λογισμῷ καὶ φιλοσοφίᾳ καὶ τῇ τοῦ Θεοῦ βοηθείᾳ χρησαμένους εἰς τοῦτο.

Ἰδοὺ δύο εὐνοῦχοι, οἱ μὲν ἐξ ἀνθρώπων ἀποτμηθέντες τὰ μέλη, οἱ δὲ εὐλαβείᾳ ἀποκόψαντες τὸν πονηρὸν λογισμόν. Ἀλλ' ὅμως εἰ καὶ διαφόρως εὐνουχίσθησαν, ὁμοίως ἀμφότεροι γυναικῶν ἀπέχονται μίξεως. Τὸ 'ὁμοίως' δὲ εἶπον, οὐ κατὰ γνώμην, ἀλλὰ κατὰ τὴν τοῦ πράγματος φύσιν. Οὐδὲ γὰρ εὐνοῦχος δύναιτ' ἂν συγγενέσθαι γυναικί, οὔτε ὁ μοναχὸς ὁ εὐνουχίσας ἑαυτόν. Καὶ τὸ μὲν πρᾶγμα ἕν, τὸ δὲ τέλος οὐχ ἕν. Διὰ τοῦτο περὶ μὲν ἐκείνων εἰπὼν ὅτι εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, οὐδὲν αὐτοῖς διὰ τοῦτο ἔθηκεν ἔπαθλον· φύσεως γάρ, οὐ γὰρ ἀσκήσεως τὸ πρᾶγμα ἦν. Τούτους δὲ εἰς μέσον ἀγαγών, τῇ βασιλείᾳ αὐτοὺς ἐστεφάνωσεν, εἰπών, «διὰ τὴν βασιλείαν τῶν οὐρανῶν». Καίτοι οὔτε οὗτος μίγνυται γυναικὶ οὔτε ἐκεῖνος· ἀλλ' ὁ μὲν ὑπὸ τῆς ἀνάγκης δεδεμένος, ὁ δὲ τῇ προαιρέσει τὸ πρᾶγμα κατορθώσας καὶ ἀφ' ἑαυτοῦ τοῦτο ἐργασάμενος καὶ ἀνύσας.

Εἶτα οἱ μὲν ἄνθρωποι ἀφ' ἑαυτῶν δύνανται τοιαῦτα πράττειν καὶ ποιεῖν καὶ φιλοσοφεῖν καὶ φθέγγεσθαι καὶ μυρία ἕτερα ἐργάζεσθαι, ὁ δὲ τῶν ἀγγέλων Δεσπότης οὐ δυνήσεται οὐ μικρὸν οὐ μέγα ποιεῖν ἀφ' ἑαυτοῦ; Καὶ τίς ταῦτα ἀνέξεται; Οὐκ ἀκούεις Παύλου λέγοντος, ὅτι «ἐν μεγάλῃ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἐκ τούτων, ἔσται σκεῦος εἰς τιμὴν ἡγιασμένον τῷ Δεσπότῃ»;

---

6. Ματθ. 19,12.
7. Β' Τιμ. 2,20–21.

ἀπὸ τοὺς ἀνθρώπους, καὶ ὑπάρχουν εὐνοῦχοι ποὺ μόνοι τους εὐνουχίσθηκαν γιὰ χάρη τῆς βασιλείας τῶν οὐρανῶν»[6]. Εὐνούχους ἐδῶ δὲν ἐννοεῖ ἐκείνους ποὺ ἔκοψαν τὰ μέλη τοῦ σώματος ἀλλ' ἐκείνους ποὺ ἀπέκοψαν τὴν πονηρὴ καὶ γεμάτη ἀσέλγεια σκέψη, ὄχι μὲ σιδερένιο μαχαίρι ἀλλὰ μὲ στοχασμὸ καὶ φιλοσοφικὴ διάθεση χρησιμοποιώντας γι' αὐτὸ καὶ τὴ βοήθεια τοῦ Θεοῦ.

Νὰ δύο εὐνοῦχοι· οἱ πρῶτοι ποὺ τοὺς ἔκοψαν οἱ ἄνθρωποι τὰ μέλη, καὶ οἱ δεύτεροι ποὺ μὲ τὴν εὐσέβεια ἔκοψαν τὴν πονηρὴ σκέψη. Ἀλλ' ὅμως ἂν καὶ μὲ διαφορετικὸ τρόπο εὐνουχίσθηκαν, ὅμοια καὶ οἱ δύο ἀπέχουν ἀπὸ τὴ συνουσία με τὶς γυναῖκες. Τὸ 'ὅμοια' τὸ εἶπα ὄχι σύμφωνα μὲ τὴ γνώμη τους ἀλλὰ σύμφωνα μὲ τὴ φύση τοῦ πράγματος. Γιατὶ οὔτε ὁ εὐνοῦχος θὰ μποροῦσε νὰ συνευρεθεῖ μὲ γυναίκα, οὔτε ὁ μοναχὸς ποὺ εὐνούχισε τὸν ἑαυτό του. Καὶ τὸ πράγμα βέβαια εἶναι τὸ ἴδιο, τὸ ἀποτέλεσμα ὅμως δὲν εἶναι τὸ ἴδιο. Γι' αὐτό, ἀφοῦ εἶπε γιὰ ἐκείνους ὅτι εὐνουχίσθηκαν ἀπὸ τοὺς ἀνθρώπους, δὲν τοὺς ὅρισε ἔπαθλο γι' αὐτό, γιατὶ τὸ πράγμα ἦταν ἔργο τῆς φύσης καὶ ὄχι τῆς ἄσκησης. Αὐτοὺς ὅμως ἀφοῦ τοὺς παρουσίασε στὴ μέση τοὺς στεφάνωσε μὲ τὴ βασιλεία λέγοντας, «γιὰ χάρη τῆς βασιλείας τῶν οὐρανῶν». Καὶ ὅμως οὔτε αὐτὸς οὔτε ἐκεῖνος συνευρίσκεται μὲ γυναίκα, ἀλλὰ ὁ ἕνας γιατὶ εἶναι δεμένος ἀπὸ τὴν ἀνάγκη, ἐνῶ ὁ ἄλλος γιατὶ κατόρθωσε τὸ πράγμα μὲ τὴ θέλησή του καὶ ἀπὸ μόνος του τὸ ἔκαμε καὶ τὸ ἐπέτυχε.

Ἔπειτα, οἱ ἄνθρωποι ἀπὸ μόνοι τους μποροῦν νὰ πράττουν καὶ νὰ κάμνουν τέτοια καὶ νὰ σκέπτονται καὶ νὰ μιλοῦν καὶ νὰ ἐργάζονται ἄπειρα ἄλλα, ἐνῶ ὁ Κύριος τῶν ἀγγέλων δὲ θὰ μπορέσει νὰ κάνει οὔτε κάτι μικρὸ οὔτε κάτι μεγάλο ἀπὸ μόνος του; Καὶ ποιός θὰ τὰ ἀνεχθεῖ αὐτά; Δὲν ἀκοῦς τὸν Παῦλο ποὺ λέγει, «σ' ἕνα μεγάλο σπίτι δὲν ὑπάρχουν σκεύη χρυσὰ καὶ ἀσημένια μόνο, ἀλλὰ καὶ ξύλινα καὶ πήλινα· ἄλλα εἶναι γιὰ νὰ δέχονται κάτι πολύτιμο καὶ ἄλλα ἀκάθαρτα. Ἂν λοιπὸν καθαρίσει κανεὶς τὸν ἑαυτό του ἀπ' αὐτά, θὰ εἶναι σκεῦος γιὰ πολύτιμη χρήση, ἁγιασμένο καὶ χρήσιμο στὸν Κύριο»[7];

3. Ὁρᾷς καὶ τούτους ἀφ' ἑαυτῶν διορθουμένους; Τοῦτο γάρ ἐστιν· «ἐάν τις ἑαυτὸν ἐκκαθάρῃ». Τί οὖν ἐστι τὸ εἰρημένον; Εἰ πρὸς οἰκείους μόνον ὁ λόγος ἡμῖν ἦν, ἤδη καὶ τὴν λύσιν ἂν ἐπήγαγον, ἐπειδὴ δὲ πρὸς ἐχθροὺς καὶ πολεμίους, ἔτι τὰ ἐκείνων καθελεῖν ἀναγκαῖον· πάλιν τὴν ῥῆσιν εἰς μέσον ἀγαγόντες, οὕτως ταύτην ποιήσωμεν σαφῆ. Ὅτι μὲν γὰρ ἡμῖν δυνατὸν ἀφ' ἑαυτῶν καὶ ποιεῖν καὶ λέγειν, ἱκανῶς ὁ λόγος ἀπέδειξεν· εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν ἐστεφανώθημεν κατορθοῦντες. Ἐρωτητέον δὲ πάλιν τὸν αἱρετικόν· τί ἐστιν, «ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα, οὐ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν»; Ἀπὸ γὰρ τῆς ῥήσεως ταύτης, λέγω, οὐ τῆς ἑρμηνείας· μᾶλλον δὲ οὐδὲ ἀπὸ τῆς ῥήσεως, ἀλλ' ἀπὸ τῆς διεστραμμένης τῶν αἱρετικῶν ἑρμηνείας, ἀνάγκη διπλῆν τινα ἐπεισάγεσθαι κτίσιν.

Πῶς καὶ τίνι τρόπῳ; «Ἐὰν μή τι βλέπῃ», φησί, «τὸν Πατέρα ποιοῦντα, οὐ δύναται ποιεῖν». Οὐκοῦν ἀνάγκη πᾶσα εἶναι μὲν ἔργα τοῦ Πατρὸς ἀπηρτισμένα, εἶναι δὲ καὶ ἕτερα τοῦ Υἱοῦ, ἃ πρὸς ἐκεῖνα βλέπων κατεσκεύασεν καὶ αὐτός. «Ἐὰν γὰρ μή τι βλέπῃ ποιοῦντα, οὐ ποιεῖ», φησίν. Ἵνα οὖν ἴδῃ, ἀνάγκη εἶναι τὰ ἔργα. Τί οὖν; εἰπέ μοι· ἕνα ἥλιον ὁρῶμεν, μὴ δύο δεῖξαί μοι δυνήσῃ, ἵνα τὸν μὲν τοῦ Πατρός, τὸν δὲ τοῦ Υἱοῦ ὑποπτεύσω; καὶ σελήνας δύο, καὶ γῆν, καὶ θάλατταν; οὕτω καὶ τὰ ἄλλα πάντα; Ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· εἷς γάρ ἐστιν ὁ ἥλιος. Πῶς οὖν, «ἐὰν μή τι βλέπῃ ποιοῦντα αὐτόν, οὐ ποιεῖ»; Τίνος ἔργον εἶναι βούλει τὸν ἥλιον; Ποῦ οὖν ὁ τοῦ Πατρός, ὃν ἰδὼν οὗτος, ἄλλον τοιοῦτον ἐποίησεν; Πῶς δὲ ἐκεῖνο στερήσεται τό, «πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»; Εἰ γὰρ πάντα δι' αὐτοῦ, ποῖον ἂν ἔχοι καιρὸν αὕτη ἡ διαίρεσις; Ὁρᾷς τὰ τῶν λογισμῶν; πῶς ἑαυτοὺς περιπείρετε καὶ ἑαυτὸ ἐλέγχει τὸ ψεῦδος;

8. Ἰω. 1,3.

3. Βλέπεις πὼς καὶ αὐτοὶ διορθώνονται ἀπὸ μόνοι τους; Γιατὶ αὐτὸ σημαίνει τό, «ἂν καθαρίσει κανεὶς τὸν ἑαυτό του». Τί λοιπὸν σημαίνει τὸ λεγόμενο; Ἂν ὁ λόγος μου ἀπευθυνόταν μόνο σὲ φίλους, θὰ ἀνέφερα ἤδη καὶ τὴ λύση, ἐπειδὴ ὅμως ἀπευθύνεται σὲ ἐχθροὺς καὶ ἀντιπάλους, εἶναι ἀνάγκη νὰ διαλύσω τὶς ἀντιρρήσεις τους. Ἀφοῦ φέρουμε πάλι στὴ μέση τὰ λόγια ἂς τὰ κάνουμε ἔτσι σαφή. Ὅτι λοιπὸν εἶναι δυνατὸ ἀπὸ μόνοι μας καὶ νὰ πράττουμε καὶ νὰ λέμε τὸ ἀπέδειξε ἀρκετὰ ὁ λόγος. Γιατὶ ἂν δὲ γινόταν αὐτό, δε θὰ στεφανωνόμασταν κατορθώνοντας αὐτά. Πρέπει ὅμως νὰ ἐρωτήσουμε πάλι τὸν αἱρετικό, τί σημαίνει «δὲν μπορεῖ νὰ κάνει τίποτε ἀπὸ μόνος του, παρὰ μόνο αὐτὸ ποὺ βλέπει νὰ κάνει ὁ Πατέρας»; Γιατὶ ἀπὸ τὰ λόγια αὐτά, λέγω, ὄχι ἀπὸ τὴν ἑρμηνεία τους· ἢ καλύτερα οὔτε ἀπὸ τὰ λόγια, ἀλλὰ ἀπὸ τὴ διεστραμμένη ἑρμηνεία τῶν αἱρετικῶν εἶναι ἀνάγκη νὰ εἰσάγεται κάποια διπλὴ φύση.

Πῶς καὶ μὲ ποιόν τρόπο; «Ἂν δὲ βλέπει», λέγει, «νὰ κάνει κάτι ὁ Πατέρας, δὲν μπορεῖ νὰ κάνει τίποτε». Ἐπομένως εἶναι ἀνάγκη τὰ ἔργα τοῦ Πατέρα νὰ εἶναι ὁλοκληρωμένα καὶ ἄλλα νὰ εἶναι τὰ ἔργα τοῦ Υἱοῦ, ποὺ ἔκαμε καὶ αὐτὸς βλέποντας ἐκεῖνα. Γιατὶ λέγει, «ἂν δὲ βλέπει νὰ κάνει κάτι δὲν κάνει καὶ αὐτὸς τίποτε». Γιὰ νὰ δεῖ λοιπόν, εἶναι ἀνάγκη νὰ ὑπάρχουν τὰ ἔργα. Τί λοιπόν; πές μου· ἕνα ἥλιο βλέπουμε· μήπως μπορεῖς νὰ μοῦ δείξεις δύο, γιὰ νὰ θεωρήσω τὸν ἕνα τοῦ Πατέρα καὶ τὸν ἄλλο τοῦ Υἱοῦ; καὶ δύο σελῆνες καὶ γῆ καὶ θάλασσα; ἔτσι καὶ ὅλα τὰ ἄλλα; Ἀλλὰ δὲν μπορεῖς νὰ πεῖς, γιατὶ ἕνας εἶναι ὁ ἥλιος. Πῶς λοιπὸν ἂν δὲ βλέπει νὰ κάνει κάτι αὐτὸς δὲν κάνει ὁ ἴδιος τίποτε; Τίνος ἔργο θέλεις νὰ εἶναι ὁ ἥλιος; Τοῦ Πατέρα; Ποῦ λοιπὸν εἶναι ὁ ἥλιος τοῦ Υἱοῦ; Μήπως εἶναι τοῦ Υἱοῦ; Ποῦ τότε εἶναι ὁ ἥλιος τοῦ Πατέρα, ποὺ τὸν εἶδε αὐτὸς καὶ ἔκαμε ἄλλον παρόμοιο; Καὶ πῶς θὰ σταθεῖ ἐκεῖνο τὸ «ὅλα ἔγιναν μέσω αὐτοῦ καὶ χωρὶς αὐτὸν τίποτε δὲν ἔγινε»[8]; Ἂν λοιπὸν ὅλα ἔγιναν μέσω αὐτοῦ, σὲ ποιό χρόνο μπορεῖ νὰ ἔγινε αὐτὴ ἡ διαίρεση; Βλέπεις ποῦ ὁδηγοῦν οἱ συλλογισμοί; πῶς ἀναιρεῖτε τοὺς ἑαυτούς σας καὶ πῶς αὐτοελέγχεται τὸ ψεῦδος;

Ἰδοὺ τὴν ἑρμηνείαν αὐτῶν εἰς μέσον ἀγαγών, πῶς ἔδειξα αὐτὴν ὑφ' ἑαυτῆς βαλλομένην. Ἐγὼ δὲ κἀκεῖνο ἡδέως ἂν ἐροίμην· τίς ὁ τὴν σάρκα ἀναλαβὼν τὴν ἡμετέραν καὶ εἰς μήτραν ἐλθὼν παρθενικήν; ὁ Πατὴρ ἢ ὁ Υἱός; εἰπέ. Οὐ παντί που δῆλον, ὅτι ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ; Καὶ γὰρ ὁ Παῦλος οὕτως φησίν· «τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών». Καί, «ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ τὸν Μονογενῆ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον». Καὶ πᾶσα Γραφή, εἴτε παλαιὰ εἴτε καινή, τούτων ἐμπέπλησται τῶν μαρτυριῶν· καὶ τὰ πράγματα βοᾷ, ὅτι ὁ Μονογενὴς ἐσαρκώθη, οὐχ ὁ Πατήρ. Πότερον οὖν ἰδὼν τὸν Πατέρα σαρκωθέντα ὁ Υἱὸς ἐσαρκώθη; Οὐ γὰρ ἂν ἐσαρκώθη, εἰ μὴ θεασάμενος αὐτόν· «οὐ γὰρ δύναται ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα».

Πότε ἂν ἴδοιμι τοῦτο ἐργασάμενον τὸν Πατέρα; Οὐκ ἂν ἔχοις εἰπεῖν. Καὶ μήτε μικρὸν εἶναι νομίσῃς τὸ γεγενημένον. Τὸ γὰρ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἡ σάρκωσίς ἐστι τοῦ Μονογενοῦς, ἡ συγκατάβασις αὐτοῦ. Πρὶν ἢ γὰρ γενέσθαι ἄνθρωπον, τὰ τῆς κακίας ἐτυράννει καὶ βαθυτάτη νὺξ πάντα κατεῖχεν, καὶ πανταχοῦ βωμοὶ καὶ ναοὶ τοῖς εἰδώλοις, καὶ κνίσσα, καὶ καπνός, καὶ αἱμάτων χείμαρροι, οὐκ ἀπὸ προβάτων καὶ βοῶν μόνον, ἀλλὰ καὶ ἀπὸ ἀνθρώπων ῥέοντες. «Ἔθυσαν γὰρ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις»· καὶ ταῦτα ὁ δῆμος ὁ προφήτας ἔχων, ὁ νόμου μετασχών, ὁ θεοπτίας ἀπολαύσας, ὁ τοσούτοις ἐντραφεὶς θαύμασιν. Εἰ δὲ οὗτοι τοιοῦτοι, ἐννόησον τὰ λοιπὰ μέρη τῆς οἰκουμένης πῶς διέκειντο, ὑπὸ δαιμόνων βακχευόμενοι, ὑπὸ κακίας τυραννούμενοι, τοῖς παθήμασι πᾶσιν ὑποκλινόμενοι, ξύλα θεραπεύοντες, λίθους προσκυνοῦντες, ὄρη, καὶ βουνούς, καὶ νάπας, καὶ δένδρα, καὶ λίμνας, καὶ πηγάς, καὶ ποταμούς.

---

9. Φιλιπ. 2,5–7. 10. Γαλ. 4,4. 11. Ψαλμ. 105,37.

Νὰ πῶς ἔδειξα ὅτι βάλλεται ἀπὸ μόνη της ἡ ἑρμηνεία τῶν αἱρετικῶν ποὺ μόλις σᾶς παρουσίασα. Ἐγὼ ὅμως μὲ εὐχαρίστηση θὰ ἐρωτοῦσα καὶ αὐτό· ποιός εἶναι ἐκεῖνος ποὺ ἀνέλαβε τὴ δική μας σάρκα καὶ ἦρθε σὲ παρθενικὴ μήτρα; Πές, ὁ Πατέρας ἢ ὁ Υἱός; Δὲν εἶναι στὸν καθένα φανερὸ ὅτι εἶναι ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ; Γιατὶ καὶ ὁ Παῦλος λέγει τὰ ἑξῆς· «νὰ ἔχετε μεταξύ σας τὸ ἴδιο φρόνημα ποὺ εἶχε καὶ ὁ Ἰησοῦς Χριστός, ποὺ ἂν καὶ ἦταν Θεὸς δὲ θεώρησε τὴν ἰσότητά του μὲ τὸ Θεὸ ἀποτέλεσμα ἁρπαγῆς, ἀλλὰ τὰ ἀπαρνήθηκε ὅλα καὶ πῆρε μορφὴ δούλου»[9] καὶ «ἐξαπέστειλε ὁ Θεὸς τὸν Υἱό του τὸν Μονογενή, ποὺ γεννήθηκε ἀπὸ γυναίκα καὶ ὑποτάχθηκε στὸ νόμο»[10]. Καὶ ὅλη ἡ Γραφή, εἴτε ἡ Παλαιὰ εἴτε ἡ Καινὴ Διαθήκη, εἶναι γεμάτη ἀπ' αὐτὲς τὶς μαρτυρίες. Καὶ τὰ πράγματα φωνάζουν ὅτι ὁ Μονογενὴς Υἱὸς σαρκώθηκε καὶ ὄχι ὁ Πατέρας. Ποιό λοιπὸν ἀπὸ τὰ δύο, ὁ Υἱὸς σαρκώθηκε ὅταν εἶδε τὸν Πατέρα σαρκωμένο; Γιατὶ δὲ θὰ εἶχε σαρκωθεῖ ἂν δὲν ἔβλεπε τὸν Πατέρα, ἀφοῦ «ὁ Υἱὸς δὲν μπορεῖ νὰ κάνει τίποτε ἀπὸ μόνος του, παρὰ μόνο αὐτὸ ποὺ βλέπει νὰ κάνει ὁ Πατέρας».

Πότε θὰ ἔβλεπα νὰ τὸ κάνει αὐτὸ ὁ Πατέρας; Δὲν μπορεῖς νὰ πεῖς. Καὶ νὰ μὴ νομίσεις μικρὸ αὐτὸ ποὺ ἔχει γίνει. Γιατὶ τὸ κεφάλαιο τῆς σωτηρίας μας εἶναι ἡ σάρκωση τοῦ Μονογενοῦς, ἡ συγκατάβασή του. Γιατὶ πρὶν νὰ γίνει ἄνθρωπος, ἡ κακία καταδυνάστευε ὅλους, βαθύτατη νύχτα ἐξουσίαζε τὰ πάντα, καὶ παντοῦ ὑπῆρχαν βωμοὶ καὶ ναοὶ γιὰ τὰ εἴδωλα καὶ κνίσσα καὶ καπνὸς καὶ ποταμοὶ αἵματος, ποὺ ἔτρεχαν ὄχι μόνο ἀπὸ αἵματα προβάτων καὶ βοδιῶν ἀλλὰ καὶ ἀπὸ ἀνθρώπων. «Θυσίασαν τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους στὰ δαιμόνια»[11]. Καὶ αὐτὰ τὰ ἔκαμε ὁ λαὸς ποὺ εἶχε προφῆτες, ποὺ ἔλαβε τὸ νόμο, ποὺ εἶδε τὸ Θεό, ποὺ τράφηκε μέσα σὲ τόσα θαύματα. Ἂν ὅμως αὐτοὶ ἦταν τέτοιοι, σκέψου σὲ ποιά κατάσταση βρίσκονταν οἱ ὑπόλοιποι λαοὶ τῆς οἰκουμένης, βακχευόμενοι ἀπὸ τοὺς δαίμονες, καταδυναστευόμενοι ἀπὸ τὴν κακία, ὑποκύπτοντας σὲ ὅλα τὰ πάθη, λατρεύοντας τὰ ξύλα, προσκυνώντας τὶς πέτρες, τὰ ὄρη, τὰ βουνά, τὰ φαράγγια, τὰ δένδρα, τὶς λίμνες, τὶς πηγὲς καὶ τοὺς ποταμούς.

Καὶ τί δεῖ τὰ τῶν ἄλλων λέγειν; Ἀπὸ γὰρ τῶν ἐν Ἰουδαίοις κακῶν ὄψομαι τὴν ἐν τοῖς ἄλλοις ὑπερβολήν. «Ἵπποι θηλυμανεῖς ἐγένοντο, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζον». «Ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω». «Κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν». «Ὄψις πόρνης ἐγένετό σοι, ἀπηνησχύντησας πρὸς πάντας». «Οὐκ ἔστιν ὁ συνιών, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν». Πάλιν ἕτερος· «μάτην ἀργυροκόπος ἀργυροκοπεῖ· αἱ πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν». Ἕτερος πάλιν· «ἀρὰ καὶ ψεῦδος καὶ κολπὴ καὶ φόνος καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν». Ἕτερος πάλιν· «εἰ ἀλλάξει Αἰθίοψ τὸ δέρμα αὐτοῦ καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὁ λαὸς οὗτος δυνήσεται ποιῆσαι κρίσιν, μεμαθηκὼς κακά». Ἕτερος πάλιν· «οἴμοι, ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες εἰς αἵματα δικάζουσιν». Ὁ Θεὸς πάλιν· «μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν καὶ οὐ μη ὀσφρανθῶ θυσίας ἐν ταῖς πανηγύρεσιν ὑμῶν». Ὁ Ἠλίας· «τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν· καὶ ὑπελείφθην ἐγὼ μόνος καὶ ζητοῦσι τὴν ψυχήν μου». Πάλιν ὁ Θεός· «ἐγκατέλιπον τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς». Ὁ Δαυῒδ πάλιν· «ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰ θυγατέρας αὐτῶν τοῖς δαιμονίοις, καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων».

4. Εἶδες κακίας τυραννίδα; Κύνες ἐγένοντο καὶ ἵπποι, καὶ ὄνων ἀλογώτεροι, καὶ βοῶν ἀναισθητότεροι, καὶ εἰς αὐτὴν τὴν φύσιν ἐμάνησαν. Ἀλλὰ μετὰ τὴν σάρκωσιν τοῦ Χριστοῦ τί φησιν ἡ Γραφή; «Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς». Καὶ πρὸ μὲν

---

12. Ἱερ. 5,8.
13. Ἠσ. 1,3.
14. Ἠσ. 56,10.
15. Ἱερ. 3,3.
16. Ψαλμ. 13,2–3.
17. Ἱερ. 6,29.
18. Ὠσηὲ 4,2.
19. Ἱερ. 13,23.
20. Μιχ. 7,2.

Καὶ τί πρέπει νὰ λέγω τὰ κακὰ τῶν ἄλλων; Γιατὶ ἀπὸ τὰ κακὰ τῶν Ἰουδαίων θὰ δῶ τὴν ὑπερβολὴ στοὺς ἄλλους. «Ἔγιναν ἵπποι θηλυμανεῖς· ὁ καθένας χρεμέντιζε γιὰ τὴ γυναίκα τοῦ ἄλλου»[12]. «Τὸ βόδι γνωρίζει τὸν ἰδιοκτήτη του καὶ ὄνος τὴ φάτνη τοῦ Κυρίου του, ὁ ἰσραηλιτικὸς ὅμως λαὸς δὲ μὲ ἀναγνωρίζει»[13]. «Σκυλιὰ ἄφωνα ποὺ δὲν μποροῦν νὰ γαυγίσουν»[14]. «Τὸ πρόσωπό σου ἔγινε σὰν τῆς πόρνης, ἔγινες ἀναίσχυντος πρὸς ὅλους»[15]. «Δὲν ὑπάρχει κανεὶς ποὺ νὰ ἔχει ἐπίγνωση ἢ νὰ ζητάει τὸ Θεό· ὅλοι ἔχουν ἐκτραπεῖ καὶ διαφθαρεῖ»[16]. Ἄλλος πάλι λέγει· «στὰ χαμένα ὁ ἀργυροχόος κατεργάζεται τὸν ἄργυρο· οἱ πονηρίες τῶν Ἰουδαίων δὲν ἔλειωσαν»[17]. Ἄλλος πάλι· «κατάρες καὶ ψεύδη καὶ κλοπὲς καὶ φόνοι καὶ μοιχεῖες ἔχουν πλημμυρίσει πάνω στὴ γῆ, και αἵματα ἀνακατεύονται τὸ ἕνα μὲ τὸ ἄλλο»[18]. Ἄλλος πάλι· «ἂν ἀλλάξει ὁ Αἰθίοπας τὸ μαῦρο δέρμα του καὶ ἡ λεοπάρδαλη τὰ στολίδια της, θὰ μπορέσει καὶ ὁ λαὸς αὐτὸς νὰ κάνει τὸ καλό, γιατὶ ἔχει μάθει νὰ πράττει τὸ κακό»[19]. Ἄλλος πάλι· «ἀλλοίμονο, ψυχή μου, χάθηκε ὁ εὐσεβὴς ἀπὸ τὴ γῆ καὶ ὁ ἐνάρετος ἄνθρωπος δὲν ὑπάρχει ἀνάμεσά μας»[20]. Ὁ Θεὸς πάλι· «μίσησα, ἀπέρριψα τὶς ἑορτές σας καὶ δὲ θὰ μυρίσω τὶς θυσίες στὰ πανηγύρια σας»[21]. Ὁ Ἠλίας· «τὰ θυσιαστήριά σου τὰ κατέσκαψαν, τοὺς προφῆτες σου τοὺς φόνευσαν καὶ ἐγὼ ἔχω μείνει μόνος καὶ ζητοῦν τὴ ζωή μου»[22]. Πάλι ὁ Θεός· «ἐγκατέλειψα τὸν οἶκο μου, ἄφησα τὴν κληρονομιά μου, παρέδωσα τὴν ἀγαπημένη μου ψυχὴ στὰ χέρια τῶν ἐχθρῶν της»[23]. Ὁ Δαβὶδ πάλι· «θυσίασαν τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους στὰ εἴδωλα καὶ ἔχυσαν αἷμα ἀθῶο, τὸ αἷμα δηλαδὴ τῶν υἱῶν καὶ τῶν θυγατέρων τους»[24].

4. Εἶδες τὴν τυραννία τῆς κακίας; Ἔγιναν σκύλοι καὶ ἵπποι καὶ περισσότερο ἄλογοι ἀπὸ τοὺς ὄνους καὶ πιὸ ἀναίσθητοι ἀπὸ τὰ βόδια καὶ φέρθηκαν μὲ παραφροσύνη καὶ στὴν ἴδια τους τὴ φύση. Ἀλλὰ μετὰ τὴ σάρκωση τοῦ Χριστοῦ τί λέγει ἡ Γραφή;

---

21. Ἀμὼς 5,21.
22. Γ' Βασ. 19,10.
23. Ἰερ. 12,7.
24. Ψαλμ. 105,37–38.

τούτου ἔλεγεν ἡ Γραφή· «πορεύθητι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ»· μετὰ δὲ ταῦτα καὶ υἱοθεσίας ἠξιώθημεν, καὶ εἰς τὸν οὐρανὸν ἀπεγράφημεν, καὶ μετὰ τῶν ἀγγέλων χορεύομεν, καὶ τῆς μελῳδίας αὐτοῖς κοινωνοῦμεν, καὶ πρὸς ἀσωμάτους δυνάμεις τὴν ἅμιλλαν ἐθέμεθα. Καὶ ἀνῄρηνται βουνοὶ καὶ κατεσκάφησαν ναοί. Καὶ ὁ λίθος ἐφάνη λίθος, καὶ τὸ ξύλον ξύλον, καὶ τὰ δένδρα δένδρα, καὶ αἱ πηγαὶ πηγαί. Ἐπειδὴ γὰρ ὁ τῆς δικαιοσύνης ἥλιος ἔλαμψεν, ἔδειξε τῶν πραγμάτων τὴν φύσιν, ἣν πρὶν ἐπεκάλυπτεν ἡ τῆς πλάνης νὺξ καὶ τὸ βαθὺ τῆς ἀγνωσίας σκότος, συγχέον τὴν ὄψιν τῶν ἀπατωμένων.

Ἀλλ' ἐπειδὴ διεσκέδασε τὴν πυκνὴν νεφέλην τῆς πλάνης ἡ ἀκτὶς ἡ τοῦ ἡλίου τῆς δικαιοσύνης, πανταχοῦ φῶς καὶ ἡμέρα, λαμπρὰ καὶ σταθηρὰ μεσημβρία. Καὶ οἱ μητέρας γαμοῦντες Πέρσαι, παρθενίαν ἀσκοῦσι νῦν. Καὶ οἱ τοὺς υἱοὺς ἀγνοοῦντες τοὺς ἑαυτῶν καὶ σφάττοντες, πάντων γεγόνασιν ἡμερώτεροι καὶ πρᾳότεροι. Οἱ λύκοι πρὸς τὴν τῶν προβάτων μετέστησαν ἡμερότητα· μᾶλλον δὲ καὶ οἱ λύκων χείρους. Λύκος γὰρ οὐκ ἀγνοεῖ τὴν φύσιν ἀλλ' ἐπιγινώσκει τὸ τεχθέν, ἄνθρωποι δὲ καὶ τούτων ἐγένοντο ἀγριώτεροι. Ἀλλὰ μετὰ τὴν σάρκωσιν τοῦ Μονογενοῦς καὶ τὴν οἰκονομίαν, ἐκβαλόντες τὴν θηριωδίαν, πρὸς τὴν οἰκείαν ἐπανῆλθον εὐγένειαν· μᾶλλον δὲ πρὸς τὴν τῶν ἀγγέλων ἀνέβησαν ἀρετήν. Καὶ πρὸ τούτου μὲν αἱ πόλεις ἦσαν ἀσεβείας πεπλυσμέναι, σήμερον δὲ καὶ ἡ ἔρημος φιλοσοφεῖ καὶ καλύβαι μοναχῶν ἐν ὄρεσι καὶ νάπαις ἀγγέλων μιμουμένων πολιτείαν καὶ τὸν παρόντα ἀποδυσάμενοι βίον.

Τί γὰρ δεῖ τῆς τῶν λόγων κατασκευῆς, τῶν πραγμάτων βοώντων καὶ ἡλίου φανερώτερον δεικνύντων τὰ ἀγαθά, ἃ μετὰ τὴν ὠδῖνα τῆς παρθένου τὴν θαυμαστὴν ἐκείνην καὶ πνευματικὴν καὶ τὴν οἰκονομίαν καὶ τὴν σάρκωσιν τὴν οἰκουμένην κατέλαβεν ἅπασαν; Ἀλλ' ὅμως τοσοῦτον καὶ τηλικοῦτον κατόρθωμα ἀφ' ἑαυτοῦ πεποίηκεν· καὶ βοᾷ Παῦλος λέγων· «ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ'

25. Ματθ. 6,9.

26. Παροιμ. 6,6.

«Πατέρα μας, πού βρίσκεσαι στοὺς οὐρανούς»[25]. Καὶ πρὶν ἀπ' αὐτὸ ἔλεγε ἡ Γραφή· «πήγαινε πρὸς τὸ μυρμήγκι, ὀκνηρέ»[26]. Ὕστερα ὅμως ἀπ' αὐτὰ καὶ τὴν υἱοθεσία ἀξιωθήκαμε καὶ στὸν οὐρανὸ καταγραφήκαμε καὶ μὲ τοὺς ἀγγέλους χορεύουμε καὶ μ' αὐτοὺς συμμετέχουμε στὴ μελωδία καὶ μὲ τὶς ἀσώματες δυνάμεις συναγωνισθήκαμε. Καὶ βουνὰ μετακινήθηκαν καὶ ναοὶ κατασκάφτηκαν. Καὶ ἡ πέτρα θεωρήθηκε πέτρα καὶ τὸ ξύλο ξύλο καὶ τὰ δένδρα δένδρα καὶ οἱ πηγὲς πηγές. Ὅταν λοιπὸν ἔλαμψε ὁ ἥλιος τῆς δικαιοσύνης ἔδειξε τὴ φύση τῶν πραγμάτων, πού πρὶν σκέπαζε ἡ νύχτα τῆς πλάνης καὶ τὸ βαθὺ σκοτάδι τῆς ἀγνωσίας, συγχέοντας τὸ βλέμμα αὐτῶν πού ἐξαπατοῦνταν.

Ἀλλ' ἐπειδὴ ἡ ἀκτίνα τοῦ ἥλιου τῆς δικαιοσύνης διέλυσε τὴν πυκνὴ ὁμίχλη τῆς πλάνης, παντοῦ ὑπάρχει φῶς καὶ ἡμέρα, λαμπρὸ καὶ μόνιμο μεσημέρι. Καὶ οἱ Πέρσες πού παντρεύονταν τὶς μητέρες τους ἀσκοῦν τώρα τὴν παρθενία. Καὶ ἐκεῖνοι πού ἀγνοοῦσαν καὶ ἔσφαζαν τὰ δικά τους παιδιὰ ἔγιναν ἀπ' ὅλους πιὸ ἥμεροι καὶ πιὸ πράοι. Οἱ λύκοι σὰν τὰ πρόβατα ἔγιναν ἥμεροι, ἢ καλύτερα καὶ οἱ χειρότεροι ἀπὸ τοὺς λύκους. Γιατὶ ὁ λύκος δὲν ξεχνάει τὴ φύση του, ἀλλὰ ἀναγνωρίζει τὸ νεογνό του· ἀντίθετα οἱ ἄνθρωποι ἔγιναν πιὸ ἄγριοι ἀπ' αὐτούς. Ἀλλὰ μετὰ τὴ σάρκωση τοῦ Μονογενοῦς Υἱοῦ καὶ τὴ θεία οἰκονομία ἀπέβαλαν τὴ θηριωδία τους καὶ ἐπανῆλθαν στὴν ἀρχική τους εὐγένεια, ἢ καλύτερα ἀνέβηκαν στὴν ἀρετὴ τῶν ἀγγέλων. Καὶ πρὶν ἀπ' αὐτὸ οἱ πόλεις ἦταν γεμάτες ἀσέβεια, σήμερα ὅμως καὶ ἡ ἔρημος ἀσκεῖ τὴν ἀρετή, καὶ καλύβες μοναχῶν, κατὰ μίμηση τῆς πολιτείας τῶν ἀγγέλων, ὑπάρχουν στὰ βουνὰ καὶ στὰ φαράγγια, ἀπαρνηθέντες τὴν παρούσα ζωή.

Τί λοιπὸν χρειάζεται ἡ ἀπόδειξη τῶν λόγων, ὅταν τὰ πράγματα φωνάζουν καὶ πιὸ φανερὰ ἀπὸ τὸν ἥλιο δείχνουν τὰ ἀγαθὰ πού μετὰ τὸ θαυμαστὸ καὶ πνευματικὸ ἐκεῖνον τόκο τῆς Παρθένου καὶ τὴν οἰκονομία καὶ τὴ σάρκωση γέμισαν ὅλη τὴν οἰκουμένη; Ἀλλ' ὅμως τόσο μεγάλο καὶ τόσο σπουδαῖο κατόρθωμα τὸ ἔκαμε ἀπὸ μόνος του. Καὶ φωνάζει ὁ Παῦλος λέγοντας, «ὁ ὁποῖος ἂν καὶ ἦταν Θεὸς δὲ θεώρησε τὴν ἰσότητά του μὲ τὸ

ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών». Ἀκούεις, αἱρετικέ, ὅτι ἑαυτὸν ἐκένωσε; Καὶ πάλιν ἀλλαχοῦ· «καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας». Ὃς καὶ ἐσταυρώθη ἀφ' ἑαυτοῦ, καὶ ἐσφάγη ἀφ' ἑαυτοῦ· διὸ καὶ αὐτὸς ἔλεγεν· «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἐγὼ τίθημι αὐτὴν ἀφ' ἑαυτοῦ».

Τί λέγεις ἐνταῦθα, ὦ αἱρετικέ, ὁ παράγων τὴν ῥῆσιν τὴν εὐαγγελικὴν τὴν λέγουσαν, «οὐδὲν δύναται ἀφ' ἑαυτοῦ ὁ Υἱός»; Ἰδοὺ αὐτός φησιν· «ἐγὼ αὐτὴν τίθημι ἀφ' ἑαυτοῦ, καὶ λαμβάνω αὐτὴν ἀφ' ἑαυτοῦ». Οὐ μικρὸν δὲ τὸ εἰρημένον, ἀλλὰ καὶ σφόδρα μέγα. Καὶ περὶ τοῦ Πατρὸς εἴρηται, ὅτι θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει. Ὁρᾷς πῶς εἴσω τῶν δικτύων ἐξέβης; Τί γὰρ πρὸς ταύτην ἐρεῖς τὴν ῥῆσιν, «ἐγὼ τίθημι αὐτὴν ἀφ' ἑαυτοῦ, καὶ λαμβάνω αὐτὴν ἀφ' ἑαυτοῦ». Πῶς οὖν ἔφης, ὅτι οὐδὲν ποιεῖ ἀφ' ἑαυτοῦ; Ἀλλ', ὅπερ ἔφην, εἰ μὲν πρὸς αἱρετικοὺς ἡμῖν ὁ λόγος, ἀφεὶς ἂν αὐτοὺς εἰς ἀπορίαν καὶ δεσμώσας, οὕτως ἀπεπήδησα, ἀρκοῦσαν λαβὼν τὴν νίκην καὶ λαμπρὸν τὸ τρόπαιον καὶ μεγίστην παρασχόμενος τῆς ἀνοίας αὐτῶν ἀπόδειξιν. Ἐπειδὴ δὲ οὐκ ἐπιστομίσαι βούλομαι τοὺς ἐναντίους μόνον, ἀλλὰ καὶ παιδεῦσαι τοὺς μεθ' ἡμῶν ὄντας καὶ σοφίσαι τὰ μέλη τὰ ἡμέτερα, οὐκ ἐνταῦθα καταλύσω τὸν λόγον, ἀλλὰ περαιτέρω χωρῆσαι πειράσομαι, ἕτερον πάλιν δείξας ἔργον τὸ ἐλέγχον αὐτῶν τὴν ἀναίσχυντον ἀντιλογίαν. Τί γάρ φησιν; «Ὁ Πατὴρ οὐ κρίνει οὐδένα, ἀλλὰ πάντας ὁ Υἱός».

5. Ἐρωτῶ οὖν τὸν αἱρετικόν, εἰ οὐδένα κρίνει ὁ Πατήρ, ὁ δὲ Υἱὸς κρίνει, πῶς κρίνει; Εἰ γὰρ «μηδὲν δύναται ποιεῖν ἀφ' ἑαυτοῦ, ἐὰν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα», ὁ δὲ Πατὴρ οὐ κρίνει, αὐτὸς δὲ πάντας κρίνει, πῶς ὃ μὴ εἶδε δύναται ποιῆσαι; Καὶ μηδὲ τοῦτο ἁπλῶς παραδράμῃς· οὐδὲ γὰρ τοῦτο μικρόν, ἀλλὰ

---

27. Φιλιπ. 2,6.7.
28. Ἐφ. 5,2.
29. Ἰω. 10,18.
30. Ἰω. 5,22.

Θεὸ ἀποτέλεσμα ἁρπαγῆς, ἀλλὰ ἀρνήθηκε τὸν ἑαυτό του καὶ πῆρε μορφὴ δούλου»[27]. Ἀκοῦς, αἱρετικέ, ὅτι ἀρνήθεκε τὸν ἑαυτό του; Καὶ ἀλλοῦ πάλι λέγει· «ὅπως καὶ ὁ Χριστὸς μᾶς ἀγάπησε καὶ ἔδωσε τὴ ζωή του γιὰ μᾶς ὡς προσφορὰ καὶ θυσία ποὺ εὐχαριστεῖται ὁ Θεός»[28]. Αὐτὸς καὶ σταυρώθηκε ἀπὸ μόνος του καὶ θυσιάσθηκε ἀπὸ μόνος του. Γι' αὐτὸ καὶ ἔλεγε· «ἀπὸ μένα ἐξαρτᾶται νὰ θυσιάσω τὴ ζωή μου καὶ ἀπὸ μένα ἐξαρτᾶται νὰ τὴν ξαναπάρω. Κανεὶς δὲ μοῦ τὴν ἀφαιρεῖ, ἀλλὰ ἐγὼ ἀπὸ μόνος μου τὴν προσφέρω»[29].

Τί λέγεις ἐδῶ, αἱρετικέ, ἐσὺ ποὺ διαστρεβλώνεις τὸ εὐαγγελικὸ ρητὸ ποὺ λέγει, «δὲν μπορεῖ τίποτε ἀπὸ μόνος του ὁ Υἱός»; Νά, ὁ ἴδιος λέγει· «ἐγὼ τὴν προσφέρω ἀπὸ μόνος μου καὶ τὴν παίρνω ἀπὸ μόνος μου». Καὶ δὲν εἶναι μικρὸ αὐτό, ἀπεναντίας μάλιστα πολὺ μεγάλο. Καὶ γιὰ τὸν Πατέρα ἔχει λεχθεῖ ὅτι ἐξουσιάζει τὸ θάνατο καὶ τὴ ζωή. Βλέπεις πῶς κατέληξες μέσα στὰ δίχτυα; Τί θὰ πεῖς γι' αὐτὸν τὸ λόγο, «ἐγὼ προσφέρω τὴ ζωή μου ἀπὸ μόνος μου καὶ τὴν παίρνω ἀπὸ μόνος μου»; Πῶς λοιπὸν εἶπες ὅτι δὲν κάνει τίποτε ἀπὸ μόνος του; Ἀλλά, ὅπως εἶπα, ἂν ἀπευθυνόμουν σὲ αἱρετικούς, ἀφοῦ τοὺς ἄφηνα σὲ ἀμηχανία καὶ ἀφοῦ τους ἔδενα, ἔτσι θὰ ἔφευγα, πάρνοντας σημαντικὴ νίκη καὶ λαμπρὸ τρόπαιο καὶ παρέχοντας μέγιστη ἀπόδειξη τῆς ἀνοησίας τους. Ἐπειδὴ ὅμως δὲ θέλω νὰ ἀποστομώσω τοὺς ἀντιπάλους μόνο, ἀλλὰ καὶ νὰ διδάξω ὅσους εἶναι μαζί μας καὶ νὰ ἐκπαιδεύσω τὰ δικά μας μέλη, δὲ θὰ σταματήσω ἐδῶ τὸ λόγο ἀλλὰ θὰ προσπαθήσω νὰ προχωρήσω παραπέρα δείχνοντας καὶ ἄλλο ἔργο ποὺ ἐλέγχει τὴν ἀδιάντροπη ἀντίρρησή τους. Τί λοιπὸν λέγει; «Ὁ Πατέρας δὲν κρίνει κανέναν, ἀλλὰ ὅλους τοὺς κρίνει ὁ Υἱός»[30].

5. Ἐρωτῶ λοιπὸν τὸν αἱρετικό, ἂν ὁ Πατέρας δὲν κρίνει κανέναν ἀλλὰ κρίνει ὁ Υἱός, πῶς κρίνει; Γιατί, ἂν ὁ Υἱὸς δὲν μπορεῖ νὰ κάνει τίποτε ἀπὸ μόνος του, παρὰ μόνο αὐτὸ ποὺ βλέπει νὰ κάνει ὁ Πατέρας, καὶ ἂν ὁ Πατέρας δὲν κρίνει ἀλλὰ ὅλους τοὺς κρίνει αὐτός, πῶς μπορεῖ νὰ κάνει αὐτὸ ποὺ δὲν εἶδε; Καὶ νὰ μὴν τὸ προσπεράσεις ἐπιπόλαια αὐτό, γιατὶ δὲν εἶναι μικρὸ

μεγίστης δυνάμεως. Ἐννόησον γὰρ ἡλίκον ἐστί, τοὺς ἀπὸ Ἀδὰμ μέχρι τῆς συντελείας γενομένους Ἕλληνας, Ἰουδαίους, αἱρετικούς, τοὺς ἐν τῇ ὀρθοδόξῳ πίστει διαμαρτόντας, πάντας ἀγαγεῖν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ πάντων τὰ ἀπόρρητα εἰς μέσον ἐξαγαγεῖν τὰ πράγματα, τὰ ῥήματα, τοὺς δόλους, τὰς ἐπιβουλάς, τὰ ἀπόρρητα τῆς διανοίας, οὐ μαρτυριῶν φερομένων, οὐκ ἐλέγχων, οὐκ εἰκόνων, οὐκ ἀποδείξεων, οὐκ ἄλλων τῶν τοιούτων οὐδενός, ἀλλὰ τῇ οἰκείᾳ δυνάμει πρὸς τὸν ἔλεγχον κεχρημένων. Ἀλλ' ὅμως τοσοῦτον καὶ τηλικοῦτον κατόρθωμα αὐτὸς ποιεῖ, οὐ πρότερον τὸν Πατέρα ἰδὼν καὶ οὕτω μιμησάμενος· «ὁ Πατὴρ γὰρ οὐ κρίνει οὐδένα».

Ὅρα δὲ αὐτὸν καὶ ἀλλαχοῦ πάντα μετ' ἐξουσίας ἐργαζόμενον, ἔν τε τοῖς θαύμασι καὶ ταῖς νομοθεσίαις καὶ τοῖς ἄλλοις ἅπασιν. Ἐπειδὴ γὰρ ἀνῆλθεν εἰς τὸ ὄρος καὶ τὴν καινὴν ἔμελλε διδόναι διαθήκην, φησίν· «ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, 'οὐ φονεύσεις· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ, μωρέ, ἔνοχος ἔσται ἐν τῇ γεέννῃ τοῦ πυρός'. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. Ἠκούσατε ὅτι ἐρρέθη, 'ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος'. Ἐγὼ δὲ λέγω, μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην». Τί τοῦτο; ὁ μηδὲν ἀφ' ἑαυτοῦ ποιῶν καὶ τὰ τοῦ Πατρὸς διορθοῦται καὶ τὴν νομοθεσίαν ἐπὶ τὸ βέλτιον ἄγει; Ὅταν δὲ εἴπω, 'διορθοῦται', μηδὲν βλάσφημον ὑποπτεύσῃς, ὡς τοῦ Πατρὸς ἀτονωτέρου ὄντος. Εἰ γὰρ καὶ ἡ νομοθεσία ἐλάττων, ἀλλ' οὐ παρὰ τὸν Θεόν, ἀλλὰ παρὰ τοὺς δεξαμένους τὸν νόμον. Ἀλλὰ καὶ ἡ Παλαιὰ τοῦ Μονογενοῦς, καὶ ἡ Καινὴ τοῦ Πατρός.

Πῶς οὖν, εἰπέ μοι, οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ, τῇ Παλαιᾷ προστιθείς, ὁ τοσαύτην ἐπιδεικνύμενος ἐξουσίαν; Ἆρα τί γένοιτ' ἂν αἱρετικῶν ἀσθενέστερον; Ἰουδαῖοι μὲν γὰρ ἐξεπλήττοντο, ὅτι

31. Ματθ. 5,21–22.38–39.

πράγμα αὐτὸ ἀλλὰ ἀπόδειξη μέγιστης δύναμης. Γιατὶ σκέψου πόσο μεγάλο εἶναι νὰ ὁδηγήσει τὴν ἡμέρα τῆς κρίσεως ὅλους ἐκείνους ποὺ ἔζησαν ἀπὸ τὸν Ἀδὰμ μέχρι τὴ συντέλεια τοῦ κόσμου, εἰδωλολάτρες, Ἰουδαίους, αἱρετικούς, αὐτοὺς ποὺ παραστράτησαν ἀπὸ τὴν ὀρθόδοξη πίστη, καὶ νὰ βγάλει στὸ φῶς ὅλων τὰ ἀπόρρητα, τὶς πράξεις, τὰ λόγια, τοὺς δόλους, τὶς ἐπιβουλές, τὰ ἀπόκρυφα τῆς διάνοιας, χωρὶς νὰ παρουσιάζονται μαρτυρίες οὔτε ἔλεγχοι οὔτε εἰκόνες οὔτε ἀποδείξεις οὔτε τίποτε ἄλλο ἀπ' αὐτά, ἀλλὰ νὰ τοὺς ἐλέγχει μὲ τὴ δική του δύναμη. Καὶ ὅμως τόσο μεγάλο καὶ τόσο σπουδαῖο κατόρθωμα τὸ κάνει αὐτός, χωρὶς νὰ δεῖ προηγουμένως τὸν Πατέρα καὶ ἔτσι νὰ τὸν μιμηθεῖ, γιατὶ «ὁ Πατέρας δὲν κρίνει κανέναν».

Πρόσεχε ὅτι καὶ ἀλλοῦ ἐνεργεῖ τὰ πάντα μὲ ἐξουσία, καὶ στὰ θαύματα καὶ στὶς νομοθεσίες καὶ σὲ ὅλα τὰ ἄλλα. Ὅταν λοιπὸν ἀνέβηκε στὸ ὅρος καὶ ἐπρόκειτο νὰ δώσει τὴ νέα διαθήκη, λέει· «ἔχετε ἀκούσει ὅτι λέχθηκε στοὺς προγόνους, 'νὰ μὴ φονεύσεις, καὶ ὅποιος φονεύσει θὰ πρέπει νὰ δικασθεῖ, καὶ ὅποιος πεῖ μωρὲ θὰ πρέπει νὰ καταδικασθεῖ στὴ φωτιὰ τῆς κόλασης'. Ἐγὼ ὅμως σᾶς λέγω ὅτι καὶ ὅποιος ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγο πρέπει νὰ δικασθεῖ. Ἔχετε ἀκούσει ὅτι λέχθηκε, 'ὀφθαλμὸ ἀντὶ ὀφθαλμοῦ καὶ δόντι ἀντὶ δοντιοῦ'. Ἐγὼ ὅμως λέγω νὰ μὴν ἀντιστέκεστε στὸν πονηρὸ ἄνθρωπο, ἀλλὰ ἂν κάποιος σὲ χτυπήσει στὸ δεξὶ σαγόνι, νὰ τοῦ στρέψεις καὶ τὸ ἄλλο»[31]. Τί σημαίνει αὐτό; Ἐκεῖνος ποὺ δὲν κάνει τίποτε ἀπὸ μόνος του, διορθώνει ἀκόμη καὶ τὰ ἔργα τοῦ Πατέρα καὶ βελτιώνει τὴ νομοθεσία; Ὅταν ὅμως λέγω 'διορθώνει', μὴν ὑποψιασθεῖς τίποτε τὸ βλάσφημο, ὅτι τάχα ὁ Πατέρας εἶναι πιὸ ἀδύναμος. Γιατὶ ἂν καὶ ἡ νομοθεσία ἦταν ἀτελής, δὲν ὀφειλόταν στὸ Θεὸ ἀλλὰ σ' αὐτοὺς ποὺ δέχθηκαν τὸ νόμο. Ἀλλὰ καὶ ἡ Παλαιὰ Διαθήκη εἶναι τοῦ Μονογενοῦς καὶ ἡ Καινὴ τοῦ Πατέρα.

Πῶς λοιπόν, πές μου, δὲν κάνει τίποτε ἀπὸ μόνος του αὐτὸς ποὺ δείχνει τόσο μεγάλη ἐξουσία, κάμνοντας προσθέσεις στὴν Παλαιὰ Διαθήκη; Ἄραγε τί θὰ μποροῦσε νὰ ὑπάρξει

ταῦτα ἐδίδασκεν αὐτοὺς «ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι»· Ἰουδαῖοι ἐξουσίαν αὐτῷ μαρτυροῦσι, οὗτοι δὲ οὐδὲν ἀφ' ἑαυτοῦ δύνασθαι μαρτυροῦσι. Καὶ οὐκ εἶπαν, 'ὡς ἐξουσίαν ἔχων', ἀλλ' «ἐξουσίαν ἔχων». Οὐ γὰρ ὕστερον αὐτῷ ἡ ἐξουσία προσεγένετο, ἀλλ' ἀπηρτισμένη ἡ ἐξουσία ἐγενήθη οὐδενὸς προσδεομένη. Διὸ καὶ ἔλεγε περὶ βασιλείας ἐρωτώμενος· «ἐγὼ εἰς τοῦτο γεγέννημαι». Πάλιν προσηνέχθη αὐτῷ παραλυτικὸς καί φησιν, ἐπειδὴ τὰ ἁμαρτήματα αὐτοῦ ἴασεν· «ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει αὐτῷ· ἆρον τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Οἱ ὄχλοι ἔλεγον ὅτι ὡς ἐξουσίαν ἔχων πάντα ποιεῖ, αὐτὸς δέ, ὅτι «ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς»· καί, «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν». Νομοθετεῖ μετὰ ἐξουσίας, ἁμαρτήματα λύει μετὰ ἐξουσίας, θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει, καὶ πῶς λέγεις, «ὅτι ἀφ' ἑαυτοῦ ποιεῖ οὐδέν»; Ἆρα τί γένοιτο τῆς νίκης ταύτης σαφέστερον;

6. Ἀλλ' εἰ βούλεσθε λοιπόν, τῶν αἱρετικῶν ἀπαλλαγέντες, τὴν λύσιν ἐπάγωμεν τοῖς εἰρημένοις, πρότερον ἐκεῖνο ὑμᾶς διδάξαντες, ὅτι τό, «οὐ δύναται», ἐπὶ Θεοῦ λεγόμενον, οὐκ ἀσθενείας, ἀλλὰ δυνάμεώς ἐστιν ἀπόδειξις. Εἰ δὲ καινὸν τὸ εἰρημένον, ἀλλ' ὅμως παρεξώμεθα τὴν ἀπόδειξιν σαφῆ. Ἐὰν εἴπω, 'ὅτι οὐ δυνατὸν ἁμαρτῆσαι τὸν Θεόν', οὐκ ἀσθενείας αὐτοῦ κατηγορῶ, ἀλλὰ μεγίστην αὐτῷ μαρτυρῶ δύναμιν. Ἐὰν εἴπω, 'ὅτι οὐ δυνατὸν ψεύσασθαι τὸν Θεόν', καὶ πάλιν τὸ αὐτὸ ἀποδείκνυμι. Καθάπερ καὶ ὁ Παῦλος ἔλεγεν· «εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται». Ὁρᾷς τό, «οὐ δύναται», δυνάμεως σημεῖον ὄν; Καὶ τί λέγω περὶ Θεοῦ; Ἐπὶ γὰρ τῶν ὑλῶν τούτων

---

32. Ματθ. 7,28.
33. Ἰω. 18,37.
34. Ματθ. 9,6.
35. Ἰω. 10,18.
36. Β' Τιμ. 2,12-13.

ἀσθενέστερο ἀπὸ τοὺς αἱρετικούς; Γιατὶ οἱ Ἰουδαῖοι τὸν θαύμαζαν, ἐπειδὴ τοὺς δίδασκε αὐτὰ «μὲ ἐξουσία καὶ ὄχι ὅπως οἱ γραμματεῖς καὶ οἱ Φαρισσαῖοι»[32]. Οἱ Ἰουδαῖοι τοῦ ἀναγνωρίζουν ἐξουσία, ἐνῶ οἱ αἱρετικοὶ βεβαιώνουν ὅτι δὲν μπορεῖ τίποτε νὰ κάνει ἀπὸ μόνος του. Καὶ δὲν εἶπαν, 'σὰν νὰ εἶχε ἐξουσία', ἀλλά, «μὲ ἐξουσία». Γιατὶ ἡ ἐξουσία δὲν τοῦ προστέθηκε ἀργότερα, ἀλλ' ὑπῆρξε ὅλη ἀπὸ τὴν ἀρχὴ χωρὶς νὰ ἔχει ἀνάγκη ἀπὸ τίποτε. Γι' αὐτὸ καὶ ὅταν τὸν ἐρωτοῦσαν γιὰ τὴ βασιλεία ἔλεγε· «ἐγὼ γι' αὐτὸ γεννήθηκα»[33]. Κάποτε τοῦ ἔφεραν ἕναν παραλυτικὸ καὶ ἐπειδὴ θεράπευσε τὰ ἁμαρτήματά του λέγει· «γιὰ νὰ μάθετε λοιπὸν ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει τὴν ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες ἐπάνω στὴ γῆ, λέγει στὸν παραλυτικό, πάρε τὸ κρεβάτι σου καὶ πήγαινε στὸ σπίτι σου»[34]. Ὁ κόσμος ἔλεγε ὅτι κάνει τὰ πάντα σὰν νὰ εἶχε ἐξουσία, ἐνῶ αὐτὸς ὅτι «ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες ἐπάνω στὴ γῆ» καὶ «ἔχω ἐξουσία νὰ προσφέρω τὴ ζωή μου καὶ ἐξουσία ἔχω νὰ τὴν πάρω»[35]. Νομοθετεῖ μὲ ἐξουσία, συγχωρεῖ ἁμαρτήματα μὲ ἐξουσία, ἔχει ἐξουσία θανάτου καὶ ζωῆς, καὶ πῶς λέγεις ὅτι ἀπὸ μόνος του δὲν κάνει τίποτε; Ἄραγε τί θὰ μποροῦσε νὰ γίνει σαφέστερο ἀπὸ τὴ νίκη αὐτή;

6. Ἂν ὅμως θέλετε τώρα, ἀφοῦ ἀπαλλαχθήκαμε ἀπὸ τοὺς αἱρετικούς, ἂς σᾶς δώσω τὴ λύση στὰ λεγόμενα, ἀφοῦ πρῶτα σᾶς διδάξω ὅτι τὸ «δὲν μπορεῖ», ὅταν λέγεται γιὰ τὸ Θεό, δὲν εἶναι ἀπόδειξη ἀδυναμίας, ἀλλὰ δύναμης. Καὶ ἂν εἶναι κάτι καινούριο αὐτὸ ποὺ εἶπα, θὰ δώσω ὅμως σαφὴ τὴν ἀπόδειξη. Ἂν πῶ ὅτι δὲν μπορεῖ νὰ ἁμαρτήσει ὁ Θεός, δὲν τὸν κατηγορῶ γιὰ ἀδυναμία ἀλλὰ τοῦ ἀναγνωρίζω πάρα πολὺ μεγάλη δύναμη. Ἂν πῶ ὅτι δὲν εἶναι δυνατὸ νὰ ψευσθεῖ ὁ Θεός, ἀποδεικνύω καὶ πάλι τὸ ἴδιο. Ἔτσι ἔλεγε καὶ ὁ Παῦλος· «ἂν ὑπομένουμε, μαζί του καὶ θὰ βασιλέψουμε· ἂν ἀπιστοῦμε, πιστὸς μένει ἐκεῖνος, γιατὶ δὲν μπορεῖ νὰ ἀρνηθεῖ τὸν ἑαυτό του»[36]. Βλέπεις ὅτι τὸ «δὲν μπορεῖ» εἶναι ἀπόδειξη δύναμης; Καὶ τί λέγω γιὰ τὸ Θεό;

τῶν αἰσθητῶν γυμνάζω τὸν λόγον. Ἐὰν εἴπω, ὅτι 'ὁ ἀδάμας οὐ δύναται διασπασθῆναι', ἆρα ἀσθένειαν αὐτῷ διὰ τοῦ 'οὐ δύναται' ἢ δύναμιν αὐτῷ μαρτυρῶ μεγίστην; Ὅταν οὖν ἀκούσῃ, ὅτι 'οὐ δύναται ὁ Θεὸς ἁμαρτεῖν', 'οὐδὲ δύναται ψεύσασθαι', 'οὐδὲ δύναται ἀρνήσασθαι ἑαυτόν', μὴ ἀσθένειαν νομίσῃς ἐκ τοῦ μὴ δύνασθαι λέγεσθαι, ἀλλὰ μεγίστην σφόδρα δύναμιν, ὅτι ἀνεπίδεκτος αὐτοῦ ἡ οὐσία πονηρίας πάσης, ἄβατος, καθαρά, ἀνωτέρα.

Ἐπεὶ οὖν τοῦτο διευκρίνηται, φέρε δὴ ἐπὶ τὸ προκείμενον ἀγάγωμεν τοῦ λόγου τὴν γυμνασίαν. «Οὐ δύναται ὁ Υἱὸς ἀφ' ἑαυτοῦ ποιεῖν οὐδέν». Τί οὖν ἐστι τό, «ἀφ' ἑαυτοῦ»; Ἐὰν γὰρ τοῦτο μάθητε μετὰ ἀκριβείας, τότε εἴσεσθε αὐτοῦ τὴν πολλὴν ἐγγύτητα τὴν πρὸς τὸν γεγεννηκότα, τὸ ἀπαράλλακτον τῆς οὐσίας, τὸ τοιαύτης αὐτὸν εἶναι οὐσίας, οἵας καὶ ὁ Πατήρ. Τί οὖν ἐστι τό, «οὐ δύναται ἀφ' ἑαυτοῦ»; Ἴδιόν τι παρὰ τὸν Πατέρα ποιεῖν, οὐ δύναται ξένον καὶ κεχωρισμένον παρὰ τὸν Πατέρα ποιεῖν, οὐδὲ ἠλλοτριωμένον τι ποιῆσαι, οὐδὲ ἄλλο τι παρ' ὃ ποιεῖ ὁ Πατήρ· ἃ γὰρ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ οὗτος ποιεῖ. Τὸ οὖν, «ἀφ' ἑαυτοῦ οὐ δύναται ποιεῖν», οὐκ ἐλευθερίας ἀναίρεσις, οὐδὲ ἐξουσίας ἀφανισμός, ἀλλ' ὁμονοίας ἀπόδειξις, καὶ συμφωνίας μαρτυρία, καὶ ἀκριβοῦς ἐγγύτητος, καὶ ἀπαραλλαξίας σημεῖον.

Ἐπειδὴ γὰρ τὸ σάββατον ἔλυσε καὶ παρανομίαν αὐτῷ ἐνεκάλουν λέγοντες, «ἄλλα μὲν ὁ Θεὸς ἐπέταξεν, ἄλλα δὲ σὺ ποιεῖς», ταύτην ἐμφράττων αὐτῶν τὴν ἀναισχυντίαν λέγει, οὐκ ἔστιν ὑπ' ἐμοῦ ἄλλο τι γεγενημένον παρὰ τὸ γενόμενον ὑπὸ τοῦ Πατρός· οὐδὲ ἐναντίος αὐτοῦ εἰμι καὶ πολέμιος'. Εἰ δὲ μὴ οὕτως εἶπεν, ἀλλ' ἀνθρωπινώτερον καὶ παχύτερον τὸν λόγον ἐσχημάτιζεν, ἐννόησον ὅτι πρὸς Ἰουδαίους διελέγετο, τοὺς ἀντίθεον αὐτὸν νομίζοντας. Διά τοι τοῦτο καὶ ταχέως ἐπήγαγεν, ἵνα μηδεὶς μηδὲν τοιοῦτον ὑποπτεύσῃ· «τὰ γὰρ ἔργα, ἃ ἐκεῖνος ποιεῖ, ταῦ-

Γιατὶ μπορῶ νὰ ἐφαρμόσω τὸ λόγο καὶ στὶς ὕλες αὐτὲς τὶς αἰσθητές. Ἂν πῶ ὅτι τὸ διαμάντι δὲν μπορεῖ νὰ κομματιασθεῖ, ἄραγε τοῦ ἀναγνωρίζω μὲ τὸ «δὲν μπορεῖ» ἀδυναμία ἢ πολὺ μεγάλη δύναμη; Ὅταν λοιπὸν ἀκούσεις ὅτι ὁ Θεὸς δὲν μπορεῖ νὰ ἁμαρτήσει, οὔτε μπορεῖ νὰ ψευσθεῖ, οὔτε μπορεῖ νὰ ἀρνηθεῖ τὸν ἑαυτό του, νὰ μὴ νομίσεις ὅτι τὸ νὰ λέγεται πὼς δὲν μπορεῖ μαρτυρεῖ ἀδυναμία, ἀλλὰ πάρα πολὺ μεγάλη δύναμη. Γιατὶ ἡ οὐσία του δὲν ἀνέχεται καμιὰ κακία, εἶναι ἄβατη, καθαρή, ἀνώτερη.

Ἀφοῦ λοιπὸν διευκρινίσθηκε αὐτό, ἂς φέρω τὴν ἐξέταση τοῦ λόγου στὸ ζήτημα ποὺ μᾶς ἐνδιαφέρει. «Δὲν μπορεῖ ὁ Υἱὸς νὰ κάνει τίποτε ἀπὸ μόνος του». Τί λοιπὸν σημαίνει τὸ «ἀπὸ μόνος του»; Γιατὶ ἂν τὸ μάθετε αὐτὸ καλά, τότε θὰ γνωρίσετε τὴ μεγάλη του συγγένεια πρὸς αὐτὸν ποὺ τὸν γέννησε, τὸ ἀπαράλλακτο τῆς οὐσίας, τὸ ὅτι αὐτὸς εἶναι ἀπὸ τέτοια οὐσία, ἀπὸ τὴν ὁποία εἶναι καὶ ὁ Πατέρας. Τί λοιπὸν σημαίνει τὸ «δὲν μπορεῖ ἀπὸ μόνος του»; Ὅτι δὲν μπορεῖ νὰ κάνει κάτι ἰδιαίτερο ἀπὸ τὸν Πατέρα, οὔτε κάτι ξένο καὶ ξεχωριστὸ ἀπὸ τὸν Πατέρα, οὔτε νὰ πράξει κάτι διαφορετικό, οὔτε κάτι ἄλλο ἀπ' αὐτὸ που κάνει ὁ Πατέρας· γιατὶ αὐτὰ ποὺ κάνει ὁ Πατέρας, τὰ ἴδια κάνει καὶ ὁ Υἱός. Ἐπομένως τὸ «δὲν μπορεῖ νὰ κάνει τίποτε ἀπὸ μόνος του» δὲν εἶναι ἀναίρεση τῆς ἐλευθερίας οὔτε ἀφανισμὸς τῆς ἐξουσίας, ἀλλὰ ἀπόδειξη ὁμόνοιας καὶ μαρτυρία συμφωνίας καὶ στενῆς συγγένειας καὶ δεῖγμα ἀπαράλλακτης ὁμοιότητας.

Ὅταν λοιπὸν κατάργησε τὸ Σάββατο καὶ τὸν κατηγοροῦσαν γιὰ παρανομία λέγοντας, «ἄλλα διέταξε ὁ Θεὸς καὶ ἄλλα ἐσὺ κάνεις», γιὰ νὰ τοὺς σταματήσει αὐτὴ τὴν ἀδιαντροπιὰ λέγει· «αὐτὸ ποὺ ἔκανα δὲν εἶναι διαφορετικὸ ἀπ' αὐτὸ ποὺ ἔκανε ὁ Πατέρας· δὲν εἶμαι ἀντίθετός του καὶ ἀντίπαλός του». Καὶ ἂν δὲν εἶπε ἔτσι, ἀλλὰ μιλοῦσε πιὸ ἀνθρώπινα καὶ πιὸ ἁπλά, σκέψου ὅτι συζητοῦσε μὲ Ἰουδαίους ποὺ τὸν θεωροῦσαν ἀντίθετο. Γι' αὐτὸ λοιπόν, γιὰ νὰ μὴν ὑποψιασθεῖ κανεὶς τίποτε τέτοιο, ἀμέσως πρόσθεσε· «τὰ ἔργα ποὺ ἐκεῖνος κάνει, τὰ ἴδια ἀκριβῶς

τα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ». Εἰ δὲ μηδὲν ἀφ' ἑαυτοῦ ποιεῖ, πῶς ὁμοίως ποιεῖ; Οὐ γὰρ τὸ ποιῆσαι μέγα· τοῦτο γὰρ καὶ οἱ ἀπόστολοι ἐποίουν, νεκροὺς ἤγειρον, λεπροὺς ἐκάθηρον, ἀλλ' οὐχ «ὁμοίως» ὡς αὐτός.

Ἀλλὰ πῶς ἐκεῖνοι; «Τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ ἐξουσίᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;». Πῶς δὲ Ἰησοῦς; «Ἵνα εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς»· καὶ πάλιν ἐπὶ τῆς τῶν νεκρῶν ἀναστάσεως· «ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ». Καίτοι ἤρκει τό, «οὕτως»· ἀλλ' ἐκ περιουσίας τὴν ἀναισχυντίαν τῶν φιλονεικεῖν βουλομένων ἀναστέλλων καὶ τὸ «θέλει» προσέθηκε, δῆλον ὅτι μετ' ἐξουσίας ἁπάσης. Διὰ τοῦτό φησι· «τὰ γὰρ ἔργα, ἃ ἐκεῖνος ποιεῖ»· οὐκ εἶπε, 'τοιαῦτα καὶ ὁ Υἱὸς ποιεῖ', ἀλλ' αὐτὰ ἐκεῖνα ὁ Υἱὸς ποιεῖ. «Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν».

Ὁρᾷς πῶς συνωθεῖ τὸν λόγον εἰς ἀκριβῆ τινα ἑνότητα καὶ συνάφειαν καὶ ἐγγύτητα, οὐ τοιαῦτα λέγων, ἀλλ', «αὐτὰ» καὶ «ὁμοίως» λέγων, ὡς Πατήρ; Διὰ δὴ τοῦτο καὶ ἐν τῇ συγκαταβάσει τοῦ λόγου σχηματίζων αὐτόν, καὶ ἐκεῖ μετὰ ἀσφαλείας πολλῆς ἐχρήσατο τῇ ῥήσει. Οὐ γὰρ εἶπεν, 'ἐὰν μή τι διδάσκηται παρὰ τοῦ Πατρός', ἵνα μὴ μαθητεύοντα αὐτὸν εἰσαγάγῃς· οὐδὲ εἶπεν, 'ἐὰν μή τι κελεύηται', ἵνα μὴ τῆς τῶν δούλων τάξεως ὑποπτεύσῃς· ἀλλά, «ἂν μή τι βλέπῃ τὸν Πατέρα ποιοῦντα». Καὶ τοῦτο δὲ αὐτὸ πολλῆς πρὸς τὸν Πατέρα ἐγγύτητος καὶ οὕτως εἰρημένον. Εἰ γὰρ δύναται τὸν Πατέρα ὁρᾶν ἐργαζόμενον καὶ εἰδέναι πῶς ἐργάζηται, τῆς αὐτῆς ἐστιν οὐσίας. Πολλάκις γὰρ καὶ ἔμπροσθεν ἀπεδείξαμεν, ὅτι οὐσίαν οὐδεὶς ἰδεῖν δύναται μετὰ ἀκριβείας οὐδὲ γνῶναι σαφῶς, ἐὰν μὴ τῆς αὐτῆς φύσεως ᾖ.

---

37. Ἰω. 5,19.
38. Πράξ. 3,12.
39. Ματθ. 9,6.
40. Ἰω. 5,21.
41. Ἰω. 1,3.

κάνει καὶ ὁ Υἱός»[37]. Ἂν ὅμως δὲν κάνει τίποτε ἀπὸ μόνος του, πῶς κάνει τὰ ἴδια ἀκριβῶς; Γιατὶ τὸ νὰ κάνει δὲν εἶναι μεγάλο, ἀφοῦ καὶ οἱ ἀπόστολοι ἔκαμναν αὐτό, νεκροὺς ἀνάσταιναν, λεπροὺς καθάριζαν, ἀλλὰ ὄχι «ὅμοια» ὅπως αὐτός.

Ἀλλὰ πῶς ἐνεργοῦσαν οἱ ἀπόστολοι; «Γιατὶ μᾶς βλέπετε ἔτσι, σὰν νὰ τὸν κάναμε νὰ περπατάει μὲ δική μας δύναμη ἢ ἐξουσία;»[38] Καὶ πῶς ὁ Ἰησοῦς; «Γιὰ νὰ μάθετε, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσία νὰ συγχωρεῖ ἁμαρτίες ἐπάνω στὴ γῆ»[39]. Καὶ πάλι γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν λέγει· «ὅπως ὁ Πατέρας ἀνασταίνει τοὺς νεκροὺς καὶ τοὺς δίνει ζωή, ἔτσι καὶ ὁ Υἱὸς σὲ ὅσους θέλει δίνει ζωή»[40]. Ἂν καὶ ἀρκοῦσε τὸ «ἔτσι», ὅμως γιὰ νὰ συγκρατήσει μὲ δύναμη τὴν ἀναισχυντία ἐκείνων ποὺ θέλουν νὰ φιλονικοῦν πρόσθεσε καὶ τὸ «θέλει», δηλαδὴ μὲ κάθε ἐξουσία. Γι' αὐτὸ λέγει· «τὰ ἔργα ποὺ κάνει ἐκεῖνος»· δὲν εἶπε 'τέτοια κάνει καὶ ὁ Υἱός', ἀλλά, «ἀκριβῶς τὰ ἴδια κάνει ὁ Υἱός». Γιατὶ «ὅλα ἔγιναν μέσω αὐτοῦ καὶ τίποτε δὲν ἔγινε χωρὶς αὐτόν»[41].

Βλέπεις πῶς ὠθεῖ τὸ λόγο σὲ κάποια ἀκριβὴ ἑνότητα καὶ συνάφεια καὶ συγγένεια λέγοντας ὄχι 'τέτοια ἔργα', ἀλλὰ «αὐτὰ τὰ ἔργα» καὶ «μὲ ὅμοιο τρόπο», ὅπως ὁ Πατέρας; Γι' αὐτὸ λοιπὸν καὶ ὅταν μιλοῦσε μὲ συγκατάβαση χρησιμοποίησε καὶ ἐκεῖ μὲ πολλὴ ἀσφάλεια τὴ ρήση αὐτή. Γιατὶ δὲν εἶπε, 'ἂν δὲ μαθαίνει κάτι ἀπὸ τὸν Πατέρα', γιὰ νὰ μὴν τὸν θεωρήσεις ὡς μαθητή, οὔτε εἶπε, 'ἂν δὲν παίρνει κάποια διαταγή', γιὰ νὰ μὴν τὸν κατατάξεις στὴν τάξη τῶν δούλων, ἀλλά, «ἂν δὲ βλέπει νὰ κάνει κάτι ὁ Πατέρας». Καὶ αὐτὸ ὅμως εἶναι ἀπόδειξη τῆς μεγάλης του συγγένειας πρὸς τὸν Πατέρα, ἔστω καὶ ἔτσι ποὺ ἔχει λεχθεῖ. Γιατὶ ἂν μπορεῖ νὰ βλέπει τὸν Πατέρα ἐργαζόμενο καὶ νὰ γνωρίζει πῶς ἐργάζεται, εἶναι ἀπὸ τὴν ἴδια οὐσία. Ἄλλωστε πολλὲς φορὲς καὶ προηγουμένως ἀπέδειξα ὅτι κανεὶς δὲν μπορεῖ νὰ δεῖ μὲ ἀκρίβεια τὴν οὐσία οὔτε νὰ τὴ γνωρίσει καλά, ἂν δὲν εἶναι καὶ αὐτὸς ἀπὸ τὴν ἴδια οὐσία. Ἄνθρωπος δὲν μπόρε-

Ἄγγελον γοῦν γυμνῇ τῇ οὐσίᾳ παραγενόμενον ἄνθρωπος ἰδεῖν οὐκ ἠδυνήθη, καὶ ταῦτα πολλῇ ἀρετῇ κεκοσμημένος ὁ Δανιήλ.

Διὰ δὴ τοῦτο ὡς ἐξαίρετον τοῦτο ὂν αὐτοῦ τῆς φύσεως ἐτίθει λέγων· «Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ Μονογενὴς Υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο». Καὶ πάλιν· «οὐχ ὅτι τὸν Πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, αὐτὸς ἑώρακε τὸν Πατέρα». Καίτοι πολλοὶ εἶδον καὶ ἄλλοι, προφῆται καὶ πατριάρχαι καὶ δίκαιοι καὶ ἄγγελοι· ἀλλὰ τὴν ἀκριβῆ λέγει γνῶσιν. Οὐ μὴν τοῦτο ἐροῦμεν, ὅτι βλέπων αὐτὸν τότε ποιεῖ· ἐπεὶ τό, «πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν», πῶς ἂν ἔχοι λόγον; καὶ τό, «τὰ ἔργα, ἃ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»; Εἰ γὰρ ὁμοίως ποιεῖ, πῶς βλέπων αὐτὸν πρότερον τότε ποιεῖ; Ἀνάγκη γὰρ ἔσται, κατὰ τὸν σὸν λόγον, καὶ τὸν Πατέρα βλέποντα ἕτερον ἐργαζόμενον οὕτως ποιεῖν, ὅπερ ἐσχάτης μανίας καὶ ἀνοίας ἐστίν.

Ἀλλ' ἵνα μὴ τὰ ἀσθενῆ ταῦτα διελέγχοντες καὶ ἄτοπα, μηκύνωμεν τὸν λόγον, ἐκεῖνο ἐροῦμεν· ὅτι ἐπειδὴ πρὸς Ἰουδαίους ὁ λόγος ἦν αὐτῷ, τοὺς ἀντίθεον αὐτὸν εἶναι λέγοντας καὶ πολέμιον τῷ νομοθέτῃ καὶ ἀπὸ τῶν γινομένων τοῦτο συλλέγοντας, διὰ τοῦτο οὕτως ἐσχημάτισε τὸν λόγον ἀνθρωπινώτερον καὶ παχύτερον, τῷ συνετῷ ἀκροατῇ καταλιμπάνων εἰδέναι τὴν θεοπρεπῆ ἔννοιαν καὶ τοὺς παχύτερόν τι ἐννοοῦντας διορθούμενος· διὸ ἔφησε· «τὰ γὰρ ἔργα ἃ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ». Οὐ γὰρ δὴ ἀναμένει τὸν Πατέρα ἰδεῖν ἐργαζόμενον, καὶ τότε ποιεῖ, οὐδὲ μαθητείας δεῖται· ἀλλ' ὁρᾷ μὲν αὐτοῦ τὴν οὐσίαν καὶ οἶδεν αὐτὴν σαφῶς, «καθάπερ γὰρ γινώσκει με», φησίν, «ὁ Πατήρ, κἀγὼ γινώσκω τὸν Πατέρα», ἐργάζεται δὲ ἅπαντα καὶ δημιουργεῖ μετ' ἐξουσίας τῆς αὐτῷ προσηκούσης, μετὰ συνέσεως καὶ σοφίας τῆς αὐτῷ συγκεκληρωμένης, οὐ δεόμενος μανθάνειν, οὐ δεόμενος ἰδεῖν. Πῶς γὰρ ἀπηκριβωμένη

---

42. Ἰω. 1,18.
43. Ἰω. 6,46.
44. Ἰω. 10,15.

σε νὰ δεῖ ἄγγελο ποὺ μὲ γυμνὴ τὴν οὐσία βρισκόταν κοντά του, ἀκόμη καὶ ὁ Δανιὴλ ποὺ ἦταν πολὺ ἐνάρετος.

Γι' αὐτὸ λοιπὸν τὸ ἀνέφερε αὐτὸ ὡς ἐξαιρετικὸ στοιχεῖο τῆς φύσης του λέγοντας· «κανεὶς ποτὲ δὲν εἶδε τὸ Θεό· μόνο ὁ μονογενὴς Υἱός, ποὺ εἶναι στοὺς κόλπους τοῦ Πατέρα, ἐκεῖνος μᾶς τὸν ἔκανε γνωστό»[42]. Καὶ πάλι· «ὄχι ὅτι εἶδε κανεὶς τὸν Πατέρα· μόνο αὐτὸς ποὺ ἔρχεται ἀπὸ τὸν Πατέρα, αὐτὸς εἶδε τὸν Πατέρα»[43]. Ἂν καὶ πολλοὶ ἄλλοι τὸν εἶδαν, προφῆτες καὶ πατριάρχες καὶ δίκαιοι καὶ ἄγγελοι, ὅμως ἐννοεῖ τὴν τέλεια γνώση. Ἂς μὴν τὸ ποῦμε αὐτό, ὅτι δηλαδὴ πρῶτα βλέπει τὸν Πατέρα καὶ ὕστερα πράττει, γιατὶ πῶς θὰ μποροῦσε νὰ σταθεῖ τὸ «ὅλα ἔγιναν μέσω αὐτοῦ καὶ τίποτε δὲν ἔγινε χωρὶς αὐτόν», καθὼς καὶ τὸ «τὰ ἔργα ποὺ κάνει ἐκεῖνος, αὐτὰ ἀκριβῶς κάνει καὶ ὁ Υἱός»; Ἂν λοιπὸν κάνει τὰ ἴδια ἀκριβῶς, πῶς πρῶτα τὸν βλέπει καὶ ὕστερα ἐνεργεῖ; Γιατὶ θὰ εἶναι ἀνάγκη σύμφωνα μὲ τὸ δικό σου λόγο, καὶ ὁ Πατέρας νὰ βλέπει πρῶτα ἄλλον νὰ ἐργάζεται καὶ ὕστερα νὰ ἐνεργεῖ, πράγμα ποὺ εἶναι ἀπόδειξη τῆς χειρότερης παραφροσύνης καὶ ἀνοησίας.

Ἀλλὰ γιὰ νὰ μὴ μακρύνω τὸ λόγο, ἐλέγχοντας αὐτὰ τὰ ἀσθενὴ καὶ ἄτοπα, θὰ πῶ τοῦτο, ὅτι δηλαδὴ ἐπειδὴ μιλοῦσε πρὸς τοὺς Ἰουδαίους, ποὺ τὸν ἔλεγαν πὼς εἶναι ἀντίθετος καὶ ἐχθρὸς πρὸς τὸ νομοθέτη καὶ κατέληγαν σ' αὐτὸ ἀπὸ ὅσα γίνονταν, γι' αὐτὸ ἔκανε ἔτσι τὸ λόγο του πιὸ ἀνθρώπινο καὶ πιὸ ἁπλό, ἀφήνοντας στὸ συνετὸ ἀκροατὴ νὰ ἀναγνωρίσει τὴν θεοπρεπὴ ἔννοια καὶ διορθώνοντας ἐκείνους ποὺ καταλαβαίνουν κάπως ἁπλοϊκότερα τὰ πράγματα. Γι' αὐτὸ εἶπε· «τὰ ἔργα ποὺ ἐκεῖνος κάνει τὰ ἴδια ἀκριβῶς κάνει καὶ ὁ Υἱός». Δὲν περιμένει λοιπὸν νὰ δεῖ τὸν Πατέρα νὰ ἐργάζεται καὶ ὕστερα νὰ πράξει, οὔτε χρειάζεται μαθητεία, ἀλλὰ βλέπει βέβαια τὴν οὐσία του καὶ τὴ γνωρίζει καλά, γιατὶ λέγει, «ὅπως μὲ γνωρίζει ὁ Πατέρας, ἔτσι γνωρίζω καὶ ἐγὼ τὸν Πατέρα»[44], ἐργάζεται ὅμως τὰ πάντα καὶ δημιουργεῖ μὲ τὴ δική του ἐξουσία, καθὼς καὶ μὲ τὴ σύνεση καὶ τὴ σοφία ποὺ ἀπὸ τὴν ἀρχὴ ἔχει, χωρὶς νὰ χρειάζεται νὰ μαθαίνει οὔτε νὰ βλέπει. Πῶς λοιπὸν θὰ γινόταν ἀλλιῶς

εἰκὼν πρὸς τὸ γεγεννηκότα ὢν καὶ ὁμοίως πάντα ἐκείνῳ ποιῶν καὶ μετὰ τῆς αὐτῆς δυνάμεως; Περὶ γὰρ δυνάμεως διαλεγόμενος ταῦτα ἐπήγαγε λέγων· «ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν».

Ταῦτα οὖν ἅπαντα εἰδότες καὶ ἀποσυλλέξαντες τὰ εἰρημένα, ἀποστρεφώμεθα τῶν αἱρετικῶν τοὺς συλλόγους, ἐχώμεθα δὲ διηνεκῶς τῆς ὀρθῆς πίστεως, καὶ βίον ἀκριβῆ καὶ πολιτείαν τοῖς δόγμασιν ἴσην ἐπιδειξώμεθα, ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

45. Ἰω. 10,30.

ἀφοῦ εἶναι τέλεια εἰκόνα τοῦ Πατέρα του καὶ κάνει τὰ πάντα ὅμοια μ' αὐτὸν καὶ μάλιστα μὲ τὴν ἴδια δύναμη; Γιατὶ ὅταν μιλοῦσε γιὰ τὴ δύναμη πρόσθεσε αὐτὰ τὰ λόγια· «ἐγὼ καὶ ὁ Πατέρας εἴμαστε ἕνα»[45].

Γνωρίζοντας λοιπὸν ὅλα αὐτὰ καὶ συγκεντρώνοντας μέσα στὸ νοῦ μας τὰ ὅσα λέχθηκαν, ἂς ἀποστρεφόμαστε τὶς συνάξεις τῶν αἱρετικῶν, ἂς ἀκολουθοῦμε παντοτινὰ τὴν ὀρθὴ πίστη καὶ ἂς ἐπιδείξουμε βίο αὐστηρὸ καὶ συμπεριφορὰ σύμφωνη μὲ τὰ δόγματα, γιὰ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ χάρη καὶ τὴν εὐσπλαχνία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, στὸν ὁποῖο καὶ συγχρόνως στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ

«ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕΤΕ, ΟΤΙ ΕΝ ΕΣΧΑΤΑΙΣ ΗΜΕΡΑΙΣ ΕΣΟΝΤΑΙ ΚΑΙΡΟΙ ΧΑΛΕΠΟΙ»



ΟΜΙΛΙΑ

ΕΙΣ ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ


«ΤΟΥΤΟ ΔΕ ΓΙΝΩΣΚΕΤΕ, ΟΤΙ ΕΝ ΕΣΧΑΤΑΙΣ ΗΜΕΡΑΙΣ ΕΣΟΝΤΑΙ ΚΑΙΡΟΙ ΧΑΛΕΠΟΙ

1. Ἀσθενὴς μέν εἰμι καὶ πτωχὸς καὶ διδασκαλικῶν ἄπειρος λόγων, ἀλλ' ὅταν ἴδω τὸν ὑμέτερον σύλλογον ἐπιλανθάνομαι τῆς ἀσθενείας, ἀγνοῶ τὴν πτωχείαν, οὐκ οἶδα τὴν ἀπειρίαν· τοιαύτη γὰρ τῆς ὑμετέρας ἀγάπης ἡ τυραννίς. Διὸ καὶ τῶν ἐν εὐπορίᾳ καθεστώτων προθυμότερον ὑμῖν τὴν τῆς πτωχείας παρατίθημι τράπεζαν. Ταύτης δὲ ὑμεῖς αἴτιοι τῆς μεγαλοψυχίας, τῇ προθυμίᾳ τῆς ἀκροάσεως τοὺς ἀναπεπτωκότας διεγείροντες, πρὸς τὴν ἀκρόασιν κεχηνότες καὶ τῆς τοῦ λέγοντος ἐκκρεμάμενοι γλώττης. Οὕτω καὶ νεοσσοὶ χελιδόνων, ἐπειδὰν ἴδωσι προσιπταμένην τὴν μητέρα, τῆς καλιᾶς προκύψαντες καὶ τοὺς αὐχένας ποιήσαντες ἐκκρεμεῖς, οὕτω δέχονται τὴν παρ' ἐκείνης τροφήν. Οὕτω καὶ ὑμεῖς μετὰ πολλῆς τῆς προθυμίας πρὸς τὸν λέγοντα βλέποντες, δέχεσθε τὴν ἀπὸ τῆς γλώττης κομιζομένην ὑμῖν διάλεξιν καὶ πρὶν ἢ τὰ ῥήματα ἐκπηδῆσαι τοῦ στόματος ἡμῶν, ἥρπασεν ἡ διάνοια τὰ λεγόμενα.

Τίς οὖν οὐκ ἂν καὶ ὑμᾶς καὶ ἡμᾶς ἐπὶ τούτοις μακαρίσειεν, ὅτι λέγομεν «εἰς ὦτα ἀκουόντων»; Κοινὸς ὁ πόνος, κοινὸς καὶ ὁ στέφανος· κοινὸν τὸ κέρδος, κοινὸς καὶ ὁ μισθός. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐμακάρισε τοὺς μαθητὰς λέγων· «ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσι».

---

1. Β' Τιμ. 3,1.   2. Σοφ. Σειρ. 25,9.



ΟΜΙΛΙΑ

ΣΤΟ ΑΠΟΣΤΟΛΙΚΟ ΡΗΤΟ ΠΟΥ ΛΕΓΕΙ

«ΝΑ ΓΝΩΡΙΖΕΤΕ ΚΑΙ ΑΥΤΟ, ΟΤΙ ΚΑΤΑ ΤΙΣ ΕΣΧΑΤΕΣ ΗΜΕΡΕΣ ΘΑ ΕΡΘΟΥΝ ΚΑΙΡΟΙ ΔΥΣΚΟΛΟΙ»[1]

1. Εἶμαι ἀδύναμος καὶ φτωχὸς καὶ ἄπειρος ἀπὸ διδακτικοὺς λόγους, ἀλλὰ ὅταν βλέπω τὴ σύναξή σας ξεχνῶ τὴν ἀδυναμία, ἀγνοῶ τὴ φτώχεια, δὲ γνωρίζω τὴν ἀπειρία· γιατὶ τέτοια εἶναι ἡ τυραννία τῆς ἀγάπης σας. Γι' αὐτὸ καὶ πιὸ πρόθυμα ἀπὸ τοὺς πλουσίους σᾶς παραθέτω τὸ τραπέζι τῆς φτώχειας μου. Καὶ γι' αὐτὴ τὴ μεγαλοψυχία αἴτιοι εἶστε ἐσεῖς, ποὺ μὲ τὴν προθυμία σας γιὰ ἀκρόαση διεγείρετε τοὺς ἀποθαρρυμένους, ἀφοσιώνεστε στὴν ἀκρόαση καὶ κρέμεστε ἀπὸ τὰ χείλη τοῦ ὁμιλητῆ. Ἔτσι καὶ οἱ νεοσσοὶ τῶν χελιδονιῶν, ὅταν δοῦν τὴ μητέρα τους νὰ πετάει κοντά τους, σκύβουν ἔξω ἀπὸ τὴ φωλιὰ καὶ κρεμοῦν τὸ λαιμό τους καὶ παίρνουν ἔτσι τὴν τροφὴ ἀπὸ ἐκείνη. Ἔτσι καὶ σεῖς βλέποντας μὲ πολλὴ προθυμία πρὸς τὸν ὁμιλητή, δέχεστε τὴν ὁμιλία ποὺ σᾶς φέρνει ἡ γλῶσσα του, καὶ πρὶν ἀκόμη τὰ λόγια βγοῦν ἀπὸ τὸ στόμα μου τὰ ἁρπάζει ἡ διάνοιά σας.

Ποιός λοιπὸν δὲ θὰ μακάριζε καὶ σᾶς καὶ μένα γι' αὐτά, ἐπειδὴ ἀπευθύνεται ὁ λόγος μου «σὲ ἀνθρώπους ποὺ ἀκοῦν»[2]; Κοινὸς ὁ κόπος, κοινὸ καὶ τὸ στεφάνι· κοινὸ τὸ κέρδος, κοινὸς καὶ ὁ μισθός. Γι' αὐτὸ καὶ ὁ Χριστὸς μακάρισε τοὺς μαθητὲς λέγοντας· «εἶναι μακάρια τὰ μάτια σας γιατὶ βλέπουν, καὶ τὰ αὐτιά σας γιατὶ ἀκοῦν»[3]. Ἐπιτρέψτε με αὐτὰ τὰ λόγια νὰ τὰ πῶ

3. Ματθ. 13,16.

Δότε μοι ταῦτα τὰ ρήματα καὶ πρὸς ὑμᾶς εἰπεῖν, ἐπειδὴ καὶ τὴν αὐτὴν ἐπιδείκνυσθε προθυμίαν· «ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν». Ἀλλ' ὅτι μὲν ὑμῖν τὰ ὦτα ἀκούει δῆλον, ὅτι δὲ καὶ οἱ ὀφθαλμοὶ βλέπουσι, καθάπερ ἔβλεπον οἱ μαθηταὶ τότε, τοῦτο ἀποδεῖξαι πειράσομαι, ἵνα μὴ ἐξ ἡμισείας ἀλλ' ὁλόκληρος ὑμῶν ὁ μακαρισμὸς ᾖ. Τί οὖν ἔβλεπον τότε οἱ μαθηταί; Νεκροὺς ἀνισταμένους, τυφλοὺς ἀναβλέποντας, λεπροὺς καθαιρομένους, δαίμονας ἐλαυνομένους, χωλοὺς βαδίζοντας, ἅπαν φύσεως ἁμάρτημα διορθούμενον.

Ταῦτα βλέπετε καὶ ὑμεῖς νῦν, εἰ καὶ μὴ τοῖς τοῦ σώματος, ἀλλὰ τοῖς τῆς πίστεως ὀφθαλμοῖς. Τοιαῦται γὰρ αἱ τῆς πίστεως ὄψεις· τὰ μὴ φαινόμενα βλέπουσι καὶ τὰ μηδέπω πραχθέντα κατανοοῦσι. Πόθεν τοῦτο δῆλον, ὅτι πίστις ὄψις ἐστὶ τῶν μὴ βλεπομένων καὶ ἔλεγχος; Ἄκουσον τοῦ Παύλου λέγοντος· «ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις πραγμάτων, ἔλεγχος οὐ βλεπομένων». Καὶ τὸ δὴ θαυμαστόν, οὗτοι μὲν οἱ τῆς σαρκὸς ὀφθαλμοὶ τοὐναντίον ἅπαν, τὰ μὲν ὁρώμενα οὐ βλέπουσι, τὰ δὲ μὴ ὁρώμενα βλέπουσι. Καὶ ὅτι τὰ βλεπόμενα οὐ βλέπουσι καὶ τὰ μὴ βλεπόμενα βλέπουσιν, ὁ Παῦλος ἐδήλωσεν εἰπὼν οὕτως· «τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης ἡμῖν κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα».

Καὶ πῶς ἄν τις ἴδοι τὰ μὴ βλεπόμενα; Πῶς ἄλλως, ἀλλ' ἢ τοῖς τῆς πίστεως ὀφθαλμοῖς; Οὕτω καὶ ἀλλαχοῦ φησι· «πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας». Πῶς; οὐ γὰρ εἴδομεν. «Εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι», φησί. Βούλεσθε καὶ ἑτέραν παράγω μαρτυρίαν, ὅτι τὰ μὴ βλεπόμενα βλέπουσιν οἱ τῆς πίστεως ὀφθαλμοί; Γαλάταις ποτὲ γράφων ὁ Παῦλος ἔλεγεν· «οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν

---

4. Ἑβρ. 11,1.
5. Β' Κορ. 4,17.
6. Ἑβρ. 11,3.

καὶ σὲ σᾶς, γιατὶ καὶ σεῖς δείχνετε τὴν ἴδια προθυμία· «μακάρια τὰ μάτια σας γιατὶ βλέπουν, καὶ τὰ αὐτιά σας γιατὶ ἀκοῦν». Ἀλλὰ ὅτι ἀκοῦν τὰ αὐτιά σας εἶναι φανερό, ὅτι ὅμως καὶ τὰ μάτια σας βλέπουν, ὅπως ἔβλεπαν οἱ μαθητὲς τότε, θὰ προσπαθήσω νὰ τὸ ἀποδείξω αὐτὸ γιὰ νὰ μὴ εἶναι μισὸς ὁ μακαρισμός σας ἀλλὰ ὁλόκληρος. Τί λοιπὸν ἔβλεπαν τότε οἱ μαθητές; Νεκροὺς νὰ ἀνασταίνονται, τυφλοὺς νὰ βλέπουν, λεπροὺς νὰ καθαρίζονται, δαιμόνια νὰ διώχνονται, χωλοὺς νὰ βαδίζουν, κάθε ἁμάρτημα τῆς φύσης νὰ διορθώνεται.

Αὐτὰ βλέπετε καὶ σεῖς τώρα, ἂν καὶ ὄχι μὲ τὰ μάτια τοῦ σώματος ἀλλὰ μὲ τὰ μάτια τῆς πίστης. Γιατὶ τέτοια εἶναι τὰ μάτια τῆς πίστης· βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται καὶ κατανοοῦν ἐκεῖνα ποὺ δὲν ἔγιναν ἀκόμη. Ἀπὸ ποῦ φαίνεται αὐτό, τὸ ὅτι δηλαδὴ ἡ πίστη ὁδηγεῖ στὴ θέα καὶ τὴ βεβαίωση ἐκείνων ποὺ δὲ βλέπονται; Ἄκουσε τὸν Παῦλο ποὺ λέγει· «ἡ πίστη κάνει πραγματικὰ ἐκεῖνα ποὺ ἐλπίζουμε καὶ βέβαια ἐκεῖνα ποὺ δὲ βλέπουμε»[4]. Καὶ τὸ θαυμαστὸ βέβαια εἶναι ὅτι τὰ μάτια τοῦ σώματος βλέπουν ἐκεῖνα ποὺ φαίνονται ἀλλὰ δὲ βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται, ἐνῶ τὰ μάτια τῆς πίστης κάνουν τὸ ἐντελῶς ἀντίθετο, δὲ βλέπουν ἐκεῖνα ποὺ φαίνονται ἀλλὰ βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται. Καὶ ὅτι δὲ βλέπουν ἐκεῖνα ποὺ φαίνονται καὶ βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται τὸ φανέρωσε ὁ Παῦλος λέγοντας τὰ ἑξῆς· «ἡ προσωρινὰ ἐλαφριὰ θλίψη μας προετοιμάζει γιὰ μᾶς ὑπερβολικὰ μεγάλο πλοῦτο αἰώνιας δόξας, γιατὶ τὸ βλέμμα μας δὲν προσηλώνεται σ' αὐτὰ ποὺ φαίνονται ἀλλὰ σ' ἐκεῖνα ποὺ δὲ φαίνονται»[5].

Καὶ πῶς θὰ μποροῦσε νὰ δεῖ κανεὶς αὐτὰ ποὺ δὲ φαίνονται; Πῶς ἀλλιῶς παρὰ μόνο μὲ τὰ μάτια τῆς πίστης; Ἔτσι καὶ ἀλλοῦ λέγει· «μὲ τὴν πίστη καταλαβαίνουμε πὼς δημιουργήθηκε τὸ σύμπαν»[6]. Πῶς; Γιατὶ δὲν ξέρουμε. «Ἑπομένως αὐτὰ ποὺ βλέπουμε δημιουργήθηκαν ἀπὸ ἐκεῖνα ποὺ δὲ φαίνονται», λέγει. Θέλετε νὰ φέρω καὶ ἄλλη μαρτυρία, ὅτι τὰ μάτια τῆς πίστης βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται; Γράφοντας κάποτε στοὺς Γαλάτες ὁ Παῦλος ἔλεγε· «ἐσεῖς ποὺ εἴδατε μὲ τὰ μάτια σας τὴν

ἐσταυρωμένος».

2. Τί λέγεις, ὦ μακάριε Παῦλε; ἐν Γαλατίᾳ σταυρούμενον αὐτὸν εἶδον Γαλάται; οὐχὶ πάντες ὁμολογοῦμεν, ὅτι ἐν Παλαιστίνῃ ἐν μέσῃ Ἰουδαίᾳ τὸ πάθος ἐγένετο; πῶς οὖν αὐτὸν εἶδον σταυρούμενον Γαλάται; Τοῖς τῆς πίστεως ὀφθαλμοῖς, οὐ τοῖς τῆς σαρκός. Εἶδες πῶς οἱ τῆς πίστεως ὀφθαλμοὶ τὰ μὴ φαινόμενα βλέπουσιν; Ἀπὸ τοσούτου γοῦν διαστήματος καὶ μετὰ τοσοῦτον χρόνον τὸν Χριστὸν εἶδον σταυρούμενον. Οὕτω καὶ ὑμεῖς βλέπετε τοὺς νεκροὺς ἀνισταμένους· οὕτω σήμερον εἴδετε τὸν λεπρὸν καθαιρόμενον· οὕτως εἴδετε τὸν παραλελυμένον ἀναστάντα, καὶ μᾶλλον Ἰουδαίων τῶν παρόντων εἴδετε. Ἐκεῖνοι μὲν γὰρ παρόντες οὐ παρεδέξαντο τὸ θαῦμα, ὑμεῖς δὲ ἀπόντες παραδέξασθε τὴν πίστιν. Ὥστε δικαίως εἶπον πρὸς ὑμᾶς, ὅτι «μακάριοι ὑμῖν οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν».

Εἰ δὲ καὶ ἑτέρωθεν βούλει μαθεῖν ὅτι τὰ μὴ βλεπόμενα βλέπουσιν οἱ τῆς πίστεως ὀφθαλμοί, τὰ δὲ βλεπόμενα παρατρέχουσιν (οὐδὲ γὰρ ἂν ἄλλως ἴδοιεν τὰ μὴ βλεπόμενα, εἰ μὴ καταφρονήσαιεν τῶν εἰρημένων), ἄκουσον τοῦ Παύλου περὶ τοῦ Ἀβραὰμ διαλεγομένου, ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς εἶδε τὸν υἱὸν τικτόμενον τὸν Ἰσαὰκ καὶ οὕτω κατεδέξατο τὴν ἐπαγγελίαν. Τί γάρ φησι; «Καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον». Μεγάλη τῆς πίστεως ἡ δύναμις. «Ὥσπερ γὰρ «λογισμοὶ ἀνθρώπων δειλοὶ καὶ ἀσθενεῖς», οὕτω πίστις ἰσχυρὰ καὶ δυνατή. «Οὐ κετενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον». Ὁρᾷς πῶς ἀφῆκε τὰ ὁρώμενα; πῶς οὐκ εἶδεν εἰς τὸ γῆρας; Καίτοι γε αὐτὸ πρὸ τῶν ὀφθαλμῶν ἔκειτο, ἀλλὰ τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἑώρα, οὐ τοῖς τοῦ σώματος. Διὸ οὐκ εἶδε τὸ γῆρας, οὐδὲ τὴν νέκρωσιν Σάρρας· οὐ κατενόησε «τὴν νέκρωσιν τῆς μήτρας Σάρρας». Τὴν στείρωσιν ἡμῖν ἐνταῦθα αἰνίττεται.

Διπλῆ γὰρ ἡ ἀσθένεια ἦν, ἡ μὲν ἀπὸ τῆς ἡλικίας, ἡ δὲ ἀπὸ τῆς ἀσθενείας φύσεως. Οὐ γὰρ τὸ σῶμα μόνον διὰ τὴν ἡλικίαν

---

7. Γαλ. 3,1. 8. Ρωμ. 4,19. 9. Σοφ. Σειρ. 9,14.

εἰκόνα τοῦ σταυρωμένου Ἰησοῦ Χριστοῦ»[7].

2. Τί λέγεις, μακάριε Παῦλε; τὸν εἶδαν οἱ Γαλάτες νὰ σταυρώνεται στὴ Γαλατία; δὲν παραδεχόμαστε ὅλοι ὅτι τὸ πάθος ἔγινε στὴν Παλαιστίνη στὴ μέση τῆς Ἰουδαίας; Πῶς λοιπὸν τὸν εἶδαν νὰ σταυρώνεται οἱ Γαλάτες; Μὲ τὰ μάτια τῆς πίστης καὶ ὄχι μὲ τὰ μάτια τοῦ σώματος. Εἶδες πῶς τὰ μάτια τῆς πίστης βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται; Ἀπὸ τόσο λοιπὸν μεγάλο διάστημα καὶ ὕστερα ἀπὸ τόσα χρόνια εἶδαν τὸ Χριστὸ νὰ σταυρώνεται. Ἔτσι καὶ σεῖς βλέπετε τοὺς νεκροὺς νὰ ἀνασταίνονται· ἔτσι σήμερα εἴδατε τὸ λεπρὸ νὰ καθαρίζεται· ἔτσι εἴδατε τὸν παράλυτο νὰ σηκώνεται καὶ τὸν εἴδατε καλύτερα ἀπὸ τοὺς παρόντες τότε Ἰουδαίους. Γιατὶ ἐκεῖνοι ἂν καὶ παρόντες δὲν παραδέχθηκαν τὸ θαῦμα, ἐνῶ ἐσεῖς ἂν καὶ ἀπόντες παραδεχθήκατε τὴν πίστη. Ἑπομένως δίκαια εἶπα σὲ σᾶς ὅτι «εἶναι μακάρια τὰ μάτια σας γιατὶ βλέπουν».

Ἂν ὅμως καὶ ἀπὸ ἀλλοῦ θέλεις νὰ μάθεις ὅτι τὰ μάτια τῆς πίστης βλέπουν ἐκεῖνα ποὺ δὲ φαίνονται ἐνῶ προσπερνοῦν αὐτὰ ποὺ φαίνονται (γιατὶ δὲ θὰ μποροῦσαν ἀλλιῶς νὰ δοῦν ἐκεῖνα ποὺ δὲ φαίνονται, παρὰ μόνο ἂν περιφρονοῦσαν αὐτὰ ποὺ λέχθηκαν), ἄκουσε τὸν Παῦλο ποὺ μιλώντας γιὰ τὸν Ἀβραὰμ λέγει ὅτι μὲ τὰ μάτια τῆς πίστης εἶδε τὸν υἱό του Ἰσαὰκ νὰ γεννιέται καὶ ἔτσι δέχθηκε τὴν ὑπόσχεση. Τί λοιπὸν λέγει; «Καὶ ἐπειδὴ δὲν κλονίστηκε στὴν πίστη, δὲ σκέφθηκε τὸ σῶμα του ποὺ ἦταν νεκρό»[8]. Εἶναι μεγάλη ἡ δύναμη τῆς πίστης. Γιατὶ ὅπως «οἱ σκέψεις τῶν ἀνθρώπων εἶναι δειλὲς καὶ ἀδύνατες»[9], ἔτσι ἡ πίστη εἶναι ἰσχυρὴ καὶ δυνατή. «Δὲ σκέφθηκε ὅτι τὸ σῶμα του εἶναι νεκρό». Βλέπεις πῶς ἄφησε αὐτὰ ποὺ φαίνονται; πῶς δὲν εἶδε τὰ γηρατειά; Ἂν καὶ βέβαια τὰ εἶχε μπροστὰ στὰ μάτια του, ὅμως ἔβλεπε μὲ τὰ μάτια τῆς πίστης καὶ ὄχι τοῦ σώματος. Γι' αὐτὸ δὲν εἶδε τὰ γηρατειὰ οὔτε τὴ νέκρωση τῆς Σάρρας. Δὲ σκέφθηκε «τὴ νέκρωση τῆς μήτρας τῆς Σάρρας». Ἐδῶ μᾶς ὑπαινίσσεται τὴ στείρωση.

Ἡ ἀδυναμία λοιπὸν ἦταν διπλή, ἡ μιὰ ἀπὸ τὴν ἡλικία καὶ ἡ ἄλλη ἀπὸ τὴν ἀδυναμία τῆς φύσης· Γιατὶ ὄχι μόνο τὸ σῶμα

ἄχρηστον ἦν πρὸς παιδογονίαν, ἀλλὰ καὶ αὐτὴ ἡ μήτρα νενέκρωτο, καὶ τὸ τῆς φύσεως ἐργαστήριον καὶ πρὸ τοῦ γήρως ἄχρηστον ἦν διὰ τὴν στείρωσιν. Εἶδες ὅσα κωλύματα; Τὸ γῆρας τοῦ ἀνδρός, τὸ γῆρας τῆς γυναικός· ἡ τοῦ γήρως ἀχρηστοτέρα στείρωσις· καὶ γὰρ καὶ τοῦτο μάλιστα κώλυμα παιδογονίας. Ἀλλ' ὅμως ταῦτα πάντα παρέδραμεν καὶ τοῖς τῆς πίστεως ὀφθαλμοῖς εἰς τοὺς οὐρανοὺς ἀνέστη, μεγίστην τῶν ἐπηγγελμένων ἀπόδειξιν ἔχων τὴν δύναμιν τοῦ ὑπεσχομένου. Διὰ τοῦτο. «Εἰς τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει». Βακτηρία γάρ τίς ἐστιν ἰσχυρὰ ἡ πίστις καὶ λιμὴν ἀσφαλής, τῆς τῶν λογισμῶν ἀπαλλάττουσα πλάνης καὶ ἐν ἡσυχίᾳ πολλῇ τὴν ψυχὴν ἀναπαύουσα.

«Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι»· καὶ γὰρ εἰς αὐτὸ πάλιν ἐπανελθεῖν ἀναγκαῖον τὸ ῥῆμα. Καίτοι ἔβλεπον καὶ οἱ Ἰουδαῖοι τὰ τότε γινόμενα. Ἀλλ' οὐ ταύτην μακαρίζει τὴν ὄψιν τὴν ἔξωθεν· αὕτη γὰρ καθ' ἑαυτὴν οὐχ ὁρᾷ τὰ θαύματα, ἀλλ' ἡ ἔνδον. Ἐκεῖνοι εἶδον τυφλὸν καὶ ἔλεγον· «οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος· καλέσωμεν αὐτοῦ τοὺς γονεῖς». Ἀκούεις ἀμφιβαλλόντων; ὁρᾷς ὅτι οὐκ ἀρκεῖ ἡ τοῦ σώματος ὄψις πρὸς τὴν τοῦ θαύματος θεωρίαν; Οἱ παρόντες καὶ θεώμενοι ἔλεγον· «οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος»· ἡμεῖς δὲ οἱ μὴ παρόντες οὐ λέγομεν, «οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος», ἀλλ' «αὐτός ἐστιν». Ἔμαθες ὡς οὐδὲν βλάπτει ἡ ἀπουσία, ὅταν πίστεως ὀφθαλμοὶ ὦσι καὶ ὡς οὐδὲν ὠφελεῖ ἡ παρουσία, ὅταν πίστεως ὀφθαλμοὶ μὴ ὦσι; Τί γὰρ ἐκείνους ὤνησε τὸ ἰδεῖν; Οὐδέν. Ἡμεῖς γὰρ ἐκείνων σαφέστερον εἴδομεν.

Ἐπεὶ οὖν βλέπουσιν οἱ ὀφθαλμοὶ ὑμῶν θεωρίαν καὶ ἀκούει τὰ ὦτα ἀκρόασιν, ἣν ὁ Χριστὸς ἐμακάρισε, φέρε ὑμῖν τοὺς μαργαρίτας τῶν Γραφῶν παραθῶμεν. Ὥσπερ γὰρ τοῖς Ἰουδαίοις οὐκ ἐπέλυσε τὰ ζητήματα ὁ Χριστός, ἀλλὰ καὶ ἐπέτεινε τὴν ἀσάφειαν, ἐπειδὴ μὴ προσεῖχον, οὕτω δὴ καὶ ὑμῖν, ἐπειδὴ προσ-

---

10. Ρωμ. 4,20.
11. Ἰω. 9,8.18.

ἦταν ἐξ αἰτίας τῆς ἡλικίας ἄχρηστο γιὰ νὰ τεκνοποιήσει, ἀλλὰ καὶ ἡ ἴδια ἡ μήτρα εἶχε νεκρωθεῖ καὶ τὸ ἐργαστήρι τῆς φύσης ἦταν καὶ πρὶν τὰ γηρατειὰ ἄχρηστο ἐξ αἰτίας τῆς στείρωσης. Εἶδες πόσα ἐμπόδια ὑπῆρχαν; Τὰ γηρατειὰ τοῦ ἄνδρα, τὰ γηρατειὰ τῆς γυναίκας, ἡ στείρωση ποὺ ἦταν πιὸ ἄχρηστη ἀπὸ τὰ γηρατειά· γιατὶ ἀσφαλῶς αὐτὸ ἦταν τὸ μεγάλο ἐμπόδιο γιὰ τὴν τεκνοποίηση. Ἀλλ' ὅμως τὰ παρέβλεψε ὅλα αὐτὰ καὶ μὲ τὰ μάτια τῆς πίστης ἀνέβηκε στοὺς οὐρανούς, ἔχοντας μέγιστη ἀπόδειξη τῶν ὑποσχέσεων τὴ δύναμη ἐκείνου ποὺ ἔδωσε τὶς ὑποσχέσεις. Γι' αὐτὸ «στὴν ὑπόσχεση τοῦ Θεοῦ δὲν ἀπίστησε ἀλλὰ δυνάμωσε ἡ πίστη του»[10]. Ἡ πίστη λοιπὸν εἶναι ἕνα ἰσχυρὸ στήριγμα καὶ λιμάνι ἀσφαλές, γιατὶ ἀπαλλάσσει ἀπὸ τὴν πλάνη τῶν λογισμῶν καὶ ἐπαναπαύει τὴν ψυχὴ σὲ πολλὴ ἡσυχία.

«Μακάρια τὰ μάτια σας γιατὶ βλέπουν». Εἶναι ἀνάγκη λοιπὸν νὰ ἐπανέλθουμε σ' αὐτὸν τὸ λόγο. Καὶ βέβαια ἔβλεπαν καὶ οἱ Ἰουδαῖοι τότε ἐκεῖνα ποὺ γίνονταν. Ἀλλὰ δὲ μακαρίζει αὐτὴ τὴν ἐξωτερικὴ ὅραση, γιατὶ αὐτὴ δὲ βλέπει ἀπὸ μόνη της τὰ θαύματα, ἀλλὰ ἡ ἐσωτερική. Ἐκεῖνοι εἶδαν ἕναν τυφλὸ καὶ ἔλεγαν· «αὐτὸς εἶναι, αὐτὸς δὲν εἶναι, ἃς καλέσουμε τοὺς γονεῖς του»[11]. Ἀκοῦς αὐτοὺς ποὺ ἀμφιβάλλουν; βλέπεις ὅτι δὲν ἀρκεῖ ἡ ὅραση τοῦ σώματος γιὰ νὰ δοῦν τὸ θαῦμα; Ἐκεῖνοι ποὺ ἦταν παρόντες καὶ θεατὲς ἔλεγαν, «αὐτὸς εἶναι, δὲν εἶναι αὐτός», ἐνῶ ἐμεῖς οἱ μὴ παρόντες δὲ λέμε, «αὐτὸς εἶναι, αὐτὸς δὲν εἶναι», ἀλλὰ «αὐτὸς εἶναι». Ἔμαθες ὅτι δὲ βλάπτει καθόλου ἡ ἀπουσία ὅταν ὑπάρχουν τὰ μάτια τῆς πίστης καὶ ὅτι δὲν ὠφελεῖ καθόλου ἡ παρουσία ὅταν δὲν ὑπάρχουν τὰ μάτια τῆς πίστης; Γιατὶ τί τοὺς ὠφέλησε ἐκείνους τὸ ὅτι εἶδαν; Τίποτε. Ἐμεῖς εἴδαμε πιὸ καθαρὰ ἀπὸ ἐκείνους.

Ἀφοῦ λοιπὸν τὰ μάτια σας βλέπουν θέαμα καὶ τὰ αὐτιά σας ἀκοῦν λόγια ποὺ τὰ μακάρισε ὁ Χριστός, ἐμπρὸς ἃς σᾶς παραθέσω τὰ μαργαριτάρια τῶν Γραφῶν. Ὅπως λοιπὸν ὁ Χριστὸς δὲν ἔλυσε τὰ ζητήματα στοὺς Ἰουδαίους ἀλλὰ ἐπέτεινε τὴν ἀσάφεια, ἐπειδὴ δὲν πρόσεχαν, ἔτσι ἀκριβῶς καὶ σὲ σᾶς, ἐπει-

ἔχετε, τὰ κεκρυμμένα ἄγειν εἰς μέσον χρή. Καὶ γὰρ προσῆλθον οἱ μαθηταὶ καὶ ἐθαύμαζον λέγοντες· «διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;» Ὁ δὲ ἔφη, «ἐπειδὴ βλέποντες, οὐ βλέπουσιν». Οὐκοῦν ἐπειδὴ μὴ ἰδόντες ὑμεῖς εἴδετε, ἀναγκαῖον μὴ ἐν παραβολῇ εἰπεῖν πρὸς ὑμᾶς· καὶ ἐπειδὴ «ἀκούοντες, οὐκ ἀκούουσιν». Οὐκοῦν ἐπειδὴ ὑμεῖς μὴ ἀκούσαντες τότε, ἀκούετε νῦν οὐκ ἔλαττον, ἢ τότε ἠκούσατε, ἀναγκαῖον ὑμᾶς μὴ ἀποστερῆσαι τῆς τραπέζης ταύτης. Καὶ γὰρ ὁ Χριστὸς τούτους οὐχ ἧττον ἐμακάρισεν ἢ ἐκείνους· «εἶδες γάρ», φησί, «καὶ ἐπίστευσας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες». Μὴ τοίνυν ὀκνηροὶ γίνεσθε πρὸς ἀρετήν, ὅτι μὴ κατ' ἐκείνους τοὺς χρόνους, ἀλλὰ κατ' αὐτὸν ἐγένεσθε. Ἂν γὰρ ἐθέλοις, οὐκ ἐζημιώθης· ὥσπερ οὖν πολλοὶ καὶ τῶν τότε γενομένων, ἐπειδὴ μὴ ἤθελον, οὐκ ὠφελήθησαν.

3. Τί οὖν ἐστι τὸ σήμερον ἀναγνωσθέν; «Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Τῷ Τιμοθέῳ πάλιν ὁ Παῦλος ἐπιστέλλει. Φοβερὰ ἡ ἀπειλή· ἀλλὰ διαναστῶμεν· τούτους γὰρ ἡμῖν τοὺς καιροὺς αἰνίττεται, καὶ τοὺς μετὰ τούτους, καὶ τοὺς περὶ τὴν συντέλειαν αὐτήν. «Τοῦτο γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Βραχὺ τὸ ῥῆμα καὶ μεγάλη ἡ δύναμις. Καθάπερ γὰρ τὰ ἀρώματα οὐ τῷ πλήθει, ἀλλὰ τῇ φύσει τὴν εὐωδίαν ἐνδείκνυνται, οὕτω καὶ αἱ θεῖαι Γραφαὶ οὐ τῷ πλήθει τῶν ῥημάτων, ἀλλὰ τῇ δυνάμει τῶν ἐγκειμένων πᾶσαν ἡμῖν παράχουσι τὴν ὠφέλειαν. Οὕτω καὶ θυμιάματος φύσις καὶ καθ' ἑαυτὴν μέν ἐστιν εὐώδης, ἐπὰν δὲ εἰς πῦρ αὐτὴν ἐμβάλῃς, τότε πᾶσαν ἐπιδείκνυται τὴν ἐξ αὐτῆς ἡδονήν. Οὕτω καὶ ἡ θεία Γραφὴ καὶ καθ' ἑαυτὴν μέν ἐστιν ἡδίστη, ἐπειδὰν δὲ τῆς ὑμῶν ἐπιλάβηται ψυχῆς, καθάπερ εἰς θυμιατήριον ἐμπεσοῦσα, ἅπαντα τὸν οἶκον τῆς εὐωδίας ἐμπίπλησι.

«Τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Περὶ τῆς συντελείας λέγει. Τί οὖν πρὸς σέ, ὦ

---

12. Ματθ. 13,10.13.

13. Ἰω. 20,29.

δὴ προσέχετε, πρέπει νὰ παρουσιάσω ὅσα εἶναι κρυμμένα. Γιατὶ καὶ οἱ μαθητὲς πλησίασαν τὸν Ἰησοῦ καὶ μὲ ἀπορία τοῦ ἔλεγαν· «γιατί τοὺς μιλᾶς μὲ παραβολή;» Καὶ ὁ Ἰησοῦς ἀπάντησε, «ἐπειδὴ ἂν καὶ βλέπουν δὲ κατανοοῦν αὐτὰ ποὺ βλέπουν»[12]. Ἐπειδὴ λοιπὸν καὶ σεῖς εἴδατε χωρὶς νὰ δεῖτε, εἶναι ἀνάγκη νὰ μὴ σᾶς μιλήσω μὲ παραβολή. Ἀκόμη εἶπε, «ἂν καὶ ἀκοῦν ὅμως δὲν ἀκοῦν». Ἐπειδὴ λοιπὸν ἐσεῖς χωρὶς νὰ ἀκούσετε τότε ἀκοῦτε τώρα ὄχι λιγότερο ἀπὸ τὸ ἂν ἀκούατε τότε, πρέπει νὰ μὴ σᾶς στερήσω αὐτὸ τὸ τραπέζι. Γιατὶ καὶ ὁ Χριστὸς τοὺς μακάρισε αὐτοὺς ὄχι λιγότερο ἀπὸ ἐκείνους. «Εἶδες», λέγει, «καὶ πίστεψες. Μακάριοι ἐκεῖνοι ποὺ δὲν εἶδαν καὶ πίστεψαν»[13]. Μὴ λοιπὸν γίνεστε ὀκνηροὶ στὴν ἀρετή, γιατὶ δὲν ἀνήκετε σ' ἐκείνους τοὺς χρόνους ἀλλὰ στὴ σημερινὴ ἐποχή. Γιατὶ ἂν θέλεις δὲ θὰ ζημιωθεῖς, ὅπως ἀκριβῶς καὶ πολλοὶ ἀπὸ τοὺς τότε, ἐπειδὴ δὲν ἤθελαν, δὲν ὠφελήθηκαν.

3. Τί λοιπὸν διαβάστηκε σήμερα; «Νὰ γνωρίζετε καὶ αὐτό, ὅτι κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Στὸν Τιμόθεο πάλι γράφει ὁ Παῦλος. Φοβερὴ εἶναι ἡ ἀπειλή, ἀλλὰ ἂς προσέξουμε. Γιατὶ μᾶς ὑπαινίσσεται τοὺς σημερινοὺς καιροὺς καὶ τοὺς ἑπόμενους καὶ αὐτοὺς ποὺ ἀναφέρονται στὴ συνέχεια τοῦ κόσμου. «Νὰ γνωρίζετε καὶ αὐτό, ὅτι κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Σύντομη ἡ φράση καὶ μεγάλη ἡ δύναμή της. Γιατὶ ὅπως τὰ ἀρώματα φανερώνουν τὴ μυρωδιά τους ὄχι μὲ τὸ πλῆθος ἀλλὰ μὲ τὴ φύση τους, ἔτσι καὶ οἱ θεῖες Γραφὲς μᾶς παρέχουν ὅλη τὴν ὠφέλειά τους ὄχι μὲ τὸ πλῆθος τῶν φράσεων ἀλλὰ μὲ τὴ δύναμη τοῦ περιεχομένου τους. Ἔτσι καὶ ἡ φύση τοῦ θυμιάματος καὶ ἀπὸ μόνη της μοσχοβολάει, ὅταν ὅμως τὴ ρίξεις στὴ φωτιά, τότε φανερώνει ὅλη τὴν εὐχαρίστηση ποὺ προσφέρει. Ἔτσι καὶ ἡ θεία Γραφὴ καὶ ἀπὸ μόνη της εἶναι γλυκύτατη, ὅταν ὅμως κυριέψει τὴν ψυχή σας σὰν νὰ ἔπεσε σὲ θυμιατήριο, ὅλο τὸν οἶκο τὸν γεμίζει ἀπὸ τὴ μυρωδιά της.

«Νὰ γνωρίζετε καὶ αὐτό, ὅτι κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Μιλάει γιὰ τὴ συντέλεια τοῦ κόσμου.

μακάριε Παῦλε; τί δὲ πρὸς Τιμόθεον; τί δὲ πρὸς τοὺς τότε ἀκούοντας; Μικρὸν γὰρ ὕστερον μέλλουσιν ἀποθνήσκειν, ἐξαρπάζεσθαι τῶν ἐπιόντων δεινῶν καὶ πονηρῶν ἀνθρώπων. Ἀλλ' οὐχὶ τὰ παρόντα βλέπω μόνον, φησίν, ἀλλὰ καὶ τὰ μέλλοντα προορῶ. Οὐχὶ τῆς παρούσης φείδομαι ποίμνης, ἀλλὰ καὶ ὑπὲρ τῆς μελλούσης ἀγωνιῶ καὶ δέδοικα. Ἡμεῖς μὲν γὰρ τῶν συνόντων ἡμῖν ἀνθρώπων μόλις ποιούμεθα πρόνοιαν, ἐκεῖνος δὲ ὑπὲρ τῶν μηδέπω τεχθέντων πολλὴν ποιεῖται τὴν σπουδήν. Οὕτω καὶ ποιμὴν ἄριστος οὐχ ὅταν ἴδῃ τοὺς λύκους ἐπιόντας τῇ ποίμνῃ καὶ τῶν προβάτων ἐγγὺς γενομένους τότε προλέγει μόνον, ἀλλὰ καὶ πόρρωθεν ὄντας μηνύει.

Οὕτω καὶ ὁ Παῦλος, καθάπερ ποιμὴν ἄριστος, ἐφ' ὑψηλοῦ χωρίου τοῦ τῆς προφητείας ἀξιώματος καθήμενος καὶ τοῖς προφητικοῖς ὀφθαλμοῖς ἄνωθεν προορῶν κατατρέχοντα τὰ θηρία, ἐπ' αὐτῆς τῆς συντελείας ὁρμῶντας καὶ ἀποτεινομένους κατὰ τῆς ποίμνης, προλέγει καὶ προδιαμαρτύρεται, ἵνα καὶ τοὺς μηδέπω γεννωμένους παρασκευάσῃ νήφειν καὶ πᾶσαν τειχίσῃ τὴν ποίμνην τῇ προφητείᾳ. Καὶ γὰρ καὶ πατὴρ φιλόστοργος οἰκίαν οἰκοδομούμενος πολλάκις τοῖς αὐτοῦ παισὶ λαμπρὰν καὶ μεγάλην οὕτως οἰκοδομεῖ, οὐχ ὥστε ἐκείνοις χρησίμην γενέσθαι μόνον, ἀλλὰ καὶ ἐγγόνοις καὶ τοῖς μετ' ἐκείνους. Οὕτω καὶ βασιλεὺς πόλει φιλουμένῃ περιβαλὼν τεῖχος ἔξωθεν, ἀσφαλὲς τοῦτο ποιεῖ καὶ ἰσχυρὸν καὶ διαρκές, οὐχ ἵνα ἐπὶ τῆς γενεᾶς αὐτοῦ μόνης ὑπηρετῇ, ἀλλ' ἵνα καὶ τοῖς μετὰ ταῦτα πᾶσι γένηται χρήσιμον, οὐ πρὸς τὰς τότε μηχανάς, ἀλλὰ πρὸς τὰς ὕστερον γενομένας προσβολὰς ἐπιτήδειον.

Οὕτω καὶ ὁ Παῦλος ἐποίησεν. Ἐπειδὴ γὰρ τὰ γράμματα ἀποστολικὰ τείχη τῶν ἐκκλησιῶν ἐστιν, οὐχὶ τοὺς τότε μόνον ὄντας, ἀλλὰ καὶ τοὺς ὕστερον ἐσομένους ἀσφαλίζεται δι' αὐτῶν. Καὶ οὕτως ἰσχυρὸν καὶ ἀρραγῆ τὸν περίβουλον τοῦτον κατε-

Τί σὲ ἐνδιαφέρει λοιπόν, μακάριε Παῦλε; τί ἐνδιαφέρει ἐπίσης τὸν Τιμόθεο; τί καὶ ἐκείνους ποὺ τότε τὸ ἄκουαν αὐτό; Γιατὶ ὕστερα ἀπὸ λίγο πρόκειται νὰ πεθάνουν, νὰ γλυτώσουν ἀπὸ τὰ ἐπερχόμενα δεινὰ καὶ τοὺς κακοὺς ἀνθρώπους. Δὲ βλέπω μόνο τὰ παρόντα, λέγει, ἀλλὰ βλέπω ἀπὸ τώρα καὶ τὰ μελλοντικά. Δὲ φροντίζω γιὰ τὸ σημερινὸ ποίμνιο ἀλλὰ ἀγωνιῶ καὶ φοβοῦμαι καὶ γιὰ τὸ μελλοντικό. Καὶ ἐμεῖς βέβαια μόλις καὶ μὲ δυσκολία φροντίζουμε γιὰ τοὺς ἀνθρώπους ποὺ βρίσκονται μαζί μας, ἐκεῖνος ὅμως δείχνει πολὺ μεγάλο ἐνδιαφέρον καὶ γι' αὐτοὺς ποὺ δὲ γεννήθηκαν ἀκόμη. Ἔτσι καὶ ἕνας ποιμένας ἄριστος δὲ φωνάζει μόνο ὅταν δεῖ τοὺς λύκους νὰ ἐπιτίθενται στὸ ποίμνιο καὶ νὰ πλησιάζουν τὰ πρόβατα, ἀλλὰ καὶ ὅταν ἀκόμη εἶναι μακριὰ εἰδοποιεῖ τοὺς ἄλλους.

Ἔτσι καὶ ὁ Παῦλος, σὰν ἕνας ἄριστος ποιμένας, καθισμένος στὸν ὑψηλὸ τόπο τοῦ προφητικοῦ ἀξιώματος καὶ βλέποντας ἀπὸ πρὶν μὲ τὰ προφητικά του μάτια ἀπὸ ψηλὰ νὰ ἐπιτίθενται τὰ θηρία, νὰ ὁρμοῦν κατὰ τὴ συντέλεια τοῦ κόσμου καὶ νὰ κατευθύνονται ἐναντίον τοῦ ποιμνίου προλέγει καὶ ἐπιβεβαιώνει τὸ γεγονὸς ἀπὸ πρίν, μὲ σκοπὸ καὶ ἐκείνους ποὺ δὲ γεννήθηκαν ἀκόμη νὰ προετοιμάσει γιὰ νὰ ἀγρυπνοῦν καὶ ὅλο τὸ ποίμνιο νὰ προφυλάξει μὲ τὴν προφητεία. Γιατὶ καὶ ἕνας φιλόστοργος πατέρας πολλὲς φορὲς κατασκευάζοντας σπίτι γιὰ τὰ παιδιά του τὸ κάνει τόσο λαμπρὸ καὶ μεγάλο, ὥστε νὰ γίνει χρήσιμο ὄχι μόνο σ' ἐκεῖνα ἀλλὰ καὶ στὰ ἐγγόνια καὶ στοὺς ἑπόμενους ἀπ' αὐτά. Ἔτσι καὶ ἕνας βασιλιὰς ὅταν περιβάλει μία ἀγαπημένη του πόλη ἐξωτερικὰ μὲ τεῖχος, κάνει αὐτὸ ἀσφαλες καὶ ἰσχυρὸ καὶ μόνιμο, γιὰ νὰ ἐξυπηρετεῖ ὄχι μόνο στὴ γενεά του ἀλλὰ καὶ γιὰ νὰ γίνει χρήσιμο σὲ ὅλους τοὺς μεταγενέστερους, κατάλληλο ὄχι μόνο γιὰ τὶς τότε πολιορκητικὲς μηχανὲς ἀλλὰ καὶ γιὰ τὶς μελλοντικὲς ἐπιθέσεις.

Ἔτσι ἔκαμε καὶ ὁ Παῦλος. Ἐπειδὴ δηλαδὴ οἱ ἐπιστολὲς εἶναι τὰ ἀποστολικὰ τείχνη τῶν ἐκκλησιῶν, προφυλάσσει μ' αὐτὲς ὄχι μόνο ἐκείνους ποὺ ζοῦσαν τότε ἀλλὰ καὶ τοὺς μεταγενέστερους. Καὶ τόσο ἰσχυρὸ καὶ ἀρραγὴ κατασκεύασε αὐτὸν

σκεύασε καὶ πάσῃ περιήλασεν αὐτὸν τῇ οἰκουμένῃ μετὰ ἀσφαλείας ἁπάσης, ὥστε καὶ τοὺς τότε καὶ τοὺς μετ' ἐκείνους καὶ τοὺς νῦν καὶ τοὺς αὖθις ἐπομένους μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας ἁπάσης ἀπαλλάξαι τῆς τῶν πολεμίων πολιορκίας. Τοιαῦται τῶν ἁγίων αἱ ψυχαί· φιλόστοργοι, κηδεμονικαί, πατρικὴν εὔνοιαν ἀποκρύπτουσαι τῷ φίλτρῳ, καὶ τὴν τῆς φύσεως φιλοστοργίαν νικῶσαι, καὶ τὰς ὠδῖνας ὑπερβαίνουσαι ἐκείνας· Πνεύματος γάρ εἰσι καὶ θείας χάριτος.

4. Βούλεσθε καὶ ἑτέρωθεν δείξω πάλιν, ὅτι οὐ τὰ καθ' ἑαυτοὺς μεριμνῶσιν οἱ ἅγιοι, οὐδὲ ὑπὲρ τῶν παρόντων δεδοίκασι μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μετὰ ταῦτα ἐσομένων; «Προσῆλθον», φησίν, «οἱ μαθηταὶ ἐπὶ τοῦ ὄρους καθημένῳ», ἄνθρωποι λοιπὸν γεγηρακότες καὶ μετ' ὀλίγον χρόνον μέλλοντες ἀποδημεῖν ἀπὸ τῆς παρούσης ζωῆς. Τί οὖν ἐρωτῶσι; τί ἀγωνιῶσι; τί δεδοίκασι; ὑπὲρ τίνων τὴν πεῦσιν τῷ διδασκάλῳ προσάγουσιν; ἆρα ὑπὲρ τῶν κατὰ τὴν ζωὴν αὐτῶν, ἢ ὑπὲρ τῶν κατὰ τοὺς χρόνους ἐκείνους; Οὐδαμῶς. Ἀλλὰ πάντα ἐκεῖνα παραδραμόντες τί λέγουσι; «Τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος;». Εἶδες κἀκείνους ὑπὲρ τῆς συντελείας τοῦ αἰῶνος ἐρωτῶντας; Οὐ γὰρ τὰ ἑαυτῶν ὁρῶσιν οἱ ἀπόστολοι, ἀλλὰ τὰ τῶν ἄλλων καὶ κοινῇ πάντες καὶ ἰδίᾳ ἕκαστος.

Ὁ οὖν Πέτρος, ὁ κορυφαῖος τοῦ χοροῦ, τὸ στόμα τῶν ἀποστόλων ἁπάντων, ἡ κεφαλὴ τῆς φατρίας ἐκείνης, ὁ τῆς οἰκουμένης ἁπάσης προστάτης, ὁ θεμέλιος τῆς Ἐκκλησίας, ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ· «Πέτρε», γάρ φησι, «φιλεῖς με πλεῖον τούτων;». Διὰ τοῦτο λέγω τὰ ἐγκώμια, ἵνα μάθητε ὅτι ὄντως φιλεῖ τὸν Χριστόν· τοῦ γὰρ εἰς τὸν Δεσπότην φίλτρου ἡ κηδεμονία τῶν δούλων τεκμήριόν ἐστι μέγιστον. Καὶ οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλ' αὐτὸς ὁ φιλούμενος Δεσπότης· «εἰ φιλεῖς με», φησί, «ποίμαινε τὰ πρόβατά μου». Ἴδωμεν οὖν ὄντως εἰ ποιμένος ἔχει

---

14. Ματθ. 24,3.
15. Ἰω. 21,15.

τὸν περίβολο καὶ τὸν περιέφερε μὲ κάθε ἀσφάλεια σὲ ὁλόκληρη τὴν οἰκουμένη, ὥστε καὶ τοὺς τότε καὶ τοὺς μεταγενέστερους καὶ τοὺς σημερινοὺς καὶ τοὺς ἀμέσως ἑπόμενους μέχρι τὴν παρουσία τοῦ Χριστοῦ νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὴν πολιορκία τῶν ἐχθρῶν. Τέτοιες εἶναι οἱ ψυχὲς τῶν ἁγίων· φιλόστοργες, κηδεμονικές, καλύπτοντας μὲ τὴν ἀγάπη τὴν πατρικὴ εὔνοια, νικώντας τὴ φιλοστοργία τῆς φύσης καὶ ξεπερνώντας ἐκεῖνες τὶς ὠδίνες, γιατὶ εἶναι τοῦ Πνεύματος καὶ τῆς θείας χάριτος.

4. Θέλετε νὰ σᾶς δείξω καὶ ἀπὸ ἀλλοῦ πάλι ὅτι οἱ ἅγιοι δὲ φροντίζουν γιὰ τὰ δικά τους καὶ ὅτι δὲν ἐνδιαφέρονται μόνο γιὰ τοὺς παρόντες ἀλλὰ καὶ γιὰ τοὺς μεταγενέστερους; «Ὅταν ὁ Ἰησοῦς καθόταν στὸ ὄρος», λέγει, «τὸν πλησίασαν οἱ μαθητές»[14], ἄνθρωποι ποὺ ἦταν γερασμένοι καὶ ποὺ ἐπρόκειτο ὕστερα ἀπὸ λίγο νὰ φύγουν ἀπὸ τὴν παρούσα ζωή. Τί λοιπὸν ἐρωτοῦν; γιὰ τί ἀγωνιοῦν; γιὰ τί ἐνδιαφέρονται; γιὰ ποιά πράγματα ἐρωτοῦν τὸ διδάσκαλο; μήπως γιὰ πράγματα τῆς δικῆς τους ζωῆς ἢ μήπως γιὰ πράγματα τῶν ἀνθρώπων τῆς ἐποχῆς ἐκείνης; Καθόλου. Ἀλλὰ παρατρέχοντας ὅλα ἐκεῖνα τί λέγουν; «Ποιό εἶναι τὸ σημάδι τῆς δικῆς σου παρουσίας καὶ τῆς συντέλειας τοῦ κόσμου;». Εἶδες ὅτι καὶ αὐτοὶ ἐρωτοῦν γιὰ τὴ συντέλεια τοῦ κόσμου καὶ φροντίζουν γιὰ τοὺς ἀνθρώπους ποὺ θὰ γεννηθοῦν ἀργότερα; Γιατὶ οἱ ἀπόστολοι δὲ βλέπουν τὰ δικά τους ἀλλὰ τὰ πράγματα τῶν ἄλλων καὶ ὅλοι μαζὶ καὶ ξεχωριστὰ ὁ καθένας.

Ὁ Πέτρος λοιπὸν ἦταν ὁ κορυφαῖος τοῦ χοροῦ, τὸ στόμα ὅλων τῶν ἀποστόλων, ἡ κεφαλὴ τῆς ὁμάδας ἐκείνης, ὁ προστάτης ὅλης τῆς οἰκουμένης, τὸ θεμέλιο τῆς Ἐκκλησίας, ὁ θερμὸς ἐραστὴς τοῦ Χριστοῦ· γιατὶ λέγει, «Πέτρε, μὲ ἀγαπᾶς περισσότερο ἀπ' αὐτούς;»[15]. Γι' αὐτὸ ἀναφέρω τοὺς ἐπαίνους, γιὰ νὰ μάθετε ὅτι πραγματικὰ ἀγαπάει τὸ Χριστό· γιατὶ ἡ φροντίδα γιὰ τοὺ δούλους εἶναι μέγιστη ἀπόδειξη τῆς ἀγάπης πρὸς τὸν Κύριο. Καὶ δὲν τὰ λέγω ἐγὼ αὐτά, ἀλλ' ὁ ἴδιος ὁ ἀγαπώμενος Κύριος. «Ἂν μὲ ἀγαπᾶς», λέγει, «ποίμαινε τὰ πρόβατά μου». Ἂς δοῦμε λοιπὸν ἂν πραγματικὰ παρουσιάζει τὴν προστασία ποὺ

προστασίαν, εἰ ὄντως κηδεμονίαν, εἴ ὄντως φιλεῖ τὰ πρόβατα, εἰ ὄντως φιλόστοργός ἐστι περὶ τὴν ποίμνην, ἵνα καταμάθωμεν ὅτι καὶ τὸν ποιμένα φιλεῖ· τοῦτο γὰρ ἐκείνου σημεῖον ἔφησεν εἶναι.

Οὗτος τοίνυν ὁ Πέτρος ἅπαντα ρίψας ὅσα εἶχε, τὸ δίκτυον, τὰ ἐν τῷ πλοίῳ πάντα, καὶ ἀφεὶς τὴν θάλατταν, τὴν τέχνην, τὴν οἰκίαν. Μὴ γὰρ δὴ τοῦτο ἴδωμεν, ὅτι ὀλίγα ταῦτα, ἀλλ' ὅτι πάντα τὰ ὄντα· καὶ τὴν προθυμίαν ἐπαινέσωμεν. Καὶ γὰρ ἡ τὰ δύο καταβαλοῦσα δηνάρια οὐ πολὺν ὄγκον κατέθηκε χρημάτων, ἀλλὰ πολὺν πλοῦτον ἐπεδείξατο προαιρέσεως, καθάπερ καὶ οὗτος ἐν πολλῇ πενίᾳ μεγάλην εὐπορίαν προθυμίας παρέσχετο. Ὅπερ γὰρ ἑτέρῳ χωρία καὶ ἀνδράποδα καὶ οἰκήματα καὶ χρυσίον, τοῦτο ἐκείνῳ τὸ δίκτυον καὶ ἡ θάλαττα καὶ ἡ τέχνη καὶ τὸ πλοῖον. Μὴ τοίνυν τοῦτο ἴδωμεν, εἰ ὀλίγα ἀφῆκεν, ἀλλ' εἰ μὴ πάντα ἀφῆκε. Τοῦτο γάρ ἐστι τὸ ζητούμενον, οὐκ ὀλίγα ἢ πολλὰ καταθεῖναι, ἀλλὰ μηδὲν ἐλάτω τῆς οἰκείας δυνάμεως εἰσενεγκεῖν.

Πάντα τοίνυν ἀφείς, καὶ πατρίδα, καὶ οἰκίαν, καὶ φίλους, καὶ συγγενεῖς, καὶ αὐτὴν τὴν ἀσφάλειαν· καὶ γὰρ τὸν δῆμον τὸν ἰουδαϊκὸν ἑαυτῷ τούτῳ τῷ τρόπῳ ἐξεπολέμησεν· «ἤδη», γάρ, φησί, «συνέθεντο Ἰουδαῖοι, ἐάν τις ὁμολογήσῃ αὐτὸν Χριστόν, ἀποσυνάγωγος γένηται». Ὅθεν δῆλον ὅτι οὐκ ἀμφέβαλλεν, οὐδὲ ἐδεδοίκει περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλὰ σφόδρα ἐπέπειστο, καὶ ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀποδείξεως, καὶ πρὸ τῆς τῶν πραγμάτων ἀποδείξεως ἀπὸ τῆς τοῦ Σωτῆρος φωνῆς, ὅτι κληρονομήσει πάντως αὐτήν. Εἰπὼν γάρ, ὅτι «ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἡμῖν ἔσται;», ἀπεκρίθη αὐτοῖς ὁ Χριστός, ὅτι «καθήσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντας τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ». Ταῦτα δὲ κατεσκεύασα, ἵνα ὅταν δείξω αὐτὸν ἀγωνιῶντα ὑπὲρ τῶν συνδούλων, μὴ εἴπῃς ὅτι ὑπὲρ ἑαυτοῦ ἐδεδοίκει. Πῶς γὰρ ἂν ἔδεισεν, αὐτοῦ τοῦ μέλλοντος αὐτὸν στεφανοῦν ἀποφηναμένου ὑπὲρ τοῦ στεφάνου καὶ τῶν βραβείων;

16. Βλ. Λουκᾶ 21,1–4. 17. Ἰω. 9,22. 18. Ματθ. 19,27.28.

ἁρμόζει σὲ ποιμένα, ἂν πραγματικὰ ἔχει τὴ φροντίδα, ἂν πραγματικὰ ἀγαπάει τὰ πρόβατα, ἂν πραγματικὰ εἶναι φιλόστοργος γιὰ τὸ ποίμνιο, γιὰ νὰ μάθουμε καλὰ πῶς ἀγαπάει καὶ τὸν ποιμένα· γιατὶ αὐτὸ εἶπε πῶς εἶναι ἀπόδειξη ἐκείνου.

Αὐτὸς λοιπὸν ὁ Πέτρος πέταξε ὅλα ὅσα εἶχε, τὸ δίχτυ, ὅλα ὅσα βρίσκονταν στὸ πλοῖο, καὶ ἐγκατέλειψε τὴ θάλασσα, τὸ ἐπάγγελμα, τὸ σπίτι. Καὶ ἂς μὴ δοῦμε ὅτι εἶναι λίγα αὐτά, ἀλλὰ ὅτι εἶναι ὅλα ὅσα εἶχε, καὶ ἂς ἐπαινέσουμε τὴν προθυμία του. Γιατὶ καὶ ἡ γυναίκα ποὺ ἔρριξε τὰ δύο δηνάρια δὲν κατέθεσε μεγάλο χρηματικὸ ποσὸ ἀλλ' ἔδειξε πολὺ πλούσια προαίρεση[16], ὅπως ἀκριβῶς καὶ αὐτὸς παρ' ὅλο ποὺ βρισκόταν σὲ μεγάλη φτώχεια παρουσίασε μεγάλο πλοῦτο προθυμίας. Ὅπως δηλαδὴ γιὰ ἄλλον ἦταν τὰ κτήματα, οἱ δοῦλοι, τὰ κτίσματα καὶ τὸ χρυσάφι, ἔτσι γιὰ ἐκεῖνον ἦταν τὸ δίχτυ, ἡ θάλασσα, τὸ ἐπάγγελμα καὶ τὸ πλοῖο. Ἂς μὴ δοῦμε λοιπὸν ἂν ἄφησε λίγα, ἀλλὰ ἂν δὲν τὰ ἄφησε ὅλα. Γιατὶ αὐτὸ εἶναι τὸ ζητούμενο, ὄχι τὸ ἂν καταθέσει κανεὶς λίγα ἢ πολλά, ἀλλὰ τὸ νὰ μὴν προσφέρει λιγότερα ἀπὸ τὶς δυνάμεις του.

Ὅλα λοιπὸν αὐτὰ τὰ ἄφησε, καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ τὴν ἴδια του τὴν ἀσφάλεια, γιατὶ καὶ τὸν ἰουδαϊκὸ λαὸ ἔκαμε ἐχθρό του μ' αὐτὸν τὸν τρόπο· «γιατὶ οἱ Ἰουδαῖοι», λέγει, «εἶχαν συμφωνήσει ἤδη νὰ ἀφορίζεται ἀπὸ τὴ συναγωγὴ ὁποιος παραδεχθεῖ τὸν Ἰησοῦ ὡς Μεσσία»[17]. Ἑπομένως εἶναι φανερὸ πῶς δὲν εἶχε ἀμφιβολίες οὔτε δισταγμοὺς γιὰ τὴ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ εἶχε ὑπερβολικὰ πεισθεῖ, καὶ ἀπὸ τὴν ἴδια τὴν ἀπόδειξη τῶν πραγμάτων καὶ πρὶν ἀπ' αὐτὴ τὴν ἀπόδειξη ἀπὸ τὸ στόμα τοῦ Σωτήρα, πῶς ὁπωσδήποτε θὰ τὴν κληρονομήσει. Γιατὶ ἀφοῦ εἶπε, «ἐμεῖς τὰ ἀφήσαμε ὅλα καὶ σὲ ἀκολουθήσαμε, τί θὰ γίνει μὲ μᾶς;», τοὺς ἀπάντησε ὁ Χριστός· «θὰ καθίσετε σὲ δώδεκα θρόνους, γιὰ νὰ κρίνετε τὶς δώδεκα φυλὲς τοῦ Ἰσραήλ»[18]. Καὶ αὐτὰ τὰ ἑτοίμασα γιὰ νὰ μὴν πεῖς ὅτι φοβᾶται γιὰ τὸν ἑαυτό του, ὅταν τὸν παρουσιάσω νὰ ἀγωνιᾶ γιὰ τοὺς συνδούλους του. Γιατὶ πῶς θὰ φοβόταν ὅταν τὸ ἴδιο τὸ μέλλον ἀποφάσισε νὰ τὸν στεφανώσει γιὰ τὴ νίκη καὶ τὰ βραβεῖα του;

Οὗτος τοίνυν ὁ Πέτρος, ὁ πάντα ἀφείς, ὁ θαρρῶν ὑπὲρ τῆς βασιλείας τῶν οὐρανῶν, προσελθόντος ποτὲ πλουσίου τινὸς καὶ εἰπόντος τῷ Χριστῷ, «τί ποιήσω ἵνα κληρονομήσω ζωὴν αἰώνιον;» καὶ τοῦ Χριστοῦ πρὸς αὐτὸν ἀποκριναμένου, «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ δεῦρο ἀκολούθει μοι», εἶτα πρὸς τοῦτο λυπηθέντος ἐκείνου καὶ λέγοντος τοῖς μαθηταῖς τοῦ Χριστοῦ, «ὁρᾶτε πῶς δυσκόλως εἰσέρχονται οἱ πλούσιοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»· ὁ Πέτρος, ὁ ἀκτήμων, ὁ θαρρῶν ὑπὲρ τῆς βασιλείας, ὁ ὑπὲρ τῆς ἑαυτοῦ μὴ δεδοικὼς σωτηρίας, ὁ πεπεισμένος σαφῶς περὶ τῆς ἐκεῖ αὐτῷ ἀποκειμένης τιμῆς, ἀκούσας ταῦτα ἔλεγε· «τίς δύναται σωθῆναι;».

Τί δέδοικας, ὦ μακάριε Πέτρε; τί ἀγωνιᾷς; τί τρέμεις; Πάντα ἔρριψας, πάντα ἀφῆκας· περὶ τῶν πλουτούντων ὁ λόγος, ἐκείνων κατηγορία τὸ λεγόμενον· σὺ δὲ ἐν πενίᾳ καὶ ἀκτημοσύνῃ διατελεῖς ζῶν. Ἀλλ' οὐ τὸ ἐμαυτοῦ σκοπῶ, φησίν, ἀλλὰ καὶ τὸ ἑτέρων συμφέρον ζητῶ. Διὰ τοῦτο ὑπὲρ τῶν καθ' ἑαυτὸν θαρρῶν, ὑπὲρ τῶν ἄλλων τὴν πεῦσιν προσήγαγε λέγων, «τίς δύναται σωθῆναι;».

5. Εἶδες τῶν ἀποστόλων τὴν κηδεμονίαν; πῶς ἓν σῶμά εἰσιν; εἶδες πῶς καὶ ὑπὲρ τῶν παρόντων καὶ ὑπὲρ τῶν μελλόντων ἐδεδοίκει ὁ Πέτρος; Οὕτω καὶ ὁ Παῦλος. Διὸ ἔλεγε· «γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Καὶ ἀλλαχοῦ δὲ τοῦτο ποιεῖ πάλιν. Ἐπειδὴ γὰρ ἔμελλε λοιπὸν ἀφίστασθαι τῆς Ἀσίας καὶ ἐπὶ τὴν Ῥώμην ἄγεσθαι καὶ ἐκεῖθεν ἐπὶ τὸν οὐρανὸν ἀποδημεῖν (ὁ θάνατος γὰρ τῶν ἁγίων οὐκ ἔστι θάνατος, ἀλλὰ μετάστασις ἀπὸ γῆς εἰς οὐρανόν, ἀπὸ τῶν ἐλαττόνων εἰς τὰ βελτίω, ἀπὸ τῶν συνδούλων ἐπὶ τὸν Δεσπότην, ἀπὸ τῶν ἀνθρώπων πρὸς τοὺς ἀγγέλους)· ἐπεὶ οὖν ἔμελλεν ἀπιέναι πρὸς τὸν τῶν ἁπάντων Δεσπότην Θεὸν καὶ τὰ καθ' ἑαυ-

19. Ματθ. 19,16. 21. Ματθ. 19,23–24.
20. Ματθ. 19,21. 22. Ματθ. 19,25.

Αὐτὸς λοιπὸν ὁ Πέτρος, ποὺ ἄφησε τὰ πάντα, ποὺ πίστευε στὴ βασιλεία τῶν οὐρανῶν, ὅταν πλησίασε κάποτε τὸ Χριστὸ ἕνας πλούσιος καὶ τοῦ εἶπε, «τί νὰ κάνω γιὰ νὰ κληρονομήσω τὴν αἰώνια ζωή;»[19] καὶ ὁ Χριστὸς τοῦ ἀποκρίθηκε, «ἂν θέλεις νὰ εἶσαι τέλειος, πήγαινε, πούλησε τὰ ὑπάρχοντά σου καὶ μοίρασέ τα στοὺς φτωχοὺς καὶ ἔλα καὶ ἀκολούθα με»[20], καὶ ἐπειδὴ στὴ συνέχεια λυπήθηκε ἐκεῖνος γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε στοὺς μαθητές του, «βλέπετε πόσο δύσκολα μπαίνουν οἱ πλούσιοι στὴ βασιλεία τῶν οὐρανῶν· ἀλήθεια σᾶς λέγω ὅτι εἶναι εὐκολότερο νὰ περάσει μιὰ καμήλα ἀπὸ τὴν τρύπα μιᾶς βελόνας παρὰ πλούσιος νὰ μπεῖ στὴ βασιλεία τοῦ Θεοῦ»[21], ὁ Πέτρος τότε, ποὺ δὲν εἶχε κτήματα, ποὺ ἔλπιζε στὴ βασιλεία τῶν οὐρανῶν, ποὺ δὲ φοβόταν γιὰ τὴ δική του σωτηρία, ποὺ εἶχε πεισθεῖ καλὰ γιὰ τὴν τιμὴ ποὺ τὸν περίμενε ἐκεῖ, ἀφοῦ τὰ ἄκουσε αὐτὰ ἔλεγε· «ποιός μπορεῖ νὰ σωθεῖ;»[22]. Τί φοβᾶσαι, μακάριε Πέτρε; τί ἀγωνιᾶς; τί τρέμεις; Ὅλα τὰ ἔρριξες, ὅλα τὰ ἐγκατέλειψες. Ὁ λόγος εἶναι γιὰ τοὺς πλουσίους, ἐναντίον αὐτῶν στρέφεται τὸ λεγόμενο, ἐνῶ ἐσὺ ζεῖς μὲ φτώχεια καὶ ἀκτημοσύνη. Δὲν ἐνδιαφέρομαι, λέγει, γιὰ τὸ δικό μου συμφέρον, ἀλλὰ ζητῶ τὸ συμφέρον τῶν ἄλλων. Γι' αὐτό, ἐλπίζοντας γιὰ τὰ δικά του, ἔκαμε τὴν ἐρώτηση γιὰ τοὺς ἄλλους, λέγοντας, «ποιός μπορεῖ νὰ σωθεῖ;».

5. Εἶδες τὴ φροντίδα τῶν ἀποστόλων; πῶς εἶναι ἕνα σῶμα; εἶδες πῶς ὁ Πέτρος ἐνδιαφερόταν καὶ γιὰ τοὺς συγχρόνους του καὶ γιὰ τοὺς μεταγενεστέρους του; Τὸ ἴδιο κάνει καὶ ὁ Παῦλος. Γι' αὐτὸ ἔλεγε· «νὰ γνωρίζετε ὅτι κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Καὶ ἀλλοῦ πάλι κάνει τὸ ἴδιο. Ὅταν λοιπὸν ἐπρόκειτο νὰ φύγει ἀπὸ τὴν Ἀσία καὶ νὰ πάει στὴ Ρώμη, καὶ ἀπὸ ἐκεῖ νὰ ἀναχωρήσει γιὰ τὸν οὐρανὸ (γιατὶ ὁ θάνατος τῶν ἁγίων δὲν εἶναι θάνατος, ἀλλὰ μετάθεση ἀπὸ τὴ γῆ στὸν οὐρανό, ἀπὸ τὰ χειρότερα στὰ καλύτερα, ἀπὸ τοὺς συνδούλους στὸν Κύριο, ἀπὸ τοὺς ἀνθρώπους στοὺς ἀγγέλους)· ὅταν λοιπὸν ἐπρόκειτο νὰ πάει πρὸς τὸν Κύριο τῶν ὅλων, τὸ Θεό, ρύθμισε καὶ ὅλα τὰ δικά του καλῶς. Γιατὶ ὅσο καιρὸ ἦταν

τὸν πάντα καλῶς ᾠκονόμησε. Καὶ γὰρ τὸν χρόνον, ὃν συνῆν τοῖς μαθηταῖς, μετὰ πάσης ἀκριβείας τὴν διδασκαλίαν αὐτοῖς παρέθετο, καὶ λέγει· «Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων», καὶ οὐδὲν ἐνέλιπον, φησί, τῶν ὀφειλόντων εἰσενεχθῆναι πρὸς σωτηρίαν.

Τί οὖν; ἐπειδὴ τὰ καθ' ἑαυτὸν ἠσφαλίσατο, ἐπειδὴ ἐγκαλεῖσθαι οὐκ ἤμελλεν ἀπὸ τοῦ Δεσπότου ὑπὲρ τῶν κατ' αὐτὸν χρόνων, ἆρα ἠμέλησε τῶν μετὰ ταῦτα ψυχῶν; Οὐδαμῶς· ἀλλ' ὥσπερ μέλλων καὶ ἐκείνων εὐθύνας ὑπέχειν, οὕτως κἀκεῖνα μετὰ πάσης αὐτοῖς λέγει τῆς ἀκριβείας, καὶ αὐτὰ ἃ πάλιν ἀναγνώσωμεν τὰ ῥήματα· «προσέχετε», φησίν, «ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ». Εἶδες πῶς ἦν συνδεδεμένος αὐτῶν τῇ φροντίδι; Ἡμῶν μὲν γὰρ ἕκαστος τὰ καθ' ἑαυτὸν μεριμνᾷ, ὁ δὲ προεστὼς τὰ πάντων. Διό φησι περὶ τῶν διδασκάλων· «οἵτινες ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς λόγον ἀποδώσοντες». Φοβερὸν ὄντως τὸ κρυπτήριον ὑπὲρ τοσούτου δήμου τὰς εὐθύνας ὑπέχειν· ἀλλ', ὅπερ ἔλεγον, καλέσας αὐτούς φησι· «προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς ἔθετο τὸ Πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους».

Τί γέγονεν; τίνος ἕνεκεν παραινεῖς; μή τι προορᾷς δεινόν; μή τι προβλέπεις χαλεπόν; μή τις κίνδυνος, μή τις συμφορά, μή τις πόλεμος; Εἰπέ· καὶ γὰρ ὑψηλότερος ἡμῶν ἕστηκας· καὶ οὐ τὰ παρόντα βλέπεις μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα προορᾷς. Εἰπὲ τοίνυν τίνος ἕνεκεν παραγγέλλεις ταῦτα καὶ παραινεῖς. «Οἶδα», φησίν, «ὅτι μετὰ τὴν ἄφιξίν μου εἰσελεύσονται λύκοι βαρεῖς εἰς τὸ ποίμνιον». Εἶδες ὅπερ ἔλεγον, πῶς οὐχ ὑπὲρ τῶν καθ' ἑαυτὸν χρόνον ἀγωνιᾷ καὶ δέδοικε μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν μετὰ τὴν ἄφιξιν αὐτοῦ; «Εἰσελεύσονται γὰρ λύκοι», φησί· καὶ οὐχ ἁπλῶς, λύκοι, ἀλλά, «λύκοι βαρεῖς μὴ φειδόμενοι τοῦ ποιμνίου». Διπλοῦς ὁ πόλεμος· ἀπουσία Παύλου, καὶ ἔφοδος τῶν λύκων· οὐδὲ ὁ διδάσκαλος πάρεστιν, καὶ οἱ διαφθείροντες ἐπικείσονται. Καὶ σκόπει κακουργίαν θηρίων καὶ πονηρῶν ἀν-

23. Πράξ. 20,26.
24. Πράξ. 20,28.
25. Ἑβρ. 13,17.
26. Πράξ. 20,29.

μὲ τοὺς μαθητές του τοὺς παρέδινε τὴ διδασκαλία μὲ κάθε ἀκρίβεια, καὶ λέγει, «εἶμαι ἀθῶος ἀπὸ τὸ αἷμα ὅλων σας»[23], καὶ δὲν παρέλειψα τίποτε, λέγει, ἀπ' αὐτὰ ποὺ ἔπρεπε νὰ προσφερθοῦν γιὰ τὴ σωτηρία.

Τί λοιπόν; ἐπειδὴ ἐξασφάλισε τὸν ἑαυτό του, ἐπειδὴ δὲν ἐπρόκειτο νὰ κατηγορηθεῖ ἀπὸ τὸν Κύριο γιὰ τοὺς συγχρόνους του, μήπως ἀμέλησε γιὰ τὶς μεταγενέστερες ψυχές; Καθόλου. Ἀλλὰ σὰ νὰ ἐπρόκειτο νὰ ἀναλάβει τὶς εὐθύνες καὶ γιὰ ἐκείνους, ἔτσι τοὺς λέγει καὶ ἐκεῖνα μὲ κάθε ἀκρίβεια, τὰ ὁποῖα ἂς τὰ διαβάσουμε πάλι. «Προσέχετε», λέγει, «τὸν ἑαυτό σας καὶ ὁλόκληρο τὸ ποίμνιο»[24]. Εἶδες πῶς ἦταν δεμένος μαζί τους μὲ τὴ φροντίδα; Γιατὶ ὁ καθένας ἀπὸ μᾶς φροντίζει γιὰ τὸν ἑαυτο του, ἐνῶ ὁ ἐπίσκοπος γιὰ ὅλους. Γι' αὐτὸ λέγει γιὰ τοὺς διδασκάλους· «αὐτοὶ ἀγρυπνοῦν γιὰ τὴ σωτηρία τῶν ψυχῶν μας, ἐπειδὴ θὰ δώσουν λόγο στὸ Θεό»[25]. Πραγματικὰ εἶναι φοβερὸ τὸ βάρος νὰ ἔχει κανεὶς τὶς εὐθύνες γιὰ τόσο πολὺ λαό. Ἀλλά, ὅπως σᾶς εἶπα, ὅταν τοὺς κάλεσε λέγει· «προσέχετε τὸν ἑαυτό σας καὶ ὁλόκληρο τὸ ποίμνιο, στὸ ὁποῖο τὸ ἅγιο Πνεῦμα σᾶς τοποθέτησε ποιμένες καὶ ἐπισκόπους».

Τί ἔγινε; γιὰ ποιό λόγο συμβουλεύεις; μήπως προβλέπεις κάποιο κακό; μήπως προβλέπεις κάτι φοβερό; μήπως ὑπάρχει κάποιος κίνδυνος, κάποια συμφορά, κάποιος πόλεμος; Ἀπάντησε. Γιατὶ στέκεσαι ψηλότερα ἀπὸ μᾶς καὶ δὲ βλέπεις μόνο τὰ παρόντα, ἀλλὰ προβλέπεις καὶ τὰ μελλοντικά. Πὲς λοιπὸν γιὰ ποιό λόγο τὰ παραγγέλλεις καὶ τὰ συμβουλεύεις αὐτά. «Τὸ ξέρω», λέγει, «ὅτι μετὰ τὴν ἀναχώρησή μου θὰ εἰσβάλουν λύκοι ἄγριοι στὸ ποίμνιο»[26]. Εἶδες αὐτὸ ποὺ ἔλεγα, πῶς δὲν ἀγωνιᾶ καὶ δὲ φοβᾶται μόνο γιὰ τοὺς συγχρόνους του, ἀλλὰ καὶ γιὰ ἐκείνους ποὺ θὰ ἔρθουν μετὰ τὴν ἀναχώρησή του; «Θὰ εἰσβάλουν λύκοι», λέγει, καὶ ὄχι ἁπλῶς λύκοι ἀλλά, «λύκοι ἄγριοι, ποὺ δὲ θὰ λυπηθοῦν τὸ ποίμνιο». Διπλὸς ὁ πόλεμος· ἀπουσία τοῦ Παύλου καὶ ἐπίθεση τῶν λύκων· ὁ διδάσκαλος θὰ εἶναι ἀπὼν καὶ αὐτοὶ ποὺ κάνουν τὸ κακὸ θὰ ἐπιτεθοῦν. Καὶ πρόσεχε τὴν κακία τῶν θηρίων καὶ τὴν ἐπινόηση τῶν πονηρῶν ἀνθρώ-

θρώπων ἐπίνοιαν· τὴν ἀπουσίαν παρετηρήσαντο τοῦ διδασκάλου, καὶ τότε ἐπέθεντο τῷ ποιμνίῳ.

Τί οὖν; ἀποστρατεύτους ἡμᾶς ἐᾷς καὶ προλέγεις τὰ δεινὰ μόνον, οὐδεμίαν δὲ ἐπινοεῖς παραμυθίαν; Ἀλλὰ ἂν τοῦτο ποιῇς, μᾶλλον αὔξεις τὴν δειλίαν καὶ καταβάλλεις τὰ φρονήματα καὶ ἐκλύεις τὰ νεῦρα, παραλύεις τὰς χεῖρας τῶν ἀκουόντων. Διά τοι τοῦτο πρότερον αὐτοὺς τοῦ Πνεύματος ἀνέμνησεν· «ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ποιμένας καὶ ἐπισκόπους». Κἂν Παῦλος ἀπίῃ, φησίν, ἀλλ' ὁ Παράκλητος πάρεστιν. Εἶδες πῶς ἐπτέρωσεν αὐτῶν τὴν ψυχήν, ἀναμνήσας τοῦ διδασκάλου τοῦ θείου, δι' ὃν καὶ αὐτὸς παρὼν ἴσχυε; Τίνος οὖν ἕνεκεν εἰς φόβον ἐνέβαλεν; Ἵνα ἐκβάλῃ πάλιν τὴν ῥᾳθυμίαν. Ἑκάτερα γὰρ δεῖ ποιεῖν τὸν συμβουλεύοντα, μήτε ἀφιέναι θαρρεῖν τὸν ἀκούοντα, ἵνα μὴ ῥᾳθυμότερος γένηται, μήτε φοβεῖν πάλιν μόνον, ἵνα μὴ εἰς δειλίαν ἐμπέσῃ. Ἀναμνήσας μὲν οὖν τοῦ Πνεύματος ἐξέβαλε τὴν δειλίαν, εἰπὼν δὲ τοὺς λύκους ἐξέβαλε τὴν ῥᾳθυμίαν. «Λύκοι βαρεῖς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Προσέχετε ἑαυτοῖς. Οὐδὲν ὑπεστειλάμην», φησί· «μνημονεύετέ μου». Ἱκανὸν γὰρ ὄντως εἰς τὸ θαρρεῖν τὸ μεμνῆσθαι Παύλου. Οὐχ ἁπλῶς δὲ λέγει τὴν μνήμην τὴν ἑαυτοῦ, ἀλλὰ τὴν μνήμην τῶν κατορθωμάτων.

Ὅτι γὰρ οὐχ ἁπλῶς λέγει τὴν μνήμην τὴν αὐτοῦ, ἀλλ' ἵνα μεμνημένοι ζηλώσωσιν, ἀκούσοντι, ἐπήγαγεν· «μνημονεύετέ μου, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐ διέλειπον μετὰ δακρύων καὶ τῶν ὀδυρμῶν ἐκείνων ἁπάντων, νουθετῶν ἕνα ἕκαστον ὑμῶν». Οὐχ ἁπλῶς ὑμᾶς βούλομαι μεμνῆσθαί μου, ἀλλὰ καὶ τοῦ χρόνου καὶ τῆς νουθεσίας καὶ τῆς σπουδῆς καὶ τῶν δακρύων καὶ τῶν ὀδυρμῶν ἐκείνων ἁπάντων. Καθάπερ γὰρ ἐπὶ τῶν καμνόντων οἱ προσήκοντες, ἐπειδὰν πολλοὺς καὶ μακροὺς ἀποτείναντες λόγους μὴ πεισθῶσι τὰ τῶν ἀρρωστούντων προέσθαι σιτία καὶ φάρμακα, δακρύουσιν, ὥστε αὐτοὺς ἐπικάμψαι μᾶλλον, οὕτω καὶ Παῦλος ἐπὶ τῶν μαθητῶν ἐποίει· ἡνίκα ἂν εἶδεν

27. Πράξ. 20,31.

πων· παρατήρησαν τὴν ἀπουσία τοῦ διδασκάλου καὶ τότε ἐπιτέθηκαν στὸ ποίμνιο.

Τί λοιπόν; μᾶς ἀφήνεις ἀπροστάτευτους καὶ προλέγεις τὰ δεινὰ μόνο, ἀλλὰ δὲν ἐπινοεῖς καμιὰ παρηγοριά; Ἂν ὅμως κάνεις αὐτό, αὐξάνεις περισσότερο τὴ δειλία, καταβάλλεις τὸ ἠθικό, χαλαρώνεις τὰ νεῦρα καὶ παραλύεις τὰ χέρια τῶν ἀκροατῶν. Γι' αὐτὸ ἀκριβῶς τοὺς ὑπενθύμισε προηγουμένως τὸ ἅγιο Πνεῦμα· «στὸ ὁποῖο τὸ ἅγιο Πνεῦμα σᾶς τοποθέτησε ποιμένες καὶ ἐπισκόπους». Καὶ ἂν ὁ Παῦλος φύγει, λέγει, ὅμως εἶναι παρὼν ὁ Παράκλητος. Εἶδες πῶς ἔδωσε φτερὰ στὴν ψυχή τους, ὑπενθυμίζοντας τὸ θεῖο διδάσκαλο, ἀπὸ τὸ ὁποῖο καὶ αὐτὸς ἔπαιρνε δύναμη; Γιὰ ποιό λόγο λοιπὸν τοὺς ἔρριξε σὲ φόβο; Γιὰ νὰ απομακρύνει πάλι τὴν ἀδιαφορία τους. Γιατὶ ἐκεῖνος ποὺ συμβουλεύει πρέπει νὰ τὰ κάνει καὶ τὰ δύο· οὔτε νὰ ἀφήνει τὸν ἀκροατὴ νὰ παίρνει θάρρος γιὰ νὰ μὴ γίνει περισσότερο ἀδιάφορος, οὔτε πάλι νὰ τὸν φοβίζει μόνο γιὰ νὰ μὴν καταντήσει δειλός. Ὑπενθυμίζοντας λοιπὸν τὸ ἅγιο Πνεῦμα, ἀπομάκρυνε τὴ δειλία· καὶ ἀναφέροντας τοὺς λύκους, ἔδιωξε τὴν ἀδιαφορία. «Λύκοι ἄγριοι ποὺ δὲ λυποῦνται τὸ ποίμνιο. Προσέχετε τὸν ἑαυτό σας. Τίποτε δὲ σᾶς ἔκρυψα», λέγει, «νὰ μὲ θυμᾶστε». Γιατὶ πραγματικὰ εἶναι ἀρκετὸ στὸ νὰ παίρνει θάρρος κανεὶς τὸ νὰ θυμᾶται τὸν Παῦλο. Καὶ δὲν ἐννοεῖ ἁπλῶς τὴ δική του μνήμη ἀλλὰ τὴ μνήμη τῶν κατορθωμάτων του.

Καὶ ὅτι δὲν ἐννοεῖ ἁπλῶς τὴ μνήμη του, ἀλλὰ καὶ θυμούμενοι αὐτὸν νὰ γίνουν μιμητές του, πρόσθεσε γι' αὐτὸν ποὺ θὰ ἀκούσει· «νὰ μὲ θυμᾶστε, ὅτι τρία χρόνια συνέχεια δὲν ἔπαψα νύχτα καὶ ἡμέρα νὰ νουθετῶ μὲ δάκρυα καὶ ὀδυρμοὺς πολλοὺς τὸν καθένα σας»[27]. Δὲ θέλω νὰ θυμᾶστε ἐμένα μόνο, ἀλλὰ καὶ τὸ χρόνο καὶ τὴ νουθεσία καὶ τὸ ἐνδιαφέρον μου καὶ τὰ δάκρυα καὶ ὅλους ἐκείνους τοὺς ὀδυρμούς. Γιατὶ ὅπως στοὺς ἀρρώστους οἱ συγγενεῖς τους, ὅταν ποῦν πολλὰ καὶ δὲν τοὺς πείσουν νὰ πάρουν τὰ κατάλληλα γι' αὐτοὺς φαγητὰ καὶ φάρμακα, χύνουν δάκρυα γιὰ νὰ τοὺς κάμψουν ἀκόμη περισσότερο, ἔτσι

ἀσθενοῦντα τὸν λόγον τῆς διδασκαλίας, τὴν θεραπείαν τὴν ἀπὸ τῶν δακρύων εἰσέφερε.

6. Τίς δὲ οὐκ ἂν ᾐδέσθη Παῦλον δακρύοντα καὶ ὀδυρόμενον ὁρῶν, εἰ καὶ τῶν λίθων ἀναισθητότερος ἦν; Εἶδες πῶς κἀκεῖ προεῖπε τὰ μέλλοντα; Καὶ ἐνταῦθα τὸ αὐτὸ τοῦτο ποιεῖ λέγων· «τοῦτο δὲ γινώσκετε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Τίνος δὲ ἕνεκεν Τιμοθέῳ λέγει, καὶ οὐ λέγει, ἰδέτωσαν δὲ οἱ μετὰ ταῦτα μέλλοντες γίνεσθαι, ὅτι ἐνστήσονται καιροὶ χαλεποί; Ἀλλὰ γίνωσκε σύ, ἵνα μάθῃς ὅτι καὶ ὁ μαθητὴς ὁμοίως τῷ διδασκάλῳ τῶν ἐσομένων κήδεται. Οὐδὲ γὰρ εἰ μὴ ἐκήδετο, παραπλησίως ἐκείνῳ τὴν φροντίδα ἐνέθηκεν ἄν.

Οὕτω καὶ ὁ Χριστὸς ποιεῖ· ἐπειδὴ γὰρ προσῆλθον οἱ μαθηταί, τὰ περὶ τῆς συντελείας μαθεῖν θέλοντες, φησὶ πρὸς αὐτούς· «μελλήσετε δε ἀκούειν πολέμους». Καὶ μὴν οὐκ ἐκεῖνοι ἔμελλον ἀκούειν. Ἓν γάρ ἐστι τὸ σῶμα τῶν πιστῶν. Καὶ καθάπερ οἱ τότε ὄντες περὶ τῶν ὑστέρων ἀκούουσιν, οὕτω δὴ καὶ ἡμεῖς περὶ τῶν τότε γενομένων μανθάνομεν. Ὅπερ γὰρ εἶπον, σῶμα ἕν ἐσμεν ἡμεῖς κἀκεῖνοι, μετὰ ἀκριβείας ἀλλήλοις συνδεδεμένοι, εἰ καὶ τὴν ἐσχάτην τῶν μελῶν ἐπέχομεν τάξιν· καὶ τὸ σῶμα τοῦτο οὐ χρόνος διΐστησιν, οὐ τόπος· συνδεδέμεθα γὰρ ἀλλήλοις, οὐ νεύρων περιβολαῖς, ἀλλ' ἀγάπης δεσμοῖς περιβεβλημένοι πάντοθεν. Διὰ τοῦτο καὶ ἐκείνοις περὶ ἡμῶν διαλέγεται, καὶ ἡμεῖς τὰ ἐκείνων ἀκούσωμεν.

Ἄξιον δὲ ζητῆσαι κἀκεῖνο, τί δήποτε πανταχοῦ τὰ σκυθρωπὰ πρὸς τὰ τέλη τῆς παρούσης ζωῆς συνωθῆσθαί φησι. Καὶ γὰρ ἀλλαχοῦ λέγει· «ἐν ἐσχάταις ἡμέραις ἀποστήσονταί τινες τῆς πίστεως»· καὶ ἐνταῦθα πάλιν λέγει· «ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί». Καὶ ὁ Χριστὸς σύμφωνα τούτοις προαναφωνῶν ἔλεγεν· «ἐπὶ γὰρ τῆς συντελείας μελλήσετε ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων, καὶ λιμοὺς καὶ λοιμούς». Τίνος οὖν ἕνεκεν ἐν τῇ συντελείᾳ τὸ μέγεθος καὶ ἡ σύνο-

28. Ματθ. 24,6.
29. Α' Τιμ. 4,1.
30. Ματθ. 24,6.7.

ἔκανε καὶ ὁ Παῦλος στοὺς μαθητές· ὅταν ἔβλεπε νὰ ἀσθενεῖ ὁ λόγος τῆς διδασκαλίας, πρόσφερε τὴ θεραπεία μὲ τὰ δάκρυα.

6. Ποιός δὲ θὰ ντρεπόταν βλέποντας τὸν Παῦλο νὰ χύνει δάκρυα καὶ νὰ ὀδύρεται, ἔστω καὶ ἂν ἦταν πιὸ ἀναίσθητος καὶ ἀπὸ τὶς πέτρες; Εἶδες πῶς καὶ ἐκεῖ προεῖπε τὰ μελλοντικά; Καὶ ἐδῶ τὸ ἴδιο ἀκριβῶς κάνει λέγοντας· «νὰ γνωρίζετε καὶ αὐτό, ὅτι δηλαδὴ κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Καὶ γιὰ ποιό λόγο τὸ λέγει στὸν Τιμόθεο καὶ δὲ λέγει, 'ἂς προσέξουν ὅσοι θὰ γεννηθοῦν ἀργότερα ὅτι θὰ ἔρθουν καιροὶ δύσκολοι'; Ἀλλὰ γνώριζε ἐσύ, γιὰ νὰ μάθεις ὅτι καὶ ὁ μαθητὴς ὅμοια μὲ τὸ διδάσκαλο φροντίζει γι' αὐτοὺς ποὺ θὰ γεννηθοῦν στὸ μέλλον. Γιατὶ ἂν δὲ φρόντιζε, δὲ θὰ ἀνέθετε μὲ παρόμοιο τρόπο τὴ φροντίδα σ' ἐκεῖνον.

Τὸ ἴδιο κάνει καὶ ὁ Χριστός. Ὅταν δηλαδὴ τὸν πλησίασαν οἱ μαθητές, θέλοντας νὰ μάθουν τὰ σχετικὰ μὲ τὴ συντέλεια τοῦ κόσμου, λέγει σ' αὐτούς· «θὰ ἀκούσετε γιὰ πολέμους»[28]. Καὶ ὅμως ἐκεῖνοι δὲν ἐπρόκειτο νὰ ἀκούσουν. Ὅμως τὸ σῶμα τῶν πιστῶν εἶναι ἕνα. Καὶ ὅπως οἱ τότε ἀκοῦν γιὰ τοὺς μεταγενέστερους, ἔτσι καὶ ἐμεῖς μαθαίνουμε γιὰ ὅσα ἔγιναν τότε. Γιατί, ὅπως εἶπα, ἐμεῖς καὶ ἐκεῖνοι εἴμαστε ἕνα σῶμα, δεμένοι πολὺ στενὰ μεταξύ μας, ἔστω καὶ ἂν κατέχουμε τὴν τελευταία θέση τῶν μελῶν. Καὶ τὸ σῶμα αὐτὸ οὔτε ὁ χρόνος τὸ χωρίζει οὔτε ὁ τόπος, γιατὶ εἴμαστε δεμένοι μεταξύ μας ὄχι μὲ τοὺς ἱστοὺς τῶν νεύρων, ἀλλὰ περιβεβλημένοι ἀπὸ παντοῦ μὲ δεσμοὺς ἀγάπης. Γι' αὐτὸ καὶ σ' ἐκείνους γιὰ μᾶς μιλάει, καὶ ἐμεῖς ἂς ἀκούσουμε τὰ δικά τους.

Ἀξίζει ἀκόμη νὰ ἐξετάσουμε καὶ αὐτό, γιατί δηλαδὴ λέγει παντοῦ ὅτι τὰ δυσάρεστα θὰ συσσωρευθοῦν στὰ τέλη τῆς παρούσας ζωῆς. Γιατὶ καὶ ἀλλοῦ λέγει· «κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἀποστατήσουν μερικοὶ ἀπὸ τὴν πίστη»[29]. Καὶ ἐδῶ πάλι λέγει· «κατὰ τὶς ἔσχατες ἡμέρες θὰ ἔρθουν καιροὶ δύσκολοι». Καὶ ὁ Χριστὸς προφητεύοντας τὰ ἴδια μ' αὐτὰ ἔλεγε· «κατὰ τὴ συντέλεια τοῦ κόσμου θ' ἀκούσετε γιὰ πολέμους καὶ γιὰ φῆμες πολέμων, γιὰ πείνα καὶ γιὰ ἐπιδημίες»[30]. Γιὰ ποιό λόγο λοιπὸν στὴ

δος τῶν συμφορῶν; Τινὲς μέν φασιν, ὅτι κάμνουσα ἡ κτίσις καὶ ἀσθενοῦσα, καθάπερ σῶμα γεγηρακὸς πολλὰ ἐπισπᾶται τὰ νοσήματα, οὕτω καὶ αὐτὴ γηρῶσα πολλὰς ἐπισπᾶται τὰς συμφοράς. Ἀλλὰ τὸ μὲν σῶμα κατὰ φύσεως ἀσθένειαν καὶ νόμον ἐπὶ τὸ γῆρας ἔρχεται, οἱ δὲ λοιμοὶ καὶ οἱ πόλεμοι καὶ οἱ σεισμοὶ οὐ διὰ το γῆρας τῆς κτίσεώς εἰσιν. Οὐδὲ γὰρ ἐπειδὴ τὰ κτίσματα ταῦτα γηρᾷ, διὰ τοῦτο τὰ νοσήματα ταῦτα· «λιμοὶ γάρ, καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους»· ἀλλ' ἐπειδὴ τῶν ἀνθρώπων ἡ γνώμη διαφθείρεσθαι μέλλει· ἁμαρτιῶν γάρ ἐστιν ἅπαντα ταῦτα κολαστήρια καὶ νοσημάτων ἀνθρωπίνων φάρμακα. Καὶ γὰρ τὰ νοσήματα τὰ ἀνθρώπινα τότε ἐπιτείνεται.

Καὶ τίνος ἕνεκεν τότε ἐπιτείνεται; φησίν. Ἐμοὶ δοκεῖ, ὅτι ἐπειδὴ χρονίζει τὸ δικαστήριον καὶ μέλλουσιν αἱ εὐθῦναι καὶ οὔπω παραγέγονεν ὁ κριτής, ῥᾳθυμότεροι γίνονται οἱ μέλλοντες λόγον ὑπέχειν. Ὅπερ οὖν καὶ περὶ τοῦ πονηροῦ οἰκέτου φησὶν ὁ Χριστός, ὅτι ἐκεῖθεν γέγονε ῥᾳθυμότερος. «Χρονίζει γὰρ ὁ κύριός μου», φησὶν ὁ οἰκέτης, καὶ διὰ τοῦτο τοὺς συνδούλους ἔτυπτε καὶ τὴν δεσποτικὴν διετάραττεν οὐσίαν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοῖς μαθηταῖς συνελθοῦσι καὶ βουλομένοις μαθεῖν τὴν ἡμέραν τῆς συντελείας, οὐκ ἔλεγε, τῇ ἀδηλίᾳ τῶν μελλόντων ἐναγωνίους ἡμᾶς ποιῶν διηνεκῶς, ἵνα ἕκαστος ἀεὶ προσδοκῶν τὸ μέλλον καὶ ἐν ἐλπίσιν ὢν τῆς τοῦ Χριστοῦ παρουσίας, σπουδαιότερος ᾖ. Διὰ τοῦτο παραινεῖ τις λέγων· «μὴ ἀναβάλλου ἐπιστρέψαι ἐπὶ Κύριον, μηδὲ ἀνέμενε ἡμέραν ἐξ ἡμέρας, μήποτε ὡς μέλλεις ἐκτριβῇς».

Ἄδηλός ἐστιν ἡ τελευτή, φησί, καὶ διὰ τοῦτο ἄδηλος, ἵνα ἀεὶ σπουδάζῃς. Διὰ τοῦτο ὡς κλέπτης ἐν νυκτί, οὕτως ἡ ἡμέρα Κυρίου ἔρχεται· οὐχ ἵνα κλέψῃ, ἀλλ' ἵνα ἡμᾶς ἀσφαλεστέρους ποιήσῃ. Ὁ γὰρ τὸν κλέπτην προορῶν, ἐν ἀγρυπνίᾳ διάγει, καὶ λύχνον ἅψας διαπαντὸς ἐγρήγορεν. Οὕτως οὖν καὶ ὑμεῖς ἅψαν-

---

31. Βλ. Ματθ. 24,48–51.
32. Σοφ. Σειρ. 5,7.

συντέλεια τοῦ κόσμου θὰ συμβεῖ τὸ μέγεθος καὶ ἡ συσσώρευση τῶν συμφορῶν; Μερικοὶ ἰσχυρίζονται ὅτι ὅπως ἕνα σῶμα γηρασμένο ἀποκτάει πολλὲς ἀρρώστιες ἔτσι καὶ ἡ φύση κουρασμένη καὶ ἄρρωστη καὶ καθὼς γηράζει ἀποκτάει πολλὲς συμφορές. Ἀλλὰ το σῶμα βαδίζει πρὸς τὰ γηρατειὰ σύμφωνα μὲ τὴν ἀδυναμία καὶ τὸ νόμο τῆς φύσης, ἐνῶ οἱ ἐπιδημίες καὶ οἱ πόλεμοι καὶ οἱ σεισμοὶ δὲ συμβαίνουν ἐπειδὴ γηράζει ἡ φύση. Οὔτε πάλι ἐπειδὴ τὰ ἴδια τὰ κτίσματα γηράζουν, γι' αὐτὸ θὰ συμβεῖ «πείνα καὶ ἐπιδημίες καὶ σεισμοὶ σὲ διάφορους τόπους», ἀλλὰ ἐπειδὴ ἡ γνώμη τῶν ἀνθρώπων πρόκειται νὰ διαφθαρεῖ. Γιατὶ ὅλα αὐτὰ εἶναι τιμωρίες ἁμαρτιῶν καὶ φάρμακα γιὰ τὶς ἀσθένειες τοῦ ἀνθρώπου. Πραγματικὰ οἱ ἀνθρώπινες ἀσθένειες τότε αὐξάνονται ἀκόμη περισσότερο.

Καὶ γιὰ ποιό λόγο αὐξάνονται τότε; Ἐμένα μοῦ φαίνεται ὅτι γίνονται πιὸ ἀδιάφοροι ἐκεῖνοι ποὺ πρόκειται νὰ δώσουν λόγο, ἐπειδὴ ἀργεῖ τὸ δικαστήριο καὶ καθυστεροῦν οἱ εὐθύνες καὶ δὲν ἦρθε ἀκόμη ὁ κριτής. Αὐτὸ ἀκριβῶς λέγει καὶ ὁ Χριστὸς γιὰ τὸν κακὸ δοῦλο, ὅτι δηλαδὴ ἀπὸ τὴν αἰτία αὐτὴ ἔγινε πιὸ ἀδιάφορος[31]. «Ἀργεῖ ὁ κύριός μου», λέγει ὁ δοῦλος, καὶ γι' αὐτὸ χτυποῦσε τοὺς συνδούλους του καὶ σπαταλοῦσε τὴν περιουσία τοῦ κυρίου του. Γι' αὐτὸ καὶ ὁ Χριστὸς στοὺς μαθητές, ποὺ τὸν πλησίασαν καὶ ἤθελαν νὰ μάθουν τὴν ἡμέρα τῆς συντέλειας τοῦ κόσμου, δὲν τὴ φανέρωνε, θέλοντας νὰ μᾶς κρατάει σὲ συνεχὴ ἀγωνία μὲ τὸ ἀβέβαιο τῶν μελλοντικῶν, γιὰ νὰ γίνει ὁ καθένας πιὸ ἐπιμελὴς καθὼς προσδοκάει πάντοτε τὸ μέλλον καὶ ζεῖ μὲ τὴν ἐλπίδα τῆς παρουσίας τοῦ Χριστοῦ. Γι' αὐτὸ συμβουλεύει κάποιος λέγοντας· «μὴν ἀναβάλλεις νὰ ἐπιστρέψεις στὸν Κύριο, οὔτε νὰ περιμένεις ἀπὸ τὴ μιὰ ἡμέρα στὴν ἄλλη, σὰν νὰ πρόκειται νὰ καταστραφεῖς κάποτε»[32].

Ἄδηλο εἶναι τὸ τέλος, λέγει, καὶ γι' αὐτὸ εἶναι ἄδηλο, γιὰ νὰ φροντίζεις πάντοτε. Γι' αὐτὸ σὰν κλέφτης μέσα στὴ νύχτα, ἔτσι ἔρχεται ἡ ἡμέρα τοῦ Κυρίου· ὄχι γιὰ νὰ κλέψει, ἀλλὰ γιὰ νὰ μᾶς ἀσφαλίσει περισσότερο. Γιατὶ ἐκεῖνος ποὺ προβλέπει τὸν κλέφτη, ζεῖ ἀγρυπνώντας καὶ ἀνάβοντας λυχνάρι, εἶναι πά-

τες τὸ φῶς τῆς πίστεως καὶ τῆς ὀρθῆς πολιτείας, φαιδρὰς ἔχετε τὰς λαμπάδας ἐν ἀγρυπνίᾳ διηνεκεῖ. Ἐπειδὴ γὰρ οὐκ οἴδαμεν πότε ὁ νυμφίος ἔρχεται, δεῖ παρεσκευασμένους εἶναι διὰ παντός, ἵν' ὅταν ἔλθῃ, νήφοντας εὕρῃ.

7. Ἐβουλόμην ἐκτεῖναι τὸν λόγον, ἀλλὰ καὶ ταῦτα μόλις ἀφῆκεν εἰπεῖν ἡ τοῦ σώματος ἀσθένεια, δι' ἣν τὸν μακρὸν τοῦτον ὑμῶν διεσπάσθην χρόνον. Μακρὸς γὰρ ὁ χρόνος ἐμοί, οὐ τῷ ἀριθμῷ τῶν ἡμερῶν, ἀλλὰ τῷ μέτρῳ καὶ τῇ διαθέσει τῆς ψυχῆς. Τοῖς γὰρ φιλοῦσι καὶ ὁ βραχὺς χρόνος τοῦ χωρισμοῦ πολὺς καὶ ἄφατος φαίνεται. Διὰ τοῦτο καὶ ὁ Παῦλος μικρὸν ἀποστὰς Θεσσαλονικέων, ἔλεγεν· «ἡμεῖς, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν». Εἰ δὲ Παῦλος ὁ πάντων μάλιστα φιλοσοφεῖν εἰδώς, οὐκ ἤνεγκεν πρὸς καιρὸν ὥρας, πῶς ἡμεῖς τοσαύτας οἴσομεν ἡμέρας;

Ἀλλ', ἐκεῖνος μέν .., μηκέτι στέγων, τὰ λείψανα τῆς ἀρρωστίας ἔχων, ἔδραμον πρὸς ὑμᾶς, μέγιστον φάρμακον ἡγούμενος ἐπιθήσειν τῆς ὑμετέρας ἀγάπης τὴν συντυχίαν. Ἐμοὶ γὰρ καὶ ἰατρῶν χειρῶν χρησιμώτερον καὶ πάσης τῆς ἐκεῖθεν παραμυθίας λυσιτελέστερον, τὸ τῆς ἡμετέρας ἀπολαύειν ἀγάπης, ἧς γένοιτο διηνεκῶς ἐντρυφᾶν, εὐχαῖς καὶ πρεσβείαις πάντων τῶν ἁγίων, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμή, κράτος, ἅμα τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

33. Α' Θεσ. 2,17.

34. Στὸ σημεῖο αὐτὸ τὸ κείμενο παρουσιάζει κάποιο χάσμα.

ντοτε ξυπνητός. Ἔτσι λοιπὸν καὶ σεῖς, ἀφοῦ ἀνάψετε τὸ φῶς τῆς πίστης καὶ τῆς ὀρθῆς συμπεριφορᾶς, νὰ ἔχετε ἀναμμένες τὶς λαμπάδες σας, ἀγρυπνώντας διαρκῶς. Γιατί, ἀφοῦ δὲν ξέρουμε πότε ἔρχεται ὁ νυμφίος, πρέπει νὰ εἴμαστε συνεχῶς προετοιμασμένοι, γιὰ νὰ μᾶς βρεῖ ξυπνητοὺς ὅταν ἔρθει.

7. Θὰ ἤθελα νὰ ἐπεκτείνω τὸ λόγο, ἀλλὰ καὶ αὐτὰ μὲ δυσκολία μοῦ ἐπέτρεψε νὰ τὰ πῶ ἡ ἀσθένεια τοῦ σώματος, ἐξ αἰτίας τῆς ὁποίας τόσο πολὺ καιρὸ χωρίσθηκα ἀπὸ σᾶς. Γιατὶ γιὰ μένα ἦταν πολὺς ὁ καιρός, ὄχι ἀπὸ τὸν ἀριθμὸ τῶν ἡμερῶν, ἀλλὰ ἀπὸ τὸ μέτρο καὶ τὴ διάθεση τῆς ψυχῆς. Γιατὶ σ' αὐτοὺς ποὺ ἀγαποῦν καὶ ὁ λίγος χρόνος τοῦ χωρισμοῦ φαίνεται πολὺς καὶ ἀπερίγραπτος. Γι' αὐτὸ καὶ ὁ Παῦλος, ὅταν ἀποχωρίσθηκε γιὰ λίγο τοὺς Θεσσαλονικεῖς, ἔλεγε· «ἐμεῖς, ἀδελφοί, ὅταν σᾶς ἀποχωρισθήκαμε προσωρινά, μὲ τὸ σῶμα καὶ ὄχι μὲ τὴν καρδιά, πολλὲς φορὲς προσπαθήσαμε νὰ σᾶς δοῦμε»[33]. Ἂν ὅμως ὁ Παῦλος, αὐτὸς ποὺ γνώριζε περισσότερο ἀπ' ὅλους νὰ φιλοσοφεῖ, δὲν ἄντεξε γιὰ λίγο τὸ χωρισμό, πῶς ἐγὼ θὰ ἀντέξω γιὰ τόσες ἡμέρες;

Ἀλλὰ ἐκεῖνος...[34], ἐγὼ ὅμως μὴ ἀντέχοντας πιὰ καὶ ἔχοντας τὰ κατάλοιπα τῆς ἀρρώστιας ἔτρεξα σὲ σᾶς, πιστεύοντας νὰ πάρω σὰν τὸ πιὸ δυνατὸ φάρμακο τὴ συνάντηση τῆς δικῆς σας ἀγάπης. Γιατὶ γιὰ μένα πιὸ χρήσιμο ἀπὸ τὰ χέρια τῶν γιατρῶν καὶ πιὸ ὠφέλιμο ἀπὸ κάθε παρηγοριὰ ποὺ προέρχεται ἀπὸ ἐκεῖ εἶναι τὸ νὰ ἀπολαμβάνω τὴ δική σας ἀγάπη. Αὐτὴ τὴν ἀγάπη εἴθε νὰ τὴν ἀπολαμβάνω διαρκῶς, μὲ τὶς εὐχὲς καὶ τὶς πρεσβεῖες ὅλων τῶν ἁγίων, γιὰ τὴ δόξα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μέσω τοῦ ὁποίου καὶ μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ τιμὴ καὶ ἡ δύναμη, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.



ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα στὴ σελίδα ἁπλῶς ποὺ βρίσκονται.

1. Εὑρετήριο χωρίων τῆς Γραφῆς

Πράξεις

Ρωμαίους

Κορινθίους Α΄

Γαλάτας

Ἐφεσίους

Φιλιππησίους

Κολοσσαεῖς

Θεσσαλονικεῖς Α΄

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

Α

Β

Γ

Δ

Ε

ΠΕΡΙΕΧΟΜΕΝΑ

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘ. ΜΕΡΕΤΑΚΗ
Άρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη

Έκτύπωση Όφσετ: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
Κατσιμίδου 30 – Τηλ. 928 592 – Θεσσαλονίκη

Βιβλιοδεσία: Αφοί ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανά 17 – Τηλ. 839 414 – Θεσσαλονίκη